Fr. E. Müller.
Idib. Febr. 1824.

Hinrichs.
1856.

APOLLONII RHODII

ARGONAUTICA

EX RECENSIONE

ET CUM NOTIS

RICH. FR. PHIL. BRUNCKII

EDITIO NOVA

AUCTIOR ET CORRECTIOR

ACCEDUNT SCHOLIA GRAECA

EX

CODICE BIBLIOTH. IMPERIAL. PARIS.

NUNC PRIMUM EVULGATA.



TOMUS II.

LIPSIAE, APUD GERH. FLEISCHER JUN.

1813.


LIBRARY
MAY 22 1964
UNIVERSITY OF TORONTO

PRAEFATIO

GODOFREDI HENRICI SCHAEFERI.

Fere quinquennium effluxit, cum Gerhardus Fleischerus, bibliopola de bonis litteris egregie meritus merensque, consilium, nescio quo auctore, cepit editiones poëtarum veterum Brunckianas, quae dudum evanuerant e tabernis librariis, neque ab Argentoratensibus Sosiis recentabantur, nisi omnes, certe potiores, quibusque philologiae studiosi aegerrime carerent, Lipsiensibus typis repetendi. Docui tunc illum, (nam meas esse aliquas partes in negotio rite curando voluerat,) prae ceteris requiri Apollonium et Aristophanem egregii Critici: ab his initium sumendum esse; quorum novae editiones si emtoribus satis probatae essent, ad alios deinceps poëtas commode transiri posse. Ita factum est, ut

ante biennium Argonautarum poëta meâ qualicunque curâ prodiret. Mox, ut auguror, sequetur Comicus, ab excellente Metrico, qui Critices stadium magno cum plausu ingredi nuper coepit, egregie excultus auctusque multis novis bonis, quae partim e libris manu scriptis ducta sunt.

Circumspicienti autem mihi, quanam novitia dote Lipsiensis Argonauticorum editio ornari posset, ne forte, si nihil aliud quam archetypon repeteretur, exsisterent, qui redemtorem insimularent falcis in messem alienam immissae, peropportune in mentem venit, *Scholia* in Apollonium *inedita*, quorum tanta exspectatio tot per annos fuisset, Gottingae penes HEYNIUM servari. Itaque virum summum, a quo paullo ante benevolentiae plane incredibilis vereque incomparabilis ea mihi documenta obtigerant, quorum memoriam, quoad vivam, sancte sim conservaturus, qua decebat observantia rogavi, ut illorum apographum Scholiorum mecum communicaret. Nec frustra rogavi. Nam vir prolixissimae ad litteras, quacunque posset ratione, iuvandas voluntatis ad me promtissime transmisit non tantum quae petieram Scholia, sed multo etiam plura Apollonii ornandi instrumenta, quae Argonauticorum novae recensio-

ni adeoque iustae editioni parandae propemodum sufficere viderentur. Quibus quominus uterer omnibus, cum meae me rationes impediverint, in usum futuri editoris (servabuntur enim in bibliotheca publica Academiae Gottingensis) eorum indicem hoc loco ponam. Haec scilicet ab Heynio mecum communicata sunt.

I. Apollonii Rhodii editio Henrici Stephani cum variis poëmatis lectionibus a Davide Ruhkenio diligenter enotatis e Codice Parisino 2727. Primis undetriginta paginis Ruhnkenius adscripsit etiam Scholiorum diversitates, sed modo potiores, ex eodem Codice excerptas.

II. Apographum integrum Scholiorum, quae Codex Parisinus 2727. complectitur, ab Anonymo factum. Nam cum Ruhnkenius conferendo excerpendoque ad undetricesimam usque paginam editionis Stephanicae pervenisset, videtur intellexisse, margines illius editionis quamvis amplos non sufficere capiendis omnibus illis, quae enotatu digna essent. Qua causa, ut reor, permotus negotium dedit nescio cui, ut integrum sibi Apographum Scholiorum conficeret. Is munere demandato, quantum coniicere licet, ita functus est, ut Ruhnkenio et fidem et peritiam probasse videatur.

Haec duo Heynius a Ruhnkenio acceperat: ipse commodavit Brunckio, tunc, opinor, cum suam ille editionem pararet. Qui, pervellem, certe poëmatis varias scripturas maiori cura dignas habuisset. Nam etsi eundem ipse Codicem ad editum textum contulit, in Ruhnkenii tamen Excerptis vidi, quae, quamvis notabilia, in Brunckii adnotationibus frustra quaerantur. Velut ad libri primi versum octavum dudum notaverat Ruhnkenius, pro *τεὴν* in libri Parisini margine *τοίην* legi *).

III. Variae poëmatis lectiones excerptae e Codice Mediceo Plut. XXXII. n. IX. **) Contulit

*) Mireris, Ruhnkenium in Epist. Crit. II. p. 193. Codicis non meminisse: unde accidit, ut pro coniectura haberetur Ruhnkenii, quam verius dixissent lectionem libri Parisini marginalem. An, exemplari Stephanicae ad Heynium transmisso, vir summus oblitus erat marginalis scripturae Codicis? Hanc silentii causam fuisse suspicor: absit enim, ut aliam, indignam tali heroë, comminiscar. Ceterum alibi etiam margo illius libri vitiosae textus scripturae genuinam substituit. Sic, ut hoc utar, in primo statim versu textus quidem habet *ἀνδρῶν*, sed margo recte, ut vulgo, *φωτῶν*. Neque huius diversitatis a Brunckio facta est mentio. Obiter moneo, aliud exemplum commutationis illorum substantivorum commemorari a Lobeckio, viro doctissimo, ad Sophoclis Aiacem p. 289.

**) V. Montfaucon. Bibl. Bibl. T. I. p. 306. a. A.

hunc librum in Heynii gratiam, ampla conductus mercede, sed ita, ut exspectationi perparum satisfaceret, Angelus Maria Bandinius, I. V. D. Mediceaeque Bibliothecae regius Praefectus, mense Octobri anni 1765. Ceterum haec collatio meas in manus pervenit manca: nam prima octo folia, nescio quo casu, disperierunt, decimique margo ita mutilatus est, ut bona pars lectionum illic notatarum legi nequeat.

IV. Variae poëmatis lectiones excerptae e Codice Guelferbytano. Haec quoque Excerpta Heynius accepit a Ruhnkenio, ad quem olim miserat magnus noster Ernestius in gratiam Io. Piersoni. In primo folio Ernestius haec notavit: „Codex „Guelf. Apollonii Rhodii membran. in 4. scriptus, „ut videtur, sec. XI. collatus cum ed. Hoelzlini." Quibus Ruhnkenius subscripsit haec: „Potiores „lectiones hinc edidit Pierson. Verisim. p. 197."

Ambabus collationibus, tam Medicea quam Guelferbytana, Brunckius, cui Heynius miserat, usus est, id quod ipse in praefatione fatetur.

V. Variae poëmatis lectiones excerptae e Codice Vindobonensi. Sunt eaedem, quas Io. Laurent. Blessig in Brunckii usum enotaverat, ex Apo-

grapho Brunckiano transscriptae a Io. Gottl. Schneidero, viro clarissimo, qui tunc Argentorati, Brunckii familiaris, versabatur, Gottingamque missae ad Heynium a. 1775. Schneiderus in primo folio haec adscripsit: „De conditione Codicis atque eius „aetate quaerendum erit in Catalogo Lambecii aut „Nesselii; nihil enim hac de re in Apographo „Brunckiano a descriptore Blessig annotatum re„peri.“

VI. Variae poëmatis lectiones excerptae ex Editionibus Aldina, Parisina (1541. 8.) et Brubachiana (1546. 8.), itemque e Codicibus Mediceo et Parisino, comparatis cum Stephanica. Hanc syllogen variarum lectionum ad singulos Argonauticorum versus ordine deinceps positarum Heynius, nisi fallor, in usum novae quam olim moliebatur editionis confieri iusserat. Nunc potest etiam hunc usum habere, ut defectus collationis Mediceae, de quo supra dixi, inde resarciatur. Ceterum initio harum schedarum notatum est, „in editione Pari„sina pleraque iam ad Codices, ut videatur, emen„data esse, quae in Stephaniano textu meliora sint, „quam in Aldino, satisque apparere, hanc editio„nem esse fundum Stephanianae; Brubachianam „autem expressisse Aldinam, nonnullis tamen typo„rum erroribus deletis.“

VII. Tres indices in Scholia, primus geographicus, alter historicus, tertius glossematicus, confecti a Io. Iac. Reiskio, viro praestantissimo, cuius etiam manu scripti sunt.

VIII. Notata Is. Vossii ad Apollonium Rhodium, e schedis in Bibliotheca Leidensi servatis a Ruhnkenio transscripta ad Heyniumque missa. Haec cum et pauca sint et scripta ab ipso Ruhnkenio, cuius schedas etiam minimas colligere nostris diebus coeperunt, cum viris doctis hoc loco communicabo. Sic igitur Ruhnkenius:

„In schedis MSS. Bibl. Leidens. haec ab Is. „Vossio notata reperi:

„In Apollon. Edit. Aldi.

„Pag. 19. *Χρησμοσύνης ἣν ἄμμι σέθεν*

„ — 23. *Ἐκ δὲ τόθεν τρηχεῖαι ἀνηερθῆσαν „ἀέλλαι*

„ — 24. *Μυσίαι ἐκ δ' ἑτέρης ποταμοῦ ῥοος „Αισ.*

„ — 29. A. *λεπτόμιτον τό ῥα οἱ τις ἑὸν ξει„νήιον εἶναι*

„ — 29. B. *πυγμαχίην ἢ κάρτος ἀάατον ἤτε χε„ρείων*

„ — 44. *πόντον δ' ἄξεινον κυρτὴν δ' ἀπε„ρεύγεται ἄκρην*

„νοσφὶ μὲν αἴδ' αὐταὶ τῇσιν τότε κοι-
„ρανέεσκεν
„φυταλιῇ καρποῖο μελίφρονος· οὐδὲ
„μὲν οἵγε
„Pag. 46. πλῆξεν δινηθεὶς δὲ θοῆς πέσεν ἀγ-
„χόθι νηὸς
„δούπει ἐπὶ σκοπιῆς περιμήκεος αἱ δὲ
„φέβοντο
„ — 48. μῆλ' ἱερευσάμενοι περὶ δ' ἔσχαριν
„ἐστήσαντο
„ — 49. ἠλίβατος τόθι γυῖα περί
„ — 51. δαίδαλα χάλκευεν ῥιπῇ πυρὸς ἦδ'
„ἄρα μούνη
„Ib. Δηναῖας αυτως τι δ' ἱκάνετον
„Pag. 53. μήτις ἐπιῤῥοθος ἔσται ἐελδομένοι-
„σιν αὔτης."

IX. Notata Franc. Porti ad Apollonium Rhodium, ex editionis Stephanicae exemplari, quod est in Bibliotheca Senatus Lipsiensis, excerpta ab Io. Iac. Reiskio, atque ex Apographo Reiskii in Heynii usum (parum accurate, ut videtur) transscripta.

X. Collectanea Heynii manu scripta de Codicibus Apollonii; in quibus leguntur etiam excerpta e litteris Winkelmanni de Codicibus Romanis.

XI. Magnus numerus schedarum Excerpta tenentium ex Apollonio, digesta ordine alphabetico, quibus rite ordinandis index in poëtam conficeretur uberrimus. Congessit scripsitque ipse Heynius.

XII. Editio Basileensis ex officina Henricpetrina (1572. 8.) cum accuratissima collatione Codicis Vratislaviensis Editionumque Florentinae et Stephanicae. In titulo libri haec notata sunt: „Iohan- „nes Caspar Arletius, Rector et Prof. Gymn. Elisab. „et Biblioth. Praefectus hanc editionem contulit „cum Cod. Mscto Rehdigeriano et editione omnium „prima Florentina a. 1496. 4to evulgata. Vratisla- „viae A. 1765 et 1766. finit. d. 18. Maii.“

XIII. Editio Scholiorum Parisina, paucis illa visa, hoc titulo: *Σχόλια παλαιά τε καὶ πάνυ ὠφέλιμα εἰς τὰ τοῦ Ἀπολλωνίου ῥοδίου Ἀργοναυτικά. Interpretatio antiqua ac perutilis in Apollonii rhodii Argonautica.* 1541. min. 8. Reiskius Heynio dono dederat.

Haec a viro immortali commodata habui. Quae cum mihi, incredibiliter districto, ut non nesciunt qui me norunt, plurimis diversissimisque laboribus, prorsus non licuerit, quantumvis cuperem, omnia in usum convertere, ex animo opto, ut vir doctus exsistat, qui tali apparatu instructus Brunckianâ aliquanto meliorem Argonauticorum editio-

nem, dignam eximio vate, dignam horum luce temporum, paret. Mea quidem opera his finibus circumscripta fuit.

Apographum Scholiorum in usum Ruhnkenii ab Anonymo factum (II.) summâ fide, servatis vitiis Codicis Parisini omnibus, transscripsi, factaque cum ipsius Ruhnkenii Excerptis in editione Stephanica (I.), quousque pertinent, comparatione, typis describendum dedi. Quominus compararem cum Scholiis editis diversitatesque enotatas in notis commemorarem, eadem obstitit difficultas, quae Ruhnkenium videtur impedivisse, ne, quod facere instituerat, Excerpta Scholiorum Parisinorum in marginibus editionis Stephanicae perscriberet. Ut vero lectores comparare possent, edita Parisinis subiunxi: quod in tanta raritate antiquarum editionum nemo, ut opinor, improbabit. Scholiis, maxime ineditis, tironibus ut commodarem, subieci silvam satis magnam notarum, quae illos partim adiuvarent ad vitia scribarum tollenda, etiam in aliis, sicubi data esset opportunitas, scriptoribus *), par-

*) In illis locorum depravatorum correctionibus si quae sunt, quas alii occuparunt Critici, rem me fugisse, bonâ fide testor. Sic, cum in praefatione ad Lipsiensem

tim alia, scitu fortasse non inutilia, docerent. Sed multo maiore cum fructu ipsa legent Scholia cumque Argonauticorum textu, qualis adhuc editus est, conferent. Quod si quis constanter, attente solerterque fecerit, eum ad manum poëtae multis locis restituendam haud parum collaturum esse auguror. Exemplum inprimis luculentum ostendet, quae in Scholiis indicia lateant scripturae genuinae. Libri primi versibus 128. et 129. de Hercule aprum Erymanthium Mycenas ferente dicitur:

τὸν μὲν ἐνὶ πρώτησι Μυκηναίων ἀγορῇσι
δεσμοῖς ἰλλόμενον μεγάλων ἀπεθήκατο νώτων.

Scholia Parisina ad h. l.: *Διὰ δὲ τοῦ ἀπεθήκατο ἡ δύναμις τοῦ βαστάζοντος ἐπιδείκνυται.*

---

editionem Anacreontis Brunckiani p. VII. agerem de loco Paeanis Aristotelici, fugit me, eandem rationem dudum placuisse Augusto Matthiae, viro clarissimo, in Eclogis poëticis (conf. praefat. p. XI.), qui *ἄζουσαι* adeo in textum recepit. Nollem factum: nam erravimus ambo. *Αὔξειν σέβας* recte dicitur. Vertas *numen venerari.* Ita Oppianus Halieut. II. v. 409.

ὁρμαίνων ἀΐδηλα, δίκης σέβας οὔποτ' ἀέξων.

Tam facile est in his rebus labi: ut conspiratio etiam plurium coniectorum nihil valeat ad fidem faciendam coniecturis, ceteroqui nixis probabilitate palaeographica, nisi aliis simul argumentis firmentur.

Edita similiter: *Διὰ δὲ τοῦ ἀπεθήκατο τοῦ βαστάζοντος ἐπιδείκνυται ἡ δύναμις, ὅτι εὐχερῶς.* Iam quis non videt, Scholiastas in poëta non *ἀπεθήκατο*, sed aliud verbum, quod immanes herois vires significaret, legisse? Nam quod Krausius *) ad h. l. scripsit, *τὴν τοῦ βαστάζοντος δύναμιν* significari verbis *μεγάλων νώτων*, poëtamque ad eam indicandam praeclare usum esse non singulari numero (*νώτου*), sed plurali (*νώτων*), **) mihi quidem videtur scripsisse iocabundus. Illud verbum quodnam fuerit, acuti hominis, solâ Scholiorum perpensâ adnotatione, felix divinatio potuit detegere: nos docuit Simplicius MS. ***), Apollonium dedisse:

δεσμοῖς ἰλλόμενον μεγάλων ἀπεσείσατο νώτων.

Sic autem, nisi fallor, poëta in altera Argonautico-

---

*) Apollonii Rhodii Catalogus Argonautarum. Commentario perpetuo illustravit Ernestus Friedericus Krause AA. LL. M. Halae 1798. 8.

**) Centies de uno homine dicitur *νῶτα*, pariter ac *στέρνα* s. *στήθη*, itemque *ῥῖνες*: videlicet a divisione bipartita dorsi, pectoris, nasi, quam facit spina, sternum, septum.

***) V. Empedoclis et Parmenidis Fragmenta ex Codice Taurinensis Bibliothecae restituta et illustrata ab Amed. Peyron (Lipsiae 1810. 8.) p. 16.

rum editione egregie refinxit, cum in priori scripsisset, quod nunc habent editiones, *ἀπεθήκατο.*

Volumen indices claudunt, partim a me, partim ab aliis confecti. Primum, scriptorum in Scholiis citatorum, sumsi ex editione Harlesiana Bibliothecae Graecae Fabricii, cum novum, qualis mihi probaretur, conficere non vacasset. Hunc novum, sane utilissimum, omnibus si numeris absolutus sit, sed plurimi opus nec facillimi laboris, quandoquidem critica Scholiorum perpolitio antecesserit oportet, exspectamus a futuro editore Argonauticorum. Qui sequuntur duo indices, alter scriptorum in notis et Brunckii ad poëtam et meis ad Scholiastas tractatorum, alter graecus in notas, eos ego diligentissime confeci auxique non paucis accessionibus notarum *). Ultimum locum occupa-

---

*) In his accessionibus sunt, quae si prius mihi succurrissent, nonnulla administravissem paullo melius. Velut p. 39. formam *διπλὸς* male solicitavi. Exemplum eius, in quod sero incidi, citatum est in Indice p. 657. a. Nunc addo aliud ex Oppiani Halieuticis IV. v. 657. Pariterque *ἁπλὸς* in usu fuisse, arguit et superlativus *ἁπλότατος*, quo usus est Zosimus Thasius Epigramm. III. v. 3. et substantivum *ἁπλότης*. Compares similiter variantia *ἔπιπλος* et *ἐπίπλοος*, de quibus v. p. 182.: item *δίκρος* et *δίκροος*, de quibus v. H. Stephan. Ind. in Thesaur. c. 757. 758. et Brunck. ad Apollon. Rhod. IV. v. 1613. Add. *δορυξὸς* et *δορυξόος*, de quibus v. Brunck. ad Aristophan. Pac. v. 447.

runt tres Reiskii indices in Scholia, de quibus supra (VII.) dixi: qui quod hoc loco positi sunt, neque, ut debebant, indicem Fabricianum continuo sequuntur, casu, non consilio, factum est.

Valete, Lectores, et si quid vestris litterarum studiis hunc librum profuisse senseritis, ne mihi, sed uni HEYNIO gratiam beneficii habetote.

Scribeb. Lipsiae mercatu autumnali 1812.

SCHOLIA VETERA

IN

APOLLONIVM RHODIVM

EX

COD. REG. PARIS.

MMDCCXXVII.

ΓΕΝΟΣ ΑΠΟΛΛΩΝΙΟΥ ΠΟΙΗΤΟΥ.

Ἀπολλώνιος, ὁ τῶν Ἀργοναυτικῶν ποιητὴς, τὸ μὲν γένος Ἀλεξανδρεὺς, υἱὸς δὲ Σιλλέως, ὡς δέ τινες, Ἰλλέως, φυλῆς Πτολεμαΐδος. Ἐγένετο δὲ ἐπὶ τῶν Πτολεμαίων, Καλλιμάχου μαθητής· τὸ μὲν πρῶτον συνὼν Καλλιμάχῳ, τῷ ἰδίῳ διδασκάλῳ· ὀψὲ δὲ ἐπὶ τὸ ποιεῖν ποιήματα ἐτράπετο. Τοῦτον δὲ λέγεται ἔτι ἔφηβον ὄντα ἐνδείξασθαι τὰ Ἀργοναυτικὰ καὶ κατεγνῶσθαι· μὴ φέροντα δὲ τὴν αἰσχύνην τῶν πολιτῶν καὶ τὴν διαβολὴν, καὶ τὸ ὄνειδος τῶν ἄλλων ποιητῶν, καταλιπεῖν τὴν πατρίδα, καὶ ἀπεληλυθέναι εἰς Ῥόδον, κᾀκεῖ αὐτὰ ἐπιξέσαντα, καὶ οὕτως ἐνδείξασθαι, καὶ ὑπερευδοκιμῆσαι. Διὸ καὶ Ῥόδιον αὐτὸν ἐν τοῖς ποιήμασιν ἀναγράφει. Ἐπαίδευσέ τε λαμπρῶς ἐν αὐτῇ, καὶ τῆς Ῥοδίων πολιτείας καὶ τιμῆς ἠξιώθη. Καὶ τὰ μὲν τοῦ γένους αὐτῷ ταῦτα. Ἡ δὲ ὑπόθεσις τῶν Ἀργοναυτικῶν Ἀπολλωνίου τοῦτον ἔχει τὸν τρόπον.

ΥΠΟΘΕΣΙΣ ΤΩΝ ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

Τυρὼ, ἡ Σαλμωνέως θυγάτηρ, ἔτεκε τῷ Ποσειδῶνι Νηλέα καὶ Πελίαν. Εἶτα γαμεῖται Κρηθεῖ, τῷ Αἰόλου παιδὶ, καὶ τίκτει αὐτῷ Αἴσονα, Φέρητα καὶ Ἀμυθάονα. Καὶ γίνεται ἐκ μὲν Αἴσονος Ἰάσων, ἐκ δὲ Φέρητος Ἄδμητος, ἐκ δὲ Ἀμυθάονος Μελάμπους. Καὶ ὁ μὲν Ἰάσων ἐκδίδοται Χείρωνι τρέφεσθαι καὶ τὴν ἰατρικὴν μανθάνειν, Αἴσονος τοῦ πατρὸς τὴν βασιλείαν τῷ ἑαυτοῦ ἀδελφῷ Πελίᾳ καταλιπόντος, ἄρχειν τε καὶ

κρατεῖν τῆς Θεσσαλίας κελεύσαντος, ἕως ἂν ὑποστραφῇ Ἰάσων ἀπὸ Χείρωνος. Χρησμὸν δὲ ἦν εἰληφὼς παρὰ τοῦ Ἀπόλλωνος ὁ Πελίας φυλάττεσθαι τὸν ἀπιόντα πρὸς αὐτὸν μονοπέδιλον· τεθνήξεσθαι γὰρ δι' αὐτόν. Ὁ δὲ Ἰάσων αὐξηθεὶς ἔρχεται πρὸς τοὺς ἀδελφοὺς τοῦ πατρὸς, μεθέξων καὶ αὐτὸς τῆς βασιλείας τοῦ πατρός. Γενόμενος δὲ ἐν τῷ Ἀναύρῳ ποταμῷ, ἔστι δὲ οὗτος τῆς Θεσσαλίας, καὶ βουλόμενος παρελθεῖν, εὑρίσκει ἐπὶ τῆς ὄχθης τὴν Ἥραν γραῒ ὁμοιωθεῖσαν, διαπεράσαι μὲν βουλομένην, φοβουμένην δὲ καὶ ἑστῶσαν. Εἶτα τοῦτο γνοὺς Ἰάσων, λαβὼν ἐπὶ τῶν ὤμων, διασώζει· κατὰ δὲ τὸ μέσον τοῦ ποταμοῦ τὸ ἓν πέδιλον ἀποβάλλει τοῦ πηλοῦ. Εἶτα ἀπέρχεται ἐπὶ τὴν πόλιν μονοπέδιλος, καὶ εὑρίσκει πανήγυριν δημοσίαν καὶ θυσίαν ἀγομένην τοῖς θεοῖς παρὰ Πελίου. Θεασάμενος δὲ μονοπέδιλον τὸν Ἰάσονα ὁ Πελίας, ἀναμιμνήσκεται τοῦ χρησμοῦ. Εὐλαβούμενος δὲ αὐτὸν ἀνελεῖν, ἆθλον αὐτῷ προσέταξε τοιοῦτον, εἰπὼν ὅτι, Ἀπελθὼν εἰς τὴν Σκυθίαν τὸ χρυσόμαλλον δέρας κόμισον, καὶ λήψῃ τὴν βασιλείαν τοῦ σοῦ πατρός. Τοῦτο δὲ προσέταξεν, οὐχ ὡς τοῦ κωδίου τοῦ χρυσοῦ δεόμενος, ἀλλ' οἰόμενος αὐτὸν ἐν τῇ ἀλλοδαπῇ ἀναιρεθήσεσθαι ὑπό τινος, ἢ ἐν τῇ θαλάσσῃ ναυαγήσειν. Τὰ δὲ κατὰ τὸ χρυσόμαλλον δέρας τοιαύτην ἔχει τὴν ὑπόθεσιν.

ΙΣΤΟΡΙΑ ΤΩΝ ΠΕΡΙ ΦΡΙΞΟΝ ΚΑΙ ΕΛΛΗΝ ΚΑΙ ΤΟ ΧΡΥΣΟΜΑΛΛΟΝ ΔΕΡΑΣ.

Ἀθάμας, υἱὸς Αἰόλου, ἀδελφὸς Κρηθέως, ὡς αὐτός φησιν Ἀπολλώνιος,

Ἄμφω γὰρ Κρηθεὺς Ἀθάμας τ' ἔσαν Αἰόλου υἷες,

ποιεῖ ἐκ Νεφέλης δύο παῖδας, Φρίξον καὶ Ἕλλην. Τελευτησάσης δὲ αὐτῆς, γαμεῖ δευτέραν γυναῖκα τὴν Ἰνώ. Αὕτη δὲ ὡς μητρυιὰ ἐπεβούλευε τοῖς παισὶ τοῖς ἐκ τῆς προτέρας γυναικός· καὶ φρίττουσα *) τὰ σπέρματα, παρεῖχε τοῖς γεωργοῖς πρὸς σπόρον. Οἱ δὲ ἔσπειρον μὲν ἐν τῇ γῇ· ἡ δὲ γῆ λαβοῦσα οὐκ ἔφερε τοὺς καρποὺς τοὺς ἐτησίους διὰ τὸ πεφρίχθαι τὸν σπόρον. Ἀθάμας οὖν ὡς βασιλεὺς συναγαγὼν τοὺς μάντεις, ἠρώτα αὐτοὺς μαθεῖν βουλόμενος τὴν αἰτίαν τῆς ἀφορίας. Ἡ δὲ Ἰνὼ πέμπει πρὸς αὐτοὺς δῶρα ἐπαγγελλομένη δώσειν, εἰ φήσειαν πρὸς Ἀθάμαντα, ὡς εἰ μὴ ἀναιρεθείη τὰ τέκνα τὰ ἐκ τῆς προτέρας γυναικὸς αὐτῷ γεγονότα, Φρίξος καὶ Ἕλλη, οὐκ ἂν ἐκφύσειεν ἡ γῆ τοὺς καρπούς. Πεισθέντες δὲ οἱ μάντεις λέγουσι ταῦτα ὑποστρέψαντες τῷ Ἀθάμαντι. Μελλόντων δὲ τῶν παίδων τῆς Νεφέλης, Φρίξου καὶ Ἕλλης, φονεύεσθαι, κριὸς ἀπήγγελλεν αὐτοῖς τὸν ἐπηρτημένον κίνδυνον. Εἶτα ἐπὶ τῶν νώτων λαβὼν εἴσεισιν εἰς θάλασσαν, καὶ νηχόμενος ἔφερεν αὐτούς. Ἐλθὼν δὲ εἰς τὸ Τρωϊκὸν πέλαγος, ἀποβάλλει τὴν Ἕλλην· ὅθεν καὶ ἀπ' αὐτῆς Ἑλλήσποντος ὠνομάσθη· τὸν δὲ Φρίξον ἐπὶ τὴν Σκυθίαν διακομίζει. Ἔνθα αὐτὸς σφάζει μὲν τὸν κριὸν καὶ θύει Φυξίῳ Διΐ, ὅτι ἐξέφυγε τὴν ἐπιβουλὴν τῆς μητρυιᾶς· γαμεῖ δὲ Χαλκιόπην, τὴν θυγατέρα Αἰήτου, τοῦ Σκυθῶν βασιλέως, καὶ ποιεῖ ἐξ αὐτῆς παῖδας τέσσαρας, Ἄργον, Κυτίσωρον, Μέλανα καὶ Φρόντιν· καὶ οὕτως ἐκεῖ τελευτᾷ.

*) Non minus vitiose mox πεφρίχθαι, quae quomodo corrigenda sint, nemo non intelligit. Etiam hinc apparet, in Herodoto VIII. c. 96. viros doctos φρίξουσι optime mutasse in φρύξουσι.

ΑΛΛΩΣ ΑΠΟΛΛΩΝΙΟΥ ΒΙΟΣ.

*Ἀπολλώνιος, ὁ ποιητὴς, τὸ μὲν γένος ἦν Ἀλεξανδρεὺς, πατρὸς δὲ Σιλλέως ἢ Ἰλλέως, μητρὸς δὲ Ῥόδης. Οὗτος ἐμαθήτευσε Καλλιμάχῳ *) ἐν Ἀλεξανδρείᾳ ὄντι γραμματικῷ, καὶ συντάξας ταῦτα τὰ ποιήματα, ἐπεδείξατο. Σφόδρα δὲ ἀποτυχὼν καὶ ἐρυθριάσας, παρεγένετο ἐν τῇ Ῥόδῳ· κἀκεῖ ἐπολιτεύσατο καὶ σοφιστεύει ῥητορικοὺς λόγους. Ἐνταῦθα τοίνυν διάγων, καὶ ἐπιξέσας αὐτοῦ τὰ ποιήματα, εἶτα ἐπιδειξάμενος, σφόδρα εὐδοκίμησεν, ὡς καὶ τῆς Ῥοδίων ἀξιωθῆναι πολιτείας καὶ τιμῆς. Τινὲς δέ φασιν, ὅτι ἐπανῆλθεν εἰς Ἀλεξάνδρειαν, καὶ αὖθις ἐπιδειξάμενος, εἰς ἄκρον εὐδοκίμησεν, ὡς καὶ τῶν βιβλιοθηκῶν τοῦ Μουσείου ἀξιωθῆναι αὐτὸν, καὶ ταφῆναι σὺν αὐτῷ τῷ Καλλιμάχῳ.*

*) Simillima phrasis Eudociae p. 20. *ἐμισθώτευσε τῷ Ἀπόλλωνι*, de qua vid. Epimetr. I. ad Aristophanis Plutum Hemsterhusianum nuper repetitum typis Lipsiensibus p. XXX. ubi egregios duumviros fefellit etymon verbi *μισθωτεύω*. Neque enim derivandum est ab adiectivo *μισθωτὸς*, sed a substantivo *μισθωτὴς*, perinde ut verbum *μαθητεύω* descendit a substantivo *μαθητής*. *Μισθωτὴς* autem est *qui mercede operam suam locat.* Hesychius: *Θῆτας. μισθωτάς.* quod cur Valesius mutaret in *μισθωτούς*, nihil, opinor, causae erat. Inde natum femininum *μισθώτρια*, *quae mercede operam suam locat.* Auge his simulque corrige Lexica nostra. Ceterum quae Coraius l. c. comparavit verba, *εἱλωτεύω* et *θητεύω*, haec quid obstat quo minus derivemus, alterum ab *εἱλώτης*, alterum a *θητεύς*?

ΣΧΟΛΙΑ
ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ
ΤΩΝ
ΑΠΟΛΛΩΝΙΟΥ
ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

V. 1. *Ἀρχόμενος.* Ἀπὸ περιεκτικοῦ ῥήματος ἡ μετοχὴ ἐσχημάτισται. Περιεκτικὰ δέ εἰσιν, ὅσα δρᾶσιν καὶ πάθος σημαίνουσιν, οἷον βιάζομαι, δωροῦμαι, σφαγιάζομαι. Οὕτω καὶ τὸ ἄρχομαι. Τὸ μέντοι σημαινόμενον, ἀπὸ σοῦ τὴν ἀρχὴν ποιοῦμαι. Ἔθος γὰρ ἀπὸ θεῶν προοιμιάζεσθαι, ὡς Ἄρατος·

Ἐκ Διὸς ἀρχόμεθα.

Κατ' ἄλλο δὲ σημαινόμενον, ἀρχαιρεσιαζόμενος ὑπὸ σοῦ, οἷον ἐνθουσιῶν. Παραπλησίως γὰρ τοῖς μαινομένοις οἱ ποιηταὶ ἐνθουσιάζουσι. Φασὶ δέ τινες, ὅτι τὸ ἀρχόμενος ἀντὶ τοῦ ἀρξάμενος ἐνταῦθα κεῖσθαι. Ὁ οὖν λόγος, ἀρχαιρεσιασθεὶς ὑπὸ σοῦ εἰς μνήμην ἄξω τὰ ἔνδοξα ἔργα τῶν Ἀργοναυτῶν.

Παλαιγενέων. Διαφέρει τὸ παλαιὸν τοῦ ἀρχαίου. Τὸ μὲν παλαιὸν πᾶν καὶ ἀρχαῖον· τὸ δὲ ἀρχαῖον οὐ πᾶν παλαιόν. Τὸ γὰρ *) ἀρχαῖον σημαίνει καὶ τὸ ἀρχῆς ἔχεσθαι.

---

*) Ruhnkenius pro γὰρ enotavit μὲν.

V. 4. Ἀργώ. Ὁ μὲν Ἀπολλώνιος ἀπὸ Ἄργου τοῦ κατασκευάσαντος αὐτὴν ὀνομάζει· Φερεκύδης δὲ ἀπὸ Ἄργου τοῦ υἱοῦ Φρίξου. Ταύτην δέ φασι πρώτην ναῦν γεγενῆσθαι. Ἄλλοι μέντοι φασὶ, Δαναὸν διωκόμενον ὑπὸ Αἰγύπτου πρῶτον κατασκευάσαι· ὅθεν καὶ Δαναῒς ἐκλήθη. Εὔζυγον δὲ, ἤγουν εὐκάθεδρον.

V. 5. Τοίην. Τὸ τοίην τίθεται καὶ ἀνταποδοτικῶς καθ' ὁμοίωσιν πρὸς τὰς παραβολάς·

Οἵη γε φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.

καὶ ἀναφορικῶς·

Ἀλλὰ καὶ ὣς τοίη περ ἐοῦσα.

Τοῦτο δὲ δύναται ἐπὶ θαυμασμοῦ κεῖσθαι τοῦ κατὰ τὴν αἵρεσιν λόγου. Δύναται καὶ κατὰ ἀναφορὰν τὴν ἔπειτα φερομένην.

V. 9. Ἄναυρος λέγεται ὁ χείμαῤῥος ποταμός.

Φάτις δὲ καὶ φήμη ἐπειδὰν ἐπὶ μέλλοντος λέγωνται, πρόῤῥησιν δέ τινα σημαίνουσιν. *)

V. 11. Προχοῇσιν. Οἱ τόποι, καθ' οὓς οἱ ποταμοὶ συμβάλλονται τῇ θαλάσσῃ, προχοαὶ λέγονται. Ὅμηρος·

Ὡς δ' ὅτ' ἐπὶ προχοῇσι διϊπετέος —.

V. 14. Πελασγίδος. Ἐκ τῆς Θεσσαλικῆς χώρας Πελασγίδα τὴν Ἥραν λέγει. Πελασγοὶ γὰρ ἐλέγοντο, οἳ τὴν Φθιωτικὴν κατῴκουν, ὥς φησιν Ὅμηρος·

Οἱ δ' αὐτοὶ ὅσσοι τε Πελασγικὸν Ἄργος ἔναιον.

πρὸς διαφορὰν τῆς Πελοποννήσου, ἣν Ἄργος Ἀχαϊκὸν καλεῖ.

---

*) Haec loco suo mota sunt, quippe spectantia ad v. 5. Ceterum post λέγωνται interpungam commatis signo, postque deleam δέ.

V. 23. *Ὀρφεύς.* Ἡρόδωρός φησι δύο γεγονέναι Ὀρφεῖς, ὧν τὸν ἕτερον συμπλεῦσαι τοῖς Ἀργοναύταις. Φερεκύδης δ᾽ ἐν τῇ ξ̄ Φιλάμμωνα καὶ οὐκ Ὀρφέα φησὶ συμπεπλευκέναι. Εἶναι δὲ Ὀρφέα κατὰ μὲν Ἀσκληπιάδην, Ἀπόλλωνος καὶ Καλλιόπης· κατὰ δὲ ἐνίους, Οἰάγρου καὶ Πολυμνίας. Ζητεῖται δὲ, διὰ τί Ὀρφεὺς, ἀσθενὴς ὢν, συνέπλευσε τοῖς ἥρωσιν. Ἢ ὅτι μάντις ὢν ὁ Χείρων ἔχρησε, μὴ ἄλλως δύνασθαι τὰς Σειρῆνας διεκπλεῦσαι αὐτοὺς, εἰ μὴ Ὀρφεὺς αὐτοῖς συμπλεύσειε. Ταῦτα δέ φησιν Ἡρόδωρος.

V. 25. *Πιμπληΐδος.* Χωρίον ἐστὶν ἡ Πιμπληῒς κατὰ Πιερίαν. Οἱ δὲ ὄρος Θρᾴκης. Οἱ δὲ κρήνην καὶ κώμην τῆς Πιερίας.

V. 27. *Θέλξαι,* ἀπατῆσαι, τέρψαι. Τίθεται δὲ ἡ λέξις ἐπὶ τῆς μετὰ βλάβης ἀπάτης. Νῦν δὲ ὑπερβολικῶς κεῖται.

Ἀοιδάων δὲ ἐνοπῇ ἀντὶ τοῦ, τῇ τῶν ἀοιδῶν εὐρυθμίᾳ. Λέγεται δὲ ἐνοπὴ καὶ ὁ θόρυβος.

V. 29. et 30. *Ζώνης.* Ζώνη ἐνταῦθα ὄρος καὶ τόπος οὕτω καλούμενος ἐν Θρᾴκῃ. Καὶ πόλις ὁμώνυμος, ὥς φησι Νίκανδρος.

Τὸ δὲ *ἑξείης στιχόωντο* ἀντὶ τοῦ, στιχηδὸν εἰσὶ καὶ ἐφεξῆς πυκναί.

Τὸ δὲ *Βιστωνίδι κοιρανέοντα* γράφεται καὶ Βιστωνίτας κοιρανέοντα. *)

V. 31. *Πιερίηθεν.* Πιερία ὄρος Θρᾴκης, ἐν ᾧ διέτριβεν Ὀρφεύς.

V. 36. et 37. *Ἀπιδανοῖο.* Ἀπιδανὸς καὶ Ἐνιπεὺς ποταμοὶ Θεσσαλίας ἀμφότεροι.

---

*) Ad versum 34.

Τὸ δὲ Φυλλήϊον ὄρος Μακεδονίας. Ἡ δὲ Πειρεσία, χώρα ἢ πόλις, ἧς ἐγγὺς ἦν τὸ Φυλλεῖον.

V. 40. Λάρισσαν. Τὴν Θεσσαλικὴν Λάρισσαν λέγει, ἣν ἔκτισεν Ἀκρίσιος· ἥτις ὠνομασθη ἀπὸ Λαρίσσης της θυγατρὸς Πελασγοῦ, ὥς φησιν Ἑλλανικος. Εἰσὶ δὲ Λάρισσαι τρεῖς· ἀρχαιοτάτη μὲν ἡ Ἀργειῶτις, ἥτις ἐστὶν αὐτὴ ἡ ακρόπολις· δευτέρα δὲ ἡ ἐν τῷ Πελασγικῷ τῆς Θεσσαλιας, ἣν Ὅμηρος Ἄργισσαν φησὶ, πλησίον οὖσα τῆς Γυρτωνης, ἧς μνημονεύει καὶ Ἀπολλώνιος νῦν· ἔτι δὲ καὶ ἑτέρα Λάρισσα περί που τὴν Τρωάδα, ἧς Ὅμηρος μνημονεύει ἐν Καταλόγῳ λέγων· φύλα τε *) Πελασγῶν, οι Λάρισσαν ἔναιον.

Τὸν δὲ Πολύφημον Ἀπολλώνιος μὲν Ἐλάτου παῖδα φησίν· Ἰσοκράτης δὲ καὶ Εὐφοριων Ποσειδῶνος. Τοὺς δὲ Λαπίθας ἀπὸ Λαπιθου, υἱοῦ Ἀπόλλωνος καὶ Στίλβης, φασὶν ὠνομάσθαι.

V. 45 — 47. Οὐδὲ μὲν Ἴφικλος. Ἴφικλος υἱὸς ἦν Φυλάκου καὶ Κλυμένης τῆς Μινύου. Τοῦτον Ἡσίοδος ἐπὶ πυρίνων ἀθέρων τρέχειν φησί· Δημάρετος δὲ ἐπὶ τῆς θαλάσσης. Ἐπισημαίνεσθαι δ' ἄξιον, οὔτε Ἡσίοδος, οὔτε Φερεκύδης φησὶ συμπεπλευκέναι τοῖς Ἀργοναύταις Ἴφικλον.

Τὸ δὲ οὐ δηρὸν ἐλέλειπτο ἀντὶ τοῦ, τάχιστα ἀφίκετο. Εἴρηται δὲ κατὰ ἀντιφρασιν.

Ἰστέον δὲ, ὅτι Φερεκύδης μὲν συμφωνεῖ Ἀπολλωνίῳ λέγοντι, Ἀλκιμέδην μητέρα εἶναι Ἰάσονος, τὴν Φυλάκου θυγατέρα· Ἡρόδωρος δὲ Πολυφήμην φησὶν αὐτὴν εἶναι τὴν Ἰάσονος μητέρα, θυγατέρα δὲ Αὐτο-

---

*) Pro φύλα τε leg. φῦλα. Sed talia in posterum lectoribus corrigenda relinquam, cum in his ne tirones quidem errare possint.

λύκου· Ἄνδρων δὲ ἐν τῇ ἐπιτομῇ τῶν συγγενειῶν Θεογνήτην, τὴν θυγατέρα Λαοδίκου, μητέρα Ἰάσονος γεγονέναι φησίν.

Τὸ δὲ ὀπύειν *) ἐσχημάτισται ἢ ἀπὸ τῶν ὠπῶν, τῶν ὀφθαλμῶν, κατὰ συστολὴν, ἢ ἀπὸ τοῦ ὀπῶ, τὸ ἐπιτηρῶ, ἢ ἀπὸ τῆς ὀπὸς, τῆς φωνῆς, ᾗ χρῶνται πρὸς τὰς συνουσίας τῶν γυναικῶν οἱ ἄνδρες.

V. 49. et 50. Οὐδὲ Φεραῖς. Φεραὶ ὠνομάσθησαν ἀπὸ Φέρητος τοῦ Κρηθέως, τοῦ Ἀδμήτου πατρός.

Εὐρήνεσι δὲ, ἀντὶ τοῦ πολυπροβάτοις.

Τὸ δὲ Χαλκωδόνιον ὄρος ἐστὶν ὑπεράνω Φερῶν.

V. 51—54. Πολυλήϊοι. Τοὺς υἱοὺς τοῦ Ἑρμοῦ πολυληΐους φησὶν, ἢ διὰ τὸ πολύφορον εἶναι τὴν χώραν, ἐν ᾗ κατῴκουν, ἢ διὰ τὴν πολλὴν λείαν, ὃ καὶ βέλτιον.

Ἐπάγει δὲ εὖ δεδαῶτες δόλου. Ἄϋπνοι γὰρ ἦσαν καὶ δεινοὶ καὶ φερέπονοι.

Ὁ δὲ Αἰθαλίδης, κύριον ὂν, πατρωνυμικοῦ τύπον ἔχει.

Ὁ δὲ Ἀμφίῤῥυσος ποταμὸς Θεσσαλίας. Γράφεται δὲ καὶ Ἀμβίῤῥυσος διὰ τοῦ β.

V. 57. Γυρτῶνα, ἣν Ὅμηρος Γυρτώνην λέγει. Ἔστι δὲ πόλις Θεσσαλίας· κατὰ δὲ ἑτέρους Περαιβοΐας. Οὕτως Ἴδας φησίν. Ὠνομάσθη δὲ ἀπὸ Γυρτώνης τῆς Φλεγύου.

Ὁ δὲ Κόρωνος υἱὸς Καινέως. Μυθολογοῦσι δὲ τὸν Καινέα, πρότερον γεγονότα γυναῖκα, μεταβληθῆναι ὕστερον εἰς ἄνδρα, Ποσειδῶνος αὐτῇ πλησιάσαντος.

---

*) Ita sine ι. Vid. Porson. ad Odyss. IV. v. 798. p. 36. ed. Lips.

Τοῦτο γὰρ ᾔτησε καὶ ἀτρωσίαν. Ἤρισε δὲ καὶ Ἀπόλλωνι, καὶ ἐνικήθη. Ἐκέλευέ τε τοὺς ὑπ᾽ αὐτὸν ὀμνῦναι *) εἰς τὸ δόρυ αὐτοῦ. Ὅθεν ἡ παροιμία, Καινέως δόρυ. Τινὲς δέ φασιν, τὸν Καινέα συμπλεῦσαι τοῖς Ἀργοναύταις. Ἀπολλώνιος μέντοι παρὰ Πινδάρου ταῦτα εἴληφε λέγοντος· Ὁ δὲ χλωρῆς ἐλάτῃσι τυπεὶς ᾤχετ᾽ εἰς **) χθόνα. Ταῦτα δὲ συνέβη αὐτῷ, διὰ τὸ μήτε θύειν, μήτε εὔχεσθαι τοῖς θεοῖς, ἀλλὰ τῷ ἑαυτοῦ δόρατι. Διὸ ὁ Ζεὺς ἐφορμᾷ αὐτῷ τοὺς Κενταύρους, οἵτινες κατὰ γῆν αὐτὸν ὠθοῦσιν.

V. 65. Μόψος. Μόψος ἦν υἱὸς Ἀμπύκου τοῦ Τιτάρωνος, μητρὸς δὲ Χλωρίδος.

V. 68. Ξυνιάδος. Λίμνην τινὲς τὴν Ξυνιάδα φασὶν Θεσσαλίας· οἱ δὲ πόλιν. παρὰ δ᾽ αὐτὴν Βοιβηΐδα λίμνην, ἣν Ξυνιάδα εἶπε, διὰ τὸ πλησίον εἶναι τῆς Ξυνιάδος πόλεως. Οἱ δὲ φασὶν, οὕτως αὐτὴν καλεῖσθαι, διὰ τὸ ξυνὸν μὲν εἶναι τὸ κοινόν· ταύτην δὲ κοινὴν εἶναι Θεσσαλίας ἢ Βοιωτίας.

Κτιμένη. Πόλις Θεσσαλίας ἡ Κτιμένη.

Δολοπηΐδα δὲ τὴν Θεσσαλίαν εἶπε, διὰ δὲ Δόλοπας, ἔθνος Θεσσαλικόν. Ὅμηρος·

Ναῖεν δ᾽ ἐσχατιὴν γαίης Δολόπεσσιν ἀνάσσων.

V. 69. Ὀποῦς, πόλις Λοκρίδος, ἀπὸ Ὀποῦντος τοῦ Ἠλείου. Ὅμηρος ἐν νεῶν ***) Καταλόγῳ·

Οἳ Κῦνόν τ᾽ ἐνέμοντο, Ὀπόεντά τε Καλλίαρόν τε.

Μενοιτίου δὲ καὶ Σθενέλης Πάτροκλος.

---

*) Rectius Schol. edit. ὀμνύναι. V. quae notavi ad Aesopum Heusingeri p. 129. Brevem in infinitivo vocalem esse, analogia arguit ceterorum verborum in $\overline{\mu\iota}$.

**) Ruhnkenius enotavit ἐς.

***) Ruhnkenius enotavit νηῶν.

V. 71 — 76. *Ἀλκήεις.* Ἀπὸ τοῦ ἀλκὴ, ἀλκήεις.

Τὸν δὲ *Εὐρυβώτην* Εὐρυβάτην Ἡρόδωρος φησὶ καλεῖσθαι ἐν τοῖς Ἀργοναυτικοῖς. Ἄκτορος δὲ υἱοὶ Μενοίτιος καὶ *Ἶρος.* Τούτων δὲ, Μενοιτίου μὲν Πάτροκλος, Ἴρου δὲ *Εὐρυτίων.*

Τὸ δὲ *ἐπαΐξαι* ἀντὶ τοῦ διῶξαι· ὥστε παρέλκει τὸ *μετόπισθεν.*

Συνυπακούεται δὲ καὶ ὁ καὶ, ἵν᾽ ᾖ, ὅτε κλίνει φάλαγγας, ἤγουν εἰς φυγὴν τρέψειεν.

V. 77. *Κάνθος.* Τὸν Κάνθον καταλέγει καὶ Κλέων. Ἦν δὲ υἱὸς Κανήθου τοῦ Ἄβαντος. Ἀπὸ μὲν Ἄβαντος οἱ Εὐβοεῖς Ἄβαντες ἐκλήθησαν· ἀπὸ δὲ Κανήθου ὄρος Κάνηθον ἐν Εὐβοίᾳ.

V. 81. *Δηωθῆναι.* Κοινότερον δηωθῆναι τὸ φθαρῆναι φησίν. Ἔοικεν οὖν δυσφορεῖν ὁ ποιητὴς ἐπὶ τῇ ἀπωλείᾳ τῶν ἡρώων. Διὸ ἐπιφέρει, ὡς οὐκ ἔστι μέγιστον κακὸν, οὗ μὴ ἐπαυρεῖν τοῖς ἀνθρώποις συμβαίνει.

V. 85. *Δύσιές τε.* Τοσοῦτον, φησὶν, ἀπέχει ἡ Λιβύη τῶν Κόλχων, ὅσον αἱ ἀνατολαὶ καὶ δύσεις τοῦ ἡλίου ἀπέχουσι. Λιβύη μὲν γὰρ πρὸς δύσιν, ἡ δὲ Κολχὶς πρὸς ἀνατολήν.

V. 87. *Οἰχαλίης ἐπίουροι.* Οἱ τῆς Ἀντιόπης παῖδες. Οἰχαλίαν δὲ οἱ μὲν νεώτεροι ἐν Εὐβοίᾳ φασίν· Ὅμηρος δὲ ἐν νεῶν Καταλόγῳ δοκεῖ ἐν τῷ Πελασγικῷ Ἄργει αὐτὴν καταλέγειν, λέγων·

Οἳ δ᾽ ἔχον Οἰχαλίην πόλιν Εὐρύτου Οἰχαλιῆος.

Δοκεῖ δὲ ὁμώνυμος εἶναι.

V. 91 — 93. *Οὐδ᾽ ὁμόθεν.* Ἀντὶ τοῦ, οὐκ ἀπὸ τοῦ αὐτοῦ τόπου. Διῳκίσθησαν γὰρ διὰ τὸν τοῦ Φώκου

φόνον· καὶ ὁ μὲν ἐν Σαλαμῖνι ᾤκησε πλησίον τῆς Ἀττικῆς, ὁ δὲ ἐν Φθίᾳ, ὁ Πηλεύς.

Ἀφραδίᾳ δὲ, τῇ ἀνοίᾳ ἢ κακομηχανίᾳ.

V. 95—99. Τοῖσι δ' ἐπὶ Κεκροπήϊος. Ἀντὶ τοῦ, ἀπὸ τῆς Κεκροπίας. Κεκροπὶς δὲ ἡ Ἀττικὴ ἀπὸ Κέκροπος τοῦ βασιλεύσαντος.

Ὁ δὲ Τελέων οὗτος, ὁ τοῦ Βούτου πατὴρ, ἕτερός ἐστι παρὰ τὸν πρῶτον Τελέοντα, τὸν τοῦ Εὐρυβώτου πατέρα.

Εὐμελίαν δὲ τὸν Φάληρον λέγει, ἀντὶ τοῦ πολεμικόν.

Ὁ δὲ Ἄλκων, ὁ τοῦ Φαλήρου πατὴρ, υἱὸς κατὰ Πρόξενον Εὐρυσθένους· ὃν καὶ φυγεῖν ἐκ τῆς Ἀττικῆς εἰς Εὔβοιαν μετὰ τῆς θυγατρὸς Χαλκίππης. καὶ ἐξαιτοῦντος αὐτὸν τοῦ πατρὸς, οὐκ ἐᾷ δοῦναι τοὺς Χαλκιδέας.

Τὸ δὲ τηλύγετον οὐκ ἀντὶ τοῦ μόνον· ἐπήγαγε γοῦν τὸ μοῦνον ἐόντα· ἀλλ' ἀντὶ τοῦ γηράσαντι αὐτῷ γενόμενον, καὶ ταύτῃ προσφιλῆ.

V. 101—104. Θησέα δ', ὅς. Θησεὺς καὶ Πειρίθους, ὁ μὲν Διὸς, ὁ δὲ Ποσειδῶνος ὤν, ἐφάμιλλον ἐποιοῦντο τὴν πρᾶξιν. Θησεὺς μὲν οὖν τῆς Ἑλένης ἐρασθεὶς, συνεργὸν ἑαυτῷ τὸν Πειρίθουν εἶχε. Ὁ δὲ Πειρίθους μετὰ ταῦτα τὴν Περσεφόνην ἁρπάσαι βουληθεὶς, ἑπόμενον εἶχεν ἑαυτῷ τὸν Θησέα. Καὶ δὴ διὰ Ταινάρου εἰς ᾅδην κατελθόντες, καὶ ἐπί τινος τόπου καθίσαντες, οὐκ ἐδύναντο ἐκεῖθεν ἀναστῆναι. Ὕστερον δὲ Ἡρακλῆς ἐπὶ τὸν Κέρβερον κατελθὼν, Θησέα μὲν, διὰ τὸ ἄκοντα κατελθεῖν, ἀνέσωσε· Πειρίθουν δὲ, διὰ τὸ ἰδίᾳ προαιρέσει καταβῆναι, εἴασεν. Ἔτι δὲ τοῦ Θησέως ἐν ᾅδου ὄντος, στρατεύσαντες κατὰ τῆς

Τροιζῆνος οἱ Διόσκουροι, Αἴθραν, τὴν Θησέως μητέρα, αἰχμάλωτον ἔλαβον.

Τὸ δὲ κεινὴν γράφεται καὶ κείνην. κεινὴν μὲν, ἤγουν κενὴν καὶ ματαίαν· κείνην δὲ ἀναφορικῶς.

Τὴν δὲ ἀνδρίαν ἑκατέρου τῶν ἡρώων διασαφῶν ὁ Ἀπολλώνιος φησὶν, ὅτι εἴπερ συνέπλευσαν ἀμφότεροι τοῖς Ἀργοναύταις, ἔπαυσαν ἂν αὐτοὺς μεγάλων μόχθων.

Ταίναρον δὲ λέγεται καὶ τὸ ἀκρωτήριον, καὶ ὁ λιμὴν, καὶ ἡ πολις. Ὠνόμασται δὲ κατὰ Φερεκύδην ἐν τῷ η̄ ἀπό τινος Ταινάρου, ὅς ἦν υἱὸς Ἐλάτου τοῦ Ἰκάρου καὶ Ἐριμήδης τοῦ *) Δαμασίκλου.

V. 105—109. Τῖφυς δ' Ἀγνιάδης. Σῖφαι, πόλις Βοιωτίας. Ἀπολλώνιος δὲ τοὺς Σιφαεῖς τῶν Θεσπιέων φησίν. Ὁ δὲ Φερεκύδης Ποντέα ἱστορεῖ τὸν Τῖφυν εἶναι. Αἴσχηλος δὲ τὸν Τῖφυν ἐν τῇ Ἀργοῖ Ἶφυν καλεῖ.

Τριτωνὶς δὲ ἡ Ἀθηνᾶ, ὅτι ἐν τῷ Τρίτωνι ἐγεννήθη τῷ Λιβυκῷ. Εἰσὶ δὲ καὶ ἄλλοι δύο Τρίτωνες, εἷς μὲν Βοιωτικὸς, ἕτερος δὲ Θεσσαλικός.

Ἔπαινος δὲ μέγας κυβερνήτου προμαθεῖν τοὺς μέλλοντας πνεύσειν ἀνέμους, καὶ τὴν μὲν ἡμέραν ὑπὸ τοῦ ἡλίου, τὴν δὲ νύκτα ὑπὸ τῶν ἀστέρων τὰ περὶ τοὺς ἀνέμους τεκμήρασθαι.

V. 115—117. Φλοίας δ' αὖ ἐπὶ τοῖσιν. Ἀραιθυραία πόλις Πελοποννήσου ἐν ὁρίοις τῆς Σικυῶνος κειμένη, ἥτις Φλυοῦσα ὠνομάσθη ὕστερον ἀπὸ Φλυοῦντος, υἱοῦ Διονύσου καὶ Χθονοφύλης. Καὶ αὐ-

---

*) Leg. τῆς.

τὸς δὲ ὁ Διόνυσος Φλυοῦς ἐκαλεῖτο διὰ *) τὸν οἶνον φλύειν, ὅ ἐστιν εὐθυνεῖν.

Ὁ δὲ Ἀσωπὸς Βοιωτίας μὲν ποταμὸς, τὰς δὲ πηγὰς ἔχει ἐν Ἀραιθυραίᾳ. Ἐκεραυνώθη δὲ ὑπὸ τοῦ Διὸς διώκων αὐτὴν, διὰ τὸ ἡρπακέναι τὴν θυγατέρα αὐτοῦ Αἴγιναν, ὥς φησιν καὶ Καλλίμαχος.

V. 118. Ἀργόθεν αὖ Ταλαός. Ἀμυθάονος τοῦ Κρηθέως τοῦ Αἰόλου τοῦ Ἕλληνος τοῦ Διὸς καὶ Δωρίππης γίνεται Μελάμπους, ὥς φησιν Διευχίας. Κληθῆναι δέ φησιν οὕτως, διὰ τὸ τεκοῦσαν τὴν μητέρα ἐκθεῖναι αὐτὸν εἰς σύνδενδρον τόπον, καὶ ὑπὸ τοῦ ἡλίου τοὺς πόδας μελανθῆναι, διὰ τὸ εἶναι ἀσκίους. Ἐν δὲ ταῖς καλουμέναις Μεγάλαις Ἠοίαις λέγεται, ὡς ἄρα Μελάμπους, φίλος ὢν τῷ Ἀπόλλωνι, ἀποδημήσας κατέλυσε παρὰ Πολυφάτῃ. Βοῦν δὲ αὐτῷ θύοντι, δράκων ἀνερπύσας κατέφαγε τὸν τοῦ Πολυφάτου θεράποντα. Χαλεπήνας δὲ ὁ βασιλεὺς, ἀποκτείνει τὸν δράκοντα. Μελάμπους δὲ ἐκεῖνον μὲν θάπτει, τὰ δὲ ἔκγονα αὐτοῦ ἐκτρέφει. Κἀκεῖνα περιλείχοντα τὰ ὦτα αὐτοῦ ἐνέπνευσαν αὐτῷ τὴν μαντικήν. Κλέπτοντα δὲ τὸν Μελάμποδα τὰς βοῦς τοῦ Ἰφίκλου, καὶ συλληφθέντα ὑπ᾽ αὐτοῦ, ἐπειδὴ τὸ στέγος ἔμελλεν ὅσον οὔπω πεσεῖσθαι τῆς οἰκίας, κατανενοηκότα ὑπὸ μαντικῆς ἐν δεσμωτηρίῳ κατεχόμενον εἰπεῖν τῇ θεραπαίνῃ τοῦ Ἰφίκλου. Παρ᾽ ἧς Ἴφικλος μαθὼν τὸ πρόῤῥημα, αὐτός τε ἀπαλλάττεται τοῦ δεινοῦ, καὶ Μελάμποδα αἰδεσθεὶς ἀπέλυσεν, ἐπιδοὺς αὐτῷ καὶ τὰς βοῦς, ἃς ἀφίκετο κλέψαι.

---

*) Insere articnlum τό. De εὐθυνεῖν, quod mox sequitur, v. Melet. Crit. I. p. 69. Idem vitium foedavit Strothianam editionem Eusebii p. 135. med. opinor, quod typotheta Halensis ductum exemplaris sui non intelligeret.

V. 122 — 129. *Οὐδὲ μὲν οὐδὲ βίην.* Καὶ ὁ Ἡρακλῆς ἀκούσας, ὅτι οἱ Ἀργοναῦται μέλλουσι πλεῖν εἰς Κόλχους, ἤδη ἀμείψας καὶ κατελθὼν εἰς τὸ Ἄργος κατὰ τὴν ὁδὸν, καθ' ἣν ἐκόμιζε ζῶντα τὸν Ἐρυμάνθιον κάπρον ἀπὸ τοῦ Ἐρυμάνθου ὄρους, ὅστις ἐβόσκετο ἐν ταῖς βήσσαις καὶ τοῖς κοιλώμασι τῆς Λαμπείας, ἀφίκετο εἰς Ἰάσωνα, ἐπειδὴ ἀπεθήκατο τὸν κάπρον ἐπὶ τῆς ἀγορᾶς τῶν Μυκηναίων.

Ἰλλόμενον καὶ δεδεμένον.

Διὰ δὲ τοῦ *ἀπεθήκατο* ἡ δύναμις τοῦ βαστάζοντος ἐπιδείκνυται.

Τὸ μὲν οὖν *νεῖον* προπερισπώμενον ἐπίῤῥημά ἐστὶ, καὶ σημαίνει τὸ νεωστί. Ὀξύτονον δὲ ὄνομά ἐστι, καὶ σημαίνει γῆν ἠροτριασμένην.

Τὸ δὲ *Λυγκήϊον*, εἰ μὲν οὕτω γράφεται, ἀπὸ Λυγκέως τοῦ ἐν Ἄργει βασιλεύσαντος οὕτω λέγεται· εἰ δὲ *Λυκήϊον*, ἀπὸ ὄρους Ἀργείου οὕτω λέγεται, ἀφ' οὗ τὰς πηγὰς ἔχει ὁ Ἴναχος.

Ἡ δὲ *Λάμπεια* ὄρος ἐστὶν Ἀρκαδίας, ὥσπερ καὶ ὁ Ἐρύμανθος, ἀφ' οὗ καὶ ποταμὸς ῥεῖ Ἐρυμάνθιος.

Τὸ δὲ *τῖφος* τὸν κάθυγρον σημαίνει τόπον.

V. 131. 132. *Σὺν καί οἱ Ὕλλας.* Οὗτος ἐρώμενος ἦν Ἡρακλέους, υἱὸς δὲ Θειοδάμαντος τοῦ Δρύοπος *), ὥς φησι Μνασέας. Ἑλλάνικος δὲ Θειομένητα Θειοδάμαντος καλεῖ.

Τὸ μὲν οὖν *φορεὺς*, ἀντὶ τοῦ φέρων εἴρηται. Τὸ δὲ *φύλακος*, ἀντὶ τοῦ φύλαξ Ἰωνικῶς. Τὰς γὰρ γενικὰς οὗτοι εὐθεῖαν ποιοῦσι **)· τοῦ μάρτυρος, ὁ μάρτυρος, τοῦ φύλακος, ὁ φύλακος. Τὴν πρώτην δὲ ὀξυνη-

*) Citat Bastius Epist. Crit. p. 165. sq.

**) Bastius hoc Schol. citans ibid. p. 121. habet εὐθείας ποιοῦσιν.

τέον *), ἀλλ' οὐ τὴν τελευταίαν, εἰ καὶ Ἡρωδιανὸν οὕτω φασὶ γράφειν.

V. 134. Ναύπλιος. Ὁ Ναύπλιος οὗτος ἀπὸ τοῦ παλαιοῦ Ναυπλίου κατάγεται, ὃς ἦν υἱὸς Ποσειδῶνος καὶ Ἀμυμώνης τῆς Δαναοῦ. Προῖτον δὲ λέγει τὸν γεγονότα ἐχθρὸν Βελλεροφάντῃ δι' Ἄντειαν τὴν γυναῖκα, ὥς φησιν Ὅμηρος.

V. 139—143. Ἴδμων δὲ ὑστάτιος. Χαιμαλέων Ἴδμωνα τὸν Θέστορά φησι καλεῖσθαι δι' ἐμπειρίαν. Φερεκύδης δὲ τὸν Ἴδμωνα Ἀστερίας τῆς Κορώνου καὶ Ἀπόλλωνος φησὶ γενέσθαι· τοῦ δὲ καὶ Λασθείας, Θέστορα· τοῦ δὲ, Κάλχαντα. Οὗτος δὲ Ἄβαντος υἱὸν φησὶ τὸν Ἴδμωνα. Συμμαρτυρεῖ δὲ τούτῳ καὶ Ἡρόδοτος.

Αἰολίδας δὲ αὐτούς φησιν, ὅτι Αἰόλου τοῦ Ἕλληνος γίνεται Κρηθεὺς καὶ Ἀθάμας· Κρηθέως δὲ Ἀμυθάων καὶ Αἴσων· Ἀμυθάονος δὲ Μελάμπους τοῦ δὲ Ἄβας.

Τὸ δὲ, μή οἱ ὁ δῆμος καὶ τὰ ἑξῆς, ἀντὶ τοῦ, ἵνα μὴ μέμψαιτο αὐτοῦ τὸ κλέος.

Ἰστέον δὲ, ὅτι εἰσὶν οἱ καὶ Θέστορα συμπλεῦσαι τοῖς Ἀργοναύταις φασίν. Δηΐοχος Ἀμφιάραον φησὶ συμπλεῦσαι αὐτοῖς.

V. 146—149. Καὶ μὲν Αἰτωλίς. Αἰτωλίδα αὐτὴν λέγει ἀπὸ μέρους, ὥσπερ ἂν εἴ τις τὸν Συρακούσιον Σικελὸν εἴποι, ἢ τὸν Ῥωμαῖον Ἰταλόν· ἐπεὶ Ἴβυκος Πλευρωνίαν αὐτὴν λέγει, Ἑλλάνικος δὲ Καλυδωνίαν. Ἦν δὲ ἡ Λήδα θυγάτηρ Θεσπίου, τοῦ Αἰτωλῶν

*) Corrig. ὀξυντέον, quod legas in Schol. Ven. ad Homer. Il. XV. v. 445. Sic passim corruptum δασυντέον in δασυνητέον. V. quae monui in Ind. ad Homeri Od. p. 153. Sed Bastius l. c. habet ὀξυτονητέον.

βασιλέως, Ἄρεος υἱοῦ καὶ Ἀνδροδίκης. Εὔμηλος δὲ ἐν Κορινθιακοῖς Γλαύκου τοῦ Σισύφου θυγατέρα φησὶν αὐτὴν καὶ Παντειδυίας. Ἀπολομένων γὰρ τῶν ἵππων τῷ Γλαύκῳ, ἀφικνεῖται εἰς τὴν Λακωνικὴν κατὰ ζήτησιν αὐτῶν, κἀκεῖ συγγίνεται Παντειδυίᾳ, ἣν ὕστερον γήμασθαί φησιν Θέσπιον *)· *ἣν Γλαύκου οὖσαν κληθῆναι Θεσπίου. Φερεκύδης δὲ ἐν β ἐκ Λαοφώντης τῆς Πλευρῶνος Λήδαν καὶ Ἀλθαίαν Θεσπίῳ γίνεσθαί φησιν* **). *Τοὺς δὲ Διοσκούρους, Πολυδεύκην μὲν φησὶν ἐκ Διὸς συλλαβεῖν τὴν Λήδαν, Κάστορα δὲ ἐκ Τυνδάρεω.*

Τηλυγέτους δὲ τοὺς ἀγαπητούς φησιν. Ὅμηρος δὲ τοὺς ἐν γήρᾳ γενομένους τινί.

V. 151. *Οἵ τ' Ἀφαρητιάδαι. Ἀρήνην Φερεκύδης φησὶν μητέρα γεγονέναι Λυγκέως καὶ Ἴδου, ἀφ' ἧς ἡ πόλις Ἀρήνη, ἧς μέμνηται καὶ Ὅμηρος λέγων·*

Οἳ δὲ Πύλον τ' ἐνέμοντο καὶ Ἀρήνην ἐρατεινήν.

Πείσανδρος δὲ Πολυδώραν φησὶν τὴν μητέρα αὐτῶν. Θεόκριτος δὲ Λαοκοσῶαν. Συνήκμασαν δὲ οὗτοι τοῖς Τυνδαρίδαις.

V. 156. *Σὺν δὲ Περικλύμενος. Νηλέως παῖδες ἐγένοντο, ἐκ μὲν Χλωρίδος Νέστωρ, Περικλύμενος, Χρόμιος, ἐκ δὲ Φάρης Σκύρος, Ἀστέριος, Λυκάων, Εὐρύβιος, Δόμαχος, Ἐπιμένης, Φράσις, Ἀντιμένης, Εὐαγόρας, ὡς Ἀσκληπιάδης φησὶν καὶ Ὅμηρος λέγων·*

Δώδεκα μὲν Νηλῆος ἀμύμονος υἱέες ἦμεν.

Ὅτι δὲ ὁ Περικλύμενος Νηλέως ἦν υἱὸς, μαρτυρεῖ ὁ ποιητὴς λέγων·

---

*) Ruhnkenius enotavit *Θέστιον*, et sic mox *Θεστίου* et *Θεστίῳ*.

**) Ruhnkenius *γενέσθαι φησίν*.

Νέστορά τε Χρόμιόν τε Περικλύμενόν τ' ἀγέρωχον.

Τοῦτον ἔγγονον ὄντα Ποσειδῶνος, ἄλλοις τε ἐκόσμησε, καὶ ἔδωκεν αὐτῷ εἰς πάντα μεταβάλλεσθαι, ὥς φησιν Εὐφορίων·

Ὃς δὴ πᾶσιν ἔϊκτο θαλάσσῃ τ' ἠΰτε Πρωτεύς.

Ἐν δὴ τῷ πρὸς Πυλίους πολέμῳ ἀναιρεῖται ὑφ' Ἡρακλέους εἰς μυῖαν μεταβληθῆναι. Τῷ ῥοπάλῳ γὰρ αὐτὸν πλήξας κατὰ συμβουλὴν Ἀθηνᾶς ἐμπαγέντα ὥσπερ μέλιτταν τῷ κέντρῳ, οὕτως ἀπέκτεινεν. Ἡσίοδος δέ φησι μεταβληθέντα εἴς τινα τῶν συνήθων μορφῶν ἐπικαθεσθῆναι τῷ ζυγῷ τῶν Ἡρακλέους ἵππων, βουλόμενος εἰς μάχην καταστῆναι τῷ ἥρωϊ· τὸν δὲ Ἡρακλέα καιρίως αὐτὸν κατατοξεῦσαι, τῆς Ἀθηνᾶς ὑποδειξάσης. Φησὶ δὲ οὕτως Ἡσίοδος·

Περικλύμενόν τ' ἀγέρωχον,
ὄλβια ᾧ πόρε δῶρα Ποσειδάων ἐνοσίχθων
παντοῖ'. ἄλλοτε μέν τε ἐν ὀρνίθεσσι φάνεσκεν
αἰετὸς, ἄλλοτε δ' αὖτε πολέσκετο θαῦμα ἰδέσθαι
μύρμηξ, ἄλλοτε δ' αὖτε μελισσάων ἀγλαὰ φῦλα,
ἄλλοτε δὲ δεινὸς ὄφις καὶ ἀμείλιχος, εἶχε δὲ *)
παντοῖ' οὐκ ὀνομαστά· τὰ μὲν καὶ ἔπειτα δόλωσαν
ἐν βουλῇσιν Ἀθηναίης.

V. 162 — 170. Οἳ Τεγέην. Τέγεα πόλις Ἀρκαδίας.

Κλῆρον δέ φησιν τὴν βασιλείαν τοῦ Ἀφείδαντος.

Ὁ δὲ Ἀλεὸς ἱστορεῖται υἱὸς εἶναι Ἀφείδαντος τοῦ Ἀρκάδος. Δύο δὲ ἦσαν Κηφεῖς· ὁ μὲν Ἀλέου, οὗ μνη-

---

*) Lacunam in margine expleri voce αὐτὸς, notavit Ruhnkenius.

μονεύει ὁ Ἀπολλώνιος, ἕτερος δὲ, οὗ Ἑλλάνικος μνημονεύει ἐν τῷ περὶ Ἀρκαδίας.

Μαιναλίην δὲ τὴν ἄρκτον ἀπὸ Μαινάλου ὄρους, ᾧ καὶ πόλις ὁμώνυμος. Ἐκλήθη δὲ ἀπὸ Μαινάλου υἱοῦ Λυκάονος.

Καλιὰν δὲ τὴν οἰκίαν φησί. Κυρίως δὲ ἡ ἐκ κάλων κατεσκευασμένη οἰκία, ἤτοι ἐκ ξύλων. Κάλα γὰρ τὰ ξύλα. Ξυλίναις δὲ πρότερον ἐχρῶντο οἰκίαις, μήπω πρότερον ἐπινοηθέντων ξύλων.

Ὁ δὲ Ἀγκαῖος υἱὸς ἦν Λυκούργου τοῦ Ἀφείδαντος. Λυκούργου γὰρ καὶ Ἀντινόης Ἀγκαῖος καὶ Ἐπίοχος.

Τιμᾶται δὲ ὁ Λυκοῦργος παρὰ Ἀρκάσιν, οὗ καὶ Ὅμηρος μνημονεύει·

τὸν Λυκοῦργος ὑποφθὰς
δουρὶ μέσον περόνησε.

Καὶ ἄγεται ἡ ἑορτὴ παρ᾽ αὐτοῖς ἐπὶ Λυκούργῳ μώλεια. Μῶλος μὲν γὰρ ἡ μάχη. Λυκοῦργος δὲ λοχήσας ἀνεῖλεν Εὐρεθαλίωνα. *)

V. 172. *Βῆ δὲ καὶ Αὐγείης. Οὗτος μὲν Ἡλίου υἱὸς ἦν· τῇ δὲ ἀληθείᾳ Φόρμητος ἐκ τῆς Νηλέως Ὑρμίνης. Οἱ δὲ αὐτὴν θυγατέρα Νυκτέως, οἱ δὲ Ἐπόχου φασί. Τούτου δὲ τῶν ὀφθαλμῶν ἀπολάμπειν φασὶν ἀκτῖνας. Ἦν δὲ οὗτος, οὗ τὴν κόπρον τῶν βοῶν Ἡρακλῆς ἐκάθηρεν.*

V. 176. 177. *Ἀστέριος δέ. Τὸν Ἀστερίωνα λέγει. Ἀπὸ δὲ Ὑπερησίου, βασιλέως Ἀχαΐας, καὶ Ὑπερησία πόλις, ἧς Ὅμηρος μνημονεύει·*

Οἵ θ᾽ Ὑπερησίων. **)

---

*) Citavit hoc Schol. Bastius Epist. Crit. p. 224.

**) Ruhnkenius enotavit Ὑπερησίην.

Πελλήνη δὲ ἡ τῆς Ἀχαΐας τῷ ε̄ γράφεται. Ἡ δὲ τῆς Ἀρκαδίας Παλλήνη τῷ ᾱ.

Ἔστι δὲ ἡ *Ἀχαιῒς* μέρος Θεσσαλίας.

V. 179—184. *Ταίναρον αὖ ἐπὶ τοῖσι.* Ταίναρον ἀκρωτήριον Λακωνικῆς, ἀπὸ Ταινάρου υἱοῦ Ποσειδῶνος.

Ὁ δὲ *Τιτυὸς* Γῆς ἦν υἱός. Τετιμώρηται δὲ ἐν ᾅδου, διὰ τὸ στελλομένην τὴν Λητὼ εἰς Πυθῶνα κατασχεῖν. Οἱ δὲ, διὰ τὸ ἄψασθαι τῆς Ἀρτέμιδος.

Διερὴ δὲ κυρίως ἡ ἐκ Διὸς κάθυγρος γῆ, ὅτι καὶ διαίνω τὸ ὑγραίνω.

Εἴληπται δὲ παρὰ τὸ Ὁμηρικόν·

Αἱ δ' ὅτε δὴ σκιρτῷεν —.

V. 185 — 188. *Καὶ δ' ἄλλω δύο παῖδε.* Ὁ μὲν *Ἀγκαῖος* υἱὸς, Ἀστυπαλαίας γὰρ ἦν τῆς Φοίνικος καὶ Ποσειδῶνος· *Ἐργῖνος* δὲ ἀπόγονος, υἱὸς γὰρ ἦν Περικλυμένου τοῦ Πρέσβωνος καὶ Βουζύγης τῆς Λύκου.

Τὸν δὲ *Μίλητον*, ἀφ' οὗ καὶ ἡ πόλις ὠνομάσθη Μίλητος, οἱ μὲν ἐξ Ἀκτίου τοῦ Μίνωος γενέσθαι φασίν· οἱ δὲ Ἀπόλλωνος καὶ Ἀρείας τῆς Κλεόχου. Φησὶ γὰρ Ἀριστόκριτος, Ἀρείαν Κλεόχῳ γεγονέναι θυγατέρα· ἧς καὶ Ἀπόλλωνος γενέσθαι βρέφος. Τοῦτο δὲ ἐκτραφῆναι*) ὑπὸ τῆς μητρὸς εἰς μίλακα. Κλεόχον δὲ ἐκεῖθεν ἀνελόμενον ὀνομάσαι Μίλητον. Τοῦτον δὲ ἀνδρωθέντα φθονηθῆναι ὑπὸ Μίνωος. Ἀναχωρήσας οὖν διὰ τὸν φθόνον ἐκεῖθεν ἀφικνεῖται εἰς Σάμον. Καὶ τόπος τίς ἐστιν ἐκεῖ ὑπ' ἐκείνου καλούμενος Μίλητος. Ἐκεῖθεν εἰς Καρίαν ἀναχωρήσας, κτίζει πό-

---

*) F. ἐκριφῆναι.

λιν ἐκεῖ, καλέσας ἀφ' ἑαυτοῦ Μίλητον. Μαρτυρεῖ δὲ καὶ Ἡρόδοτος. Ἄλλοι δέ φασιν, Σαρπηδόνα τὸν Εὐρώπης καὶ Διὸς κτίσαι τὴν Μίλητον. Οἱ δέ φασιν, πρῶτον Πιτυοῦσαν καλουμένην, ἢ Ἀστερίαν καθ' ἑτέρους, ἢ κατὰ ἄλλους Ἀνακτόριον, ὕστερον κληθῆναι Μίλητον.

Περὶ δὲ Ἀγκαίου φησὶν Ἀριστοτέλης, ὅτι γέγονε φιλογεωργὸς καὶ πολλὰς ἀμπέλους ἐφύτευσε. Τοῦ δὲ θεράποντος εἰπόντος αὐτῷ, ὅτι ἀποθανεῖται πρὸ τοῦ πιεῖν ἐκ τοῦ καρποῦ τῆς ἀμπέλου, ἐπειδὴ πέπειρος ἤδη ἦν ὁ καρπὸς, λαβὼν βότρυν, καὶ συνθλίψας αὐτὸν, μετεκαλέσατο τὸν οἰκέτην. Ὡς δὲ ἀφίκετο, Ἔτι, φησὶν ὁ Ἀγκαῖος, ζῶ, καὶ ὁ καρπὸς ὥριμος γέγονε, καὶ ἤδη μέλλω πίνειν· ὁρᾷς γὰρ τὸν οἶνον ἐν τῇ κύλικι. Τοῦ δὲ οἰκέτου εἰπόντος, Πολλὰ μεταξὺ κύλικός τε καὶ χειλέων ἄκρων, ἤδη παραγίνεταί τις λέγων, ὡς σῦς διαλυμαίνεται τὴν χώραν. Ἀφεὶς οὖν τὴν κύλικα ὁ Ἀγκαῖος, καὶ δραμὼν εἰς τὸν σῦν, ἀναιρεῖται ὑπ' αὐτοῦ. Καὶ ἀπὸ τούτου γέγονε παροιμία τὸ, Πολλὰ μεταξὺ κύλικός τε καὶ χειλέων ἄκρων, ἐπὶ τῶν παρὰ προσδοκίαν τι πραττόντων. Φερεκύδης δέ φησιν ἐν τῷ η, ὑπὸ τοῦ Καλυδωνίου κάπρου τὸν Ἀγκαῖον ἀναιρεθῆναι.

Ἰμβρασία δὲ καὶ ἡ Σάμος καὶ ἡ Ἥρα ἀπὸ Ἰμβράσου ποταμοῦ ῥέοντος ἐν Σάμῳ. Καὶ ἀπ' ἐκείνου καὶ ἡ Σάμος καὶ ἡ Ἥρα Παρθενία, ὡς καὶ Καλλίμαχος μέμνηται. Τεῤῥαῖος δέ φησιν, Παρθενίαν τὴν Σάμον κληθῆναι ἀπὸ Παρθενίας τῆς γυναικὸς Σάμου.

V. 193—201. Ἀλλά ἑ θῆσσα. Θῆσσα ἡ δούλη. Ἀθηναῖοι δὲ καὶ τὰς πενιχρὰς γυναῖκας θήσσας ἐκά-

*λουν, ἀπὸ τοῦ θητεύειν ἐπὶ μισθῷ, διὰ τὸ ἐνδεεῖς εἶναι τῶν ἐπιτηδείων. Ὥσπερ δὲ τὸ *) Κρὴς ἀντιπαράκειται τὸ Κρῆσσα, οὕτω καὶ τῷ θὴς ἀντιπαράκειται τὸ θῆσσα.*

*Μήτρως δὲ τοῦ Μελεάγρου ὁ Ἴφικλος, ὅτι Ἀλθέα **), ἡ τοῦ Μελεάγρου μήτηρ, καὶ Ἴφικλος ἀδελφοὶ ἐκ Δηϊδαμείας τῆς Περιήρους.*

V. 202 — 204. *Ὠλένιον δὲ τὸν Λέρνον λέγει ἀπὸ Ὠλένου τῆς Αἰτωλίας. Ὅμηρος·*

Οἳ δὲ Πλευρῶν' ἐνέμοντο καὶ Ὤλενον.

Ἔστι δὲ καὶ ἑτέρα Ὠλένη, πόλις Ἀχαΐας.

Σιφλὸς δὲ, ὁ κεκακωμένος. Οἱ δὲ τὸν κακόποδα καὶ ἐπιμώμητον ἀπέδωκαν. Σίφλος δὲ ὁ μῶμος.

*Τὸ δὲ κουρίζειν ***) ἐνταῦθα ἀντὶ τοῦ κοῦρος ὤν. Ἀλλαχοῦ δὲ καὶ ἀντὶ τοῦ κούρους τρέφειν.*

V. 207 — 209. *Ἐκ δ' ἄρα Φωκήων. Ἡ Φωκὶς χώρα ἀπὸ Φώκου τοῦ Αἰόλου ἐκλήθη.*

Τὸν δὲ Ἴφιτον Ναυλόχου φασὶν εἶναι υἱὸν καὶ Περινθήκης τῆς Ἱππομάχου.

Ἡ δὲ Πυθὼ πόλις Φωκίδος, ἐν ᾗ τὸ μαντεῖον. Ἐκλήθη δὲ ἢ ἀπὸ τοῦ πυθέσθαι τῶν μαντειῶν, ἢ ἀπὸ τοῦ σεσῆφθαι τὸν δράκοντα ἐκεῖ.

V. 211 — 223. *Ζήτης αὖ Κάλαΐς τε. Τούτους ἐκ διαφόρων τόπων συμπλεῦσαι φασὶν τοῖς Ἀργοναύταις. Οἱ μὲν γὰρ ἐκ Θρᾴκης, ὡς Ἀπολλώνιος· Ἡρόδωρος δὲ ἐκ Δαυλίδος· Δοῦρις δὲ ἐξ Ὑπερβορέων. Καταλέγει δὲ τούτους καὶ Ἀντίμαχος. Φανόδικος δὲ ἐν ᾱ*

---

*) Leg. τῷ. Citat hoc Schol. Bastius Epist. Crit. p. 160.

**) Ruhnkenius enotavit Ἀλθαία.

***) Leg. κουρίζων. Et sic Ruhnkenius enotavit. Referendum autem hoc Schol. ad v. 195.

Δηλιακῶν ἐξ Ὑπερβορέων φησὶν ἐλθεῖν αὐτοὺς ἐπὶ τὸν πλοῦν.

Τὴν δὲ Ὠρείθυιαν ἁρπασθεῖσαν φησὶ Σιμωνίδης ἀνενεχθῆναι.

Ἔστι δὲ καὶ ἐν Κιλικίᾳ ὁμώνυμος ταύτῃ πέτρα, ὡς Καλλισθένης φησί. Στησίχορος δὲ ἐν Γηρυονίδι *) καὶ νῆσον τινὰ ἐν τῷ Ἀτλαντικῷ πελάγει Σαρπηδονίαν καλεῖσθαι φησίν. Περὶ δὲ τὰς Θρακίας Σαρπηδονίας πέτρας, ὅτι πρὸς τῷ Αἵμῳ ὄρει εἰσὶ, Φερεκύδης φησὶ ἱστορῶν περὶ τῆς ἁρπαγῆς τῆς Ὠρειθυίας.

Χοιρίλος δὲ ἁρπασθεῖσαν φησὶ τὴν Ὠρείθυιαν ἄνθη ἐκλέγουσαν ὑπὸ τὰς πηγὰς τοῦ Κηφισσοῦ. Ἡραγόρας δὲ ἐν τοῖς Μεγαρικοῖς τὸν τὴν Ὠρείθυιαν ἁρπάσαντα Βορέαν υἱὸν Στρυμόνος εἶναί φησιν, οὐ τὸν ἄνεμον.

Ἡ δὲ Ὠρείθυια Ἐρεχθέως ἦν θυγάτηρ, ᾗ συνελθὼν ὁ Βορέας ἔτεκε Ζήτην καὶ Κάλαϊν, ὥς φησι Σιμωνίδης ἐν τῇ Ναυμαχίᾳ.

Φινεὺς δὲ πρώτην ἔσχε Κλεοπάτραν τὴν Ὠρειθυίας· μετὰ ταῦτα δὲ Εἰδυῖαν τὴν Δαρδάνου, ἥτις ἀπεχθῶς ἔχουσα πρὸς τοὺς Κλεοπάτρας παῖδας ἐπειρᾶτο τυφλῶσαι αὐτούς. Οἱ δέ φασιν, ὅτι ὁ πατὴρ ἐβουλήθη τυφλῶσαι, τῆς μητρυιᾶς διαβαλλούσης αὐτοὺς πρὸς αὐτόν.

Πρόκνις δὲ καὶ Κρέουσα καὶ Ὠρείθυια θυγατέρες Κέκροπος, ἢ Ἐρεχθέως. Ὠρειθυίας δὲ καὶ Βορέου Χιόνη, Χθονία, Κλεοπάτρα, Ζήτης, Κάλαϊς.

Κεκροπίηθεν δὲ ἔφη, ἤγουν ἀπὸ τῆς Ἀττικῆς. Ἀπὸ Κέκροπος γὰρ ἡ Ἀττικὴ Κεκροπία τὸ πρότερον ἐκαλεῖτο.

---

*) Ruhnkenius enotavit γηριονίδι.

Σαρπηδονία δὲ πόλις Θρᾴκης ἀπὸ Σαρπηδόνος κληθεῖσα βασιλέως Θρᾴκης, ἀδελφοῦ Πόλτυος. Τὰ δὲ ἐφεξῆς προσέθηκε διὰ τὸ καὶ ἑτέραν Σαρπηδονίαν πέτραν εἶναι ἐν Κιλικίᾳ.

Λυγαίοις δὲ, τοῖς σκοτεινοῖς, κατὰ μετωνυμίαν. Λύγος γὰρ τὸ σκότος ἀπὸ τοῦ λύγου, τοῦ φυτοῦ, ὅπερ ἐστὶ πυκνὸν καὶ δασύ.

Ἐπ' ἀκροτάτοισι δὲ, τοῖς σφυροῖς, ἢ τοῖς ἀστραγάλοις.

Ἐρεμνὰς δὲ, κατὰ συγκοπὴν, τὰς ἐρεβεννὰς, ἤτοι καταπληκτικὰς, μελαίνας.

Φολίδεσσι δὲ, ταῖς στίξεσι καὶ ποικίλμασι τῶν πτερῶν.

Ὑπάτου δὲ, τοῦ ἄκρου τῆς κεφαλῆς.

Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἔσειον δὲ κρὰς *) πτέρυγας κινούμενοι καταπληκτικὰς τῷ ἰδέσθαι.

V. 224 — 226. *Οὐδὲ μὲν οὐδ' αὐτοῖο.* *Ἄκαστος*, Πελίου υἱὸς, ἔγημε Κρηθηΐδα, ἢ Ἱππολύτην. Ἥτις ἐρασθεῖσα Πηλέως, ἀπῄτει συνελθεῖν αὐτῇ. Ὡς δὲ οὐκ ἤθελεν**) ὁ Πηλεὺς, κατηγορεῖ αὐτὸν διαβάλλουσα πρὸς Ἄκαστον, ὡς βουληθείη συγγενέσθαι αὐτῇ. Ἄκαστος δὲ ἐξαγαγὼν αὐτὸν ὡς πρὸς θήραν, κατέλιπεν ἄοπλον εἰς τὸ Πήλιον, ἵνα ὑπὸ τῶν θηρίων διαφθαρῇ. Ἑρμῆς δὲ, ἢ, ὥς τινες, Χείρων προσελθὼν αὐτῷ δίδωσιν Ἡφαιστότευκτον μάχαιραν. Ἧι τά τε ἐπιόντα τῶν θηρίων ἀνῄρει, καὶ εἰς τὴν πόλιν ἐπανελθὼν τὴν τοῦ Ἀκάστου γυναῖκα ἀνῄρηκεν· ὡς δέ τινες, καὶ τὸν Ἄκαστον.

---

*) Ruhnkenius enotavit δικρὰς. V. Brunck. ad IV. v. 1613.

**) Ruhnkenius enotavit ἦλθεν.

Διαπορεῖται δὲ, διὰ τί εἰς κίνδυνον πέμπων ὁ Πελίας Ἰάσονα, εἴασε τὸν υἱὸν ἀπελθεῖν. Δημάγητος οὖν φησὶν, ὅτι ὁ Πελίας ἐπέταξεν ἀραιοῖς γόμφοις παγῆναι τὴν Ἀργὼ, ἵνα τάχιον διαφθαρῇ· Ἄργος δὲ τοὐναντίον ἰσχυροτάτοις γόμφοις Ἀθηνᾶς ὑποθημοσύναις συνέπηξεν. Τὸ πιστὸν οὖν ὁ Ἄκαστος ἔχων παρὰ τοῦ Ἄργου, αὐτός τε ἔπλει ἄκοντος τοῦ πατρὸς, καὶ ὁ Ἄργος σὺν αὐτῷ. Ταῦτα δὲ δοκεῖ καὶ ὁ Ἀπολλώνιος αἰνιττόμενος λέγειν, ὅτι οὐκ ἤθελε μιμνάζειν ἐν δώμασι πατρὸς ἑῆος, *ὡς δηλονότι τοῦ πατρὸς πείθοντος μένειν. Καὶ τὸ εὐθὺς δὲ προσθεῖναι τὸν Ἄργον δήλωμα τούτου ἐστίν.*

V. 230. Ἐπεὶ Μινύαο θυγατρῶν. *Μινύου πολλαὶ γεγόνασι θυγατέρες. Ἰάσων γὰρ Ἀλκιμένης τῆς Περικλυμένης τῆς Μινύου θυγατρὸς, ἢ, ὡς Στησίχορος, τῆς Ἐτεοσκλυμένης. Φερεκύδης δὲ Ἀλκιμέδης φησί. Ἰσιόνης δὲ τῆς Δαναοῦ καὶ Διὸς γέγονε Ὀρχομενὸς, ἀφ' οὗ καὶ ἡ πόλις Ὀρχομενὸς ἐκλήθη. Ὀρχομενοῦ δὲ καὶ Ἑρμίππης τῆς Βοιωτοῦ γέγονε Μινύας ἐπίκλησιν, φύσει δὲ Ποσειδῶνος, ὃς οἰκεῖ ἐν Ὀρχομενῷ· ἀφ' οὗ ὁ λαὸς Μινύαι ἐκλήθησαν. Μινύου δὲ καὶ Κλυτοδώρας γίνεται Πρέσβων, Περικλυμένη καὶ Ἐτεοκλυμένη. Ἐκ δὲ Φανοσύρας τῆς Παίονος καὶ Μινύου γίνεται ἄλλος Ὀρχομενὸς καὶ Ἀθάμας καὶ Διοχθώνας. Σκήψιος δὲ Δημήτριος φησὶν τοὺς περὶ τὴν Ἰωλκὸν οἰκοῦντας Μινύας προσαγορεύεσθαι.*

V. 238. Παγασαὶ *δὲ ἀκρωτήριον Θεσσαλίας καὶ πόλις, ἀπὸ τοῦ ἐκεῖ παγῆναι τὴν Ἀργώ. Ὁ δὲ Σκήψιός φησιν, ἀπὸ τοῦ πηγαῖς περιῤῥέεσθαι τὸν τόπον. Ἔστι δὲ ἐν αὐτῷ καὶ Παγασαίου ἱερὸν Ἀπόλλωνος.*

V. 240. *Ἀστέρας* δὲ τοὺς ἥρωας ἔφη, πρὸς τὸ γένος καὶ τὴν εὐγένειαν καὶ τὴν ἀνδρίαν αὐτῶν ἀπιδών. *Νεφέλας* δὲ τὸν πολὺν ὄχλον.

V. 242. Τὸ δὲ *πόθι*, τὴν ἐν τόπῳ σχέσιν σημαῖνον, ἐνταῦθα καταχρηστικῶς τὴν εἰς τόπον σχέσιν δηλοῖ.

V. 243. Τὸ δὲ *ἔκτοθι βάλλει*, ἀντὶ του στέλλει.

Παναχαιΐδα δὲ τὴν Θεσσαλίαν. Πρώτη γὰρ αὕτη ἐκλήθη Ἀχαΐα ἀπὸ Ἀχαιοῦ τοῦ Ξούθου.

V. 244. Τὸ δὲ *δόμους* συνεκδοχικῶς ἀντὶ τοῦ τὴν χώραν.

Τὸ δὲ *δηώσειαν*, ἀντὶ τοῦ καταφλέξειαν.

V. 246. *Ἀλλ' οὐ φυκτά.* Τοῦτο διχῶς. Εἰ γὰρ ἐπὶ τὸν Ἰάσωνα ἀναφέρειν δεῖ, οὕτως· ἀλλ' οὐκ ἦν τῷ Ἰάσωνι φυγεῖν τὸν πλοῦν, οὐδὲ ἄπρακτον ἐᾶσαι τὸ κελευσθέν. Εἰ ἐπὶ τὸν Αἰήτην, οὕτως· ἀλλ' οὐκ ἔστι *) τῷ Αἰήτῃ φυγεῖν τὴν ἀπόδοσιν τοῦ δέρματος, οὐδὲ τὸν πόνον ἄπρακτον ποιῆσαι τῶν Ἀργοναυτῶν.

Πάνυ δὲ καλῶς τοῖς μὲν ἀνδράσι τοὺς θαῤῥαλεωτέρους ἀποδίδωσι λόγους, ταῖς δὲ γυναιξὶ τοὺς ἐπιφοβωτέρους, πρὸς τὰς φύσεις ἑκατέρων ἐπιδών.

V. 252. Τὸ δὲ *οὐδ' ἐτέλεσσας*, ἀντὶ τοῦ οὐδὲ διετέλεσας, ἐλλιπῶς τῆς διά. Οὐ γὰρ διετέλεσεν ἐπὶ τῇ ἀγλαΐῃ τοῦ βίου.

V. 253. *Ἦ τέ οἱ ἦεν.* Πρὸς τὸν Αἴσονα ὁ λόγος. Ὄντως, φησὶ, βέλτιον ἦν σοι πρὸ τοῦ πλοῦ τοῦ Ἰάσονος ἐλυσθέντα καὶ ἐντυλιχθέντα ἐν τοῖς κτέρεσι καὶ ἐνταφιασμοῖς κεῖσθαι νειόθι τῆς γῆς, ἤγουν ἐν τῷ ἐνδοτάτῳ τῆς γῆς τόπῳ, νήϊδα καὶ ἄπειρον ὄντα τῶν κακῶν ἄθλων τῶν ἐσομένων τῷ Ἰάσονι.

---

*) Pro οὐκ ἔστι Ruhnkenius enotavit οὐκέτι.

V. 256. *Ὡς ὤφελε καὶ Φρίξον.* Λέγεται, ὅτι πεσούσης τῆς Ἕλλης ἀγωνιῶντι τῷ Φρίξῳ, τὸν κριὸν κατὰ βούλησιν Διὸς ἀνθρωπίνῃ χρησάμενον φωνῇ θαρσῦναι τὸν Φρίξον, ὡς διασώσει αὐτὸν εἰς Σκύθας. Τοῦτο γοῦν αὐτὸ, φησὶν, κακὸν ἔμελλεν ἔσεσθαι τῇ Ἀλκιμέδῃ, τοῦ υἱοῦ μελλοντος ἐκεῖσε πορεύεσθαι. Ὅτι δὲ ἐλάλησεν ὁ κριὸς, καὶ Ἑκαταῖος φησί. Ἄλλοι δέ φασιν, ἐπὶ κριομόρφου *) νηὸς πλεῦσαι εἰς Σκυθίαν τὸν Φρίξον· ἐῴκει γὰρ, φασὶν, ἡ πρῶρα τῆς νεὼς κριῷ· καὶ ταύτῃ χώραν ἐσχηκέναι τὸν μῦθον. Διονύσιος δέ φησι ἐν β̄, Κριὸν ὀνομάζεσθαι τὸν τοῦ Φρίξου παιδαγωγὸν, καὶ συμπεπλευκέναι αὐτῷ εἰς Σκυθίαν· καὶ ταύτῃ χώραν ἔσχεν ὁ μῦθος.

V. 260. *Προμολῆσι.* Προμολὴν τὸν ἔξοχον **) τῶν ἡρώων, ἀπὸ τοῦ ἔμπροσθεν μολεῖν. Καὶ τὰς προβάσεις τῶν ὀρῶν προμολὰς λέγουσι. ***)

V. 262. *Τὸ δὲ ὀξὺ ἀπὸ τῶν ἐν τῇ ἀφῇ μετηνέχθη.* Καὶ Ὅμηρος·

Ὡς δ' ὅταν ὠδίνουσαν ἔχει βέλος ὀξύ.

V. 263. *Τὸ δὲ ἄχος*, λύπη τῆς ψυχῆς ἐστιν, ὡς δηλοῖ καὶ ὁ ποιητής·

Ἡ δ' ἄχεϊ οὗ παιδὸς ἔφθιτο.

V. 264. *Ἐντυπὰς*, ἄγαν ἐντετυλιγμένος ****), ὡς

---

*) Κριόμορφος Lexicis adde: item κριόπρωρος, quo Scholia ante edita h. l. utuntur. Tertium adiectivum similis compositionis, κριοκέφαλος, in Lexica inferas ex Athanasio. V. Wesseling. ad Herodot. p. 361. a.

**) Leg. τὴν ἔξοδον.

***) Ruhnkenius in margine editionis Stephanicae addidit: „Gloss. „int. προμολὴν λέγει τὴν προπαστάδα καὶ τὸ πρόπυλον." De προπαστὰς v. Heyn. ad Homer. T. V. p. 635.

****) Ruhnkenius enotavit ἐντετυλιγμένως.

καὶ τὰ μέλη ἐντυποῦσθαι διὰ τῆς σφίγξεως. Καὶ ὁ περιβεβλημένος δὲ κατὰ τὴν ὄψιν ἄγαν οὕτω λέγεται, ὡς καὶ τὸν τύπον τοῦ προσώπου φαίνεσθαι διὰ τῶν ἱματίων. Καὶ Ὅμηρος ἐν ω̄ Ἰλιάδος·

Ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος.

V. 267. Κατηφέες ἠείροντο. Σκυθρωποὶ ἄειρον τὰ ὅπλα. Τὸ γὰρ παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ.

V. 269. Τὸ δὲ ἀδινώτερον, ἀντὶ τοῦ ἀδινὸν, ὥστε *) τὸ, μελάντερον ἠΰτε πίσσα.

Τὸ δὲ παράδειγμα καταλλήλως ἔχει. Οὐ γὰρ τοῦτο μόνον ὁρᾷν δεῖ, ὅτι τὰς ἡλικίας ἐναντίως ἔλαβε, τὴν μὲν Ἀλκιμέδην, γραῦν οὖσαν, ἀπεικάσας κόρῃ, τὸν δὲ Ἰάσονα, νέον, γρηΐ. Οὐ γὰρ πρὸς τὰς ἡλικίας ἀφορᾷν δεῖ, ἀλλὰ πρὸς τὰ συμβεβηκότα τοῖς προσώποις· ταῦτα γὰρ παραβάλλομεν. Ἄλλως τε καὶ τρόπον τινὰ ὁ Ἰάσων γρηΐ ἔοικεν πρὸς τὴν Ἀλκιμέδην· ὡς γὰρ τῇ γραΐ προσήκει τρέφειν τὴν ἑαυτῆς παῖδα, κούρην οὖσαν, οὕτω καὶ τῷ Ἰάσονι προσήκει γηροκομεῖν τὴν μητέρα.

V. 271. Τὸ δὲ κηδεμονῆες κατὰ πλεονασμὸν ἀπὸ τοῦ κηδεμόνες. Σημαίνει δὲ ἐνταῦθα τοὺς συγγενεῖς καὶ προσήκοντας.

V. 272. Τὸ δὲ ἠγηλάζειν, ἀντὶ τοῦ ἄγειν ἐνεργητικῶς, ὥσπερ καὶ τὸ ἠγηλάσκειν. Σημαίνει δὲ καὶ τὸ ἐπὶ τοῦ αὐτοῦ στρέφειν, ἢ καὶ στρέφεσθαι. Παραπλήσια δὲ τούτοις τὸ ἠλάσκειν καὶ ἠλασκάζειν· πλὴν ὅτι τὸ μὲν ἠλάσκειν ἀμετάβατον·

Αἴτε κατὰ σταθμὸν ποιμνήϊον ἠλάσκουσι.

τὸ δὲ ἠλασκάζειν μεταβατικόν·

Ἠλασκάζειν ἐμὸν μένος.

*) Leg. ὥσπερ. V. not. ad Longi Pastor. p. 333. et Ind. p. 460. item Schneider. ad Aristot. H. An. T. IV. p. 235.

V. 275. Τὸ δὲ ἐκφλύξαι, ἀντὶ τοῦ εἰπεῖν ἐνταῦθα. Κυρίως δὲ λέγεται ἐπὶ τῶν λεβήτων τῶν ἀναβραττομένων καὶ ἐκπεμπόντων τὸ ὑγρόν.

Τὸ δὲ ὀρεχθεῖν καὶ βαρυτόνως καὶ περισπωμένως. Κυρίως δὲ τὸ ὀρεχθεῖν μίμημά ἐστι φωνῆς ἀνάρθρου. Ὅμηρος·

Πολλὸν μὲν βόες ὀρέχθεον.

Μᾶλλον δὲ λαμβάνοιτ᾽ ἀντὶ τοῦ στένειν. Ἔσθ᾽ ὅτε δὲ καὶ ἀντὶ τοῦ τραχύνειν. Ὅμηρος·

Ἄλγεσι θυμὸν ὀρέχθων.

Ἔοικε δὲ τὸ μὲν διὰ τοῦ ο περισπώμενον εἶναι, ὀρεχθῶ· τὸ δὲ διὰ τοῦ ε βαρύτονον ὂν, ἐρέχθω.

V. 283. Τὸ δὲ πέσσειν, ἀντὶ τοῦ ἔχειν.

V. 285. Δμωῒς ὅπως. Ἐν τῇ προεκδόσει οὕτως ἔχει τοῦτο·

Δμωῒς ὅπως κενεοῖσι βείομαι ἐν μεγάροισι.

καὶ τὸ ἑξῆς οὕτως·

Ὀϊζυρῇ ἀχέεσσι δυσάμμορος.

Εὕρηται δὲ καὶ οὕτω·

Σεῖο πόθῳ, φίλε κοῦρε, δυσάμμορος.

V, 287. Τὸ δὲ ᾧ ἐπὶ μούνῳ, ἐπὶ ἄῤῥενος δεῖ νοεῖν. Εἶχε γὰρ καὶ ἀδελφὴν Ἰάσων Ἱππολύτην.

V. 288. Τὸ δὲ μήτρην λῦσαι λέγεται μὲν καὶ φυσικῶς· λύσις γάρ ἐστιν ἡ κύησις· λέγεται δὲ καὶ καθ᾽ ἱστορίαν. Αἱ γὰρ πρῶτον τίκτουσαι λύουσαι τὰς ζώνας ἀνετίθεσαν τῇ Ἀρτέμιδι. Ὅθεν καὶ Λυσιζώνου Ἀρτέμιδος ἱερὸν ἐν Ἀθήναις.

V. 292. Τὸ δὲ κινύρετο ἀποδίδοται μὲν κυρίως ταῖς βουσί· μυκώμεναι γὰρ αὗται κινοῦσι τὴν οὐρὰν, ὡς εἶναί κινούριν. Διὸ καὶ Ἀπίων εὑρὼν παρὰ Ἀπολ-

λοδώρῳ τὴν τοῦ ταύρου ἐτυμολογίαν παρὰ τὸ τείνειν τὴν οὐρὰν ἠξίου μετατιθέναι.

V. 296. Ὧδε λίην. Ἀλγεῖν μὲν οὐ κωλύει μητέρα οὖσαν· τὸ δὲ λίαν ἀλγεῖν ἀποτρέπει.

Τὸ δὲ ἑξῆς παρὰ τὸ Ὁμηρικόν·

Οὐ γάρ τις πρῆξις κρυεροῖο πολέμοιο.

Ὡσαύτως δὲ καὶ τὸ ἑξῆς παρὰ τὸ, πρὶν καὶ κακὸν ἄλλο πάθησθα.

V. 297. Τὸ δὲ ἄροιο, ἀντὶ τοῦ λάβοις. Καὶ τὸ ἔρην δὲ ἐντεῦθεν τινὲς παράγουσι. Λαμβάνουσι γὰρ καὶ ὠφελοῦνται ἐν τῷ πολέμῳ.

V. 299. Ἐν δὲ τῷ, ἀνιάζουσά περ, ὅ περ ἀντὶ τοῦ δή. Οὕτω γὰρ Ἀρίσταρχος ἐπισημαίνεται, ὅτι ὁ περ ἔσθ᾽ ὅτε ἀντὶ τοῦ δὴ λαμβάνεται. Ἐν γοῦν τῷ,

Μηδ᾽ οὕτως ἀγαθός περ ἐὼν,

τὸν περ μεταλαμβάνει εἰς τὸν δή· Μηδ᾽ οὕτως ἀγαθὸς δὴ ἐών. Καὶ τὸ,

φυγόντι περ αἰπὺν ὄλεθρον,

ἀντὶ τοῦ φυγόντι δή. Ἢ οὖν καὶ ἐνταῦθα τὸν περ μεταλαμβάνειν δεῖ εἰς τὸν δὴ, ἢ τὸ ἑξῆς οὕτως· τούτων τὴν μοῖραν, καίπερ ἀνιάζουσα κατὰ θυμὸν, ὅμως τλῆθι φέρειν.

V. 302. Τὸ δὲ ἔχρη, ἀντὶ τοῦ ἐχρησμοδότει. Ἔστι δὲ ἀπὸ τοῦ χράω, χρῶ.

V. 304. Τὸ δὲ μίμνε δόμοις, παρὰ τὸ Ὁμηρικόν·

Ἀλλ᾽ εἰς οἶκον ἰοῦσα —

ὥσπερ καὶ τὸ, μήδ᾽ ὄρνις, παρὰ τὸ,

μηδέ μοι αὐτὴ
Ὄρνις ἐνὶ μεγάροισι κακὸς πέλευ.

V. 305. *Κεῖσε δ' ὁμαρτήσουσι.* Τὸ κεῖσε, εἰς τὴν Κολχίδα, ἢ εἰς τὸν λιμένα. Τὸ δὲ ὁμαρτεῖν ἐνταῦθα μὲν τὸ ἀκολουθεῖν, ἀλλαχοῦ δὲ καὶ τὸ ὁμοῦ τυχεῖν.

V. 306. Τὸ δὲ *προτέρωσε*, ἀντὶ τοῦ ἔμπροσθεν. Ὅμηρος·

Οὐ γάρ μοι προτέρω νῆες κίον.

Ἔται δὲ, οἱ ἑταῖροι, οἱ συνήθεις, κατὰ ἀποκοπὴν ἀπὸ τοῦ ἔθος. *)

V. 307. sq. *Οἷος δ' ἐκ νηοῦ.* Δῆλος νῆσος μία τῶν Κυκλάδων, ἱερὰ Ἀπόλλωνος, ἡ πρότερον μὲν ἄδηλος· ὕστερον δὲ Ἀστερία ὀνομασθεῖσα διὰ τὸ σχῆμα· εἶτα Ὀρτυγία, διὰ τὴν τῆς Λατοῦς ἀδελφήν.

V. 308. *Ἠὲ Κλάρον.* Κλάρος πόλις πλησίον Κολοφῶνος, ἱερὰ Ἀπόλλωνος. Καὶ χρηστήριον ἐν αὐτῇ καθιδρυμένον ὑπὸ Μαντοῦς τῆς Τειρεσίου, ἢ ὑπὸ Κλάρου τοῦ Ἄλωος κατὰ Θεόπομπον. Κλέαρχος δέ φησι, κλήρῳ λαβεῖν τὸν Ἀπόλλωνα τὴν πόλιν, καὶ ἀπὸ τοῦ κλήρου Κλάρον ὀνομασθῆναι. Οἱ δὲ τὴν Θηβαΐδα συγγράψαντές φασιν, ὅτι ὑπὸ τῶν Ἐπιγόνων ἀκροθίνιον ἀνετέθη Μαντὼ ἡ Τειρεσίου θυγάτηρ εἰς Δελφοὺς πεμφθεῖσα. Κατὰ δὲ χρησμὸν Ἀπόλλωνος ἐξελθοῦσα περιέτυχε Ῥακίῳ υἱῷ Λέβητος, Μυκηναίῳ τὸ γένος· καὶ τούτῳ γαμηθεῖσα, τοῦτο ἀνεῖλε τὸ λόγιον γαμεῖσθαι ᾧ ἂν συναντῴη, συναπῆλθεν ἐκείνῳ εἰς Κολοφῶνα. Κἀκεῖ δὲ δυσθυμήσασα ἐδάκρυσε τὴν πόρθησιν τῆς πατρίδος. Καὶ ἀπὸ τῶν δακρύων ὠνομάσθη Κλάρος κατὰ μεταβολὴν τοῦ ρ̄ εἰς τὸ λ̄, ὡς καὶ ἐν τῷ ὑδρηρὸς, ὑδρηλός. Καὶ πηγὴν δὲ ἐν τῷ τό-

---

*) Ad v. 305.

πῳ ἐκ τῶν δακρύων τῆς Μαντοῦς ἀναβλύσαι φασίν. Καὶ μαντεῖον ἐκεῖ Ἀπόλλωνος αὐτὴν καταστῆσαι. Ῥάκιος δὲ ἐκαλεῖτο ὁ ἀνὴρ διὰ πενιχρότητα καὶ κακοειμονίαν *). Οἱ δὲ Κλάρον φασὶν αὐτὴν κληθῆναι διὰ τὸ κληρώσασθαι ἐκεῖ τὸν Ποσειδῶνα καὶ Ἅιδην.

V. 311. Τῷ δε ξύμβλητο. Σημεῖον ἀγαθὸν ἡ συνάντησις, καὶ ὅτι γραῦς ἦν ἡ Ἰφιὰς, καὶ ὅτι ἱέρεια.

V. 312. Ἀρήτειρα δὲ καὶ ἱέρεια, ἀπὸ τοῦ ἀρητὴρ, ὥσπερ ἀπὸ τοῦ σαωτὴρ σώτειρα.

Ἐν δὲ **) πολιοῦχος ἐπεντέθη ***) τὸ η.

V. 322. Καταβλώσκοντας, κατερχομένους, καταμολίσκοντας, καὶ κατὰ συγκοπὴν καταμόλσκοντας; καὶ τροπῇ τοῦ μ εἰς τὸ β κατὰ συγγένειαν, ἣν ἔχει πρὸς ἄλληλα τὰ στοιχεῖα ταῦτα, καὶ μεταθέσει τοῦ λ, καὶ τροπῇ τοῦ ο μικροῦ εἰς ω μέγα, καταβλώσκοντας. Ἐντεῦθεν καὶ βλωμὸς, ὁ ψωμὸς, ἀπὸ τοῦ βλώσκειν καὶ κατιέναι διὰ τοῦ λαιμοῦ· καὶ ἡ βλωθρὴ πίτυς, ἀπὸ τοῦ μέχρι αἰθέρος μολεῖν.

V. 324. Τὸ δὲ δερματοφορεῖν ἴδιον τῶν ἡρώων.

V. 401. Εὐστείρης, τῆς εὐτρόπιδος.

Οἰήϊα δὲ τὰ πηδάλια, ἢ τοὺς οἴακας κατὰ τοὺς γλωσσογράφους. Λέγεται δὲ οὕτως ἀπὸ τοῦ οἴειν, τὸ κομίζειν· κομιστικὰ ****) γὰρ τὰ πηδάλια· ἢ ἀπὸ τῆς οἰήσεως· οἰήσεως γὰρ τῷ κυβερνήτῃ δεῖ.

V. 403. Νήεον, ἐσώρευον, κατεσκεύαζον. Ἐν-

---

*) Nullo auctore in Lexicis fertur.

**) Ruhnkenius enotavit ἐν δὲ τῷ.

***) Simile ἐπενδύνοντο illud, de quo monui ad Gregor. Cor. p. 51.

****) Hoc adiectivo auge Lexica.

θεν καὶ νηδὺς, ἐν ᾗ φόρτος σωρεύεται τῆς νηός. Καὶ νήησις, ἡ σύνθεσις τῶν λίθων.

V. 406. Τὸ δὲ τείως, ἀντὶ τοῦ ἐν τοσούτῳ ἐν ὅσῳ ταῦτα ἐποίουν.

Ἐπὶ δὲ τοῦ προέηκεν ἡ προ κινήσεως ἐστὶ δηλωτικὴ, ὡς τὸ, ἄγαγε πρὸ φόωσδε.

V. 407. Δύο δὲ βόας θύουσιν Ἀκτίου καὶ Ἐμβασίου Ἀπόλλωνος. Λέγεται δὲ Ἄκτιος καὶ Ἐπάκτιος ὁ Ἀπόλλων ὡς ἐν τῇ ἀκτῇ τιμώμενος.

V. 409. Χέρνιβα. Χέρνιβα μὲν, ἐν οἷς τὰς χεῖρας νίπτουσιν· οὐλοχύτας δὲ, οἷς τὰς οὐλὰς χέουσι σπένδοντες.

V. 411. Αἰσωνὶς δὲ πόλις Μαγνησίας, ἀπὸ Αἴσωνος τοῦ πατρὸς Ἰάσονος, ὡς καὶ Πίνδαρος ἱστορεῖ.

V. 413. Ἄνυσιν, ἢ τὴν ἐνέργειαν, ἢ τὴν ταχυτῆτα.

Πείρατα δὲ τὸ τέλος καὶ τὸ ἀποβησόμενον.

V. 414. Τὸ δὲ ἐπαίτιος, ἢ πρὸς τὸ δοθὲν μάντευμα τῷ Ἰάσωνι ἀναφέρειν δεῖ, ἢ πρὸς τὸ δοθὲν τῷ Πελίᾳ.

V. 416. Ἑλλάδα δὲ ὅλην τὴν Ἑλλάδα, ἢ τὴν Θεσσαλίαν, ἢ τὴν Φθίαν.

V. 419. Ἄλλα δ' ἐς Ὀρτυγίην. Φανόδικος ἐν τοῖς Δηλιακοῖς ἱστόρηκεν καὶ Νίκανδρος ἐν γ̄ Αἰτωλικῶν, ὅτι ἐκ τῆς ἐν Αἰτωλίᾳ Ὀρτυγίας κληθῆναι τὴν Δῆλον Ὀρτυγίαν.

Οἵδ' ἐξ Ὀρτυγίης Τιτηνίδος ὁρμηθέντες.
Οἱ μὲν τὴν Ἔφεσον, ἄλλοι δ' αὖ τὴν πρότερον Δῆλον καλουμένην, οἱ δὲ τὴν ὁμοτέρμονα Σικελίην νῆσον, ὅθεν πᾶσαι Ὀρτυγίαι βοάωνται. Ἐξ οὗ καὶ δῆλον, ὅτι

οὐ κατὰ τοὺς μύθους ἀπὸ τῆς Ἀστερίας μεταμορφώσεως τῆς Λητοῦς ἀδελφῆς Ὀρτυγία ἐνομίσθη *) ἡ Δῆλος, ἀλλ' ἀπὸ τῆς ἐν Αἰτωλίᾳ Ὀρτυγίας, ἀφ' ἧς καὶ αἱ λοιπαὶ πᾶσαι ὠνομάσθησαν.

V. 421. Ἐπίβαθρα, ἐπιβατήρια.

Χάριν δὲ, μισθὸν, τιμήν.

Τὸ δὲ προτεθείμεθα, ἀντὶ τοῦ ποιοῦμεν. Τιθέναι γὰρ τὸ ποιεῖν.

V. 424. Τὸ δὲ εὐδιᾷν, τὸ μετ' εὐδίας πλέειν.

V. 426. Τὸ δὲ ζώσασθαι, ἀντὶ τοῦ ἀναστῆναι, ἢ ἑτοιμασθῆναι. Σημαίνει δὲ καὶ τὸ ὁπλίσασθαι.

Προχύτας, οἱ μὲν τὰς κριθὰς, οἱ δὲ τὸ ὕδωρ, ὃ ἐνέβαλον εἰς τὸ οὖς τοῦ ἱερείου. **)

V. 430. Χαλκὸν δὲ ὁ μὲν Ἀπολλώνιος ἐν ᾱ τῶν ὑπομνημάτων τοὺς παλαιοὺς φησὶ τὸν σίδηρον καλεῖν. Οἱ δὲ, ὅτι πρὸ τοῦ εὑρεθῆναι τὸν σίδηρον οἱ παλαιοὶ χαλκῷ ἐχρῶντο. Δηλοῖ δὲ καὶ Ἡσίοδος λέγων·

Χαλκῷ δ' εἰργάζοντο, μέλας δ' οὐκ ἔσκε σίδηρος.

V. 431. Περιῤῥηδὴς, ἐπὶ πρόσωπον μεθ' ὁρμῆς κατενεχθεὶς, ἢ εἰς τοὔμπροσθεν ἐπενεχθεὶς, ὡς ἐνταῦθα. Καὶ ὁ ποιητής·

περιῤῥηδὴς δὲ τραπέζῃ

Κάππεσεν —

ἀντὶ τοῦ περιενεχθείς. Ἀντίμαχος δὲ τὸ κατὰ κύκλον πεσεῖν οὕτω φησὶ λέγεσθαι.

V. 434. Δημὸς δέ ἐστι τὸ ἔπιπλον, ᾧ ἐκάλυπτον τὰ ἱερὰ, ὡς ἂν εὐκαέστατα εἴη.

---

*) Leg. ὠνομάσθη, quomodo fortasse scriptum in Codice. Certe ipse Ruhnkenius sic enotavit.

**) Ad v. 425.

V. 438. *Ἑλίκεσσι*, ταῖς τοῦ καπνοῦ ἢ τοῦ πυρὸς καμπαῖς καὶ συστροφαῖς. καὶ εἱλίκεσσι πορφυριζούσαις.

V. 450. *Σταθερὸν*, καματηρὸν *) καὶ θερμόν. Λέγει δὲ τὴν μεσημβρίαν. Τότε γὰρ ὁ ἥλιος δοκεῖ ἵστασθαι.

V. 454. *Φυλλάδα* δὲ, τὴν στιβάδα τῶν φύλλων.

V. 456. *Λαρὸν* δὲ, τὸ λίαν ἀρηρός. Ἢ παρὰ τὸ λῶ, τὸ θέλω, πεποίηται. Ἡσίοδος δὲ λαροὺς πόδας εἶπε τοὺς κατὰ ὄψιν ἡδεῖς.

V. 459. *Ἑψιόωνται*. Ἑψιὰ ἡ διὰ λόγων παιδιὰ, οἱονεὶ ἐποεσία τὶς οὖσα. Παρὰ τὸ ἔπος γὰρ παρῆκται. Διὸ καὶ ψιλοῦται.

V. 461. *Πορφύρεσκεν*, κατὰ βάθος ἐνεθυμεῖτο καὶ ἐμερίμνα τὸν κατὰ γῆν καὶ κατὰ θάλασσαν κίνδυνον. Εἴρηται δὲ ἀπὸ τῆς πορφύρας, ἥτις ἐν τῷ βάθει τῆς θαλάσσης εὑρίσκεται.

V. 468. *Ζεὺς τόσσον*. Ὑπερήφανον καὶ ἀσεβῆ δείκνυσι διὰ τούτων τὸν Ἴδαν. Τὰ δ' αὐτὰ καὶ Ὅμηρος περὶ αὐτοῦ φησίν·

— καί ῥα ἄνακτος ἐναντίον εἵλκετο τόξον.

Ὡσαύτως δὲ καὶ Κύκλωπα ἀσεβῆ Ὅμηρος δείκνυσιν ἐν οἷς λέγει·

Οὐδ' ἂν ἐγὼ Διὸς ἔχθος ἀλευάμενος πεφιδοίμην.

V. 471. Τὴν δὲ *Ἀρήνην*, πόλιν οὖσαν Πελοποννήσου, Ἱεράνα Πείσανδρος φησὶ λέγεσθαι νῦν.

V. 473. *Χαλίκρατον* δὲ λέγει τὸν ἄκρατον οἶνον, ὅτι τὰς φρένας χαλᾷ. Ἀθηναῖοι δὲ τὸν ἄκρατον χάλιν λέγουσι. Καὶ Αἰσχύλος τὰς Βάκχας χαλίδας ἔφη.

---

*) Leg. *καυματηρόν*. Sic in Marino *καμάτων* mutandum in *καυμάτων*. V. Lamb. Bosii Ellips. p. 86.

Τὸ ἀοσσητὴρ, ἀντὶ τοῦ βοηθός. Ὑπερηφανίας δὲ καὶ τοῦτο· οὐ γὰρ σύμπλους φησὶν ἀφικέσθαι τῷ Ἰάσονι, ἀλλὰ βοηθός. *)

V. 475. Ἴδμων. Εἰκότως παρεισάγει τὸν Ἴδμονα φανερῶς ἀντιλέγοντα. Μάντις τε γὰρ ἦν καὶ φίλος Ἀπόλλωνι.

V. 478. Τὸ δὲ οἰδάνει ἐνεργητικῶς. Εἴρηται δὲ ἀπὸ τῆς θαλάσσης, ὅταν ἄρξηται ὑπὸ τῶν ἀνέμων μετεωρίζεσθαι. Ἐξ οὗ καὶ οἶδμα τὸ κῦμα. Σημαίνει οὖν τὸ μετεωρίζειν καὶ αὐξάνειν καὶ θρασύνειν.

V. 481. Τὸ δὲ ἐπιφλύειν, ἀντὶ τοῦ φλυαρεῖν καὶ λοιδορεῖν.

V. 482. Ἀλωϊάδων. Μέμνηται τούτων καὶ Ὅμηρος. Ἐρατοσθένης δέ φησι γηγενεῖς μὲν εἶναι καὶ αὐτούς. Διὰ δὲ τὸ ὑπὸ Ἰφιμεδείας τραφῆναι, ἐμυθολογήθη, ὅτι ἐκείνης εἰσὶν υἱοί. Ἡσίοδος δέ φησιν, υἱοὺς εἶναι κατὰ ἐπίκλησιν μὲν Ἀλωέως καὶ Ἰφιμεδείας, ταῖς δὲ ἀληθείαις Ποσειδῶνος καὶ Ἰφιμεδείας. Καὶ κτίσαι δὲ αὐτούς φασιν ἐπ' ὀνόματι τοῦ πατρὸς πόλιν ἐν Θεσσαλίᾳ Ἄλον, ἧς Ὅμηρος μνημονεύει·

Οἵ τ' Ἄλον εἶχον.

Τὸ δὲ οὐδ' ὅσσον, ἀντὶ τοῦ, οὐδ' ὀλίγον.

V. 485. Ἐκ δ' ἐγέλασσε. Παρανοίας καὶ προπετείας σημεῖον. Ὃ καὶ Ἰσοκράτης ψέγει λέγων· Μήτε γέλωτα προπετῆ στέργε.

V. 486. Τὸ δὲ ἐπιλλίζειν, τὸ τοῖς ὀφθαλμοῖς ἐπιλλίζοντα μωκᾶσθαι. Ἔπιλλοι γὰρ οἱ στραβοί.

Κερτομία δέ ἐστιν εἰρωνικὸς λόγος, ἀπὸ τοῦ κῆρ τέμνειν.

---

*) Ad v. 471.

V. 487. *Ἀγρεῖ νῦν*. Διπλὴ *) ἡ καταφορὰ κατὰ τοῦ Ἴδμονος. Καὶ μάντιν γὰρ ἀτεχνῆ λέγει αὐτὸν, καὶ μὴ δυνάμενον βοηθεῖσθαι ὑπὸ τοῦ Ἀπόλλωνος.

V. 491. Τὸ δὲ *χρειὼ* δηλοῖ καὶ τὸ κατὰ χρείαν καὶ μοῖραν λεγόμενον, καὶ τὸ μέλλον.

Τὸ δὲ *μεταμώνιον* γράφεται καὶ *μεταμώλιον*. Καὶ εἴη ἂν σημαῖνον τὸ μεταμελείας ἄξιον. Τὸ δὲ μεταμώνιον σημαίνει τὸ μάτην ὑπὸ ἀνέμων φερόμενον. Γίνεται δὲ ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν κτητικὸν εἰς ιος. Ὡς γὰρ ἀπὸ τῆς Ἄμμων Ἄμμωνος Ἀμμώνιος, οὕτως ἀπὸ τῆς ἀνέμων ἀνεμώνιος.

V. 492. Τὸ δὲ *χώετο*, ἀντὶ τοῦ ὠργίζετο.

Τὸ δὲ *ἐνιπτάζων*, ἀντὶ τοῦ κακολογῶν.

V. 494. *Ἀνὰ δὲ καὶ Ὀρφεύς*. Ἡ ἀνὰ ἢ περισσὴ, ἢ ἀντὶ τοῦ ἀνέστη.

V. 495. *Λαιῇ* δὲ κατὰ εὐφημισμὸν τῇ ἀριστερᾷ.

Τὸ δὲ *ἐπήραζεν*, ἀντὶ τοῦ ἥρμοζεν.

Ὅρα δὲ τὸ ὠφέλιμον τῆς μουσικῆς. Στάσεως γὰρ καὶ φιλονεικίας ἐστὶ λυτικὴ, καὶ εἰρήνης καὶ ἠρεμίας ποιητική. Ἡ δὲ τοῦ Ὀρφέως ᾠδὴ φυσιολογίας **) περιέχει, ὡς μὲν ἦν πρότερον τὰ στοιχεῖα συγκεχυμένα, ὑπὸ δὲ τοῦ νείκους εἰς τὴν οἰκείαν ἐπανῆλθον τάξιν ἐκ

*) Rectius διπλῇ. Accentus hac in voce a librariis perperam positi exempla haud rara sunt. Bianor in Epigrammate apud Huschkium Anal. Crit. p. 233. v. 6.

τὰν διπλοῖς ἔργοις διπλὰ βαρυνομέναν.

Corrigendum esse suspicor:

τὰν δισσοῖς ἔργοις δισσὰ βαρυνομέναν.

Passim enim confunduntur adiectiva διπλοῦς et δισσός. V. Iacobs. ad Anthol. Gr. I. 2. p. 121. Boeckh. in Platon. Minoëm p. 95. et Müller. ad Tzetz. p. 361.

**) Ruhnkenius enotavit φυσιολογίαν.

τῆς συγχύσεως. Οἰκεία δὲ ἡ φυσιολογία καὶ τοῖς προκειμένοις πράγμασιν. Δικαιοσύνην γὰρ παιδεύει, καὶ μὴ συγκεχυμένως, εἴτουν ἀκόσμως ζῆν, ἀλλ᾽ εὐπρεπῶς καὶ κοσμίως.

V. 498. Νείκεος ἐξ ὀλοοῖο. Ἐμπεδοκλῆς φησὶ, ὅτι συγκεχυμένων ἁπάντων πρότερον ὄντων φιλία καὶ νεῖκος ἐλθόντα τὴν διάκρισιν ἐποιήσαντο. Χωρὶς γὰρ τούτων οὐδὲν ἐδύνατο γενέσθαι. Ὧι ἕπεται μηδὲ ἀπολωλέναι. Θαλῆς δὲ ὕδωρ τῶν ἄλλων ἀρχὴν ἔφη, λαβὼν παρὰ Ὁμήρου τὰς ἀρχὰς εἰπόντος·

Ἀλλ᾽ ὑμεῖς μὲν ὕδωρ καὶ γαῖα γένοισθε.

Ζήνων δὲ ὁ Στωϊκὸς τὸ παρ᾽ Ἡσιόδῳ χάος ὕδωρ φησὶν εἶναι, οὗ συνιζάνοντος ἰλὺν γενέσθαι, ἧς πηγνυμένης στερεμνιοῦσθαι *) τὴν γῆν. Τέταρτον δέ φησιν γενέσθαι τὸν ἔρωτα, δηλῶν διὰ τούτου τὸ πῦρ· πυρωδέστερον γὰρ πάθος ὁ ἔρως. Ἀναξαγόρας δὲ μύδρον εἰπὼν τὸν ἥλιον, ἐξ αὐτοῦ πάντα γεγονέναι ἔφη. Διὸ Εὐριπίδης, γνώριμος αὐτῷ γεγονὼς, χρυσέαν βῶλον τὸν ἥλιον εἶπε. Τὴν δὲ σελήνην ὁ αὐτὸς Ἀναξαγόρας πλατεῖαν χώραν ἔφη, ἐν ᾗ δοκεῖ ὁ Νεμεαῖος λέων πεπτωκέναι.

V. 501. Οὔρεα. Δοῦρις φησὶ, τοὺς ὑπὸ τῶν Γιγάντων κατενεχθέντας λίθους, τοὺς μὲν εἰς τὴν θάλασσαν πεσόντας γενέσθαι νήσους, τοὺς δὲ εἰς τὴν γῆν γενέσθαι ὄρεα.

V. 509. Δικταῖον. Ὄρος ἐστὶ Κρητικὸν, ἔνθα ἀνετράφη ὁ Ζεὺς, ὡς ἱστορεῖ καὶ Καλλίμαχος.

V. 513. Τοῦ δ᾽ ἄμοτον. Ἀντὶ τοῦ ἀμότως καὶ ἀκορέστως. Ὁ δὲ νοῦς· λήξαντος δὲ τοῦ Ὀρφέως, οὗτοι ἀκορέστως προεῖχον τὰς κεφαλὰς ἀνατετακότες τὰ ὦτα,

*) Hoc verbum in Lexica nondum relatum est.

καὶ ἐν ἐρημίᾳ *) ἡσυχάζοντες τοιαύτῃ ἡδονῇ κατείχοντο.

V. 516. *Οὐδ' ἐπὶ δήν.* Ἐν τῇ προεκδόσει οὕτως εἶχεν·

ἦμος δὲ τριτάτη φάνη ὁδὸς, τῇδ' ἐπὶ νυκτὶ,
βουθυσίην Ἑκάτοιο, κατ' αὐτόθι δαιμένοισι,
τῆμος ἄρ ἐκ Διόθεν πνοιὴ πέσεν· ὦρτο δὲ Τῖφυς
κεκλόμενος βαίνειν ἐπὶ σέλμασιν. οἱ δ' ἀΐοντες
ἰθὺς ἔβαινον. σμερδαλέον δὲ λιμήν.

Τὴν δὲ σύνταξιν ἀντιστρεπτέον· μετέπειτα δὲ ἐπικερασάμενοι τὰς λοιβὰς οὐ δὴν, ἀντὶ τοῦ οὐκ ἐπὶ πολὺν χρόνον, ἀλλ' εὐθέως, καὶ δι' ὀλίγου ὑπέχεον ταῖς γλώσσαις. Ἔθος δὲ ἦν τοῖς παλαιοῖς κρατῆρα κιρνᾷν, ὅτε ἔμελλον καθεύδειν, καὶ τὰς γλώσσας ἐπιθύειν τῷ Ἑρμῇ, καὶ ἐπισπένδειν οἶνον. Καὶ ἴσως φυσικῶς. Ἐπεὶ γὰρ λόγος μὲν ὁ Ἑρμῆς παραδέδοται, ὄργανον δὲ ἡ γλῶσσα αὐτοῦ, ἥτις ὕπνου ἐπεισπεσόντος ἠρεμεῖ, εἰκότως τῷ Ἑρμῇ αὐτὴν θύουσι. Καὶ Ὅμηρος·

Γλώσσας δ' ἐν πυρὶ βάλλομεν.

Διευχίδας **) δὲ ἐν τοῖς Μεγαρικοῖς φησὶν, ὅτι Ἀλκάνθους ὁ Πέλοπος διὰ τὸν Χρυσίππου φόνον φυγαδευθεὶς ἐκ Μεγάρων, ἤρχετο εἰς ἄλλην πόλιν κατοικήσων. Καὶ δὴ περιέπεσε λέοντι λυμαινομένῳ τὰ Μέγαρα· πρὸς ὃν καὶ ἕτεροι ὑπὸ τοῦ βασιλέως τῶν Μεγάρων ἐπέμφθησαν εἰς τὸ καταγωνίσασθαι. Ὡς δὲ αὐτοῦ Ἀλκάνθους ***) κατηγωνίσατο, ἀποτεμὼν τὴν γλῶτταν αὐτοῦ, καὶ θεὶς εἴς τινα πήραν, ἐπανῆλθεν αὖθις εἰς Μέγαρα. Τῶν δὲ

---

*) Ipse Ruhnkenius enotavit ἠρεμίᾳ, tacite, ut videtur, corrigens errorem librarii. Certe facilis confusio horum nominum. V. Dorvill. ad Chariton. p. 348.

) V. Bast. Epist. Crit. p. 231. *) L. αὐτὸν ὁ Ἀλκ.

πεμφθέντων ἀπαγγελλόντων, ὅτι αὐτοί εἰσιν οἱ καταγωνισάμενοι, κομίσας ὁ Ἀλκάνθους τὴν πήραν, ἤλεγξεν αὐτούς. Καὶ ἐπὶ τούτοις ὁ βασιλεὺς θύσας, τὸ τελευταῖον τὴν γλῶσσαν ἐπέθηκε τῷ βωμῷ. Καὶ ἀπὸ τότε ἔθος διέμεινε τοῖς Μεγαρεῦσι. Φιλόχορος δὲ ἐν τῷ περὶ θυσιων τὴν γλῶτταν εἶναι φησὶ τὸ κάλλιστον καὶ πρωτεῦον μόριον.

V. 526. Ἐν γάρ οἱ δόρυ. Εἰκότως ἐκ τῆς Δωδωνίδος δρυὸς τὸ ἐν τῇ Ἀργοῖ ξύλον εἶναι φησὶν, ὅτι καὶ αυτοὶ *) ἐφθέγξατο. Ὅμηρος·

ὄφρα θεοῖο
ἐκ δρυὸς ὑψικόμοιο βοὴν ἐπακούσῃ.

V. 528. Σέλματα δὲ φησὶ τὰς καθέδρας τῶν ἐρετῶν, ἃ καὶ σελιδώματα λέγομεν. Ἁπλῶς γὰρ ἅπαν πλατὺ ξύλον σέλμα καὶ σελίδωμα λέγεται. Ὅθεν καὶ τὰς τῶν ῥαψῳδιῶν σελίδας φαμὲν διὰ τὸ πλάτος.

V. 533. Ποσσὶν ὑπεκλάσθη. Τὸ βάρος τοῦ ἥρωος δείκνυται διὰ τούτων. Καθ' ὃν γὰρ τόπον ἐκάθησεν **), ὑπεκλάσθη κατ' ἐκεῖνο τὸ μέρος ἡ τρόπις τῆς νεώς.

V. 537. Ἰσμηνοῖο. Ἰσμηνὸς ποταμὸς Βοιωτίας, ἀφ' οὗ Ἰσμηνίου Ἀπόλλωνος ἱερόν.

V. 539. Τὸ δὲ ῥήσσωσιν, ἀντὶ τοῦ κτυποῦσι. Σύναπτε δὲ αὐτὸ τῷ ὁμαρτῇ, ὁμαρτῇ ῥήσσωσιν. Ἡ δὲ ὑπαὶ ἀντὶ τῆς ὑπὸ, ὡς καὶ Ὅμηρος·

ὑπαὶ πόδα νείατον Ἴδης.

V. 543. Τὸ δὲ μορμύρουσα, κινουμένη, ταρασσομένη.

*) L. αὐτή.
**) Leg. ἐκάθισεν.

V. 545. Τεύχεα δέ φησιν, ἅπερ εἰώθασι τιθέναι περὶ τὴν ναῦν, κοσμοῦντες αὐτὴν καὶ ὁπλίζοντες.

Καθάπερ δὲ, φησὶν, διὰ χλοηφοροῦντος πεδίου αἱ ἀταρποὶ φαίνονται, οὕτω καὶ ὁ τύπος ἐφαίνετο τῆς Ἀργοῦς μακρόθεν.

V. 547. Εἰκότως δὲ τοὺς θεοὺς παρεισάγει καὶ τὴν ναῦν καὶ τοὺς θεοὺς *) θεωμένους, τοὺς μὲν ὡς ἡμιθέους, τὴν δὲ ὡς ὑπὸ τῆς Ἀθηνᾶς κατεσκευασμένην.

V. 551. Τριτωνίδος. Γράφεται καὶ Ἰτωνίδος. Ἔστι δὲ ἱερὸν Ἀθηνᾶς Ἰτωνίδος ἐν Κορωνείᾳ τῆς Βοιωτίας. Ὁ μέντοι Ἀπολλώνιος οὐκ ἂν λέγοι ἐπὶ τῇ κατασκευῇ τῆς Ἀργοῦς Ἰτωνίδα τὴν Ἀθηνᾶν ἀπὸ τῆς ἐν Κορωνείᾳ Ἰτωνίδος, ἀλλὰ μᾶλλον ἀπὸ τῆς ἐν Θεσσαλίᾳ Ἰτωνίας, περὶ ἧς Ἑκαταῖός τε ἐν ᾱ λέγει καὶ Ἀρμενίδης ἐν τοῖς Μεγαρικοῖς, Ἀμφικτύονος υἱὸν Ἴτωνα γενέσθαι ἐν Θεσσαλίᾳ. ἀφ' ἧς Ἴτων πόλις, καὶ Ἰτωνὶς Ἀθηνᾶ. Μέμνηται καὶ Ἀλέξανδρος ἐν ᾱ Καρικῶν ἀπομνημονευμάτων.

V. 554. Κύματος ἀγῇ. Ἀγὴν λέγει τὸν αἰγιαλὸν, ὅτι ἐν αὐτῷ ἄγνυται καὶ ῥήγνυται τὰ κύματα.

Τὸν δὲ Χείρωνα Σουΐδας μὲν ἐν τοῖς Θεσσαλικοῖς Ἰξίονός φησιν υἱὸν, ὥσπερ καὶ τοὺς λοιποὺς τῶν Κενταύρων. Ὁ δὲ τὴν Γιγαντομαχίαν ποιήσας φησὶν, ὅτι ὁ Κρόνος μεταμορφωθεὶς εἰς ἵππον, συνεγένετο Φιλύρᾳ τῇ Ὠκεανοῦ· καὶ διὰ τοῦτο γέγονεν ὁ Χείρων ἱπποκένταυρος. Τούτου γυνὴ Χαρικλώ. Εἰκότως δὲ παρεισήγαγε Χείρωνος εἰκόνα, καὶ ὡς φιλαλήθη **), καὶ

*) F. ἥρωας.

**) Scholia edita habent φιλάνθρωπος. Ratio huius diversitatis mere, opinor, palaeographica est. V. Bastii Comment. Palaeogr. p. 848. Sic

ὡς δικαιότατον τῶν Κενταύρων, καὶ ὡς ἔχοντα οἰκειότητα πρὸς Ἰάσονα. Τὴν γὰρ ἰατρικὴν ἔμαθε παρ' αὐτοῦ. Ταύτῃ τοι καὶ Ἰάσων ἐκλήθη παρὰ τὴν ἴασιν.

V. 558. Πηλείδην. Τὰ περὶ τῆς ἀνατροφῆς τοῦ Ἀχιλλέως Ἀπολλώνιος κατὰ τοὺς μεθ' Ὅμηρον ποιητὰς εἰς Χείρωνα ἀναφέρει. Ὅμηρος γὰρ οὐδὲν τοιοῦτον λέγει. Διαφωνοῦσι δὲ καὶ τὰ περὶ τῆς μητρὸς αὐτοῦ οἱ μεθ' Ὅμηρον. Ἐκεῖνος μὲν γὰρ Θέτιδος αὐτὸν πανταχοῦ ἀποφαίνεται· οἱ δὲ μεθ' Ὅμηρον ἄλλοι ἄλλως περὶ αὐτοῦ ἀποφαίνονται. *)

V. 559. Οἱ δ' ὅτε δή. Περιηγῆ μὲν λιμένα φησὶ τὸν κυκλοτερῆ καὶ καμπὰς ἔχοντα.

V. 563. Μεσόδμην δὲ τὴν ἱστοδόκην, ἐν ᾗ τίθεται καὶ κλίνεται ὁ ἱστός.

V. 564. Προτόνους δὲ τὰ ἐξ ἑκατέρου μέρους τοῦ ἱστοῦ ἐπὶ τὴν πρώραν καὶ τὴν πρύμναν ἐκτεινόμενα σχοινία.

V. 565—567. Ἠλακάτη δὲ λέγεται τὸ λεπτότατον καὶ ἀκράτατον **) μέρος τοῦ ἱστοῦ κατὰ Ἐρατοσθένην, ὑπὲρ ὅ ἐστι τὸ καρχήσιον.

Ἰκρίαν δὲ, οἱ μὲν μέρος τοῦ ἱστοῦ λέγουσι. Βέλτιον δὲ νοεῖν ἰκρίον τὴν καλουμένην κεραίαν, ἧς τὰ

---

confusa φιλία et φιλονεικία in Tzetzae Schollis ad Lycophron. p. 559. Lips. „e male intellecto scripturae compendio," ut verissime doctissimus Editor. Φιλοπόλεμος et φιλόπολις in Dionysii Halic. Antiquit. Rom. VII. c. 50. confusa esse probabiliter coniecit Sylburgius.

*) Sequitur in Apographo spatium vacuum trium quatuorve versuum, in quo primum scripta legitur vox λάθος, de qua v. Cangii Glossarium, deinde ductae sunt duae lineae horizontales, quas iungunt plures transversae. Atque sic esse in ipso Cod. MS., notatum est ab eo qui Apographum confecit.

**) In marg. γρ. ἀνώτατον.

ἄκρα ἀκρόκερα *) λέγονται. Λέγεται δὲ ἰκρία καὶ τὰ σανιδώματα, οἷς οἱ πάσσαλοι πρόσκεινται.

Περόνας δὲ τοὺς πασσάλους τοὺς ἐπὶ τῶν σανιδωμάτων, ἢ τοὺς καλουμένους τροχοὺς, οἷς τὰ σχοινία δεσμεύουσι.

Κάλωας δὲ τὰ σχοινία. Νῦν μὲν, οἷς ὁ ἱστὸς ἰσχυρὸς ποιεῖται ἀφ' ἑκατέρου τοῦ πλευροῦ τῆς νεώς. Καὶ καθόλου δὲ πᾶν σχοινίον κάλως λέγεται. Διὸ καὶ διαιροῦντες αὐτοὺς, οἷς μὲν κατάγεται τὸ ἱστίον, μεσουριας λέγουσι· οἷς δὲ ἰσχυροποιεῖται ὁ ἱστὸς ἐξ ἑκατέρου μέρους ἐπὶ τὴν **) πρώραν, προτόνους· τοὺς δὲ κατὰ τὰς γωνίας, πόδας· ἐφεξῆς δὲ τούτων πρόποδας· μεθ' οὓς εἰσιν οἱ καλούμενοι τέρθριοι· εἶτα οὓς λέγουσι μέσους.

Διακριδὸν δὲ, ἀντὶ τοῦ διωρισμένως καὶ ἐκτεταμένως.

Ὅταν οὖν λέγῃ, ἐπὶ τὴν ἠλακάτην ἐρύσαι τὰ λίνα, τοῦτό φησι, ὅτι μέχρι τοῦ ἀκροτάτου μέρους τοῦ ἱστοῦ ἀνείλκυσαν τὰ ἱστία.

Ἰστέον δὲ, ὅτι Ἐρατοσθένης ἐν τῷ Ἀρχιτεκτονικῷ μέρη ταῦτα φησὶν ἱστοῦ· πτέρνη, θωράκιον, ἠλακάτη, καρχήσιον, κεραία, ἰκρίον.

V. 568. Τίσαιον δὲ ἀκρωτήριον Θεσσαλίας. Οἱ δὲ Θεσπρωτίας.

Ὁ δὲ κάλως κλίνεται διχῶς· ὁ κάλως τοῦ κάλω, καὶ ὁ κάλως τοῦ κάλωος, ὡς ἐνταῦθα. ***)

V. 569. Τοῖσι δὲ φορμίζων. Τὴν μὲν Ἄρτεμιν ὑμνεῖ, ὅτι τὸ ἱερὸν αὐτῆς ἦν.

---

*) Proba, ut videtur, vox, etsi in Lexica nondum relata.

**) Excidit, opinor, πρύμναν καὶ τὴν.

***) Ad v. 566.

Εὐθήμονα δέ φησιν τὴν ᾠδὴν, διὰ τὸ εὖ διατιθέναι τὰς τῶν ἀκουόντων ψυχάς.

V. 570. Νησσόον δέ φησι τὴν Ἄρτεμιν, ἢ διὰ τὸ σώζειν τὰς ναῦς, ἢ διὰ τὸ σεύειν καὶ κινεῖν αὐτάς.

V. 573. Τὸ δὲ ἔμμιγε *) τὸ θελκτικὸν δηλοῖ τοῦ μέλους, ὅτι καίπερ ἄπλατοι καὶ ἀπροσπέλαστοι ὄντες οἱ μεγάλοι οὐκ ἔβλαπτον τοὺς μικροὺς, ὥσπερ εἰώθεσαν, ἀλλὰ θελγόμενοι ὑπὸ τῆς ᾠδῆς διασκαίροντες καὶ διανηχόμενοι χαίροντες εἵποντο.

V. 578. Νόμιον μέλος, ἢ τὸ ποιμενικὸν ἀπὸ τοῦ νέμω, ἢ μέλος οὕτω παρὰ τοῖς ἀρχαίοις νόμιον καλούμενον.

V. 580. Ἠερίαν δὲ τὴν Θεσσαλίαν λέγει, ἢ διὰ τὸ μέλαιναν ἔχειν γῆν, ὥσπερ καὶ τὴν Αἴγυπτόν φασιν· ἢ ἠερίαν ἀντὶ τοῦ πρωϊνήν. Πρωϊνὴν δὲ ἀντὶ τοῦ **) ὀνόματος ἀντὶ ἐπιῤῥήματος. Ἀπὸ δὲ τοῦ ἦρ, ἠερία.

Αἷαν δέ φησιν αὐτὴν Πελασγῶν, ἢ ὅτι ἔθνος βάρβαρον Πελασγοὶ κατῴκουν πάλαι τὴν Θεσσαλίαν, ὥσπερ καὶ τὸ Ἄργος καὶ ἄλλας οὐκ ὀλίγας χώρας, ἢ ἀπὸ Πελασγοῦ τοῦ Ἰνάχου ἐκεῖ κατοικήσαντος, ἢ ἀπὸ Πελασγοῦ, υἱοῦ Ποσειδῶνος καὶ Λαρίσσης. Στάφυλος δὲ ὁ Ναυκρατίτης Πελασγόν φησι Ἀργεῖον τὸ γένος ἐλθόντα εἰς Θεσσαλίαν κατοικῆσαι, καὶ ἀπ᾽ αὐτοῦ τὴν Θεσσαλίαν Πελασγίαν κληθῆναι. Ὅτι δὲ οἱ αὐτοὶ Πελασγοὶ καὶ Ἀργεῖοι, καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ μαρτυρεῖ. Καὶ οἱ Τυῤῥηνοὶ δὲ Πελασγοί.

V. 581. Ἐρίπνας, ἀποῤῥῶγας κολώνης, σπήλαια κρημνώδη. Λέγουσι δὲ ὅπου καὶ τὰς οἰκίας ἀπὸ τοῦ

---

*) Legitne Scholiastes in poëta ἔμμιγα?

**) Videtur excidisse πρωΐ, τεθέντος τοῦ.

ἐρηρεῖσθαι. Ἐρίπνη δὲ ἐπὶ τοῦ ἀκρωτηρίου, ἀπὸ τοῦ ἄγαν πνέεσθαι.

V. 582. Σηπιὰς ἀκρωτήριον Μαγνησίας οὕτω κληθὲν, ὅτι ἡ Θέτις ἐκεῖ εἰς σηπίαν μετεμορφώθη διωκομένη ὑπὸ τοῦ Πηλέως.

V. 583. Σκίαθος δὲ ἡ νῆσος Θεσσαλίας, πλησίον Εὐβοίας κειμένη.

V. 584. Πειρεσιαὶ δὲ πόλις Μαγνησίας.

Μάγνησσα δὲ χώρα καὶ πόλις ὁμώνυμος τῇ χώρᾳ, παράλιος καὶ εὔδιος, ἤγουν οὐ τραχεῖα. Ἔστι δὲ καὶ ἑτέρα Μάγνησσα πλησίον Ἐφέσου, κτισθεῖσα ὑπὸ Μάγνητος τοῦ Καρὸς, μετοικήσαντος ἐκεῖ καὶ συνοικήσαντος Μάγνησι τοῖς ἐκ Κρήτης.

V. 585—588. Ὁ δὲ Δόλοψ υἱὸς ἦν Ἑρμοῦ, ὃς ἐν Μαγνήσσῃ τῇ πόλει τέθνηκε. Καὶ τάφος ἐστὶν αὐτοῦ παρὰ τῷ αἰγιαλῷ, ὡς Κλέων ἐν ᾱ τῶν Ἀργοναυτικῶν ἱστορεῖ.

Ἔνθ' ἄρα τοίγε. Τὸ μὲν ἔκελσαν, ἀντὶ τοῦ ὥρμησαν. Τὸ δὲ ἔντομα, ἤγουν εὐνοῦχα *). Εὐνοῦχα δὲ τοῖς τεθνηκόσιν ἐνάγιζον **), τὰ ἄγονα τοῖς ἀγόνοις. Διὸ καὶ τῷ Δόλοπι τοιαῦτα θύουσι. Καὶ δύνοντος ἡλίου, διὰ τὸ δῦσαι κἀκείνους, καὶ πρηνῆ πρὸς τὴν γῆν ὁρῶντα σφάζουσιν, ὅτι ἤδη ἀπολώλασιν. Ὁμοίως δὲ καὶ τοῖς καταχθονίοις θεοῖς θύουσι. Τοὐναντίον δὲ τοῖς οὐρανίοις θεοῖς· ἔνορχά τε γὰρ, καὶ ἀνατέλλοντος τοῦ ἡλίου, καὶ πρὸς οὐρανὸν ὁρῶντα ὕπτια. Ὅμηρος·

Αὖ ἔρυσαν μὲν πρῶτον.

---

*) Notandus hic usus vocis εὐνοῦχος.

**) Augmentum perperam omissum.

Τὸ δὲ ἔκειαν, ἀντὶ τοῦ ἔθυσαν. Λείπει δὲ ἡ παρά· ἵν' ᾖ, ἔθυσαν παρὰ τῷ κύματι τῆς ταρασσομένης θαλάσσης.

V. 588. Διπλόα δ' ἀκταῖς. Δύο δὲ ἡμέρας ἐλινύεσκον, ἐβράδυνον ἐν αὐταῖς ταῖς ἀκταῖς.

V. 592. Μελίβοια, πόλις Θεσσαλίας.

V. 594. Ὁμόλη, ὄρος Θεσσαλίας, ἢ πόλις Θρᾴκης.

V. 596. Ἄμυρος δὲ, ποταμὸς Θεσσαλίας μετὰ Μελίβοιαν κείμενος, καλούμενος ἀπὸ Ἀμύρου, υἱοῦ Ποσειδῶνος. Ἔστι δὲ καὶ πόλις ἐκεῖ οὕτω καλουμένη.

Τὸ δὲ ὑπεκβάλλειν τὸ παραμεῖψαι τὰ ῥεῖθρα τοῦ Ἀμύρου ποταμοῦ σημαίνει.

V. 597. Εὐρυμένας δὲ φάλαγγας *), τὰς εἰς πλάτος ἀνεῳγμένας.

V. 598. 599. Ὄσσα δέ ἐστιν ὄρος ἐπὶ τῇ τελευτῇ τῆς Θεσσαλίας, μεθ' ὃ ἡ Μακεδονία.

Κλίτεα δὲ τὰς ἀνακλίσεις καὶ βάσεις τῶν ὀρῶν λέγουσι.

Παλλήνη δὲ πόλις καὶ χώρα Θρᾴκης, ἐξ ἧς ὁ Ὀρφεύς.

Κάναστρον δὲ ἀκρωτήριον Παλλήνης.

Ὄλυμποι δέ εἰσιν ἕξ· Θεσσαλίας, Μακεδονίας, ἐν ᾧ καὶ Ὀλύμπια ἄγεσθαί φησιν Ἀπολλόδωρος, Μυσίας, Κιλικίας, Ἤλιδος, Ἀρκαδίας.

V. 601—604. Ἄθω ἀνέτελλεν. Ἄθως, ὄρος Θρᾴκης ὑψηλότατον, ἀφ' οὗ πλοῦς εἰς Λῆμνον, ὅσον ἐς ἔνδιον, ἀντὶ τοῦ ἀπὸ ἠοῦς μέχρι μεσημβρίας. Ἔνδιον γὰρ ἡ μεσημβρία. Ἡ δὲ σκιὰ αὐτοῦ ἀφικνεῖ-

---

*) Voces φάλαγξ et φάραγξ alibi quoque confusae. V. Wesseling. ad Diodor. Sic. XVII. c. 26.

ται, φησὶ, καὶ μέχρι Μυῤῥίνης. Ἔστι δὲ Μυῤῥίνη πόλις Λήμνου, ἀπὸ Μυῤῥίνης, γυναικὸς μὲν Θόαντος, θυγατρὸς δὲ Κρηθέως οὕτω κληθεῖσα. Δύο δὲ πόλεις ἐν Λήμνῳ, Ἡφαιστιὰς καὶ Μυῤῥίνη.

V. 608. Σιντηΐδα δὲ λέγει τὴν Λῆμνον, ἢ ὅτι Τυῤῥηνοὶ πρῶτον ᾤκησαν ἐν αὐτῇ βλαπτικώτατοι ἄνδρες, ἢ ὅτι ἄλλο βαρβαρικὸν ᾤκει βλαπτικόν. Καὶ Ὅμηρος·

Ὤιχετο δ' ἐς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους.

Ἑλλάνικος δέ φησιν, οὕτως αὐτοὺς κληθῆναι, ὅτι πρῶτον ἐχάλκευσαν ὅπλα, οἷς σίνονται οἱ πολέμιοι.

V. 609—619. Ταῖς δὲ Λημνίαις γυναιξὶ μηνίσασα ἡ Ἀφροδίτη, διὰ τὸ ἀτημελῆσαι σφᾶς τῶν πρὸς αὐτὴν τιμῶν, δυσωδίαν πάσαις ἐνέβαλεν, ὥστε μὴ ἀρέσκειν τοῖς σφῶν ἀνδράσι. Πολεμοῦντες δὲ οὗτοι τότε πρὸς Θρᾳκῶν, καὶ πολλὰς ἐκεῖθεν αἰχμαλώτους Θρᾴσσας ἄγοντες, ἐκείναις ἐχρῶντο ὡς γυναιξὶ, τὰς δὲ γυναῖκας σφῶν ἀπεστρέφοντο. Αἱ δὲ ὑβριοπαθήσασαι *) ἀποκτείνουσιν τοὺς ἄνδρας, συναποκτείνασαι σφίσι καὶ τὰς αἰχμαλώτους Θρᾴσσας. Δείσασαι δὲ, μὴ ἀνδρωθέντες οἱ παῖδες τιμωρήσωνται αὐτὰς, ἀπέκτειναν πάντας τοὺς ἄῤῥενας.

Τὸ μὲν οὖν ἀντιπεῤῥη ἀντὶ τοῦ ἐξεναντίας.

Ληΐδας δὲ, τὰς αἰχμαλώτους.

Ἄτισαν δὲ, ἀντὶ τοῦ οὐκ ἐτίμων.

Ἰστέον δὲ, ὅτι πάντων ἱστορούντων, ὅτι διὰ τὸν τῆς Ἀφροδίτης χόλον δύσοσμοι ἐγένοντο αἱ Λήμνιαι, διαφέρεται Μυρτῖλος λέγων, ὅτι Μήδεια παραπλέουσα

---

*) Ex Hermogene dudum in Lexica ascitum cur Schneidero displicuerit, ignoro.

τὴν Λῆμνον διὰ τὸ πρὸς τὰς Λημνίας μῖσος ἔῤῥιψε φάρμακον εἰς τὴν νῆσον ἔχουσα ζηλοτυπίαν πρὸς τὰς ἐν τῇ νήσῳ γυναῖκας· ἐξ ἐκείνου δὲ δυσωδία ἐνέπεσε ταῖς γυναιξὶν, ὥστε καὶ μέχρι νῦν κατ' ἐνιαυτὸν μίαν ἡμέραν οὕτω γίνεσθαι δυσόσμους τὰς γυναῖκας, ὥστε ἄνδρας σφῶν κατ' ἐκείνην ἀποστρέφεσθαι τὴν ἡμέραν· ὡσαύτως δὲ καὶ τοὺς υἱέας.

V. 620. *Οἴη δ' ἐκ πασέων.* Εἰκότως ἡ Ὑψιπύλη οὐκ ἀπέκτεινε τὸν πατέρα, πρῶτον μὲν, ὅτι πατὴρ ἦν, καὶ ἔδει λαβεῖν τὴν ὀφειλομένην παρὰ τῆς παιδὸς σωτηρίαν· δεύτερον, διὰ τὴν ἡλικίαν, πρεσβύτερος γὰρ ἦν· καὶ τρίτον, ὅτι οὐκ αἴτιος ἦν, οὐδὲ συνεργὸς τοῦ πρὸς τὰς γυναῖκας τῶν ἀνδρῶν μίσους.

V. 623—626. *Οἰνοίην* δὲ λέγει τὴν Οἰνόην. Νῆσος δέ ἐστι πλησίον τῆς Εὐβοίας, ἥτις ὕστερον Σύκινος ἀπωνομάσθη ἀπὸ Συκίνου, υἱοῦ Θόαντος, ὅστις ἐγένετο αὐτῷ ἀπὸ Νηΐδος νύμφης ἐν Οἰνόῃ. Ἐκεῖσε γὰρ ἐῤῥίφη ἡ λάρναξ ὑπὸ τῆς θαλάσσης· ᾗ περιτυχόντες ἁλιεῖς, οὓς νῦν *ἐπακτῆρας* καλεῖ, σημαίνει δὲ ἡ λέξις καὶ τοὺς κυνηγοὺς, ἔσωσαν τὸν Θόαντα. Ταῦτα λέγει μὲν Ἀπολλώνιος. Μέμνηται δὲ καὶ Ξεναγόρας τῆς μετωνομασίας *), καὶ Κλέων οἰκουριεὺς, καὶ Ἀσκληπιάδης Μυρλεανὸς, ὅς φησιν Ἀπολλώνιον παρὰ Κλέωνος πάντα εἰληφέναι.

V. 627. Ὅρα δὲ, ὅπως, διὰ τὸ πολὺν χρόνον ἐστερῆσθαι ἀνδρῶν τὰς γυναῖκας, ἐπιτηδειότερον εἰργάζοντο τὰ τῶν ἀνδρῶν, ἢ τά των γυναικῶν ἔργα, ὡς δὴ τῆς γυναικείας φυσεως καὶ πρὸς ταῦτα πεφυκυίας.

---

*) Sic passim legas *ἀντωνομασία* et *παρωνομασία*, quae omnia oportet *μικρογραφεῖσθαι*. V. Ind. ad Meletem. Crit. I. p. 145. a. coll. H. Stephan. Thes. T. II. c. 1326. D. et 1327. E.

V. 631. Ἐν δὲ τῷ, ἢ θαμὰ δὴ, τὸ δὴ, ἤ. Καὶ δεῖ δοκεῖν ἐκ παραλλήλου κεῖσθαι, ὡς καὶ παρ' Ὁμήρῳ·
Ἦ δὴ λοίγια ἔσσεται ἔργα.

V. 636. Θυάσι, μαινάσι, βάκχαις. Παρὰ τὸ θύειν καὶ ὁρμᾷν μαινομένας. Διὸ καὶ τὴν Σεμέλην Θυώνην καλοῦσι. Παρεισάγει γὰρ αὐτὴν Αἰσχύλος ἔγκυον οὖσαν ἐνθουσιᾷν, καὶ τὰς ἁπτομένας τῆς γαστρὸς αὐτῆς ἐνθουσιᾷν.

Ὠμοβόρους δὲ, ὅτι πολλάκις ὑπὸ τῆς μανίας καὶ ὠμοσπάρακτα ἐσθίουσιν.

V. 637. Ἐν δὲ τῷ Θοαντιὰς ἐπένθεσίς ἐστι τοῦ α. Τὸ γὰρ κύριον Θοαντίς.

V. 640. Τὸ δὲ τείως τὸ ἐν τοσούτῳ σημαίνει.

V. 643. Ἐν δὲ τῷ σφωϊτέροιο κατάχρησις. Κεῖται γὰρ ἀντὶ τοῦ ἰδίου.

V. 644. Οὐδέ τι νῦν περ. Φασὶ τοὺς τεθνηκότας λήθην λαμβάνειν τῶν γεγονότων αὐτοῖς, ὅτε ἔζων. Ὁ γοῦν Αἰθαλίδης, υἱὸς ὢν Ἑρμοῦ, κῆρυξ τῶν Ἀργοναυτῶν, χάριν ἔλαβε παρ' αὐτοῦ, μηδὲ μετὰ θάνατον ἐπιλανθάνεσθαι. Ἀλλὰ καὶ μετεμψυχωθεὶς κατὰ τὸν Φιλοχώρου λόγον, ᾔδει τίς ἦν πρὸ τοῦ τεθνηκέναι. Φερεκύδης δέ φησι, ὅτι χάριν εἶχε παρὰ τοῦ Ἑρμοῦ ὁ Αἰθαλίδης, ὥστε τὴν ψυχὴν αὐτοῦ, ποτὲ μὲν εἰς ᾅδου κατιοῦσαν εἰς ᾅδου διατρίβειν ἐκεῖ, ποτὲ δὲ ἐπανιοῦσαν εἰς τὸ σῶμα μετὰ τῶν ἀνθρώπων διάγειν. Διὸ καὶ ἑτερήμερος *) κῆρυξ λέγεται, διὰ τὸ μίαν μὲν ἡμέραν ὑπὸ τὸν ᾅδην, μίαν δ' αὖ ὑπὲρ τὴν γῆν διάγειν. Φασὶ δὲ αὐτὸν γενέσθαι πρῶτον μὲν Αἰθαλίδην, ἔπειτα Εὔφορβον τὸν Πάνθου, εἶτα Πύρον τὸν Κρῆτα,

*) Ad exemplum Dioscurorum, qui proprie ἑτερήμεροι dicuntur.

εἶτα Ἠλεῖον τινὰ, οὗ τὸ ὄνομα ἀγνοεῖται, εἶτα Πυθαγόραν.

V. 645. Τὸ μὲν οὖν ἀπροφάτους, ἀπροφωνήτους, ἀφθέγκτους.

V. 646. Τὸ δὲ μεμόρηται, ἀντὶ τοῦ μεμοίρηται κατὰ ἀποβολὴν τοῦ ι. Ἢ κεκλήρωται.

V. 650. Τὸ δὲ μειλίξατο, ἀντὶ τοῦ ἐκήλησε, τοῖς λόγοις κατέπεισε. Παρὰ τὸ Ὁμηρικὸν δὲ εἴληπται· ὡς ἀγαθὸν καὶ τοῦτο τέτυκται, ὁπόταν ἄγγελος αἴσιμα εἰδῇ.

V. 651. Ἤματος ἀνομένοιο, ἤγουν τελειουμένου, ἐπὶ τὴν δύσιν ὄντος.

V. 652. Πείσματα δὲ τὰ τῆς πρώρας σχοινία. Ὁ δὲ νοῦς· καίπερ ἐπιτηδείου ὄντος αὐτοῖς τοῦ Βορέου πρὸς τὸν πλοῦν, ὅμως οὐκ ἔλυσαν τὰ σχοινία.

V. 659. Ἤϊα, τὰ ἐφόδια.

Λάρον δὲ οἶνον λέγει τὸν ἡδύν.

V. 664. Ἐν δὲ τῷ, ἡμετέρῃ μέν νυν, τὸ νυν οὐ χρόνον σημαίνει. Διὸ καὶ ἐγκλίνειν δεῖ.

V. 669. Ῥικνοὺς δὲ πόδας λέγει τοὺς ῥυσσούς. Καλλιμάχειος δὲ ἡ λέξις. Φησὶ γάρ·

Ναὶ μὰ τὸ ῥικνὸν σῦφαρ ἐμόν.

V. 672. Ἐπιχνοάζουσαι δὲ ὡς χνοῦν ἔχουσαι φυομένας τὰς λευκὰς τρίχας.

V. 674. Τὸ δὲ μόλις, ἀντὶ τοῦ μόγις. Τὸ δὲ μόγις, ἀπὸ τοῦ μόγος.

V. 677. Τὸ δὲ ἐπαύρεσθαι, εἰ μὲν προπαροξύνεται, ἀντὶ τοῦ ἀπολαύειν ἐνεστώς· εἰ δὲ παροξύνεται, ἀντὶ τοῦ ἀπολαῦσαι ἀόριστος.

V. 684. Τὸ δὲ *στυγερὸν*, ἐπίθετον ὂν τοῦ γήρως, ἐπιπλεῖον ἐκάκωσε τὸν λόγον.

V. 685. Τὸ δὲ *βώσεσθε*, ἀντὶ τοῦ βιώσεσθε.

V. 688. Τὸ δὲ *πρόκα*, ἀντὶ τοῦ αὐτίκα.

V. 689. sq. Ὅταν δὲ λέγῃ, ὅτι *πεφρίκασι* τὴν γραῦν *αἱ Κῆρες*, ἠθικὸν ποιεῖ τὸν λόγον.

V. 692. Τὸ δὲ *αὕτως*, ἀντὶ τοῦ οὕτως.

V. 694. *Ἐπήβολος ἐστ' ἀλεωρή*. Ἤγουν εὐτυχὴς καὶ συμφέρουσα ἐστὶν ἡ ἀποφυγὴ τοῦ δεινοῦ.

V. 695. *Ληῒς* δὲ κυρίως μὲν τὰ ἐκ λαφύρων κτηθέν *)· νῦν δὲ τὰ χρήματα.

V. 696. Τὸ δὲ *ἄστυ* κατ' Εὔμολπον ἐτυμολογεῖται παρὰ τὸ ἵστασθαι. Ἐπὶ μετεώρων γὰρ τόπων αἱ πόλεις κεῖνται.

V. 699. *Ὑποβλήδην* κυρίως σημαίνει, ἐπειδὰν λέγοντος τινὸς, ἕτερος περικόψας τὸν ἐκείνου λόγον λέγῃ. Καὶ ὑποβάλλειν ἐπὶ τοῦ αὐτοῦ. Ἔστι δ' ὅτε τὸ ὑποβάλλειν σημαίνει τὸ ἐνίστασθαι καὶ ἐναντιοῦσθαι. Ἐνταῦθα δὲ τὸ *ὑποβλήδην* ἀντὶ τοῦ λάθρα συναινεῖν κεῖται.

---

*) Rarior usus passivi h. v. Lexicographisque nostris parum curatus. Eustathius ad Homer. p. 572. extr. Rom. κατὰ γαμικὸν κτηθέντας συνάλλαγμα. Bastius praefat. ad Specimen editionis novae Aristaeneti p. 9.: „— passiva — κτάομαι infimum redolent aevum.“ Sed iam Synesius p. 125. C. Petav. κακία μὲν γὰρ αὐτοδίδακτον· ἀρετὴ δὲ σὺν πόνῳ κτᾶται. Adeoque e Thucydide H. Stephanus, fortasse auctore Budaeo, citavit, cuius tamen locus quaerenti mihi nondum occurrit. Obiter moneo, Nicolaum illum, e cuius Epigrammate Bastius l. c. passivum κτῶμαι enotavit, ne usum quidem eo videri. Sic enim versus, opinor, legendus est:

κεκτισμένον τε χερσὶ ταῖς Ἰωάννου,

ut etiam architectus commemoretur, quem domum ruinosam fabricatum Nicolaus videtur consolari an tecte subsannare voluisse.

V. 700. *Μενοινὴ* δὲ ἡ βουλή.

V. 701. *Ἐν δὲ τῷ, καὶ ἄγγελον*, περιττεύει ὁ καί.

V. 703. Τὸ δὲ *ἀντιόωσα*, ἀντὶ τοῦ ἀντιώσουσα. Οὕτως γὰρ καταλλήλως *) λέγομεν· Ὄρσο ποιήσουσα, ἀλλ' οὐχὶ ποιοῦσα. **) δὲ ἀντιώσουσα, ἀντὶ τοῦ ἀξιώσουσα καὶ δεησομένη.

V. 704. *Στόλος* δὲ λέγεται ἐπὶ παντὸς πλήθους στελλομένου ἐπί τινα πρᾶξιν, εἴτε ἐπὶ νηῶν, εἴτε καὶ πεζῇ. Ἐνταῦθα δὲ στόλον τὸ τῆς μιᾶς νεὼς πλῆθος εἶπε. Λέγεται στόλος καὶ ἡ εἰς ὀξὺ λῆξις.

V. 712. Διὰ τοῦ *κάρη* ***) ἐκβάλλει τὸν φόβον ἀπ' αὐτῶν.

V. 718. Τὸ δὲ *εἴσαντο*, ἀντὶ τοῦ ὑπέλαβον.

V. 719. Τὸ δὲ *τηλυγέτην*, ἀντὶ τοῦ μόνην.

V. 723. *Δρυόχους* δὲ λέγουσι τὰ ἄγκοιλα ****) ξύλα, ἐν οἷς πήγνυται ἡ τρόπις. Ὅμηρος·

Ἵστασαν ἑξείης δρυόχους ὡς δώδεκα πάντας.

V. 724. *Κανόνες* δὲ, οἷς τὰ ξύλα καὶ τοὺς τοίχους ἰσάζουσι. Τὸ δὲ *δάεν*, ἀντὶ τοῦ ἐδίδαξεν.

Ὅρα δὲ, ὅπως ἄοπλος ὁ Ἰάσων εἰς τὴν Ὑψιπύλην εἰσέρχεται. Ἀνὴρ γὰρ ὄντως γυναῖκας οὐ δέδοικεν. Καὶ Μένανδρος·

εὐκαταφρόνητος τῇ στολῇ
εἴσειμι, καὶ ταῦτα εἰς γυναῖκας.

---

*) Adverbium hoc Schneiderus, nescio cur, omisit. Legimus etiam supra p. 30. ad v. 269. Schol. ad Lucian. T. I. p. 104. *Καταλλήλως ἄγαν καὶ προσφυῶς ἑκάστῃ πληγῇ τὴν ἔκβασιν ἐπιφέρει.* T. II. p. 128. *Καταλλήλως ταῦτα ἐπλάσατο.* p. 129. *καταλλήλως ὠνόμασεν.*

**) Excidit *Τό*.

***) V. not. ad Gregor. Cor. p. 532.

****) Leg. *ἔγκοιλα*.

V. 726. Ἔρευθος τὸ ἐπὶ τοῦ προσώπου ἐρύθημα κυρίως σημαίνει. Ἐνταῦθα δὲ τὸ ἐρυθρὸν χρῶμα τοῦ ἱματίου. Ἔστι δὲ καὶ εἶδος βοτάνης, ᾗ τὰ ἔρια βάπτουσιν.

V. 727. Ἐρευθήεσσα δὲ ἡ πυῤῥὰ καὶ ὑπέρυθρος. Εἴληπται δὲ παρὰ τὸ Σαπφικόν· Παντοδαπαῖς μεμιγμένα χροιαῖσι.

V. 730. Ἐν μὲν ἦσαν Κύκλωπες. Οὗτοι εἰσὶν οἱ κατασκευάσαντες τῷ Διῒ τὴν βροντὴν καὶ τὴν ἀστραπήν. Ὀνόματα δὲ αὐτῶν Βρόντης καὶ Στερόπης. Καὶ Ἡσίοδος·

Οἱ βροντήν τε Ζηνὶ δόσαν, τεῦξάν τε κεραυνόν.

V. 731. Ἐν δὲ τῷ, ὅς τόσον ἤδη, τὸ τόσον, ἢ ἐπὶ ποσότητος, ἢ ἐπὶ ποιότητος καὶ θαυμασμοῦ.

V. 732. Τὸ δὲ, μιῆς ἔτι δεύετο, ἔτι δείκνυσι μὲν καὶ ποικιλίαν γραφῆς, δείκνυσι δὲ καὶ, ὅτι οὐχ οἷόν τε ἐπὶ τῆς γραφῆς τέλεια θεωρεῖσθαι πάντη τὰ γραφόμενα.

V. 734. Τὸ δὲ μαλερὸν, παρὰ μὲν τοῖς παλαιοῖς τὸ λαμπρὸν ἐσήμαινε, παρὰ δὲ τοῖς νεωτέροις τὸ μαραντικόν.

V. 735. Ἐν δ᾽ ἔσαν Ἀντιόπης. Ἀντιόπαι ἦσαν δύο· ἡ μὲν Νυκτέως, ἡ δὲ Ἀσώπου, ἧς νῦν Ἀπολλώνιος μέμνηται. Ταύτης καὶ Διὸς Ἀμφίων καὶ Ζῆθος, οὕς φασι κτίσαι τὰς Θήβας. Ὅμηρος·

Οἱ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο.

Φερεκύδης δὲ καὶ τὴν αἰτίαν ἔφη τῆς οἰκοδομῆς· διὰ γὰρ τοὺς Φλεγύας ἐχθροὺς ὄντας καὶ ὁμόρους.

V. 738. Τὸ δὲ ἐπωμαδὸν τὸ ἐπάνω τῶν ὤμων φέρειν σημαίνει.

Τὸ δὲ ἠέρταζεν, ἀντὶ τοῦ ἐβάσταζεν, ἀπὸ τοῦ ἀερτάζειν. Τοῦτο δὲ ἀπὸ τοῦ ἀείρειν.

V. 739. Τὸ δὲ ἐοικὼς προσθεὶς ἐκόλασε τὸν λόγον· οὐ γὰρ πάντως ἐν τῇ γραφῇ ἐκακοπάθει.

V. 740. Τὸ δὲ ἐπί οἱ, τὸ κατόπιν τοῦ Ζήθου πορεύεσθαι δηλοῖ.

V. 741. Τὸ δὲ δὶς τόσση ἐπὶ τὸν λίθον τοῦ Ζήθου ἀναφέρεται. Καὶ ὅρα, ὅσον μέγεθος εἶχεν ὁ τῷ Ἀμφίονι ἑπόμενος λίθος, ὅστις διπλασίων ἦν τοῦ ὑπὸ τοῦ Ζήθου φερομένου. Τὸν δὲ τοῦ Ζήθου κάρη ὄρους ἠλιβάτου φθάσας εἶπεν.

Ἀστείως δὲ πρὸς τὴν ἕδραν τῶν τειχῶν τῆς πόλεως ἐπήνεγκε τὸ ἔκειτο. *)

Ὅτι δὲ αὐτόματοι ἠκολούθουν τῷ Ἀμφίονι οἱ λίθοι, ἱστορεῖ καὶ Ἀντιμενίδας ἐν ᾱ. Ὁ δ' αὐτὸς καὶ Φερεκύδης καὶ τὴν λύραν τῷ Ἀμφίονι ὑπὸ Μουσῶν φασὶ δοθῆναι· Διοσκορίδης δὲ ὑπὸ Ἀπόλλωνος.

Ὅρα δὲ εὐπαιδευσίας καὶ φρονήσεως διαφορὰν, καὶ ἀλόγου ἀνδρίας. Διπλασίωνα γὰρ λίθον Ἀμφίων κατήγαγε κιθαρίζων, ἀλλ' οὐ κακοπαθῶν, τοῦ ὑπὸ Ζήθου φερομένου.

V. 743. Ἄρεος ὀχμάζουσα, φέρουσα, οὐχ ὡς πολεμικὴ, ἀλλ' ὡς ἐραστῇ χαριζομένη τῷ Ἄρεϊ. Σημαίνει δὲ τὸ ὀχμάζειν ἐνταῦθα τὸ φέρειν. Κυρίως δὲ τὸ ἄγειν τὸν ἵππον ὑπὸ χαλινὸν, ἢ ὑπὸ ὄχημα. Σημαίνει δὲ καὶ τὸ προσηλοῦν ἐπὶ ὄχθου τινός. Τὸ δὲ αἰχμάζειν σημαίνει τὸ τῇ αἰχμῇ χρῆσθαι ἐπὶ τοῦ πολέμου.

Θοὸν δὲ τὸ εὐκίνητον ἐνταῦθα λέγει καὶ εὐφόρητον, ἀπὸ τοῦ θοάζειν, τὸ ταχύνειν.

---

*) Ad v. 737.

V. 746. *Δίκηλον* δὲ λέγεται μὲν κυρίως τὸ τοῦ Διὸς ὁμοίωμα· καταχρηστικῶς δὲ καὶ πᾶν ὁμοίωμα, ὡς ἐνταῦθα. Καὶ δικηλίτας ἔλεγον τοὺς σκωπτικοὺς, τοὺς ἐν τῷ σκώπτειν ἄλλόν τινα ἀπομιμουμένους. Βουλόμενος δὲ δεῖξαι, ὅτι ἀντανακλάσεις ἐγίνοντό τινες ἐν τῇ ἀσπίδι, φησὶν, ὅτι γυμνωθέντος τοῦ ὤμου τῆς Ἀφροδίτης μέχρι τοῦ μαζοῦ εἰς τὸ ἐναντίον τῆς ἀσπίδος τὸ ὁμοίωμα τῆς Ἀφροδίτης ἐφαίνετο, διὰ τὸ λείαν εἶναι τὴν ἀσπίδα.

V. 747. *Ἐν δὲ βοῶν.* Τάφος ἐστὶ νῆσος μία τῶν Ἐχινάδων, ἣν ᾤκησαν Τηλεβόαι, οἱ πρότερον τὴν Ἀκαρνανίαν οἰκοῦντες. Ληστρικώτατοι δὲ ὄντες, καὶ μέχρις Ἄργους ἐπελθόντες, ἀπήλασαν τὰς Ἠλεκτρύωνος βοῦς, τοῦ πατρὸς Ἀλκμήνης. Ὡς δὲ ἐνέστησαν αὐτοῖς Ἠλεκτρύων καὶ οἱ υἱοὶ, ἐκείνους τε πάντας ἀνεῖλον οἱ Τηλεβόαι, καὶ τὰς βοῦς ἀπήλασαν. Ἀλκμήνη δὲ ἀνεκήρυξε τὸν ἑαυτῆς γάμον τῷ τιμωρησομένῳ τὸν πατρῷον φόνον. Τιμωρησάμενος οὖν Ἀμφιτρύων ἔγημεν. Ἡρόδωρος δέ φησι, Περσέως καὶ Ἀνδρομέδης γενέσθαι τέσσαρας υἱοὺς, Ἀλκαῖον, Σθένελον, Μήστορα καὶ Ἠλεκτρυόνα *). Περσέως δὲ τεθνηκότος, κοινῇ τὴν βασιλείαν εἶχον οὗτοι. Μήστορος δὲ θυγάτηρ Ἱπποθόη, ἧς καὶ Ποσειδῶνος Πτερέλας· τοῦ δὲ, Τηλεβόας καὶ Τάφος. Ἀπὸ μὲν τοῦ Τάφου ἡ νῆσος ἐκλήθη Τάφος, μία οὖσα τῶν Ἐχινάδων, εἰς ἣν ᾤκουν· ἀπ᾽ ἀμφοτέρων δὲ Τάφιοι καὶ Τηλεβόαι οἱ κατοικοῦντες τὴν νῆσον. Ἐλθόντες οὖν τοῦ Πτερέλου παῖδες ᾔτουν παρὰ τοῦ Ἠλεκτρύονος τὰς τῆς μάμμης αὐτῶν Ἱπποθόης χρήματα. Ὡς δὲ

*) Paulo ante Ἠλεκτρύωνος. Utraque forma casuum obliquorum h. v. auctoritate librorum manu scriptorum nititur. V. Wesseling. ad Diodor. Sic. IV. c. 58. et Heyn. ad Apollodor. II, 4, 6. p. 129. ed. sec.

ἐνέστη Ἠλεκτρύων, αὐτόν τε οἱ Τελεβόαι καὶ τοὺς υἱεῖς ἀνεῖλον, καὶ τοὺς βοῦς ἐκεῖθεν τοῦ Ἠλεκτρύονος ἀπήλασαν. Ἤτοι ουν ἀπὸ Τηλεβόου τοῦ Πτερέλου Τηλεβοαι ἐκλήθησαν, ἢ ἀπὸ τοῦ τῆλε τὰς βοῦς ἀπελάσαι τοῦ Ἠλεκτρύονος.

V. 749. Ἀμέρσαι δὲ τὸ στερῆσαι σημαίνει.

V. 752. Ἐν δὲ δύω δίφροι. Οἰνόμαος, Ἄρεως ὢν υἱὸς καὶ Ἀρπίνης τῆς Ἀσωποῦ, ἢ Εὐρυθόης τῆς Δαναοῦ, ἔσχε θυγατέρα Ἱπποδάμειαν. Λαβὼν δὲ χρησμὸν, ὅτι αναιρεθησεται ὑπὸ τοῦ ἰδίου γαμβροῦ, οὐκ ἐβούλετο ἐκδοῦναι αὐτην, εἰ μὴ τῷ νικήσαντι αὐτὸν δι' ἵππων. Ἦν δὲ αὐτοῖς ἀφετήρια *) μὲν Κλάδεος ποταμὸς, τέρμα δὲ ὁ Ἰσθμός. Ἀνεῖλε δὲ τρισκαίδεκα μνηστῆρας, ὡς ἱστορεῖ Πίνδαρος. Ὡς δὲ ἀφίκετο καὶ Πέλοψ ἐπὶ τὸν ἆθλον μετὰ ἵππων δεδομένων αὐτῷ ὑπὸ Ποσειδῶνος, ἐρασθεῖσα ἡ Ἱπποδάμεια Πέλοπος, πείθει Μυρτίλον, τὸν υἱὸν Ἑρμοῦ, ἁρματοποιὸν δὲ καὶ ἡνίοχον Οἰνομάου, ὥστε κατατροχίσαι **) Οἰνόμαον ἐμβαλόντα τὸν ἔμβολον, ὡς Φερεκύδης ἱστορεῖ. Οὗ γενομένου, Οἰνόμαός τε ἐκκυλισθεὶς τοῦ τροχοῦ ἀπέθανε, καὶ Ἱπποδάμειαν Πέλοψ ἔλαβε. Αἱ δὲ τοῦ Οἰνομάου ἵπποι Ψύλλα καὶ Ἀρπίνα. Μυρτίλος δὲ υἱὸς Ἑρμοῦ καὶ μιᾶς τῶν Δαναΐδων Φαεθούσης, ἢ Κλυμένης, ἢ Μυρτοῦς, μιᾶς τῶν Ἀμαζονίδων.

V. 756. Προτενὲς μὲν οὖν τὸ προτεταμένον.

V. 757. Πλήμνη δὲ καὶ πλήσμη διαφέρει. Πλήμνη μὲν γὰρ ἡ χοινικὶς τοῦ ἄξονος· πλήσμη δὲ ἡ πλημ-

*) Defendi possit. Malim tamen cum Schol. edit. ἀφετηρία, παροξυτόνως.

**) Lexica hoc compositum ignorant. Videtur esse, *rotarum circumactu necare*, nostrum *rädern*.

μύρα τοῦ ποταμοῦ. Διὸ παρ' Ἡσιόδῳ οὕτως ἀναγνωστέον·

Αὐτὸς δ' ἐν πλήσμησι διϊπετέος ποταμοῖο,

καὶ οὐχ, ὥς τινες, πλήμνῃσιν, εἰ μὴ λάβοιμεν ἔξωθεν τὴν σὺν, ἵνα ᾖ σὺν πλήμνῃσι.

Τὸ δὲ παρακλιδὸν, ἀντὶ τοῦ παρακεκλιμένως.

Φασὶ δέ τινες, μὴ εἶναι ἀληθῶς τὴν Ἱπποδάμειαν ἐν τῷ ἅρματι τοῦ Πέλοπος παραβάτιν. Πλάττεται δὲ οὕτω, ἵνα δείξῃ, ὅτι καὶ τοῦτο περιεῖχεν ἡ γραφὴ, καὶ τὸν πόλεμον καὶ τὴν νίκην. *)

V. 759—762. Ἐν δὲ καὶ Ἀπόλλων. Ἐλάρη μὲν ἦν ἡ τοῦ Τιτυοῦ μήτηρ. Διὰ δὲ τὸ ὑπὸ γῆς μετὰ θάνατον τῆς Ἐλάρης τραφῆναι τῆς Γῆς ἔφασαν εἶναι υἱόν. Ὅμηρος·

Καὶ Τιτυὸν εἶδον, Γαίης ἐρικυδέος υἱόν.

Φερεκύδης δέ φησιν, ὅτι Ζεὺς Ἐλάρῃ τῇ Ὀρχομενοῦ μιγεὶς, ὦσεν αὐτὴν εἰς τὴν γῆν ἤδη κύουσαν, δεδιὼς τὴν τῆς Ἥρας ζηλοτυπίαν. Ἐκείνης δὲ τεθνηκυίας, ἡ γῆ ἀνέδωκε Τιτυόν. Καὶ διὰ τοῦτο γηγενὴς ἐκλήθη. Ἄλλοι δέ φασιν, οὐκ ὠσθεῖσαν ὑπὸ τοῦ Διὸς ἀποθανεῖν· ἀλλὰ διὰ τὸ μέγεθος τοῦ παιδὸς μὴ δυνηθεῖσα γεννῆσαι αὐτὸν, ἔτι κύουσα ἀπώλετο. Ἡ δὲ γῆ ἄψ καὶ ἐκ δευτέρου ἐλοχεύσατο καὶ ἀνέθρεψεν. Ἔστιν οὖν πρωθύστερον· προηγεῖται γὰρ τὸ λοχεύειν τοῦ τρέφειν. Ἴσως δὲ καὶ διὰ τὸ μέγεθος τοῦ σώματος τῆς γῆς ἐλέγετο εἶναι. Τοὺς γὰρ τερατώδεις τὸ σῶμα γηγενεῖς ἔλεγον. Διὸ καὶ Καλλίμαχος τὰ μεγάλα τῶν θηρίων γεγονέναι. Ὅτι δὲ μέγας ἦν, καὶ Ὅμηρός φησιν·

ὁ δ' ἐπ' ἐννέα πλέθρα ἔκειτο.

---

*) Ad v. 754.

Ἴσως δὲ καὶ, ὅτε μὲν ἐτέχθη μικρὸς ὢν τὸ σῶμα, ἐλάνης ἐλέγετο· αὐξηθέντα δὲ διὰ τὸ τερατῶδες τοῦ σώματος τῆς γῆς ἔφασαν εἶναι. Ὅρα δὲ, ὅπως τῷ βούπαις ἀνέθηκε τὸν μέγαν· ἅμα μὲν καὶ τὴν θείαν δύναμιν δεικνὺς, ὅτι ῥαδίως καὶ τὰ μεγάλα καταγωνίζεται, ἅμα καὶ *) ὅτι ἡ πρὸ ὀφθαλμῶν ὕβρις καὶ τὴν φύσιν οἶδε βιάζεσθαι, καὶ πρὸς τὰ μεγάλα πείθειν ἀντιπαράττεσθαι **). Διὸ καὶ εὐφυῶς οὐκ εἶπε τὴν Λητὼ, ἀλλὰ τὴν μητέρα, ἵνα τὸ μέγεθος δείξῃ τῆς λύπης. Βούπαις δέ ἐστιν ὁ μέγας μὲν παῖς, μήπω δὲ γεγονὼς τέλειος ἀνήρ.

V. 763. Ἐν δὲ καὶ Φρίξος ἔην. Μινυήϊον φησὶ τὸν Φρίξον ἀντὶ τοῦ Ἰώλκιον. Τὴν γὰρ Ἰωλκὸν Μινύαι ᾤκουν, ὥς φησι Σιμωνίδης ἐν τοῖς Συμμίκτοις. Ἢ ἀντὶ τοῦ Ὀρχομενίου. Πολλοὶ γάρ φασιν Ἀθάμαντα οἰκῆσαι ἐν τῷ Ὀρχομενῷ.

V. 764. Τὸ δὲ εἰσαΐων φησὶ, ὅτι ἐφθέγγετο ὁ κριὸς διηγούμενος τὴν βούλησιν τοῦ Διὸς καὶ τὴν σωτηρίαν.

---

*) Leg. ἅμα δὲ καί.

**) Ἀντιπαρατάττεσθαι hic malim, quam quod propius etiam scripturam Codicis accedit, ἀντιπράττεσθαι. Obiter moneo, medii ἀντιπράττεσθαι usum viris doctis sine causa dubium videri. Isocratem eius auctorem citant superiorum Lexicographi temporum. Sed reperi etiam in Xenophonte et Dionysio Halicarnasseo. Ille enim Hier. II, 17. Ὁ δὲ τύραννος ὅταν ὑποπτεύσῃ, καὶ αἰσθανόμενος (Malim mutatione tam leni, ut paene nullam dixeris: ὑποπτεύσας ἢ καὶ αἰσθ. Conf. Bastii Comment. Palaeogr. p. 757. sq. 762.) τῷ ὄντι ἀντιπραττομένους τινὰς ἀποκτείνῃ, κ. τ. λ. ubi nihil causae erat cur vir egregius haec notaret: „Expectabam ἀντιπράττοντας." Hic Antiquit. Rom. VII. c. 51. ἀντιπράττεσθαι λόγοις τε καὶ ἔργοις, ubi Reiskius non maiori iure: „malim „ἀντιπράττειν in activo." Hesychius: Ἀντιπράττεται. ἀντιμάχεται. ἐναντιοῦται. unde hoc quidem discas, medii usum iam veteribus magistris exquisitiorem ideoque notabilem visum esse.

Ἐν δὲ τῷ ἐξενέποντι περισσὴ ἡ ἐξ.

Ἰστέον δὲ, ὅτι διὰ τῆς χλαμύδος τὴν διακόσμησίν τε καὶ τὰς ἐν τῷ κόσμῳ τῶν ἀνθρώπων πράξεις βούλεται ὁ Ἀπολλώνιος δεῖξαι. Τὰ μὲν γὰρ περὶ τοὺς *) τὴν διακόσμησιν καὶ κοσμοποιΐαν αἰνίττεται. Διὸ καὶ ἄφθιτα ἔργα τὰ τοιαῦτα φησί. Τὰ δὲ περὶ Ἀμφίονα καὶ Ζῆθον οἰκοδομὰς καὶ οἰκήσεις πόλεων δηλοῖ. Ἔρωτας δὲ τὰ περὶ τὴν Ἀφροδίτην μηνύει. Τὰ δὲ περὶ τοὺς Τηλεβόας, πολέμους καὶ λεηλασίας καὶ φόνους· τὰ δὲ περὶ Πέλοπα, ἀγῶνας καὶ γάμους σημαίνει. Ἀσέβειαν δὲ τὰ περὶ τὸν Τίτυον καὶ παρὰ θεοῦ τιμωρίαν εἰς τοὺς ἀσεβοῦντας ἐμφαίνει. Τὰ δὲ περὶ Φρίξον ἐπιβουλὰς καὶ δόλους καὶ συμβουλὴν ἀγαθὴν καὶ σωτηρίαν ἀπροσδόκητον δείκνυσι.

Δῶρον δέ φησιν εἶναι τὴν χλαμύδα τῆς Ἀθηνᾶς, ἐπειδὴ ὅ, τε κόσμος ὑπὸ τῆς θείας φρονήσεως γέγονε, τῶν τε ἐν αὐτῷ ὑπὸ τῶν ἀνθρώπων πραττομένων οὐδὲν ἄνευ φρονήσεως ὀρθῶς γένοιτ' ἄν.

V. 769—773. Ὀῤῥ' Ἀταλάντη. Ἀταλάντη ἐστὶν αὕτη, ἣν ἔγημε Μελανίων. Ἑτέρα δέ ἐστιν ἡ Ἀργεία, ἣν ἔγημεν Ἱππομέδων.

Μαίναλος δὲ ὄρος Ἀρκαδίας ὑπὸ **) Μαινάλου, υἱοῦ Ἀρκάδος, ὥς φησιν Ἑλλάνικος.

Οἱ δὲ Ἀριστάρχειοι διὰ ρ̄ τὰ τοιαῦτα γράφουσιν, ὥς φησιν Ἡρακλέων ἐν π̄ Ἰλιάδος·

Τόῤῥα τότ' ἐκ χηλοῖο λαβών.

---

*) Excidit *Κύκλωπας*.

**) Leg. *ἀπό*.

Ἀργαλέας δ' ἔριδας δῆσαι *) φησὶ τὸν Ἰάσονα τὰς ἐκ τῶν μνηστήρων τῆς Ἀταλάντης ἐσομένας, εἴπερ συνέπλασεν **) αὐτοῖς ἡ Ἀταλάντη, τῶν μὲν βουλομένων συγγενέσθαι αὐτῇ, τῆς δὲ τὴν παρθενίαν φυλάττειν ἐθελούσης. Ὅτι δὲ συνεγένοντο ταῖς Λημνίαις οἱ Ἀργοναῦται, ἱστορεῖ καὶ Ἡρόδωρος ἐν τοῖς Ἀργοναυτικοῖς. Αἰσχύλος δὲ ἐν τοῖς ὑψίστοις ἐπελθεῖν φησὶν αὐτὰς τοῖς Ἀργοναύταις χειμαζομένοις, καὶ μὴ ἐᾶν προσχεῖν τῇ νήσῳ, μέχρις οὗ ὅρκον ἔλαβον παρ' αὐτῶν, ἅμα τε ἀποβῆναι αὐτοὺς τῆς νεὼς καὶ συγγενέσθαι αὐταῖς· καὶ οὕτως ἀποβῆναι ἐᾶσαι. Σοφοκλῆς δὲ ἐν Λημνίαις καὶ μάχην φησὶν αὐτὰς ἰσχυρὰν συνάψαι αὐτοῖς.

Ὅρα δὲ, ὅτι πρὸς παρθένον γενόμενος παρθένου δῶρα μεταχειρίζεται.

V. 775. *Νηγατέῃσι*, ταῖς νεωστὶ κατεσκευασμέναις.

Καλύβας δὲ, τὰς διὰ τῶν ἱματίων κατεσκευασμένας, ἃς καλοῦσι παστούς.

Ἤτοι δὲ δι' ἔρωτα, ἢ δι' ἀμνηστίαν εἴργεσθαί φησι τὰς παρθένους.

V. 777. *Κυανὸν* δὲ νῦν τὸν καθαρὸν ἀέρα φησί.

Οἰκεία δὲ πάντη ἡ παραβολή. Καὶ γὰρ καὶ αὐτὸν προσεδέχετο παρθένος ἐρῶσα.

V. 781. *Στίβος* δὲ, ἡ ὁδὸς, ἀπὸ τοῦ στείβειν, τὸ περιπατεῖν.

V. 783. Τὸ δὲ *ἐπικλονέοντο*, ἀντὶ τοῦ ταραχὴν ἐποίουν. Κλόνος γὰρ ἡ ταραχή. Ὅμηρος·

Ὣς ὑπὸ Τυδείδῃ πυκιναὶ κλονέοντο φάλαγγες.

---

*) Leg. δεῖσαι. Sic confusa δείσαντες et δήσαντες in Herodoti VI. c. 75.

**) Leg. συνέπλευσεν. V. Bastii Comment. Palaeogr. p. 706.

V. 785. *Ἀπηλεγέως* δὲ, συντόνως, ἀποφατικῶς. Ἡρωδιανὸς δὲ ἐν τῷ γ τῆς καθόλου *ἀνηλεγέως* γράφει.

V. 786. Ἐν δὲ τῷ *προφανέντι* περισσὴ ἡ πρό.

Θεράπναι δὲ κατὰ συγκοπὴν αἱ θεράπαιναι.

V. 787. *Σανίδας* φησὶ τὰ ἐπιμήκη καὶ πλατέα ξύλα, οἱονεὶ τανίδας οὔσας, παρὰ τὸ τείνειν.

V. 789. *Ἀναστάδα* δέ φησιν, ἣν καλοῦμεν προπαστάδα. Εἴρηται δὲ ἀπὸ τοῦ σιτεῖσθαι ἐν αὐτῇ, οἱονεὶ πάσασθαι.

Καλὴν δέ φησιν αὐτὴν, ἢ ὅτι βασιλικὴ ἦν, ἢ ὅτι ἐρωτική. Καλὰ γὰρ τὰ τῶν ἐρωμένων, ὡς καὶ Ἀνακρέων ἐπὶ τῆς ἐρωμένης φησίν.

V. 794. *Ἡσθ' αὔτως*, ἤγουν μάτην καθέζεσθε. Εὐθὺς δὲ ἀρχομένη τὴν πρὸς αὐτοὺς εὔνοιαν ἐνδείκνυσιν.

V. 795. *Ἐπινάστιοι* δὲ, οἱ ἔποικοι.

V. 800. *Ἐπορνυμένους* δὲ, ἤτοι ἀπερχομένους τοὺς Λημνίους φησίν.

Ἐναύλους δὲ νῦν τὰς ἐπαύλεις, τὰς μάνδρας. Καταχρηστικῶς δὲ τὰς οἰκίας.

Τὸ δὲ *ὑπ' ἀνδράσιν*, ἀντὶ τοῦ ὑπ' ἀνδρῶν, Ἰαστί. Ὅμηρος·

Τρωσὶ μὲν προμάχιζεν.

ἀντὶ τοῦ, τῶν Τρώων. *)

Ἀπὸ δὲ τοῦ *ἀρόωσι*, τὸ διάγειν ἀκουστέον. **)

V. 801. *Ἐκ νηῶν* δὲ, ἀντὶ τοῦ διὰ τῶν νηῶν.

V. 802. *Οὐλομένην* δέ φησι τὴν Ἀφροδίτην, ὅτι

---

*) Ad v. 794.

**) Ad v. 796.

φθορᾶς ἐγένετο αἴτιος· ὥσπερ καὶ πολύδακρυν Ἄρην τὸν πολλῶν δακρύων αἴτιον.

Πορσύνετο δὲ, ἀντὶ τοῦ κατεσκευάζετο.

V. 805. Τὸ δὲ ἐπεσσεύοντο, ἀντὶ τοῦ ἐδίωκον.

Ματίαν δέ φησι τὴν μωρίαν.

Θυμοφθόρον δὲ ἄτην τὸν ἔρωτα φησί. *)

V. 810. Σκοτίαν δὲ γενέθλην τὴν ἀπὸ τῶν παλλακῶν.

V. 820. Ὑπέρβιον δὲ τὸ μέγα καὶ θαυμαστὸν καὶ θεῖον φησί.

Λώβην δὲ τὴν κακὴν ὕβριν. **)

V. 824. Τὸ δὲ θεσσάμενοι, ἀντὶ τοῦ ἱκετικῶς ***) ἀναλαβόντες, ἢ αἰτήσαντες. Θέσθαι ****) γὰρ τὸ αἰτῆσαι καὶ ἱκετεῦσαι. Ἡσίοδος·

Θεσσάμενος γενεὴν Κλεαδαίου κυδαλίμοιο.

Ἀντίλοχος·

Πολλὰ δ' εὐπλοκάμου πολιῆς ἁλὸς ἐν πελάγεσσι
θεσσάμενοι γλυκερὸν νόστον —

V. 826. Θρηϊκίαν δὲ ἄρουσιν περιφραστικῶς τὴν Θράκην φησί. Χιονώδεα δὲ αὐτήν φησι, ἢ διὰ τὸ λευκόγεων εἶναι, ἢ μᾶλλον διὰ τὸ δυσχείμερον καὶ ψυχρὰν καὶ συνεχῶς χιονιζομένην. Διὸ καὶ τοὺς ἀνέ-

---

*) Ad v. 803.

**) Ad v. 816.

***) Hoc adverbium Lexicis accedat. Habet etiam Scholiastes ad Philostrati Heroica p. 545. Boisson.

****) Θέσθαι, quod etiam in Schol. edit. legas, Schneiderus (itemque Bentleius, ut videtur, Animadvers. in Callim. H. in Cerer. v. 48.) pro genuino habet, me quidem non assentiente. Cum enim Scholiastes interpretetur per infinitivos aoristi, αἰτῆσαι, ἱκετεῦσαι, puto eum scripsisse θέσσασθαι, unde quomodo natum sit θέσθαι, docet Bastii Comment. Palaeogr. p. 757.

μους ἐκεῖθεν ἐμυθεύσαντο πνεῖν. Νικοφάνης δέ φησι, βόθρον εἶναι ἐν Θρᾴκῃ, ἀφ᾽ οὗ φυσήματα ἐκφέρεται ἀνέμων. Καὶ διὰ τοῦτο ἐμυθεύσαντο ἐκεῖθεν πνεῖν τοὺς ἀνέμους.

V. 831. *Αἰγαίην* δέ φησι τὸ Αἰγαῖον πέλαγος, ἀπὸ νήσου, ἣ καλεῖται Αἰγαί. Ὅμηρος·

Εἰ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ᾽ ἀνάγουσι.

Ἱερὰ γὰρ αὕτη Ποσειδῶνος, ἐν ᾗ μηδένα κοιμᾶσθαι λόγος, διὰ τὰ ἐν αὐτῇ φαινόμενα φαντάσματα τῆς *) θεοῦ. Ἄλλοι δὲ ἀπὸ Ποσειδῶνος Αἰγαῖον φασὶν ὀνομασθῆναι τὸ πέλαγος. Αἰγαῖος γὰρ οὗτος ὁ θεὸς προσαγορεύεται, ὥς φησι Φερεκύδης. Νικοκράτης δὲ λέγων, ἀπὸ Αἰγέως ὀνομασθῆναι οὕτω, τοῦ Θησέως πατρὸς, ὅτι ἐκ τῆς Ἀθηνῶν ἀκροπόλεως εἰς τὴν θάλατταν ἐκρημνίσθη, ψεύδεται. Πολὺ γὰρ ἀπέχει ἡ ἀκρόπολις τῆς θαλάσσης.

Γέρας δὲ τὴν βασιλείαν φησίν. **)

V. 834. *Ἀμαλδύνουσα* δὲ, ἀντὶ τοῦ ἀφανίζουσα καὶ ἀποκρύπτουσα. Οὐ γὰρ λέγει, ὅτι ἐφόνευσαν αὐτοὺς καὶ τοὺς ἄῤῥενας παῖδας καὶ τὰς γυναῖκας, ἀλλ᾽ ὅτι σὺν ταῖς γυναιξὶ ταῖς Θρᾴσσαις καὶ τοῖς ἄῤῥεσι παισὶν ἀπῆλθον εἰς Θρᾴκην κἀκεῖ διάγουσιν. Οὕτω γὰρ ἐκ τῶν ἐνόντων ***) ἀπέλυσαν αὐτὰς μέμψεως. Καὶ ὅλος δὲ ὁ λόγος τῆς Ὑψιπύλης πολλὴν περιέχει δεινότητα. Ἀντεγκληματικὴν ποιοῦσα τὴν στάσιν αὔξει τὸ ἐκείνων ἔγκλημα διὰ πολλῶν, δεικνῦσα

*) Leg. τοῦ.

**) Ad v. 829.

***) *ut poterat.* Dionysius Halic. Antiquit. Roman. I. c. 46. ὡς ἀσφαλής τε καὶ ἀταλαίπωρος ἐκ τῶν ἐνόντων φυγὴ αὐτοῖς γένοιτο. Ibid. c. 47. νομίσας ἐκ τῶν ἐνόντων κράτιστα εἶναι.

πολλῷ μεῖζον ἁμάρτημα τοῦ τῶν γυναικῶν. Πολύν τε γάρ φησι χρόνον ὑπομεμενηκέναι τὰς γυναῖκας τὴν ὕβριν φησίν. Ἀλλὰ δὴ καὶ τὸ τὰς μὲν κουριδίας μισεῖσθαι καὶ τῆς οἰκίας ἐκβαλεῖν, ταῖς δὲ δορυκτήτοις συγγίνεσθαι, πάνυ τὸ ἔγκλημα τῶν ἀνδρῶν αὔξάνει. Αὔξησις δὲ μεγάλη καὶ τὸ τοὺς μὲν γνησίους παῖδας ἀτιμάζεσθαι, τοὺς δὲ νόθους θάλλειν. Ὄνειδος δὲ μέγα καὶ τὸ τὰς κόρας τὰς γνησίας, καὶ τὰς χηρευούσας γυναῖκας, ἴσως δὲ καὶ πάσας νῦν χήρας καλεῖ, διὰ τὸ ἐστερῆσθαι τῶν οἰκείων ἀνδρῶν, ταύτας οὖν πάσας πλανᾶσθαι περὶ τὴν πόλιν ἀτημελήτως *), καθάπερ προσηλύτους. Παροξυντικὸν δὲ τὸ τὸν πατέρα μὴ φροντίζειν τῆς οἰκείας θυγατρὸς, εἰ καὶ τυπτομένην ἴδοι ὑπὸ τῆς μητρυιᾶς, μηδὲ τοὺς παῖδας ἀμυνειν τῇ μητρὶ, μηδὲ τοὺς ἀδελφοὺς ἀλλήλων φροντίζειν. Μάλιστα δὲ διεγείρει εἰς ὀργὴν καὶ τὸ τὰς μὲν γυναῖκας τὰς ἀστυκὰς καὶ κόρας καὶ παῖδας ἐν ἁπάσαις ταῖς πολιτικαῖς κοινωνίαις καθάπερ μετοίκους διατρίβειν καὶ προσηλύτας **)· τὰς δὲ δορυκτήτους τούτων ἁπάντων ἀφθόνως μετέχειν. Ἱκανὴ δὲ ἀπολογία ὑπὲρ τῶν γυναικῶν καὶ τὸ μὴ εὐθὺς ἐκδιῶξαι ἐκ τῆς νήσου τοὺς ἄνδρας, ἀλλ᾽ αἵρεσιν δοῦναι, ἢ τὰ καθήκοντα σώζειν πρὸς τὰς γυναῖκας, ἢ ἄλλοσέ πη ἀπελθόντας μετὰ τῶν δορυκτήτων διάγειν. Ὅλως γὰρ τὸ ἐνδιάσκευον καὶ διατυπωτικὸν ***) ὁ λόγος ἔχει, δι᾽ οὗ περιπαθῆ τὸν ἀκροατὴν ἐργάζεται συμπάσχοντα ταῖς γυναιξὶ δυστυχούσαις. Οὕτω δὲ ἀντεγ-

---

*) Leg. ἀτημελήτους.

**) Verius supra προσηλύτους. Quanquam formam προσηλύτης ipsam per se non damnem. Certe Thucydides I. c. 9. dixit ἐπηλύτην. Conf. Marcellin. de Thucyd. vita p. 8. Duk.

***) Hoc adiectivum adde Lexicis.

κληματικὴν ποιήσασαι τὴν στάσιν, καὶ εἰς μεταστατικὴν περί που τὰ μέσα ἀνήνεγκεν, εἰποῦσα παρὰ τοῦ τῶν θεῶν θάρσος λαβοῦσα σφᾶς ἀποπέμψαι τοὺς ἄνδρας. Οὕτω γὰρ οὐ μόνον δικαία, ἀλλὰ καὶ ἀναγκαία γίνεται ἡ ἐκβολή. Τὰ γὰρ ὑπὸ θεοῦ κριθέντα ἀναγκαῖα. Καὶ τὸ προοίμιον δὲ οὐ μόνον θαῤῥαλεωτέρους τοὺς Ἀργοναύτας ποιεῖ λέγον, ὅτι ἀποδημοῦσι τῆς πόλεως οἱ ἄνδρες, ἀλλὰ καὶ μέμψεως τὰς γυναῖκας ἀπολύει· μονονουχὶ γὰρ λέγει, ὅτι οὐκ ἀπεκτείναμεν ἐκείνους, ὡς ἡ φήμη κρατεῖ, ἀλλ' ἀποδημοῦσιν εἰς Θρᾴκην. Ὁ δὲ ἐπίλογος πάντη ἐπισπᾶται τὸν Ἰάσονα· οὐ γὰρ μόνον τὸ ἡδὺ προβάλλεται, ὅπερ ἦν τὸ συγγενέσθαι αὐτῇ, ἀλλὰ καὶ τὸ εὐπρεπὲς καὶ χρήσιμον· τὴν γὰρ βασιλείαν τοῦ Θόαντος ἐπαγγέλλεται.

Τὸ δὲ ἴσκεν, ἐνταῦθα μὲν ἀντὶ τοῦ ἔλεγε· παρὰ δὲ Ὁμήρῳ ἀντὶ τοῦ ὡμοίου.

V. 836. Μάλα κεν θυμηδέος. Θυμηδὴς χρησμοσύνη, ἡ τὸν θυμὸν εὐφραίνουσα χρεία.

V. 837. Τὸ δὲ ὀπάζειν, ἀντὶ τοῦ παρέχειν.

V. 838. Ὑπότροπος, ὁ ἐπανερχόμενος, ὅθεν ἐξῆλθεν.

V. 842. Ἡ δὲ θίξις τῆς χειρὸς σημεῖόν ἐστι βεβαιώσεως.

Τὸ δὲ χάζομαι τὸ παραχωρῶ σημαίνει· ἵν' ᾖ, ἔγωγε μὲν οὐ παραχωρῶ ἢ σοὶ ἢ ἄλλῳ ὁτῳοῦν τῆς ἀρχῆς, ἀθερίζων καὶ καταφρονῶν τῆς τοιαύτης ἀρχῆς, ἀλλὰ διὰ τοὺς ἐπικειμένους μοι ἄθλους. *)

V. 847. Τὸ δὲ ἀγόρευσεν ἐπὶ τὸν Ἰάσονα ἀνενεκτέον. Μετὰ γὰρ τὸ διηγήσασθαι τὸν Ἰάσονα τοῖς

*) Ad v. 841.

Ἀργοναύταις τὸν τῆς Ὑψιπύλης λόγον, ἧκον αἱ θεράπαιναι φέρουσαι τὰ ξένια.

V. 849. Τὸ δὲ σφέα ἔοικεν ἀπὸ τοῦ σφὰ γεγονέναι κατὰ ἐπένθεσιν του ε. Καὶ ἔστιν ἀντὶ τοῦ σφέτερα. Ὁ γὰρ ὁ σφὸς, ἡ σφὴ, τὸ σφὸν, ἀντὶ τοῦ ὁ σφέτερος, ἡ σφετέρα, τὸ σφέτερον λαμβάνεται. Τοῦ δὲ σφὸν ουδετέρου εὐθεῖα πληθυντικὴ τὸ σφὰ, καὶ σφέα.

V. 850 — 852. Ἡ δὲ Ἀφροδίτη συγγνώμων γίνεται ταῖς Λημνίαις διὰ τὸν Ἥφαιστον, ὅτι ἡ μὲν Λῆμνος Ἡφαίστου ἱερὰ, ἡ δὲ Ἀφροδίτη ὁμευνέτη *) τῷ Ἡφαίστῳ.

Πολύμητιν δὲ λέγει τὸν Ἥφαιστον παρὰ τὸ Ὁμηρικόν· εἰδυίῃσι πραπίδεσσι.

Τῆς Ἥρας δὲ υἱὸν τὸν Ἥφαιστον φησὶν **), Ἡσιόδῳ ἑπόμενος. Φησὶ γὰρ ἐκεῖνος·

---

*) Leg. ὁμευνέτις. Solennis confusio litterae η syllabaeque ις, de qua v. desideratissimi Bastii Comment. Palaeogr. p. 716. Tzetzes ad Lycophron. v. 156. δὶς ἀκμάσαντα. Ibi Codd. Viteb. δὴ ἀκμ. Scholia breviora ad eund. v. 103. p. 1060. Lips. ἐστερισμένην. Corrig. ἐστερημένην, coll. iisd. Schol. ad v. 117. p. 1061. Nam quod Lexicographi vulgo commemorant verbum στερίζω, id graecum esse vehementer dubito. Nicarchus Epigr. XXXI. v. 2.

οὓς γλυκεροῦ φέγγους Ζώπυρος ἐστέρισε.

Codex Vatic. et vetustissimae Editiones habent ἐστέρησεν. Id mutandum fuit, non in ἐστέρισε, sed in ἐστέρεσεν. Epigr. adesp. LXXXIX. v. 4.

νῦν δέ σ' ὁ γραμματικὸς καὶ ποδὸς ἐστέρισε.

De h. l. H. Stephanus Thes. T. III. c. 1019. C.: „— Nisi forte scribendum ἐστέρεσεν, ut apud Homerum supra." Scil. Odyss. XIII. v. 262. ubi legitur infinitivus στερέσαι. Ad h. l. Eustathius p. 516, 23. Τὸ δὲ στερέσαι, στερῆσαι κοινῶς λέγεται, ὁμοίως τῷ ποθέσω καὶ ποθήσω, de forma illa in ίζω tacens. Vicissim in Apollonio Rhod. I. v. 863. in locum Brunckiani ἀολλήσας sine cunctatione revocandum ἀολλίσσας.

**) Ad v. 859.

Ἥρη δ᾽ Ἥφαιστον κλυτὸν οὐ φιλότητι μιγεῖσα γείνατο.

Ὅμηρος δὲ Διὸς καὶ Ἥρας αὐτὸν υἱὸν λέγει.

V. 854. Ἐν δὲ τῷ ἔκυρσαν *) περισσὸς ὁ καί. Τὸ δὲ ἔκυρσαν, ἀντὶ τοῦ ἔτυχον.

V. 861. Ἀμβολίη δὲ, ἡ ὑπέρθεσις.

V. 862. Τὸ δὲ ἐλίνυον, ἀντὶ τοῦ ἐβράδυνον.

V. 874. Τὸ δὲ ἐσανδρώσῃ, ἀντὶ τοῦ πληρώσῃ ἀνδρῶν, εἰρωνικῶς εἴρηται.

Ὁ δὲ τοῦ Ἡρακλέους λόγος ἐπιτιμητικός ἐστι μάλιστα, καὶ τῷ Ἡρακλέους προσώπῳ οἰκειότατος. Ἔχει γὰρ καὶ οὗτος κατὰ τὸν ἐν Θουκυδίδῃ Περικλέα ἐπ᾽ ἀξιώματι καὶ πρὸς ὀργήν τι εἰπεῖν. Ἀμέλει πρῶτον ἅπαντας συνημμένως ἐπιτιμᾷ· εἶτα ἰδίᾳ τὸν Ἰάσονα: οὕτω γὰρ φορητοτέρα γίνεται ἡ ἐπιτίμησις.

Τὸ δὲ ἐμφύλιον αἷμ᾽ ἀποέργει φησὶν, ὅτι τοὺς ἀνδροφόνους φυγῇ ἐζημίουν ἐνιαυσιαίᾳ. **)

Τὸ δὲ ἄροσιν Λημνοιο ταμέσθαι, ἀντὶ τοῦ κληρούχους τῆς Λήμνου γενέσθαι κεῖται. ***)

Ἔοικε δὲ διὰ τούτων οὐκ ἀκολάστους τοὺς Ἀργοναύτας παριστάναι ὁ Ἀπολλώνιος, ἀλλὰ μέσως πως ἔχοντας πρὸς ἀκρασίαν καὶ ἐγκράτειαν. Ὅτι μὲν γὰρ ὁ Ἡρακλῆς ἔμεινε, καὶ οὐ συνεισῆλθεν αὐτοῖς, δείκνυσι μὴ διεφθάρθαι τὸν λογον ἐν αὐτοῖς· ὁ γαρ Ἡρακλῆς ἀντὶ τοῦ λόγου λαμβάνεται. Ὅτι δ᾽ ἐκεῖνοι χαίρειν οἷον εἰπόντες τῷ Ἡρακλεῖ, ἀφθόνως ἐχρῶντο ταῖς ἡδοναῖς, καὶ ταῦτα μεθ᾽ ἑαυτῶν ἔχοντες Ἡρακλέα, τὸν ἀνίκητον λόγον, εἰς ἀκρασίαν ῥέπειν φαίνονται. Ὅτι δ᾽ αὖ αὐτοὶ

*) Leg. ὅπῃ καὶ ἔκυρσαν.

**) Ad v. 865.

***) Ad v. 868.

συνεωρακότες τὸ δεινὸν καὶ καταφρονήσαντες τῆς σωματικῆς ἡδονῆς πάλιν ἐπὶ τοὺς πόνους καὶ τὰς Ἡρακλέους ἐτράπησαν καρτερίας, ἐγκρατεῖς ἀναφαίνονται.

V. 879. Ὡς δ' ὅτε λείρια. Λείρια νῦν μὲν τὰ ἄνθη πάντα παρὰ Θεοφράστῳ ἐν τῷ περὶ φυτῶν. *) καί τι ἄνθος ἰδίως λέγεται λείριον, οἷον τὸ τοῦ ναρκίσσου. Λέγεται λείριον καὶ τὸ κρίνον.

V. 880. Σιμβληΐδα δὲ πέτραν λέγει, ἐν ᾗ αἱ μέλισσαι καθάπερ ἐν σίμβλοις τὸ μέλι ἐργάζονται. Σίμβλα δέ εἰσιν ἀγγεῖα, ἐν οἷς τὸ μέλι ἐργάζονται αἱ μέλιτται.

V. 881. Τὸ δὲ ἄλλοτε ἄλλον εἴρηται κατὰ ζῆλον Ἰσοκράτους εἰπόντος, ἀπὸ πάντων τῶν ἀνθέων τὰς μελίσσας συλλέγειν τὰ κάλλιστα.

V. 883. Τὸ δὲ κινυρόμεναι, ἀντὶ τοῦ κλαίουσαι καὶ θρηνοῦσαι κεῖται.

Πρὸς δὲ τοὺς ἐπιλαμβανομένους τῆς παραβολῆς, ὅτι οὐ πάντα τὰ λεγόμενα ἁρμόττει τοῖς προκειμένοις, ῥητέον, ὅτι τὰ μὲν τῆς παραβολῆς πρὸς σαφήνειαν τοῦ γενομένου λαμβάνεται, τὰ δὲ πρὸς κάλλος μόνον καὶ ἔκφρασιν συντελεῖ.

V. 885. Ὅρα δὲ, ὅτι ὡς ἀσθενεῖς αἱ γυναῖκες ἀεὶ εἰς εὐχὴν τρέπονται.

V. 888. Νείσαιο. Νείσομαι μὲν τὸ πορεύομαι σημαίνει.

V. 890. Τὸ δὲ τοὶ ἀντὶ τοῦ σαυτῷ, πρωτότυπος ἀντὶ συνθέτου ἀντωνυμίας.

V. 894. Μενοινὴ δὲ ἡ γνώμη.

V. 895. Προτιόσσομαι δὲ τὸ προορῶμαι.

---

*) Locus ab interpunctione laborat. Conf. Schol. edit.

V. 897. Ἐξανύσαι δὲ τὸ τελέσαι.

Ἡ δὲ εὐχὴ πάνυ περιπαθὴς καὶ ἐρωτική.

V. 899. Τὸ δὲ ἀγαιόμενος, ἀντὶ τοῦ θαυμάζων τῆς διαθέσεως καὶ τοῦ ἔρωτος.

V. 902. Τὸ δὲ Πελίαο ἕκητι, ἀντὶ τοῦ χάριν τοῦ Πελίου. Οἰκεῖος δὲ ὁ τρόπος τῆς τοιαύτης φράσεως καὶ λογογράφοις. Σοῦ γὰρ, φαμὲν, ἕνεκεν ζῶ, ἀντὶ τοῦ, ὅσον τὸ ἐπὶ σοί.

V. 907. Δύη δὲ ἡ κακοπαθεία. Ἐντεῦθεν καὶ τὸ ἐνδυκὲς, κατ' ἐπένθεσιν τοῦ κ̄, ὥς φησι Τρύφων, ἐνδυὲς γὰρ καὶ ἐνδυκὲς, τὸ μετὰ πόνου γινόμενον, καὶ ἐνδυκέως ἐπίῤῥημα.

Τὸ δὲ ἄκος σημαίνει τὸ ἴαμα καὶ τὴν θεραπείαν.

V. 908. 909. Τοῦ δὲ ἵν' ἄνδιχα καὶ τῶν ἑξῆς οὕτως ἀκούειν δεῖ· ἵν' ἄνδιχα καὶ χωρὶς ἐμοῦ τοῦ βασιλέως οἱ οἰκειακοὶ, τοῦτο γὰρ σημαίνει τὸ ἐφέστιοι, πορσύνωνται ἐν τοῖς σφοῖς δώμασιν, ἤγουν ἐν ταῖς σφετέραις οἰκίαις. Τὸ δὲ ὅλον, ἵνα χωρὶς ἐμοῦ ἔχωσιν εἰδέναι πράττειν τὰ κατὰ αὐτούς.

V. 910. Τὸ δὲ παροίτερος, ἀντὶ τοῦ πρότερος, ἀπὸ τοῦ πάρος ἐρχημάτισται. Καὶ Ὅμηρος·

Ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι.

Ὅρα δὲ, ὅπως πέφυκε τὸ ἀρχόμενον ἐξομοιοῦσθαι τῷ ἄρχοντι. Ὅτε μὲν Ἰάσων ἔχαιρε ταῖς σωματικαῖς ἡδοναῖς, καὶ οἱ λοιποὶ τῶν Ἀργοναυτῶν τοῦτο ἔπραττον. Ὅτε δὲ οὗτος τοῖς πόνοις ἐνέδωκεν, ἅπαντες ἔχαιρον τῷ πονεῖν.

V. 912. Τὸ δὲ ἐνσχερὼ ἐφεξῆς σημαίνει καὶ κατὰ τάξιν.

V. 913. Ἀλμυρὶς δὲ πέτρα λέγεται ἡ ὑπὸ τῆς

θαλάσσης περιῤῥεομένη. Ἁλιμυρήεντες δὲ ποταμοὶ, οἱ εἰς τὴν θάλατταν ἐκβάλλοντες.

V. 915—921. Ἑσπέριοι. Ἀτλαντίδος νῆσον τὴν Σαμοθράκην φησὶν, διὰ τὸ ἐν αὐτῇ οἰκῆσαι Ἠλέκτραν τὴν Ἄτλαντος θυγατέρα, ἣν οἱ ἐγχώριοι Στρατιγίδα ἐκάλουν· ὡς δὲ Ἑλλάνικός φησιν, Ἠλεκτρυώνην. Γεννῆσαι δὲ αὐτὴν ἐκ Διὸς τρεῖς παῖδας, Δάρδανον, τὸν ἐν τῇ Τροίᾳ κατοικήσαντα, ὃν καὶ Πολυάρχην ἐκάλουν, καὶ Ἠετίωνα, ὃν καὶ Ἠσίωνα ἐκάλουν· κεραυνωθῆναι δέ φασιν αὐτὸν διὰ τὸ ὑβρίζειν εἰς τὸ ἄγαλμα τῆς Δήμητρος· καὶ Ἁρμονίαν, ἣν ἔγημεν ὁ Κάδμος. Καὶ διὰ τοῦτο καὶ τὰς Θήβας *) πύλας Ἠλεκτρίδας ἐκάλεσαν ἀπὸ τῆς μητρὸς αὐτῆς. Ταῦτα ἱστορεῖ Ἑλλάνικος ἐν ᾱ Τρωϊκῶν, καὶ Ἰδομενεὺς ἐν ᾱ Τρωϊκῶν.

Τοὺς δὲ μυοῦντας ἐν Σαμοθράκῃ Καβείρους εἶναί φησι Μνασέας τρεῖς ὄντας τὸν ἀριθμὸν, Ἀξίερον, Ἀξιόκερσαν, Ἀξιόκερσον. Ἀξίερον μὲν εἶναι τὴν Δήμητραν, Ἀξιόκερσαν δὲ τὴν Περσεφόνην, Ἀξιόκερσον δὲ τὸν Ἅιδην. Οἱ δὲ προστιθέασι καὶ τέταρτον, Κασμῖλον. Ἔστι δὲ οὗτος ὁ Ἑρμῆς, ὡς ἱστορεῖ Διονυσόδωρος. Ἀθηνίων δέ φησι, δύο εἶναι τοὺς Καβείρους, γεγονότας υἱοὺς Διὸς καὶ Ἠλέκτρας τῆς Ἄτλαντος, Δάρδανον καὶ Ἰάσονα· Καβείρους δὲ ὀνομασθῆναι ἀπὸ Καβείρου ὄρους ἐν Φρυγίᾳ, ὅθεν εἰς Σαμοθράκην μετηνέχθησαν. Οἱ δέ φασι, δύο πρότερον εἶναι τοὺς Καβείρους, Δία τε πρεσβύτερον καὶ Διόνυσον νεώτερον. Μυεῖσθαί τέ φασι τοὺς μυομένους περιεζωσμένους ταινίας πορφυρᾶς, καὶ τοὺς μυηθέντας ἐν τοῖς κατὰ θάλασσαν κινδύνοις διασώζεσθαι. Τὸν οὖν Ὀδυσσέα φησὶ μυηθέντα καὶ

*) Leg. Θήβης.

χρησάμενον τῷ κρηδέμνῳ ἀντὶ ταινίας σωθῆναι ἐκ τοῦ θαλασσίου κλύδωνος, θέμενον ὑπὸ τὴν κοιλίαν τὸ κρήδεμνον. Οὐ μόνον δ' ἐν τοῖς κατὰ θάλατταν κινδύνοις οἱ μυηθέντες διασώζονται, ἀλλὰ καὶ εἰ τύχοι ἂν παντὸς, οὗ ἂν τυχεῖν εὔξαιτο ὁ μυηθείς. Τὸν οὖν Ἀγαμέμνονα φασὶ, ἐν ταραχῇ καὶ στάσει μεγάλῃ τῶν Ἑλλήνων ὄντων ἐν Τροίᾳ, μυηθέντα τε καὶ ἔχοντα τὴν πορφυρίδα καταπαῦσαι τὴν στάσιν. Διὸ καὶ Ἀριστοφάνης φησί·

Ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθράκῃ τυγχάνει
μεμυημένος, νῦν εὔξασθαι καλόν.

Σωστικὰ γὰρ πάνυ τὰ μυστήρια ταῦτα φησίν. Διὸ καὶ Ἀπολλώνιος τὴν αἰτίαν ἀποδιδοὺς τοῦ μυηθῆναι τοὺς Ἀργοναύτας, ἵνα, φησὶν, σαώτεροι ναυτίλλωνται.

Ἀγανὰς δέ φησιν αὐτὰς τὰς τελεσφορίας, δηλονότι θείας καὶ ὁσίας μυσταγωγίας. Τὸ γὰρ ἀγανὸν τὸ ὅσιον ἐνταῦθα σημαίνει.

Θέμιστας δέ φησι τὰ μυστήρια.

Ταῦτα δὲ καὶ ὄργια ἐκάλουν, ἢ ἀπὸ τοῦ εἴργειν τοὺς ἀμυήτους, ἢ ἀπὸ τοῦ ἐν ταῖς ὀργάσι γίγνεσθαι. Ὀργάδες δέ εἰσιν οἱ σύμφυται καὶ κάθυγροι τόποι.

Ἡ δὲ Σαμοθράκη Λευκωσία πρότερον ἐκαλεῖτο, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν τῇ Σαμοθράκης πολιτείᾳ. Ὕστερον δὲ ἀπὸ Σάου, υἱοῦ Ἑρμοῦ καὶ Ῥήνης, Σάμον κληθῆναι, ἐπεντεθέντος τοῦ μ̄. Τῶν δὲ Θρακῶν οἰκησάντων αὐτὴν, Σαμοθράκην κληθῆναι.

Τὸ δὲ προτέρω, κυρίως μὲν λαμβάνεται ἀντὶ τοῦ εἰς τοὔμπροσθεν· καταχρηστικῶς δὲ ἐνταῦθα ἐπὶ τοῦ λόγου ἐτέθη. Περαιτέρω γοῦν, φησὶν, οὐδὲν ἐρῶ περὶ τῶν μυστηρίων τούτων· ἀλλὰ χαίροι μὲν ἡ νῆσος ἡ Σα-

μοθράκη, χαίροιεν δὲ καὶ οἱ δαίμονες οἱ κατοικοῦντες τὴν νῆσον καὶ λαχόντες τὰ μυστήρια ἐκεῖνα· οὐ γὰρ θέμις αὐτὰ τοῖς ἀμυήτοις λέγειν.

V. 922. Κεῖθεν δ' εἰρεσίῃ. Μέλας πόντος, κόλπος τις τῆς θαλάσσης οὕτω καλούμενος, ὥς φησιν Εὔδοξος ἐν γῆς περιόδῳ *). Ὄπισθεν δὲ αὐτοῦ εἶναι φησὶν τὴν καλουμένην Σαρπηδονιαν πέτραν. Ὅτι δὲ οὕτω καλεῖται, καὶ Ὅμηρος μαρτυρεῖ·

Ἔμπεσε μέλανι πόντῳ.

Καλεῖται δὲ οὕτω, ἢ ἀπὸ Μέλανος υἱοῦ Φρίξου ἐκεῖσε πεσόντος, ἢ ἀπὸ Μέλανος ποταμοῦ ἐκεῖσε ῥέοντος.

V. 923. Περαίην δέ φησι νῦν τὴν ἐξ ἐναντίας τῆς Θράκης κειμένην νῆσον. Οὕτω γὰρ κεῖται ἡ Ἴμβρος πρὸς τὴν Θράκην.

Ἔς τ' Ἴμβρον τε Σάμον καὶ Λῆμνον.

Σάμον δὲ τὴν Σαμοθράκην λέγει.

V. 925. Χεῤῥόνησον δὲ νῦν τὴν μετὰ Θράκην κειμένην, ἥτις ἦν πρότερον νῆσος. Κεῖται δὲ κατ' ἀντικρὺ τῆς Τροίας. Ἔστι δὲ καὶ ἑτέρα Χεῤῥόνησος ἐν Καρίᾳ, ἐξ ἧς ἦν Ἀλέξανδρος ὁ γράψας περὶ Καρίας.

V. 927. Ἀθαμαντίδος. Ἀθαμαντίδα τὴν Ἕλλην φησὶ πατρωνυμικῶς. Ἀθάμαντος γὰρ ἦν θυγάτηρ.

V. 929. Ῥοιτειάδα δὲ ἀκτὴν, τὴν τοῦ Ῥοιτείου. Ῥοίτειον δὲ ἐκλήθη ἀπὸ Ῥοιτειας θυγατρὸς Πρωτέως.

V. 932. Περκώπη δὲ πόλις, ἧς καὶ Ὅμηρος μέμνηται.

Ἀβαρνὶς δὲ πόλις Ἑλλησπόντου πλησίον Λαμ-

---

*) Conf. Bast. Epist. Crit. ad Boissonad. p. 77.

ψάκου, κληθεῖσα οὕτως ἀπὸ αἰτίας τοιαύτης. Ἀφροδίτη συνεγένετο *) ἐρασθεῖσα αὐτοῦ. Ἔπειτα ἀναχωρήσαντος εἰς τὴν Ἰνδικὴν ἐκείνου, συνεγένετο αὐτῇ Ἄδωνις. Ὕστερον δὲ ἐπανελθόντος Διονύσου, στέφανον πλέξασα ἡ Ἀφροδίτη, ἔστεψε μὲν αὐτὸν ὑπαντήσασα· ἀκολουθῆσαι δ' οὐκ ἤθελεν αἰδουμένη διὰ τὸ ἤδη γεγαμῆσθαι. Εἰς Λάμψακον δὲ ἀναχωρήσασα ἐβούλετο τεκεῖν τὸν κυοφορούμενον ἐν αὐτῇ παῖδα. Ἥρα δὲ ζηλοτυπήσασα μεμαγευμένῃ τῇ χειρὶ τῆς γαστρὸς ἥψατο, καὶ ἐποίησε τεκεῖν παῖδα τά τε ἄλλα δύσμορφον καὶ αἰδοῖον ἔχοντα ὑπερμέγεθες, ὃν καὶ προσηγόρευσαν Πρίαπον. Ἰδοῦσα δὲ ἡ Ἀφροδίτη, οὐκ ἠξίωσεν ἀναλαβέσθαι, τά τε ἄλλα μισήσασα τὸν παῖδα, καὶ διὰ τὸ ἀπρεπὲς τοῦ αἰδοίου. Διὰ οὖν τὸ τὴν Ἀφροδίτην ἀπαρνηθῆναι τὸν παῖδα ἐκεῖ, Ἀπαρνὶς ἡ πόλις ἐκλήθη· εἶτα κατὰ μεταποίησιν τοῦ π̄ εἰς τὸ β̄ Ἀβαρνὶς ὠνομάσθη.

V. 933. *Πιτύειαν δὲ τὴν Λάμψακον λέγει.* Διὰ τὸ τὸν Φρίξον ἐκεῖ θησαυρὸν καταλιπεῖν, τὸν δὲ θησαυρὸν πιτῦγιν ὑπὸ Θρακῶν καλεῖσθαι, Πιτύεια ἐκλήθη ἡ πόλις. Μέμνηται καὶ Ὅμηρος ταύτης·

Καὶ Πιτύειαν εἶχον.

V. 935. *Πορφύροντα* δέ φησι τὸν μεμελανωμένον τοῖς ῥοθίοις, καὶ σφόδρα κύματα ἔχοντα.

V. 936. *Ἔστι δέ τις αἰπεῖα.* Προποντὶς μὲν τὸ κατὰ τὸν Ἑλλήσποντον πέλαγος, μεθ' ὅ ἐστιν ὁ Θρακικὸς Βόσπορος. *Νῆσον* δέ φησι τὸν περὶ Κύζικον τόπον, ὅστις νῦν χεῤῥόνησος γέγονε.

---

*) Deest *Διονύσῳ*.

V. 937. *Πολυλήϊον* δὲ τὴν *Φρυγίαν* λέγει, δηλονότι πολύπορον, ἢ καὶ πολυθρέμμονα.

V. 938. Τὸ δὲ *ἐπιμύρεται*, ἀντὶ τοῦ βοᾷ καὶ ἐπικλύζεται.

Ἰσθμὸς δὲ λέγεται ἡ μεταξὺ δύο θαλασσῶν στενὴ γῆ. Πορθμος δὲ τοὐναντιον, ἡ μεταξυ δυο γαιῶν στενὴ θαλασσα Λέγεται δὲ ἰσθμὸς οἱονεὶ εἰσισμός τις ὢν, καὶ κατὰ συγκοπὴν καὶ ἐπένθεσιν τοῦ Θ καὶ συστολὴ της ἀρχούσης ἰσθμός. Ἰσθμὸς δὲ ὁ καὶ τράχηλος *), καὶ διὰ τὸ εἰσιέναι εἰς αὐτὸν τὴν τροφὴν, καὶ διὰ τὸ στενὸς εἶναι. Ὅλως γὰρ τὰ ὑποστενα ἰσθμοὺς εἰώθασι λέγειν. Διὸ καὶ παρίσθμια τὰ περὶ τὸν τράχηλον. Ἴσθμια δὲ ἑορτὴ διὰ τὸ γινεσθαι ἐν Ἰσθμῷ τῆς Πελοποννήσου.

V. 939. *Ἐπιπρηνὴς* δὲ ἀντὶ τοῦ ἔμπροσθεν.

Καταειμένος ἀντὶ τοῦ κατακεκαλυμμένος φυτοῖς. Οἱ δὲ καὶ ἀντὶ τοῦ περιῤῥεόμενος ἔφασαν. Καταήμενος δὲ, ὁ περιπνεόμενος, η̄.

V. 940. *Ἀμφίδυμος* δὲ λιμὴν ὁ δύο ἔχων εἰσόδους. Τοιοῦτος δὲ ὁ τῆς Κυζίκου, ὃν καὶ πανορμον ἔλεγον. Ἐξ οὗ καὶ Πανόρμος πόλις ἐν Σικελίᾳ.

Αἴσηπος δὲ ποταμὸς Κυζίκου.

V. 941. Τὸ δὲ *Ἄρκτον δέ μιν* πρὸς τὸ αἰπεῖα ἀναφέρεται. Τὴν γαρ τοιαύτην αἰπεῖαν νῆσον Ἄρκτον ὄρος καλοῦσιν οἱ περίοικοι. Καλεῖται δὲ οὕτως, ἢ διὰ τὸ τὰς τροφας **) τοῦ Διὸς ἐκεῖ εἰς ἄρκτον καταμορφωθῆναι ***), ἢ διὰ τὸ εὔθηρον εἶναι τὸν τό-

*) Leg. mutato verborum ordine, καὶ ὁ τρ.

**) Leg. τροφούς.

***) Cave hinc *καταμορφοῦν* in Lexica inferas: nam corrigendum *μεταμορφωθῆναι*.

πον. Ἀπὸ γοῦν τῆς ἄρκτου τοῦ θηρὸς οὕτω κληθῆναι. Οἱ δὲ καὶ διὰ τὸ ὑψηλὸν ειναι τὸ ὄρος. καὶ οἱονεὶ προσεγγίζει ταῖς ἀστρωοις ἄρκτοις.

V. 943. Περὶ δὲ τῶν τοιούτων Γηγενῶν ἱστορεῖ καὶ Ἡρόδωρος ἐν τοῖς Ἀργοναυτικοῖς, ὅτι ἐπολέμησαν Ἡρακλεῖ.

V. 948—950. Αἰνήϊον δὲ λέγει τὸν Κύζικον, ὡς ὄντα τοῦ Αἰνηέως υἱόν. Αἰνηεὺς γὰρ, υἱος Ἀπόλλωνος καὶ Στίλβης, ἀφ᾽ ἧς καὶ πόλις ὠνόμασται, τῆς θυγατρὸς Εὐανθειας, μεταστὰς ἐκ Θεσσαλιας, ᾤκησε τὸν Ἑλλήσποντον, καὶ γήμας Αἰνήτην, θυγατέρα Εὐσώρου τοῦ Θρακῶν βασιλέως, ἔτεκεν ἐξ αυτῆς Κυζικον, αφ᾽ οὗ καὶ η πόλις Κύζικος ἐκλήθη. Τοῦ δὲ Ευσώρου μέμνηται καὶ Ὅμηρος λέγων·

Υἱὸν Εὐσώρου Ακάμαντ᾽ ἠΰν τε μέγαν τε.

V. 953. Τὸ δὲ προὔτυψεν, ἀντὶ τοῦ ὥρμησε καὶ ἀπέλασεν *).

V. 957. Ἀρτακία δὲ ἔστι κρήνη Δολιονίας, ἧς καὶ Ἀλκαῖος μέμνηται καὶ Καλλίμαχος. Ἐν ταύτῃ δὲ κατέλιπον οἱ Ἀργοναυται τὸν λιθον, διὰ τὸ βεβρῶσθαι ὑπὸ τῆς θαλάσσης, ᾧ ἀντὶ εὐνῆς καὶ ἀρκύρας ἐχρῶντο. Συνυπακουεται γὰρ ἡ ἀντὶ προθεσις.

V. 959. 960. Οἱ δὲ Νηλεΐδαι, ἤτοι οἱ μετὰ Νηλέως τοῦ Κόδρου ἀποικιαν εἰς τὴν Ἀσίαν ἀγαγόντες, ἢ καὶ οἱ ἀπόγονοι αυτοῦ, λαβόντες τὸν λίθον, κατὰ χρησμὸν τοῦ Ἀπόλλωνος ἀνέθεσαν ἐν τῷ ναῷ τῆς Ἰασονίας Ἀθηνᾶς.

Ὀλίγον δὲ λίθον τὸν μικρὸν ἔφη, ὡς καὶ Ὅμηρος ὀλίγην τράπεζαν, καὶ Θεόκριτος ὀλιγον κοῦρον. **)

*) F. ἐπήλασεν.

**) Ad v. 955.

V. 961. Τοὺς δ' ἄμυδις. Φιλοφρόνως δέχονται οἱ Δολίονες τοὺς Ἀργοναύτας, διὰ τὸ καὶ αὐτοὺς ἀνέκαθεν Θετταλοὺς ὄντας ἐκεῖθεν εἰς Ἑλλήσποντον ἀποικισθῆναι.

V. 962. Στόλον δὲ τὸν πλοῦν φησὶ τῶν Ἀργοναυτῶν.

V. 964. Τὸ δὲ προτέρω, ἀντὶ τοῦ ἐνδοτέρω.

V. 965. Τὸ δὲ ἀνάψαι, ἀντὶ τοῦ δῆσαι.

Ἐοίκασιν οὖν ἐκτὸς ὁρμῆσαι *) τὴν ναῦν οἱ Ἀργοναῦται. Διὰ τοῦτο καὶ πείθονται ὑπὸ τῶν Δολιόνων ἐνδοτέρω ὁρμίσαι ἐν τῷ λιμένι τῆς πόλεως.

V. 966. Ἔνθ' οἵγ' Ἐκβασίοιο. Ἀπὸ τῆς ἐκβάσεως τῆς νεὼς ἐπὶ τὴν Δολιονίαν οὕτως ἐκλήθη. Δηΐοχος οὐκ Ἐκβασίου, ἀλλὰ Ἰασωνίου Ἀπόλλωνος φησὶ τὸ ἱερὸν καλεῖσθαι. Σωκράτης δὲ ἐν ταῖς Ἐπικλήσεσι Κυζικηνοῦ Ἀπόλλωνος φησὶ καλεῖσθαι.

V. 970. Ὁ δὲ στόλος ἐνταῦθα ὡς περιληπτικὸν ὄνομα συντάσσεται πρὸς πληθυντικὸν ῥῆμα, τὸ ἵκωνται.

V. 972. Ἶσόν που κἀκείνῳ. Δηλονότι ὁ Κύζικος ἐπίσης νέος ἦν τῷ Ἰάσονι.

Ἴουλος μὲν ἐνταῦθα σημαίνει τὴν πρώτην ἐξάνθησιν καὶ ἔκφυσιν τῶν τριχῶν τῶν ἐν τῷ γενείῳ. Ἐρατοσθένης δὲ καὶ ὄνομα ᾠδῆς ἐρίθου ἀπέδωκεν ἐν τῷ Ἑρμῇ λέγων οὕτως·

Ἦν δ' ἄρα χερνῆτις τὶς ἐφ' ὑψηλοῦ πετεῶνος
δενδαλίδας τεύχουσα. καλοὺς δ' ἤειδεν ἰούλους.

Δίδυμος δὲ οὐκ εἶναι φησὶ τοῦτο ἀληθές. Ἀλλ' ἔστιν ὁ ἴουλος ὕμνος εἰς Δήμητραν, ὡς ὄρπιγγος παρὰ Τροι-

---

*) Leg. ὁρμίσαι.

ζηνίοις εἰς Ἄρτεμιν. Ἔστι γὰρ οὖλος καὶ ἴουλος ἡ ἐκ τῶν δραγμάτων συναγομένη δέσμη. Καὶ Ουλὼ ἡ Δημητηρ λέγεται. Ἴουλος καὶ θηρίον τι πολλοὺς ποδας ἔχον ἑκατέρωθεν, ὥσπερ ἡ σκολόπενδρα. Τοῦτο δὲ Θεόφραστος ἐν τῇ πρὸς Φανίαν ἐπιστολῇ καὶ ὄνον καλεῖσθαι φησὶν, ὡς παρα Σοφοκλεῖ ἐν Κωφοῖς Σατύροις:

Κυλισθεὶς ὥσπερ ὄνος ἰσόπριος.

Τὸ δὲ σταχύεσκον, ἀντὶ τοῦ ηὔξανον καὶ ἤνθουν.

V. 973. Οὐδέ νύ πω παίδεσσι. Τὸ μὲν μεμόρηται, ἀντὶ τοῦ κεκλήρωτο, καὶ μεμοιρασμένον *) ἦν αὐτῷ. Τὸ δὲ ἀγαλλόμενος, ἀντὶ τοῦ ἀγάλλεσθαι, μετοχὴ ἀντὶ τοῦ ἀπαρεμφάτου.

V. 974. Ἀκήρατος δὲ ἡ καθαρὰ καὶ ἄπειρος ὠδίνων.

V. 976. Κλειτὴ δὲ ἦν ἡ γυνὴ Κυζίκου, θυγάτηρ Μέροπος τοῦ Περκωσιου τὸ γένος, μάντεως, ὡς ἱστορεῖ Δηΐοχος καὶ Ἔφορος.

V. 977. Τὸ δὲ ἀντιπέρηθεν, ἢ τὸ ἐκ τῆς Εὐρώπης δηλοῖ, ἀντίκειται γὰρ ἡ Εὐρώπη τῇ Ἀσίᾳ, ἢ τὸ ἐκ τοῦ ἀντικειμένου τῆς Προποντίδος πρὸς τὴν Κύζικον· τῆς γὰρ Πιτυείας βασιλεὺς ἦν Μέροψ ὁ Περκώσιος, ὡς δηλοῖ Ὅμηρος ἐν Καταλόγῳ.

V. 979. Τὸ δὲ βάλεν ἀπὸ δείματα θυμοῦ τοῦτο ἐμφαίνει, ὅτι χρησμόν τινα ἔοικε φοβεῖσθαι, ὡς μέλλων τεθνήξεσθαι ὑπὸ τῶν Ἀργοναυτῶν.

V. 981. Ἄνυσιν δὲ τὴν πρᾶξιν καὶ τὸ τέλος τῆς ναυτιλίας λέγει.

---

*) Haec forma, cum σ̄ mediâ in syllabâ, nusquam nisi hîc mihi occurrit.

V. 983. 984. Ἐμφαίνει δὲ ἀπράγμονα τὸν Κύζικον· περαιτέρω γὰρ τῆς Προποντίδος οὐδὲν ἐπαγγέλλεται εἰδέναι.

V. 985. Ἐν δὲ τῷ εἰσανέβαν περισσὴ ἡ εἰς.

Δίνδυμον δὲ ἱερὸν ὄρος Ῥέας ἐν Κυζίκῳ. Καλεῖται δὲ οὕτω, ἢ διὰ τὸ δύο μαστοὺς ἀνήκειν, ὥς φησι Φιλοστέφανος, ἢ διὰ τὸ δύο ἐξοχὰς ἔχειν.

V. 987. Χυτὸς δὲ λιμὴν ἐν Κυζίκῳ οὕτω καλούμενος, ὥς φησι Δηΐοχος, διὰ τὸ τοὺς Πελασγοὺς πειράσασθαι χῶσαι κατὰ ἔχθος τῶν Θεσσαλῶν, ὑφ' ὧν ἐξεβέβληντο. Οὗτος δὲ ὑπὸ τῶν Γηγενῶν φησι κεχῶσθαι ποιητικῶς.

Πρότερον δὲ ὅρμον φησὶν, ἐν ᾧ πρότερον ἦσαν ὁρμηθέντες *).

V. 989. Γηγενέες δ' ἑτέρωθεν. Τούτους Δηΐοχος μὲν Θεσσαλοὺς εἶναί φησι ἐγγαστρόχειρας **), ἐπιβουλεῦσαι δὲ τοῖς Ἀργοναύταις διὰ τὸ νομίσαι λῃστὰς εἶναι. Πολύγνωτος δὲ ἐν τοῖς περὶ Κυζίκου λῃστὰς φησὶν αὐτοὺς εἶναι. Ὁ δὲ μῦθος ἀπὸ τοῦ Νεμεείου λέοντος αὐτοὺς γεννᾷ, καὶ ὑπὸ Ἥρας ἐφ' Ἡρακλεῖ τετράφθαι φησίν. Μέμνηται δὲ αὐτῶν καὶ Καλλίμαχος ἐν οἷς φησι·

Τὴν δὲ μίαν κελάδοντος ὑπὲρ ποταμοῖο φυγοῦσαν,
Ἥρης ἐννεσίῃσιν ἀέθλιον Ἡρακλῆϊ
ὕστερον ὄφρα γένοιτο πάγης που δέκτο κεραυνοῦ.

---

*) Leg. ὁρμισθέντες. Conf. not. ad Gregor. Cor. p. 429.

**) Ἐγγαστρόχειρ Lexicis adde. Simplex γαστρόχειρ, etiam Hemsterhusio probatum ad Thom. Mag. p. 182., cur Schneidero minus placuerit quam χειρογάστωρ, causam exputare non possum. In talibus compositis ordo vocum, e quibus constant, haud raro alternat.

V. 995. Τὸ δὲ ἀποῤῥῶγας, ἢ τὸ ἀπεῤῥωγυίας, ἢ τὸ βεβρωμένας σημαίνει ὑπὸ τῆς θαλάσσης.

V. 998. Τὸ δὲ ὧλλοι, ἀντὶ τοῦ οἱ ἄλλοι, τῆς νεωτέρας Ἰάδος ἐστί.

Τὸ δὲ δῆθεν, ἢ παραπληρωματικῶς λαμβάνεται, ὡς ἐνταῦθα, ἢ ἀντὶ τοῦ δηλαδὴ, ἢ ἀντὶ τοῦ ὡς δή.

V. 1002. Τὸ δὲ ἀσπερχὲς, καὶ δὲ ἀδιαλείπτως, καὶ τὸ ἀνεκπλήκτως σημαίνει.

Ὀρινομένους δὲ τοὺς ταρασσομένους.

V. 1003—1005. Οἰκεία δὲ ἡ παραβολή. Δούρατα μὲν ἤγουν ξύλα λαμβάνει ἀντὶ τῶν Γηγενῶν, καὶ *) διὰ τὸ εὐτράπελον τῶν σωμάτων, ἢ ὅτι ἐν τοῖς ὄρεσι διῆγον. Δρυοτόμοις δὲ, ἀντὶ τοῦ κατὰ στελέχη. Καλῶς δὲ ἔφη καὶ ὅτι νοτισθέντα ἀνέχονται τοὺς ἥλους ἢ τοὺς σφῆνας. Ἀμφότερα γὰρ δοκεῖ σημαίνειν ὁ γόμφος. Ἐπιτηδειότερα γὰρ γίνεται τὰ ξύλα νοτισθέντα εἰς τὸ δέχεσθαι τοὺς γόμφους.

V. 1006. Ξυνοχὴν δέ φησι τὴν περιφέρειαν τοῦ λιμένος.

V. 1008. Δύπτειν δέ ἐστι τὸ δύνειν καὶ βαπτίζειν. Παρακείμενος δὲ εἴληπται ἀντὶ συντελικοῦ τοῦ δύψαντες. Καὶ Καλλίμαχος δὲ ἀντὶ τοῦ δύνειν λαμβάνει·

δύπται δ᾽ ἐξ ἁλὸς ἐρχόμενοι.

Καὶ Ἀντίμαχος πρὸ αὐτοῦ·

Ἠΰτε καύηξ δύπτει εἰς ἁλμυρὸν ὕδωρ.

V. 1016. Ῥιπὴν δέ φησι τὴν τοῦ ἀνέμου πνοήν.

Θύελλαι δέ εἰσιν αἱ καταιγίδες καὶ συστροφαὶ τῶν ἀνέμων. Ὅμηρος δὲ συνωνύμως λαμβάνει θυέλλας

---

*) Leg. ἤ.

τε καὶ ἁρπυίας. Τὰς γὰρ καταιγιδώδεις πνοὰς οὕτω λαμβάνει. Θύελλα μὲν γὰρ ἀπὸ τοῦ θύειν, τὸ ὁρμᾷν· ἁρπυία δὲ παρὰ τὸ ἁρπάζειν. Φησὶν γοῦν ἐν Ὀδυσσείᾳ·

Ὡς δ' ὅτε Πανδαρέου κούρας ἀνέθεντο θύελλαι.

Καὶ μετὰ ὀλίγα·

Τόφρα δὲ τὰς κούρας ἅρπυιαι ἀνηρείψαντο.

Ἐπὶ τοῦ αὐτοῦ γὰρ ἐνταῦθα λαμβάνει.

V. 1017. Τὸ ἁρπάγδην, ἀντὶ *) τοῦ ἁρπάζειν, ὥσπερ τὸ φοράδην ἀπὸ τοῦ φέρειν, καὶ τὸ ἀΐγδην ἀπὸ τοῦ ἀΐσσειν.

V. 1018. Εὐξείνους δὲ τοὺς Δολίονας εἶπεν, ἴσως δεινοπαθῶν ἐπὶ τῇ ἐσομένῃ συμφορᾷ.

V. 1019. Ἱερὰν δέ φησι τὴν πέτραν κατ' εὐφημισμόν. Εἰώθαμεν γὰρ τὰ μετὰ κακοπαθείας πραχθέντα ἱερὰ καὶ σεμνὰ καλεῖν. Τὰς μὲν γὰρ Ἐριννύας Εὐμενίδας καὶ σεμνὰς καλοῦμεν θεάς· τὴν δὲ λέπραν ἱερὰν νόσον. Ἤδη δέ τινες καὶ τὴν λοιμικὴν οὕτως ἐκάλεσαν. **) Καλλίμαχος·

Ψευδόμενος δ' ἱερὴν φημίζομεν.

V. 1023. Τὸ δὲ ἐπήϊσαν, ἀντὶ τοῦ ᾔσθοντο.

V. 1023. 1024. Ἀνδρῶν Μακριέων. Μακριέας καλεῖ τοὺς Μάκρωνας, οἵτινες οὕτω καλοῦνται κατὰ Διονύσιον τὸν Χαλκιδέα, διὰ τὸ ἀποίκους εἶναι τῶν Εὐβοέων. Μάκρις γὰρ τὸ πρόσθεν ἐκαλεῖτο ἡ Εὔβοια. Ἄλλοι δέ φασιν, οὕτως αὐτοὺς καλεῖσθαι διὰ τὸ τοὺς πλείονας αὐτῶν μακροκεφάλους εἶναι, ὥσπερ οἱ πλείους τῶν Περσῶν γρυποί. Εἰσὶ δ' οἱ καὶ Β.κχείρων ἔθνος

*) Leg. ἀπό.

**) Conf. Bast. Epist. Crit. ad Boissonad. p. 104.

φασὶν τοὺς Μάκρωνας, οἵτινες ἀεὶ πολεμοῦσι Κυζικηνοῖς, ὅμοροι ὄντες καὶ ἠσκηκότες καλῶς τὰ πολεμικὰ, ὥς φησι Φιλοστέφανός τε καὶ Ἡρόδωρος, οἱ τὰ περὶ τῶν βίων αὐτῶν γεγραφότες. Μέμνηται τούτων καὶ Ἡρόδοτος ἐν τῇ θ.

Πελασγικὸν δὲ πόλεμον ἔφη, ἐπειδὴ Εὐβοέων εἰσὶν οἱ Μάκρωνες ἄποικοι· ἡ δὲ Εὔβοια πλησίον ἐστὶ Πελοπονήσου, ἥτις τὸ πάλαιὸν Πελασγία ἐκαλεῖτο.

V. 1026. Τὸ δὲ σὺν δ' ἔλασαν μελίας τε, παρὰ τὸ Ὁμηρικὸν εἴρηται·

Σύν ῥ' ἔβαλον ῥινοὺς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν.

V. 1027. Ῥιπὴν δὲ ἐνταῦθα τὴν ὁρμὴν τοῦ πυρὸς λέγει.

Θάμνους δὲ νῦν τὰ στελέχη τῶν δένδρων φησὶ, ὡς τὸ, θάμνος τανύφυλλος ἐλαίης.

Εἴρηται δὲ τοῦτο παρὰ τὸ Ὁμηρικόν·

Μαίνετο δ', ὡς ὅτ' Ἄρης ἐγχέσπαλος, ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται βαθέης ἐν τάρφεσιν ὕλης.

V. 1029. Ζαμενῆ δέ φησι τὸν ἄγαν ἰσχυρὸν, τοῦ ζα ἐπίτασιν σημαίνοντος, ὡς ἐν τῷ ζάκοτος καὶ ζάπλουτος.

V. 1030. Ἐν δὲ τῷ ὑπὲρ μόρον συνυπακούεται τὸ σχὼν, ἢ ἄλλο τι παραπλήσιον, ἵν' ᾖ, οὐδ' ὅγε, ὁ Κύζικος, ὑπερσχὼν τὸν μόρον τῆς δηϊοτῆτος, ἤγουν τὸν ἐν τῷ πολέμῳ θάνατον, ἔμελλεν ἐπανήξειν οἴκαδε.

V. 1034. Ἐῤῥαίσθη δὲ ἀντὶ τοῦ ἐθραύσθη.

V. 1035. Τὸ δὲ μοῖραν ἀνέπλησε σημαίνει τὸ πρόσταγμα τῆς εἱμαρμένης τελέσαι *). Τὰ δὲ ἑξῆς τὴν

*) Aut hîc corrig. ἐτέλεσε, aut antea ἀναπλῆσαι.

ἰσχὺν τῆς εἱμαρμένης ἐμφαίνει, ὅτι οὐχ οἷόν τε αὐτὴν φυγεῖν. Τοῦτο δὲ Ὅμηρος ἐν πολλοῖς δεικνυσιν.

V. 1037. Ἀδευκέος ἔκτοθεν ἄτης. Ἀδευκῆ λέγει τὴν πικρὰν, ἀπὸ τοῦ ᾱ στερητικοῦ καὶ τοῦ δεῦκος, τὸ γλυκύ. Διὸ καὶ Πολυδεύκης λέγεται ὁ πάνυ γλυκύς· καὶ ζῶν γὰρ εὐεργετικώτατος ἦν, καὶ ἀποθεωθεὶς τῷ ἀδελφῷ συσώζει *) τὰς ναῦς. Παράγοιτ᾽ ἂν δὲ τὸ ἀδευκὲς καὶ ἀπὸ τοῦ στερητικοῦ ᾱ καὶ τοῦ δείκω, ἵν᾽ ᾖ ἀδευκὲς τὸ ἀφανὲς καὶ ἀπροόρατον.

Ἔκτοσθεν δὲ ἀντὶ τοῦ ἐκτός.

Περὶ τῆς ἀναιρέσεως τῶν Δολιόνων διαφωνεῖται. Δηΐλοχος μὲν γάρ φησι, τοὺς Δολίονας, Πελασγοὺς ὄντας καὶ μισοῦντας τοὺς τὴν Θεσσαλίαν καὶ Μαγνησίαν οἰκοῦντας, διὰ τὸ ἀπελασθῆναι ὑπ᾽ αὐτῶν ἐκ τῆς Θεσσαλίας, ἐπιθέσθαι νύκτωρ τοῖς Ἀργοναύταις. Καλλισθένης δὲ ὁμοίως ἐν τῷ ᾱ Περίπλου κατ᾽ ἔχθραν φησὶ τοὺς τὴν Κύζικον οἰκοῦντας νυκτὸς ἐπιθέσθαι τοῖς Ἀργοναύταις. Τούτοις δὲ οὐ συμφωνεῖ τὰ Ἀπολλωνίου. Ὡσαύτως δὲ καὶ περὶ Κυζίκου. Οἱ μὲν γάρ φασιν αὐτὸν ἀναιρεθῆναι ὑπὸ Διοσκούρων· ἄλλοι δὲ, ὑπὸ Ἰάσονος.

Τὸ δὲ ἑεῖο ἐνταῦθα ἰσοδυναμεῖ τῷ ἑαυτοῦ, προσληπτικὸν λεγόμενον τοῖς παλαιοῖς. **)

V. 1040. sqq. Τὰ δὲ ὀνόματα τῶν Δολιόνων πέπλασται τῷ Ἀπολλωνίῳ. Οὐ γὰρ εἴληφεν αὐτὰ ἀπὸ ἱστορίας. Ἡρωδιανὸς δὲ ἐν τῇ καθόλου Ἀτάρκης γράφει βαρυτόνως, ἀλλ᾽ οὐκ Ἀταρκὴς ὀξυτόνως.

*) Scribitur fere συσσώζειν: passim etiam συνσώζειν. V. Markland. ad Euripid. Iphig. Aul. v. 407. et 1209.

**) Ad v. 1032.

V. 1049. *Ἠΰτε κίρκους.* *Κίρκος* εἶδος ἱέρακος ταχύτατον. Ἓξ γὰρ εἴδη ἱεράκων, ὧν μέμνηται Καλλίμαχος ἐν τῷ Περὶ ὀρνέων. Ἔοικεν οὖν καὶ Ὅμηρος τοῦτο γινώσκειν. Φησὶν οὖν·

Οὐδέ κεν ἴρηξ
κίρκος ὁμαρτήσειεν, ἐλαφρότατος πετεεινῶν.

καί·

Κίρκος Ἀπόλλωνος ταχὺς ἄγγελος.

Ὁ δὲ ἱέραξ Ἀπόλλωνος ἱερός.

V. 1050. *Πέλεια* δὲ περιστερᾶς εἶδος, ὁμοία φάττῃ, ὥς φησιν Ἀριστοτέλης.

V. 1052. *Ὑποτροπίαν* δέ φησι τὴν ὑποστροφὴν, ἢ φυγὴν ἀβοήθητον.

V. 1059. Ἐν δὲ τῷ *τρὶς πέρι* ὑπέρβατόν ἐστι, τρὶς περιδινηθέντες.

V. 1060. Τὸ δὲ *κτερεΐξαι*, ἀντὶ τοῦ τύμβον ποιῆσαι. Ταρχύσαι μὲν γὰρ τὸ θάψαι· κτερεΐξαι δὲ τὸ τύμβον ποιῆσαι, καὶ τὰ ἐπὶ τῷ τύμβῳ τελέσαι.

V. 1062. Τὸ δὲ *ἐγκέχυται* Ὁμηρικῶς κατὰ τὴν παλαιὰν ἀγωγήν.

χυτὴν ἐπὶ γαῖαν χεῦαν.

Τοῦ δὲ *λειμωνίου πεδίου* μέμνηται καὶ Δηΐοχος, καὶ τοῦ τάφου τοῦ Κυζίκου. *)

Ἰστέον δὲ, ὅτι Ἀπολλώνιος μὲν νεόγαμόν φησι τὸν Κύζικον· Εὐφορίων δὲ ἐν Ἀπολλοδώρῳ μεγαλόγαμον **). Τὴν δὲ Κλείτην οὔ φησι Μέροπος θυγατέρα, Θρῆσσαν δὲ τὴν Πιάσου· οὐδὲ παθεῖν τι ἐπὶ τῷ τοῦ ἀνδρὸς θανάτῳ, ἀπαχθῆναι δὲ οἴκαδε ὑπὸ τοῦ πατρός. Εὐάνθης δὲ συμφωνεῖ Ἀπολλωνίῳ. Καὶ Δηΐο-

*) Ad v. 1061.

**) Notanda confusio vocum *μεγαλόγαμος* et *μελλόγαμος*.

χος δὲ ὑπὸ τῆς λύπης φησὶν αὐτὴν τελευτῆσαι. Καὶ Ἀπολλώνιος μέν φησιν αὐτὸν ἄπαιδα τελευτῆσαι· Εὐάνθης δὲ, ἐσχηκότα παῖδα ὁμώνυμον ἑαυτῷ Κύζικον.

V. 1065—1069. Τὸ δὲ ἁψαμένη δὲ βρόχον, ἀντὶ τοῦ ἀπήγξατο.

Καὶ Δηΐοχος δὲ καὶ Εὐάνθης ἀπάγξασθαί φασιν αὐτήν· καὶ ἐκ τῶν δακρύων αὐτῆς κρήνην γενέσθαι, κληθεῖσαν ἐπὶ τῷ ὀνόματι αὐτῆς Κλείτην.

Τὰς δὲ Νύμφας φησὶν ὀδύρασθαι τὴν Κλείτην, ἐπαυξῆσαι θέλων τὸ πάθος.

Τὴν δὲ αἰτίαν τοῦ τὰς Νύμφας ἐκεῖ ποιῆσαι κρήνην ἔδειξε διὰ τοῦ, ἵνα τὸ τῆς δυστήνου νύμφης *) περικλεὲς διαμένῃ.

V. 1073. Μυληφάτου ἐμνώοντο. Μυλήφατον φασὶ τὸν ἄρτον, διὰ τὸ θραυόμενον τὸν σῖτον **) ἀλήθεσθαι ὑπὸ τῆς μύλης ἀποτελεῖν τὸ ἄλευρον, ἐξ οὗ ὁ ἄρτος.

V. 1075. Χύτλον δὲ κυρίως τὸ μεθ' ὕδατος ἔλαιον· νῦν δὲ τὰ ἐναγίσματα καὶ τὰς χοὰς χύτλα φησί.

V. 1077. Πέλανοι δὲ πέμματά τινα. Ἀττικοὶ δὲ καὶ πᾶν τὸ πεπηγὸς πέλανον καλοῦσι.

Τοὺς δὲ τὴν Κύζικον ἐνναίοντας, ἤτοι κατοικοῦντας, Ἰάονας φησὶν, ἐπειδὴ Νηλεὺς ὁ Κόδρου εἰς Ἰωνίαν ἀποικίαν ἐστείλατο, ἐκ δὲ Μιλήτου, Ἰωνικῆς πόλεως, μετὰ πολὺν χρόνον ἀποικία εἰς Κύζικον ἀφίκετο. ***)

Ἄφλεκτα δὲ ἔδοντας ἔφη, ἀντὶ τοῦ ὠμά. ****)

Πάνδημον δὲ μύλην φησὶν, οὐ κοινόν τινα μύλωνα, ἀλλ' ὅτι πᾶσα ἡ πόλις ἀλετρεύουσιν,

---

*) Excidit ὄνομα.
**) Excidit ἐν τῷ.
***) Ad v. 1076.
****) Ad v. 1074.

ἤγουν ἀλήθουσι, πελάνους, ἤγουν φαύλους τινὰς ἄρτους καὶ ἀτελεῖς *) καὶ ἀκαθάρτους. Ὡς γὰρ ἔφην, πᾶν τὸ πεπηγὸς καὶ ὀυπαρὸν **) πέλανον οἱ Ἀττικοὶ καλοῦσιν. ***) Εὐριπίδης ἐν Ὀρέστῃ·

Στόματος ἀφρώδη πέλανον.

V. 1079. Ἤμαθ' ὁμοῦ. Τὸ ὁμοῦ παρὰ μὲν Ὁμήρου τὸ ἐν τῷ αὐτῷ τόπῳ σημαίνει·

ὁμοῦ δ' ἔχον ὠκέας ἵππους.

παρὰ δὲ τοῖς μεθ' Ὅμηρον καὶ ἄλλα σημαίνει. Ὡς παρὰ Σοφοκλεῖ·

Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

Ἐνταῦθα δὲ ἀντὶ τοῦ ὁμοίως κεῖται, ὡς παρ' Εὐριπίδῃ·

Ὁμοῦ γέροντες καὶ νέοι καὶ μητέρες.

V. 1080. Ἐπιπλομένην δὲ τὴν ὑπερχομένην ****) φησί.

V. 1081. Τὸ δὲ ὦλλοι τῆς νεωτέρας ἐστὶν Ἰάδος. Διὸ μέμφονται Ζηνοδότῳ γράφοντι·

Ὦλλοι μὲν γὰρ θεοί τε καὶ ἀνέρες.

Οὐ γὰρ κέχρηται ταύτῃ Ὅμηρος.

V. 1082. Πύματον δὲ λάχος, ἀντὶ τοῦ ὕστατον κλῆρον λαμβάνοντες τοῦ ἐν Δολονίᾳ ὑπνοῦν· τῇ γὰρ ἑξῆς ἔμελλον πλεῖν.

V. 1083. Τὸ δὲ ἀδινὰ κνώσσοντας, ἢ ἀντὶ τοῦ μεγάλως καὶ βαθέως ὑπνώττοντας, ἢ κατὰ Ταῤῥαῖον, ἀντὶ τοῦ λεπτὰ καὶ οὐ κατὰ βάθος.

V. 1086. Λῆξιν δέ φησι τὴν κατάπαυσιν καὶ λώ-

---

*) Leg. εὐτελεῖς.
**) Leg. ῥυπαρόν.
***) Ad v. 1077.
****) Leg. ἐπερχομένην.

φησὶν τῶν ἀνέμων, ἣν ἐσήμαινεν ἡ ἀλκυὼν τὸ ὄρνεον παραθαλάσσιον ὂν καὶ ἐν τοῖς αἰγιαλοῖς βιοῦν. Λέγεται δὲ, ὅτι ὁ Ζεὺς πεντεκαίδεκα ἡμέρας, ὡς δέ τινες, τεσσαράκοντα *) εὐδίας ποιεῖ, ἵνα ἀποκυήσῃ ἡ ἀλκυών. Ταύτας δὲ ἀλκυονίδας ἡμέρας καλοῦσιν, ἑπτὰ μὲν οὔσας πρὸ τοῦ τόκου, ἑπτὰ δὲ μετὰ τὸν τόκον. Ἔλαβε δὲ τὰ περὶ τὴν ἀλκυόνα ὁ Ἀπολλώνιος παρὰ τῶν τοῦ Πινδάρου παιάνων.

V. 1087. Εὐλόγως δὲ ὄσσαν εἶπε τὴν τῆς ἀλκυόνος φωνὴν διὰ τὸ ὑπὸ τῆς Ἥρας ἀποσταλῆναι.

Ἀκταίαν οὖν ὄρνιν τὴν ἀλκυόνα λέγει, διὰ τὸ ἐν τοῖς αἰγιαλοῖς διατρίβειν.

V. 1089. Ἄφλαστον δὲ, ὁ μὲν Ἀπολλώνιος ἐν ταῖς Λέξεσιν ἀπέδωκεν τὸ ἀκροστόλιον. Ἔστι δὲ ἀκροστόλιον τὸ τοῦ στόλου ἄκρον. Στόλος δέ ἐστι τὸ ἀπὸ τῆς πτύχης διῆκον ἄχρι τῆς πρώρας ξύλον. Πτύχη δὲ λέγεται, ἐν ᾧ τὸ τῆς νεὼς ἐπιγράφεται ὄνομα. Ὥστε συμβαίνει ἄφλαστον εἶναι καὶ ἀκροστόλιον τὸ τῆς πρώρας ἄκρον. Ἀλλ' ὅ γε Ὅμηρος ἐπὶ τῆς πρύμνης αὐτὸ παραδίδωσι λέγων·

Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν, οὔτι μεθίει
ἄφλαστον μετὰ χερσὶν ἔχων.

Εἴρηται δὲ ἄφλαστον κατὰ συγγένειαν τοῦ φ πρὸς τὸ θ, ἄθλαστόν καὶ ἄφλαστον, οἱονεὶ εὔθλαστόν ὄν. Ἄφλαστον οὖν ἐστι τὸ κατὰ τὴν πρύμναν σανίδιον.

V. 1098. Ἐκ γὰρ τῆς ἄνεμοι. Ἐκ γὰρ τῆς Ῥέας καὶ γῆ καὶ θάλασσα καὶ οὐρανὸς συνέχεται. Οἱ γὰρ φυσικοὶ γῆν αὐτὴν φυσιολογοῦσι, καὶ τὴν τοῦ παντὸς ἁρμογὴν καὶ σύνδεσμον. Καὶ τὸ ὄνομα αὐτῆς ἐτυμολο-

---

*) Leg. τεσσαρεσκαίδεκα.

γοῦσι παρὰ τὸ ῥεῖν καὶ ποιεῖν τείερα *). Φυσικῶς δὲ καὶ ἄνδρα αὐτῆς τὸν Κρόνον ἀποδιδόασιν, οἱονεὶ τὸν χρόνον, κατὰ τροπὴν τοῦ κ̄ εἰς χ̄ **). Σύνεστι γὰρ ἐξ ἀνάγκης τῇ τῶν στοιχείων τάξει ὁ χρόνος. Ἔπειτα ἀλληγορικῶς τούτους καὶ θαλασσίων καὶ οὐρανίων καὶ χθονίων πατέρας εἶναί φασιν. Μετὰ γὰρ τὴν τάξιν καὶ τὸν σύνδεσμον τῶν στοιχείων συνέβη καὶ θεοὺς καὶ θεῶν δυνάμεις καὶ διαφορὰς μαθεῖν τοὺς ἄνδρας καὶ τιμῆσαι.

V. 1099. Τὸ δὲ πεπείρηται, ἀντὶ τοῦ συνέχεται καὶ συνέζευκται.

V. 1109. Ἱερὰν δὲ πέτραν φησὶ, ἧς καὶ ἐν τοῖς πρώτοις ***) μέμνηται, εἰπών·

ἱερὴ δὲ φατίζεται εἰσέτι πέτρη.

V. 1110. Τὸ δὲ ἤρεσαν ἀντὶ τοῦ ἤρεσσον κεῖται, συντελικὸς ἀντὶ παρατατικοῦ.

Λιμένα δὲ Θρηΐκιον φησὶ πλησίον που τῆς Κυζίκου. Ἐπειδὴ ἐπ᾽ ἔσχατα μὲν τῆς Φρυγίας κεῖται ἡ Κύζικος, ἡ δὲ Φρυγία συνάπτει τῇ Βιθυνίᾳ. Κατὰ δὲ τὸ δεξιὸν τῆς Βιθυνίας Θρᾶκες οἰκοῦσιν. Ἢ ἐπεὶ τὸ παλαιὸν Θρᾶκες κατὰ τὴν Κύζικον ᾤκησαν.

V. 1114. Ἠερόεν δὲ λέγει [τὸ τοῦ Βοσπόρου στόμα, οἱονεὶ ἀερῶδες καὶ ὁμιχλῶδες.

---

*) Sic, pro τείρεα.

**) Imo τοῦ χ̄ εἰς κ̄.

***) Leg. προτέροις. Alia exempla confusionis horum nominum v. in Lexic. Xenophont. T. III. p. 743. b. Add. Dorvill. ad Chariton. p. 457. et 620. qui quod ait, „miscentur haec vocabula, vel esse ἰσοδύναμα aliquando necesse est," mihi quidem maior pars locorum, ubi vulgo pro ἰσοδυνάμοις habent, videtur vitium contraxisse.

Βόσπορος δὲ λέγεται τὸ τῆς Προποντίδος στενὸν, ἀπὸ τῆς διανηξομένης *) βοὸς τῆς Ἰοῦς.

Ἐν δὲ τῷ *χερσὶν ἑαῖς* τὸ ἑαῖς ἀντὶ τοῦ ἰδίαις κεῖται. Ὁ δὲ νοῦς· τὸ ἐξ ἐναντίας μέρος τῆς Θράκης, αἱ τῆς Μακριάδος δηλαδὴ σκοπιαὶ, καὶ τὰ λοιπὰ, ὅσα καταλέγει, ἐφαίνετο ἐν ταῖς ἑαυτῶν χερσὶ, δηλαδὴ πλησίον αὐτῶν ὥ τ᾽ ἰδέσθαι **).

Μακρίαδος δὲ λέγει *σκοπιὰς* τὴν τῶν Μακρόνων χώραν. Ἔθνος δὲ Ποντικὸν οἱ Μάκρωνες. ***)

V. 1115. *Ἑτέραν* δὲ *ἤπειρον*, οὐ τὴν Εὐρώπην λέγει. Ἡ γὰρ Μυσία καὶ ὁ Αἴσηπος τῆς Ἀσίας εἰσί. Λέγοι δ᾽ ἂν ἑτέραν ἤπειρον τὴν Τρωάδα, καθ᾽ ἣν ὁ Αἴσηπος ῥεῖ, χωρίζων αὐτὴν ἀπὸ τῆς Μυσίας. Καὶ Ὅμηρος·

Γρήνικός τε καὶ Αἴσηπος.

Ἡ μὲν οὖν Τρωὰς ἄρχεται μὲν ἀπὸ Μυσίας τῆς μεγάλης, λήγει δὲ ἐπὶ Αἴσηπον· ἡ δὲ Δολονία καὶ ἡ Φρυγία ἄρχεται μὲν ἀπὸ Αἰσήπου, λήγει δὲ ἐπὶ Ῥύνδακον. Μυσίαι δὲ δύο, ἥ τε Εὐρωπαία καὶ ἡ Ἀσιανή. Τῆς οὖν ἐν τῇ Ἀσίᾳ φησὶ φαίνεσθαι τὰς κολώνας τοῖς Ἀργοναύταις.

V. 1116. *Καὶ πεδίον Νηπήϊον.* Τὸ πεδίον τὸ Νηπήϊον περὶ τὴν Κύζικον ἐστί. Μνημονεύει δὲ αὐτοῦ καὶ Καλλίμαχος ἐν τῇ Αἰκάλῃ·

Νηπείης ἠδ᾽ Ἄργου ἀοίδιμος Ἀδρήστεια.

Διονύσιος δὲ ὁ Μιλήσιος τῆς Μυσίας πεδίον εἶναί φησι τὴν Νηπειαν. καὶ κατῴκησεν ἐν τούτῳ τῷ πεδίῳ. καὶ ἀπὸ ταύτης ὠνόμασται Νηπείας πεδίον. Ἀπολλόδωρος

---

*) Leg. διανηξαμένης.

**) Leg. αὐτῶν, ὥστ᾽ ἰδέσθαι. Ceterum haec referenda ad v. 1113.

***) Ad v. 1112.

δέ φησι Νηπείας πεδίον, ἐν Φρυγίᾳ. Ὁ δὲ Καλλίμαχος ἐν ὑπομνήματι Νέμεσιν εἶναί φησι τὴν κατέχουσαν τὸ πεδίον. Ἔστι δὲ καὶ πόλις ἐκεῖ καλουμένη Ἀδρήστεια ἀπὸ τοῦ ἱδρυσαμένου. Ὁ δὲ Ἀπολλώνιος ἑκατέρου μέμνηται, τῆς τε πόλεως καὶ τοῦ πεδίου, λέγων·

Ἄστυ τε καὶ πεδίον Νηπήϊον Ἀδρηστείης.

Μέμνηται καὶ Ὅμηρος τῆς πόλεως·

Οἵ δ' ἄρ' Ἀδρήστειαν ἔχον.

V. 1117. Στύπος δὲ λέγεται τὸ πρέμνον καὶ τὸ στέλεχος.

V. 1119. Βρέτας δὲ τὸ βροτῷ ἐοικός.

Ἀπὸ δὲ τοῦ στύπος καὶ τὸ ἀποστυπάζειν. *)

Καὶ Εὐφορίων δὲ ἐντεῦθεν κινηθεὶς **) τὸ ξόανον τῆς Ῥέας φησὶν ἀμπέλινον εἶναι, διὰ τὸ τὴν ἄμπελον ἴσως ἱερὰν εἶναι τῆς Ῥέας.

Τὸ δὲ πρόχνυ, ἀντὶ τοῦ παντελῶς. ***)

Γεράνδρυον δὲ τὸ παλαιὸν ξύλον. ****)

V. 1120. Κολωνὸς δὲ ἡ ἐξέχουσα ἀκρώρεια.

V. 1123. Βωμὸν δὲ, ἀντὶ τοῦ εἰς βωμοῦ κατασκευήν.

Χερὰς δὲ λέγεται ἡ τῶν μικρῶν λίθων συλλογὴ, τῶν καθ' ἕνα χειρὶ ληφθῆναι δυναμένων. Ὁ δὲ Ὅμηρος χερμάδια φησίν. Ἢ χεράδες λέγονται οἱ μικροὶ σωροὶ τῶν λίθων, ὥς φησι Δημήτριος ὁ Σκήψιος κατὰ τὴν Ἀπολλωνιατῶν διάλεκτον τῶν ἐν Πόντῳ. Μέμνηται καὶ Σαπφώ·

---

*) Ad v. 1117.

**) Hoc rarius: frequentiora ὁρμηθεὶς, ὡρμημένος, de quibus v. Ind. III. ad L. Bosii Ellips. p. 917.

***) Ad v. 1118.

****) Ad v. 1118.

Μὴ κενὴ χεράδος.

Καὶ Ὅμηρος·

ἅλις χεράδος περιχεύας.

Λίθους οὖν ἐσώρευον πρὸς οἰκοδομὴν βωμοῦ.

V. 1124. Δρυΐνοις δὲ φύλλοις στέφονται, διὰ τὸ ἱερὸν εἶναι τῆς Ῥέας τὸ δένδρον. Ἱερὸν δέ ἐστι τὸ δένδρον τῆς Ῥέας, ὥς φησιν Ἀπολλόδωρος ἐν τῷ γ Περὶ θεῶν, διὰ τὸ χρησιμεῦσαι πρὸς στέγας αὐτὸ καὶ πρὸς τροφήν.

V. 1125. Δινδυμίην δέ φησι τὴν Ῥέαν, διὰ τὸ τιμᾶσθαι αὐτὴν ἐν τῷ ὄρει Δινδύμῳ.

Τὸ δὲ ἀγκαλέοντες, ἀντὶ τοῦ ἀνακαλούμενοι καὶ ἱκετεύοντες.

V. 1126. sqq. Τιτίην θ' ἅμα Κύλληνόν τε. Τοὺς Ἰδαίους καλουμένους Δακτύλους. Πρώτους φησὶν εἶναι παρέδρους τῆς μητρὸς τῶν θεῶν, ἀκολουθῶν Μενάνδρῳ λέγοντι, τοὺς Μιλησίους, ὅταν θύωσι τῇ Ῥέᾳ, προσθύειν *) Τιτίᾳ καὶ Κυλλήνῳ· εἶναι δὲ τούτους τῶν Ἰδαίων Δακτύλων μοιρηγέτας καὶ παρέδρους τῆς μητρὸς τῶν θεῶν. Καλλίστρατος δὲ ἐν τῷ δευτέρῳ τῶν καθ' Ἡράκλειαν περὶ Τιτίου φησί· Τιτίας ἥρως ἐγχώριος, ὃν οἱ μὲν μυθεύονται παῖδα Διὸς εἶναι, οἱ δὲ τὸν πρεσβύτερον τῶν Μαριανδηνοῦ παίδων τοῦ Κιμμερίου. Καὶ Προμαχίδας δὲ Νύμφη τις Ἀγχιάλη Οἰαξίδος γῆς δραξαμένη ἐποίησε τοὺς Ἰδαίους Δακτύλους. παρὰ Στησιμβρότου εἴληφε **)· καὶ ὅτι διὰ

---

*) Leg. προθύειν. V. Bast. Epist. Crit. ad Boissonad. p. 175.

**) Leg. Καὶ Προμαχίδας δὲ . . . . Ὅτι δὲ Νύμφη — — Δακτύλους, παρὰ Στ. εἴλ. Apparet causa lacunae. Nempe oculus librarii a priori δὲ ad posterius aberravit. Lacuna autem quomodo explenda sit, ostendunt Scholia edita.

τὸ ῥυῆναι αὐτοὺς διὰ τῶν χειρῶν Δάκτυλοι ἐκλήθησαν. Σοφοκλῆς δὲ ἐν Κωφοῖς Σατύροις Φρύγας αὐτοὺς καλεῖ.

V. 1130. *Δίκτη* δὲ ὄρος ἐν Κρήτῃ, ἀφ᾽ οὗ *Δικταῖον σπήλαιον.*

V. 1131. Τὸ δὲ *ἐβλάστησεν* ἀντὶ τοῦ ἐγέννησεν. Ἢ *) τὸ δὲ *δραξαμένη* φησὶ, ἐπειδὴ ἔθος ἐστὶ ταῖς κυούσαις τῶν παρακειμένων λαμβάνεσθαι, καὶ ἀποκουφίζεσθαι τῶν ἀλγηδόνων, ὥσπερ ἡ Λητὼ ἔλαβε **) τοῦ φοίνικος.

Ἐν δὲ τῷ *Οἰαξὶς* προσετέθη τὸ ι. Ὀαξὶς γὰρ Ὀαξίδος ἦν.

Οἱ δὲ τοὺς Ἰδαίους Δακτύλους ἓξ καὶ πέντε φασὶν εἶναι· καὶ τοὺς μὲν δεξιοὺς ἄῤῥενας, τοὺς δὲ ἀριστεροὺς θηλείας. Φερεκύδης δὲ τοὺς μὲν δεξιοὺς εἴκοσι φησὶν εἶναι, τοὺς ***) εὐωνύμους τριάκοντα δύο. Γόητες δὲ ἦσαν καὶ φαρμακεῖς, καὶ δημιουργοὶ σιδήρου λέγονται πρῶτοι καὶ μεταλλεῖς ****) γενέσθαι. Ὠνομάσθησαν δὲ Ἰδαῖοι ἀπὸ τῆς μητρὸς Ἴδης. Ἀριστεροὶ μὲν, ὥς φησι Φερεκύδης, οἱ γόητες αὐτῶν· δεξιοὶ δὲ, οἱ ἀναλύοντες, ὥς φησιν Ἑλλάνικος. Οἱ δέ φασιν, ὅτι Ἰδαῖοι Δάκτυλοι ἐκλήθησαν, ἐπειδὴ ἐν τῇ Ἴδῃ συντυχόντες τῇ

---

*) Dele ἢ, quippe natum e littera ultima verbi praecedentis. V. not. ad Gregor. Cor. p. 426. Xenophon de Republ. Laced. II, 14. ἢ γονεῖς παίδων, ἢ καὶ ἀδελφοὶ ἀδελφῶν εἰς ἀφροδίσια ἀπέχονται. Hic quoque posterius ἢ, ut ex eadem causa ortum, deleam.

**) Imo ἐλάβετο.

***) Excidit δέ.

****) Μεταλλεὺς cur Schneiderus damnet, ignoro. Proba enim, si qua alia desinens in ευς, vox est, neque hoc uno in loco obvia. Diodorus Sicul. XX. c. 94. in. διὰ τῶν μεταλλέων ὑπορύξαντος τὸ τεῖχος. Mitto Grammaticos, in quorum scriptis saepius legas. V. Pierson. ad Moer. p. 239. et Ruhnken. ad Tim. p. 127.

Ῥέᾳ ἐδεξιώσαντο τὴν θεὸν, καὶ τῶν δακτύλων αὐτῆς ἥψαντο. Ὡς δὲ Μνασέας ἐν τῷ ᾱ περὶ Ἀσίας φησὶν, Ἰδαῖοι Δάκτυλοι λέγονται ἀπὸ τοῦ πατρὸς Δακτύλου καὶ τῆς μητρὸς Ἴδης. Ὁ δὲ τὴν Φορωνίδα συνθεὶς γράφει οὕτως·

ἔνθα γόητες
Ἰδαῖοι Φρύγες ἄνδρες οἰκί' ἔναιον,
Κέλμις, Δαλδαμωνεύς τε μέγας καὶ ὑπέρβιος Ἄκμων,
ἀπάλαμνοι θεράποντες ὀρείης Ἀδρηστείης·
οἳ πρῶτοι τέχνῃ πολυμήτιος Ἡφαίστοιο
εὗρον ἐν οὐρείῃσι νάπαις ἰόν τε σίδηρον,
ἐς πῦρ τ' ἤνεγκαν, καὶ ἀριπρεπὲς ἔργον ἔδειξαν.

V. 1132. Ἡ δὲ ἐ ρ γ ώ λ η γράφεται καὶ ὀξυτόνως ἐργωλή· καὶ σημαίνει ἑκατέρως τὴν τοῦ ἔργου ἀπώλειαν.

V. 1134. Ὀ ρ φ ῆ ο ς ἀ ν ω γ ῇ. Ἀνωγὴν λέγει τὴν παρακέλευσιν τοῦ Ὀρφέως, ἀπὸ τοῦ ἀνώγω, διὰ τὸ αὐτὸν κατάρχεσθαι τῆς ὀρχήσεως.

V. 1135. Β η τ α ρ μ ὸ ν δὲ λέγει τὴν ἁρμόδιον τῶν ποδῶν βάσιν· τοιοῦτος γὰρ ὁ χορός. Λέγει δὲ νῦν τὴν πυρίχην ὄρχησιν. Τὸ δὲ ἑξῆς· ὠρχοῦντο δὲ τοῖς ξίφεσιν τὰς ἀσπίδας κτυποῦντες, διὰ τὸ τὸν Κύζικον θρηνεῖσθαι ὑπὸ τῶν Δολιόνων, ἵνα μή τις, θυσίας οὔσης, δύσφημος φωνὴ ἀναφέρηται.

V. 1138. 1139. Ὅθεν καὶ Φρύγες κυμβάλῳ καὶ τυμπάνῳ τὴν Ῥέαν ἱλάσκονται.

Ῥ ό μ β ο ς δέ ἐστι τροχίσκος, ὃν στρέφουσι ἱμᾶσι τύπτοντες, καὶ οὕτω κτύπον ἀποτελοῦσιν. Ἄλλοι δὲ ῥύμβον καλοῦσιν, ὡς Εὔπολις ἐν Βάπταις, καὶ Δίδυμος.

V. 1141. Ἀ ν τ α ί α ν δὲ λέγει τὴν Ῥέαν, ὅτι ἐναντία

τοῖς Τελχῖσιν ἐγένετο. Οἱ δέ φασιν Ἀνταίαν αὐτὴν, ὅτι ἀλιτάνευτος καὶ ἀσυνάντητός *) ἐστιν.

Σήματα δέ φησι τὰ ἀναδοθέντα ἐκ τῆς γῆς σημεῖα εὐμενείας, τὸ καρποφορεῖν τὰ δένδρα, καὶ τὸ τὴν γῆν φύειν αὐτομάτους βοτάνας. Διὰ δὲ τούτων δεικνυσιν, ὅτι κατὰ τοὺς φυσικοὺς ἡ αὐτή ἐστιν ἡ θεὸς τῇ γῇ.

V. 1143. Τειρήνην μὲν οὖν φησι τὴν ἀπαλὴν καὶ χλωρὰν πόαν.

V. 1144. Εἰλυοὺς δὲ τὰς καταδύσεις τῶν θηρῶν.

Ξυλλόχους δὲ τοὺς ἐν τοῖς ὄρεσιν ὑδώδεις **) τόπους.

Ἡ δὲ σύνταξις καθ' ὑπέρβατον· καταλιπόντες τοὺς ξυλλόχους.

V. 1145—1148. Διὰ πολλῶν δὲ παρίστησι τὸ θαυμαστὸν διὰ τῆς διψάδος, καὶ ὅτι οὐκ ὀλίγον τὸ ἀναδοθὲν ὕδωρ, ἀλλ' ἄληκτον.

Τὸ δὲ νᾶεν, ἀντὶ τοῦ ἔῤῥει. Ὡς καὶ Ὅμηρος·

νᾶεν δ' ὀρῶ ἄγγεα πάντα.

Ὡς οὐ δεῖ γράφειν, καὶ τοῦ ***) νάω γὰρ μακρὰ ἡ παραλήγουσα.

Ἡ δὲ σύνταξις κατὰ μετάθεσιν· ὡς τὸ, ῥέε δ' αἵματι γαῖα, ἀντὶ τοῦ, αἷμα ἔῤῥεεν ἐν τῇ γῇ. Ἢ μεταληπτέον τὸ νᾶεν εἰς τὸ κατάῤῥυτος ἦν· ἵν' ᾖ, κατάῤῥυτον ἦν τὸ Δύνδιμον ὕδασι.

Τὸ δὲ ἀνεβράχθη, ἀντὶ τοῦ ἀνεδόθη.

Ἡ δὲ διψὰς τὴν ξηρὰν γῆν σημαίνει.

V. 1152. Νῆσον δὲ ἔοικε τὴν Κύζικον λέγειν ἐνταῦθα.

---

*) Hoc adiectivo Lexica carent. Usurpat etiam Hesychius T. I. c. 414.

**) Leg. ὑλώδεις.

***) Leg. Ὡς οὐ δεῖ γράφειν ναῖεν, τοῦ —.

V. 1158. *Ἀελλόποδας* δὲ τοὺς ταχεῖς.

Τὸ δὲ *κίχον*, ἀντὶ τοῦ κατέλαβον.

V. 1159. *Ζαχρηεῖς* δὲ πνοὰς λέγει τὰς μεγάλως ἐπιβαλλούσας καὶ πνεούσας. Κυρίως δὲ ζαχρειὲς, τὸ βιαίως πράττειν τι ταῖς χερσί.

V. 1161. Τὸ δὲ *μετελώφεον*, ἀντὶ τοῦ ἐπαύσαντο.

V. 1165. *Ῥυνδακίδας*. Ῥυνδακὸς ποταμὸς Φρυγίας ὁ νῦν Μέγητος, πρὸς ᾧ κατὰ τὴν ἔξοδον καὶ τάφος Αἰγαίωνος τινὸς ἥρωος Μυσοῦ. Μέμνηται τοῦ ποταμοῦ καὶ Βακχυλίδης, καὶ Καλλίμαχος ἐν τῷ Περὶ τῶν κατὰ τὴν Ἀσίαν ποταμῶν, καὶ Δημήτριος ὁ Σκήψιος ἐν τῷ Διακόσμῳ. Ῥυνδακὸς δὲ, ὡς Αἰακός.

Ὁ δὲ κατὰ τὸν *Αἰγαίωνα* μῦθος γέγραπται μὲν καὶ ὑπὸ Δημητρίου τοῦ Κιδίου *). Κόνων δὲ ἐν τῇ Ἡρακλείᾳ φησὶν, ὅτι Αἰγαίων καταγωνισθεὶς ὑπὸ Ποσειδῶνος, κατεποντίσθη εἰς τὸ νῦν ὑπὸ Ἀπολλωνίου λεγόμενον *ἠρίον Αἰγαίωνος*. Περὶ δὲ τῆς κλήσεως τοῦ Αἰγαίου πελάγους ἐν τῷ γ̄ Περὶ τῆς νησιάδος φησί· Τὸ Αἰγαῖον πέλαγος οἱ μὲν ἀπὸ τῆς Περκανίας αἰγὸς κληθῆναι φασὶν, οἱ δὲ ἀπὸ τῆς Καρυστίας Αἰγαίης ὀνομαζομένης. Αἱ μέντοι Αἰγαὶ, ἀφ᾽ ὧν φασι τὸν Ποσειδῶνα παραγίνεσθαι, ἐν τῇ Πελοποννήσῳ εἰσὶν ἐν τῷ κατὰ Κρίσαν κόλπῳ. Εἰσὶ δὲ οἳ καὶ ἀπὸ τοῦ Αἰγαίωνος αὐτὸ παρωνομάσθαι λέγουσι. Αὐτὸν δὲ τὸν Αἰγαίωνα Ἡσίοδος μὲν Οὐρανοῦ καὶ Γῆς εἶναί φησιν υἱόν. Ὁ αὐτὸς δὲ Αἰγαίων καὶ Γύγης καὶ Βριάρεως λέγεται. Εὔμηλος δὲ ἐν τῇ Τιτανομαχίᾳ Γῆς καὶ Πόντου υἱὸν τὸν Αἰγαίωνα εἶναί φησι· κατοικοῦντα δὲ ἐν τῇ θαλάσσῃ

---

*) Sic, pro Κνιδίου.

συμμαχεῖν τοῖς Τιτᾶσι. Καὶ Ἴων δὲ ἐν τῷ διθυράμβῳ ἐκ τοῦ πελάγους φησὶ μεταβληθέντα *) τὸν Αἰγαίωνα ἀναχθῆναι εἰς τὸν Ὄλυμπον φυλάξοντα τὸν Δία· εἶναι δὲ αὐτὸν Θαλάσσης υἱόν. Οἱ δὲ θαλάσσιον θηρίον. Τεῤῥαῖος δέ φησιν, ὅτι Γίγας ὢν καὶ φυγὼν ἐκ τῆς Εὐβοίας ἀφίκετο εἰς Φρυγίαν, κἀκεῖ ἐτελεύτησε.

Τὸ δὲ μέγα τ' ἠρίον γράφεται καὶ μέγα τε ῥίον. Καὶ σημαίνοι ἂν τὸ ἀκρωτήριον. Βελτίων δὲ ἡ προτέρα γραφή. Περὶ γὰρ τοῦ ἠρίου, ἤτοι τοῦ μνήματος, τοῦ Αἰγαίωνος αὐτῷ ὁ λόγος.

Τὸ δὲ ἐφέλκετο πλείονα ἔμφασιν σημαίνει. Ὁμοῦ γὰρ καὶ πρὸς τὴν ἀργίαν τῶν ἄλλων καὶ ὁ Ἡρακλῆς εἶλκε τὴν ναῦν. **) Χρῆται δὲ οὕτω καὶ Καλλίμαχος, γράφων περὶ τοῦ ἡττηθέντος ταύρου οὕτως·

ὁ μὲν εἶλκεν, ὁ δ' εἵπετο νωθρὸς ὁδίτης.

Τὸ δὲ λελιημένοι, ἀντὶ τοῦ προθυμούμενοι καὶ ἐπιθυμοῦντες. ***)

V. 1166. Τὸ δὲ τυτθὸν ὑπ' ἐκ Φρυγίης δείκνυσιν, ὅτι ἐγγύς ἐστιν εἶναι δείκνυσι τὴν Μυσίαν †) τῆς Φρυγίας, ὡς καί τισι δοκεῖν ἀμφοτέραν μίαν χώραν εἶναι.

Τὸ δὲ παρεμέτρεον ἀντὶ τοῦ παρέπλεον κεῖται.

V. 1167. Ἐνοχλίζειν δέ ἐστι τὸ ἀνακινεῖν καὶ ἀνακόπτειν τὰ κύματα καὶ τὰς δίνας ἐν τῷ κωπηλατεῖν.

Τετρηχότος δὲ ἀντὶ τοῦ τραχυνομένου καὶ σφοδροῦ ὄντος.

---

*) Leg. μετακληθέντα. Conf. quae notavi ad Dionys. Hal. de Compos. verbor. p. 309.

**) Ad v. 1162.

***) Ad v. 1164.

†) Duae scripturae confusae: altera, δείκνυσιν, ὅτι ἐγγύς ἐστιν ἡ Μυσία, altera, ἐγγὺς εἶναι δείκνυσι τὴν Μυσίαν.

Ὁλκοὺς δέ φησι τὰς φυσήσεις καὶ ἐπάρσεις καὶ μετεωρισμοὺς τῶν κυμάτων.

V. 1168. *Τὸ δὲ μεσσόθεν* ἔμφασιν ἔχει καὶ τῆς τοῦ πελάγου *) δεινότητος καὶ τῆς τοῦ ἥρωος ῥώμης. Καὶ διὰ ταύτην τὴν αἰτίαν φασὶ καταλελεῖφθαι τὸν Ἡρακλέα ἐν Κίῳ· οἱ δὲ, ἐν Ἀφέταις· ἑτεροκλινῆ γὰρ τὴν Ἀργὼ ἐποίει. Ἔφορος δὲ δι' Ὀμφάλην αὐτὸν καταλελεῖφθαι φησί.

Τρύφος δὲ τὸ κλάσμα φησὶ τῆς κώπης.

V. 1171. *Τὸ δὲ ἀήθεσαν*, τὸ ἀήθεις εἶναι σημαίνει ἠρεμεῖν τὰς χεῖρας τοῦ ἥρωος.

V. 1174. *Αὐτοῦ δ' ἐν προμολῇ.* *Προμολὴν* λέγει τὴν προπαστάδα καὶ τὸ προπύλαιον. Λέγεται δὲ προμολὴ καὶ τὸ ἐξώπυλον μέρος, ὡς αὐτὸς ἐχρήσατο ἐν τοῖς πρόσθεν εἰπών·

Στῆ δ' ἄρ' ἐνὶ προμολῇσι. οἱ δ' ἀντίοι ἠερέθοντο.

Τετριμμένα δὲ, ἀντὶ **) καταπεπονημένα ὑπὸ τοῦ κόπου.

V. 1175. *Αὐσταλέος* δὲ, ὁ κατάξηρος καὶ ἀνεπιμέλητος.

Περιτριβέας, τὰς πολὺ πονησάσας χεῖρας ὑπὸ τοῦ κόπου.

V. 1176. *Τὸ δὲ ἠρήσατο*, ἀντὶ τοῦ κατηρήσατο, ἢ προσεῖπεν.

V. 1177. *Κιανίδος δὲ ἤθεα* παραφραστικῶς ***) τὴν Κιανῶν γῆν λέγει. Ἔστι δὲ Κίος πόλις Μυσίας

---

*) Sic, pro πελάγους.

**) Adde τοῦ.

***) Imo περιφραστικῶς. Schol. ad Aeschyli Supplic. v. 62. κατὰ παράφρασιν. Corrig. κ. περίφρασιν, ut iam Fischerus monuit ad Weller. III. 1. p. 278.

κληθεῖσα οὕτως ἀπὸ Κίου τοῦ ἀφηγησαμένου τῆς Μιλησίων ἀποικίας, ὥς φησι Ἀριστοτέλης ἐν Κιανῶν πολιτείᾳ. Ὤικησαν δὲ αὐτὴν πρῶτον μὲν Μυσοί· δεύτερον Κάρες· τὸ δὲ τρίτον Μιλήσιοι. Ἔστι δὲ καὶ ποταμὸς οὕτω καλούμενος Κίος, περιῤῥέων τὴν Μυσίαν, ὡς μνημονεύει Σκύλαξ ἐν Καριανδεῦσι. Περιῤῥέει δὲ καὶ τὴν πόλιν ὁ ποταμὸς οὗτος.

V. 1178. Τὸ δὲ Ἀργανθώνειον ὄρος ἐστὶ τῆς Κίου.

V. 1180. Ἤϊα δὲ λέγει νῦν τὰ ἐφόδια καὶ βρώματα. Σημαίνει δὲ καὶ τὰ ἄχυρα. Ὅμηρος· ἠΐων θημῶνα.

V. 1182. Κάγκανα δὲ τὰ ξηρὰ ξύλα.

Λεχαίην δὲ φυλλάδα, τὴν πρὸς λέχη καὶ στιβάδας ἐπιτηδείαν, ἀπὸ τοῦ λέχους.

V. 1184. Ἐν δὲ τῷ στόρνυσθαι συνυπακούεται τὸ ὥστε, ἵν᾽ ᾖ, ὥστε στόρνυσθαι.

Τὸ δὲ δινεύεσκον, ἀντὶ τοῦ ἔστρεφον καὶ παρέτριβον.

Πυρήϊα δέ φησι ξύλα τινὰ, ἃ παρατρίβοντες πῦρ ἔβαλον *). Τούτων δὲ τῶν ξύλων τὸ μὲν ἦν ὕπτιον, ὅπερ ἐκαλεῖτο στορεύς· τὸ δὲ **) ἕτερον τρυπάνῳ παραπλήσιον. Παρατρίβοντες οὖν τῷ τρυπάνῳ τὸν στορέα, ἐν τῷ στρέφειν πῦρ ἐποίουν. Ταῦτα οὖν καλεῖ πυρήϊα, ἃ παρατριβόμενα ἀλλήλοις πῦρ ἐγγενᾷ ***).

V. 1188. Διὸς δὲ υἱὸν τὸν Ἡρακλέα φησί.

V. 1189. Τὸ δὲ φθαίη, ἀντὶ τοῦ προλάβῃ τοῦ πλοῦ.

---

*) Bastius Epist. Crit. ad Boissonad. p. 141. hunc nostri Scholiastae locum citans habet ἔβαλλον.

**) Bastius l. c. δ'.

***) Bastius l. c. ἐγγεννᾷ, fortasse scripturam Codicis tacite corrigens.

Καταχείριον δὲ τὸ τῇ χειρὶ ἁρμόδιον.

V. 1190. *Ἀλαλημένον* δέ φησιν αὐτὸν, ἢ διὰ τὸ ἄπειρον εἶναι τῆς ἐκεῖ χώρας, ἢ διὰ τὸ περιστρεφόμενον ζητεῖν, ἕως ἂν τῇ ἑαυτοῦ χειρὶ ἁρμόδιον εὕροι.

V. 1192. *Ταναὴν* δέ φησι τὴν τεταμένην καὶ ἐπιμήκη.

Αἴγειρος δὲ ἐτυμολογεῖται, ἢ παρὰ τὸ ἐκ τῆς γῆς ἀΐσσειν καὶ κινεῖσθαι, ἢ παρὰ τὸ ὑπὸ τῶν ἀνέμων ἄγνυσθαι.

V. 1195. Τὸ δὲ *ἔδυ δ᾽ ἀπὸ δέρμα*, μετάθεσιν ἔχει τῆς προθέσεως. Τὸ γὰρ ἑξῆς οὕτως· ἀπέδυ δὲ τὸ δέρμα τοῦ λέοντος.

V. 1196. *Χαλκοβαρὲς* δὲ λέγει, ἢ τὸ ἰσχυρὸν, ἢ κατὰ τὸ ἄκρον χαλκοῦν. Πείσανδρος δὲ ὁλόχαλκον εἶναί φησι τὸ τοῦ Ἡρακλέους ῥόπαλον. Ἐτυμολογοῦσι δὲ αὐτὸ παρὰ τὴν ῥοπὴν καὶ τὸ ἀλοιᾷν.

Δάπεδον δὲ, ἢ τὴν ῥίζαν, ἢ τὴν γῆν ἔφη.

V. 1197. *Στύπος* δὲ τὸ στέλεχος.

V. 1200. *Ἔχμα* δὲ τὸ κώλυμα.

V. 1201. *Ὡς δ᾽ ὅτ᾽ ἄρ᾽ ἀπροφάτως.* Τὸ μὲν *ἀπροφάτως* τὸ ἀθρόως σημαίνει.

V. 1203. *Καταῖξ* δέ ἐστιν ἡ σφοδρὰ ὁρμή.

V. 1204. *Σφῆνες* δὲ οἱ συνέχοντες τὸν ἱστὸν ἐν τῇ ἱστοδόκῃ.

Οἰκεία δὲ δι᾽ ὅλου καὶ κατάλληλος ἡ παραβολή. Ἱστῷ μὲν γὰρ τὴν ἐλάτην ἀπεικάζει διὰ τὸ ἰθυτενὲς καὶ εὐαυξές· καὶ γὰρ κἀκείνη ἐπὶ τῆς ἱστοδόκης ἵσταται· χειμερινῷ δὲ καιρῷ τὴν ἀθρόαν τοῦ ἥρωος ἐπιφάνειαν· σφοδρῷ δὲ ἀνέμῳ τὴν ῥώμην. Τὰς *) δὲ σφῆνας

*) Leg. τούς.

μετέλαβεν εἰς τὰ περιέχοντα τὴν τῆς ἐλάτης ῥίζαν χώματα· καὶ γὰρ κἀκεῖνα σφηνῶν δίκην τὴν ῥίζαν κατέχουσι· τοὺς δὲ προτόνους εἰς τὸν τόνον καὶ τὴν τάσιν τῶν ῥιζῶν.

V. 1207. *Τὸ δὲ τόφρα ἀντὶ τοῦ ἐν ὅσῳ εἴληπται.*

V. 1208. *Τὸ δὲ δίζεσθαι, ἤτοι ζητεῖν, εἴρηται διὰ τὴν ἀπειρίαν τοῦ τόπου.*

V. 1209. *Τὸ δὲ φθαίη, ἀντὶ τοῦ προλάβῃ τοῦ συμποσίου.*

Τὸν δ' Ὕλλαν Ἀπολλώνιος μὲν Θειοδάμαντος εἶναί φησιν υἱόν· Ἑλλάνικος δὲ Θειομένους. Διοκλείδης δὲ ἐν τοῖς Δηλιακοῖς ἱστόρησεν, οὐ τὸν Ὕλλαν εἰς τὴν ὑδρίαν *) *ἐξεληλυθέναι, ἀλλὰ τὸν Ὕλλον, καὶ δυςέρευτον* **) *γενέσθαι. Ἐγένοντο δὲ πολλοὶ ἐρώμενοι Ἡρακλέους· Ὕλλας καὶ Φιλοκτήτης, καὶ Πειριθόας, καὶ Διόμος, καὶ Φρὺξ, ἀφ' οὗ πόλις κατὰ Λιβύην. Σωκράτης δὲ ἐν τῷ πρὸς Εἰδόθεον φησὶ, τὸν Ὕλλαν ἐρώμενον Πολυφήμου, καὶ οὐχ Ἡρακλέους γενέσθαι. Ὄνασος δὲ ἐν ᾱ Ἀμαζονίδων ἀληθέστερον τὴν ἱστορίαν ἐκτίθεται, οὐχ ἡρπάσθαι λέγων αὐτὸν ὑπὸ Νυμφῶν, ἀλλὰ κατηνέχθαι εἰς κρήνην, καὶ οὕτως ἀποθανεῖν. Ἀπρε-*

---

*) Leg. *ὑδρείαν*. Diversissimae significationis sunt nomina *ὑδρεία* et *ὑδρία*, sed passim confusa. V. Sylburg. ad Pausan. IV. c. 33. Wesseling. in var. lect. ad Diodor. Sicul. III. c. 21. et Brunck. ad Apollon. Rhod. I. v. 456. Obiter moneo, in Hesychio T. II. c. 667. med. *εἰλωτίας* mutandum esse in *εἰλωτείας*.

**) Leg. *δυσεύρετον*, quod h. l., ut videtur, non differt ab *ἀνεύρετον* Scholiorum editorum. Schol. ad Philostrati Heroica p. 400. Boisson.: — *τὸ ᾱ ἐνταῦθα τὸ δῡς σημαίνει, οὗπερ ἐναντίως τὸ δυσθαλπὴς παρ' Ὁμήρῳ. Ἐκεῖ γὰρ τὸ δῡς ἀντὶ τοῦ ᾱ ἤγουν ἀθαλπής.* unde in Lexica nostra infer adiectivum *ἀθαλπὴς*, quod iam H. Stephanus, etsi nullo auctore, commemoravit.

πὲς δὲ καὶ τὸν νεανίαν παρεισαγαγεῖν, ὥσπερ Ὅμηρος, ἢ πιθανότερον ἀμφότερα εἰπεῖν, ὡς Καλλίμαχος.

V. 1213. Ὁ δὲ τοῦ Θειοδάμαντος ὑφ᾽ Ἡρακλέους φόνος τοῦτον ἔσχε τὸν τρόπον. Ἡρακλῆς γήμας Δηϊάνειραν τὴν Οἰνέως, διῆγεν ἐν Καλυδῶνι παρὰ τῷ Οἰνεῖ. Ἐν δὲ συμποσίῳ πλήξας κονδύλῳ Κύαθον, τὸν Ἀρχιτέλους μὲν υἱὸν, Οἰνέως δὲ οἰνοχόον, ὅτι τὰ ποδάνιπτρα ὕδατα *) ἀγνοῶν αὐτῷ ἐπὶ τῶν χειρῶν ἐπέχεεν, φεύγων ἐκεῖθεν τὸν φόνον ᾤχετο σὺν τῇ γυναικὶ Δηϊανείρᾳ, φέρων μεθ᾽ ἑαυτοῦ καὶ Ὕλλον τὸν υἱόν. Κατὰ δὲ τὸν Εὐηνὸν ποταμὸν ἀνεῖλε Νέσον τὸν Κένταυρον, ὡς Ἀρχίλοχος ἱστορεῖ. Ὡς δὲ κατὰ τὴν Δρυοπίαν ἐγένετο, τοῦ παιδὸς αὐτῷ πεινήσαντος Ὕλλου, καὶ τοῦ παιδαγωγοῦ Δίχα ἀπολιμπανομένου, ἐντυχὼν Θειοδάμαντι, ᾔτει ὀλίγην τροφήν. Ὡς δὲ οὐκ ἐδίδου, ἁρπάσας ἕνα τῶν βοῶν αὐτοῦ ὁ Ἡρακλῆς, ἔθυσε καὶ εὐωχεῖτο. Θειοδάμας δὲ ἐπανελθὼν εἰς τὴν τῶν Δρυόπων πόλιν, εἰς πόλεμον διήγειρεν αὐτοὺς κατὰ τοῦ Ἡρακλέους. Γενομένης δὲ μάχης ἰσχυρᾶς, εἰς τοσαύτην ἀνάγκην ἦλθεν ὁ Ἡρακλῆς, ὥστε καὶ τὴν γυναῖκα αὐτοῦ ὁπλίσαι· ὅτε δὴ καὶ τρωθῆναι φασὶν αὐτὴν κατὰ τὸν μαζόν. Τέλος δὲ περιγενόμενος αὐτῶν ὁ Ἡρακλῆς, καὶ ἀνελὼν τὸν Θειοδάμαντα, τὸν μὲν υἱὸν αὐτοῦ Ὕλαν ἀνεδέξατο, τὸ δὲ ἔθνος ἅπαν μετῴκισεν εἰς Τραχῖνα, πόλιν Θεσσαλικὴν, καὶ τὴν Οἴτην, τὸ ὄρος τὸ περὶ τοὺς ὅρους τῆς Φωκίδος ὄν. Μετῴκισε δὲ αὐτὸ διὰ τὴν λῃστείαν, ἵνα τῇ τῶν πολλῶν ἐπιμιξίᾳ ἀπόσχωνται τοῦ λῃστρικοῦ τρόπου. Ὅτι δὲ λῃστρικὸν ἦν τὸ ἔθνος, καὶ Μηλιεῦσιν ὅμορον, ἱστορεῖ Φερεκύδης ἐν τῇ γ. Καὶ τοῦτο δέ φη-

*) Notanda haec phrasis, addito substantivo ὕδωρ.

σι Φερεκύδης, ὅτι Πολυδώρᾳ τῇ τοῦ Δαναοῦ συνεγένετο Πηνειὸς ποταμὸς, καὶ ἔτεκε Δρύοπα, ἀφ᾽ οὗ τὸ ἔθνος ἐκλήθη. Ὤικουν δὲ οὗτοι παρὰ τῷ Σπερχειῷ ποταμῷ. Τῆς δὲ μετοικίας μέμνηται καὶ Καλλίμαχος. Οἱ δέ φασιν, οὐ δι᾽ ἀδικίαν ποιῆσαι τοῦτο τὸν Ἡρακλῆν *), ἀλλ᾽ ἀλεξίκακος ὢν ἐβουλήθη ἀποστῆσαι αὐτοὺς τοῦ λῃστρικοῦ τρόπου. Ταύτῃ τοι καὶ ἐρέθισε Θειοδάμαντα, ἵν᾽ ἀφορμῆς λαβόμενος τιμωρήσαιτο τὸ ἔθνος.

Οἱ δὲ περὶ τὸν Παρνασὸν φασὶν οἰκεῖν τοὺς Δρύοπας, ἀδικωτάτους ὄντας ἀνθρώπων· καταπολεμηθῆναι δὲ ὑπὸ Ἡρακλέους, καὶ μετοικισθῆναι ὑπ᾽ αὐτοῦ εἰς Πελοπόνησον. Δρύοπας δὲ κληθῆναι ἀπὸ Δρύοπος τοῦ Λυκάονος καὶ Δίας τῆς Λυκαονείας.

V. 1214. Τὸ μὲν οὖν ἀντιόωντα ἐνταῦθα ἀντὶ τοῦ ἐναντιούμενον.

V. 1220. Τὸ δὲ, ἀλλὰ τὰ μὲν τηλοῦ, βούλεται λέγειν, ὅτι εἰ μέλλοιμεν λέγειν τὰ συμβεβηκότα τοῖς Δρυοψιν, ἀποπλανηθησόμεθα τῆς ἡμῶν ᾠδῆς, ἤγουν τοῦ ἡμετέρου σκοποῦ. Τοῦτο δέ ἐστιν εἰπεῖν περὶ τοῦ πλοῦ τῶν Ἀργοναυτῶν.

V. 1222. Τὸ δὲ Πηγαὶ ὄνομα κύριόν ἐστι τῆς κρήνης.

Τὸ δὲ ἀγχίγυιοι τοὺς πλησιοχώρους σημαίνει.

V. 1226. Ἐναύλους δὲ ἐνταῦθα τὰ σπήλαια.

V. 1227. Ὑληώρους δέ φησι τὰς ἐν τοῖς ὄρεσι διατριβούσας.

V. 1228. Καλλίναον δέ φησι τὴν καλλίροον.

*) Epigr. adesp. CCCCLXXXIV. v. 3.

Οἰάγρου φίλον υἱὸν, ὃς Ἡρακλῆν ἐδίδαξεν.

Aesopus Fab. 62. Ὁ δὲ τὸν Ἡρακλῆν ἐπὶ συμμαχίαν ἐκάλει.

V. 1229. Τὸ δὲ Ἐφυδατίη, ὄνομα Νύμφης.

V. 1230. Ἐρευθόμενον δέ φησι τὸν λάμποντα.

V. 1231. Διχόμηνις δὲ ἡ πανσέληνος.

V. 1233. Κύπρις δὲ τὸ ἐρωτικὸν πάθος.

V. 1235. Τὸ δὲ λαιχρὶς ἐπιχριμφθεὶς, ἀντὶ τοῦ πλαγίως εἰς τὴν κρήνην ἐπικλινθείς.

Ὁ δὲ νοῦς· ὡς δὲ τὸ ἀγγεῖον ἐνέβαλεν εἰς τὸ ὕδωρ, καὶ τὸ ὕδωρ ἐνεφορεῖτο εἰς αὐτὸ μετὰ σφοδροῦ τοῦ ἤχου, ἡ Νύμφη τῇ μὲν εὐωνύμῳ χειρὶ ἐλάβετο τοῦ αὐχένος αὐτοῦ ἐπιθύουσα καὶ ἐπιθυμοῦσα κῦσαι· τῇ δὲ δεξιᾷ καθεῖλκεν εἰς τὸ ὕδωρ.

Ἰστέον δὲ, ὅτι οὗτος μὲν μίαν τῶν Νυμφῶν ἁρπάσαι φησὶ τὸν Ὕλλαν· Θεόκριτος δὲ ἐν τοῖς Βουκολικοῖς, ἐν τῷ καλουμένῳ Ὕλλᾳ, ὑπὸ πασῶν φησι ἁρπαχθῆναι. Ὡσαύτως δὲ καὶ Νίκανδρος ἐν β *) τῶν Ἑταιροιουμένων **).

V. 1241. Εἰλατίδης Πολύφημος. Γράφεται καὶ Εἰλασίδης. Οἱ μὲν γάρ φασι τὸν Πολύφημον υἱὸν Ἐλάσου, οἱ δὲ Ποσειδῶνος. Ἔγημε δὲ ὁ Πολύφημος Λαονόην, τὴν Ἡρακλέους μὲν ἀδελφὴν, Ἀμφιτρύωνος δὲ καὶ Ἀλκμήνης θυγατέρα.

Τὸ δὲ προτέρωσε, ἀντὶ τοῦ ἔμπροσθεν τῆς κελεύθου.

V. 1243. Θὴρ δὲ σημαίνει καὶ ἅπαν θηρίον. Κυ-

---

*) V. Bast. Epist. Crit. ad Boissonad. p. 163.

**) Mirum, sic etiam in Schol. edit. legi. Ceterum litterarum confusionem, quae eadem in nominibus ἕτερος et ἑταῖρος tam frequens est, ut exempla, quae numero longe longeque plurima commemorare possem, afferre pigeat, in verbo ἑτεροιοῦν non memini nisi hoc loco reperire.

ρίως δὲ οἱ ποιηταὶ θῆρα τὸν λέοντα λέγουσι. Καὶ Καλλίμαχος·

Θηρὸς ἀερτάζων ἦν δέρμα κατωμάδιον.

V. 1245. *Αἰθόμενος* δέ φησιν, ἤτοι καιόμενος τῷ λιμῷ. Οὐχ᾽ ὅτι ὁ λιμὸς θέρμης ἐστὶ ποιητικὸς, ἀλλὰ τὸ αἴθεσθαι ἀντὶ τοῦ κατεπείγεσθαι κεῖται.

V. 1246. Τὸ δὲ *ἐνὶ σταθμοῖσιν* ἐναλλαγὴν ἔχει τῆς προθέσεως. Οἷον οἱ νομῆες εἰς τοὺς σταθμοὺς προήλασαν.

Διόλου δὲ οἰκεία ἡ παραβολή. Προβάτοις μὲν βοήσασιν ἀπεικάζει τὸν Ὕλλαν, διὰ τὸ ἁπαλόν· θηρίῳ δὲ ἀγρίῳ τὸν Πολύφημον, διὰ τὴν τοῦ ἥρωος δύναμιν. Τὸ δὲ λιμῷ αἴθεσθαι τὸν μετὰ διαθέσεως δρόμον δηλοῖ τοῦ ἀνδρός. Τὸ δὲ, *πρὸ γὰρ αὐτοὶ ἐνὶ σταθμοῖσιν*, ὅτι καὶ αἱ Νύμφαι πρὸ τοῦ ἀφικέσθαι τὸν Πολύφημον ἀπέπνιξαν τὸν Ὕλλαν. Ἐκ τοῦ συμβεβηκότος δὲ καὶ τοῦτο καὶ τὸ *ἐπέκυρσεν* εἴληπται.

V. 1252. Τὸ δὲ *ληῒδ᾽ ἑτοίμην*, ἀντὶ τοῦ λάφυρον καὶ κτῆμα χωρὶς πόνου ληφθέν.

V. 1254. Τὸ δὲ, *αὖ δέ μιν ἔγνω*, ἔφη διὰ τὴν σελήνην. Ἤδη γὰρ ἔφθη εἰπὼν, ὅτι πανσέληνος ἦν.

V. 1256. *Ἆσθμα* δέ φησι τὸ ἐκ τοῦ δρόμου γινόμενον φύσημα.

V. 1265. *Μύωψ* δέ ἐστιν εἶδος μυίας, ἥτις ἐπικαθεζομένη ταῖς βουσὶ δάκνει αὐτὰς, καὶ εἰς μανίαν ἐμβάλλει. Διὸ καὶ οἶστρος λέγεται. Σώκρατος δὲ ἐν τῷ δ τῶν ζώων διαφορὰν εἶναί φησι μύωπος καὶ οἴστρου. Μύωψ μὲν γὰρ ἐν τῶν ξύλων ἀπογεννᾶται· ὁ δὲ οἶστρος ἐκ τῶν ἐν τοῖς ποταμοῖς ἐπιπλεόντων ζωαρίων.

V. 1266. *Πίσεα δέ φησιν, ἢ τὸν σύμφυτον τόπον, ἢ τοὺς ἑλώδεις καὶ πηλώδεις τόπους.*

Ἐλεσπίδες δέ εἰσιν οἱ πετρώδεις τόποι, παρὰ τὸ λέπεσθαι ὑπό τε ἀνέμων καὶ ἡλίου. Διὸ καὶ λέπας τὸ τοῦ ὄρους ἀκρωτήριον λέγεται. Εὐριπίδης·

καὶ Κιθαιρωνος λέπας.

*Ἡ δὲ παραβολὴ πᾶσα οἰκείως ἔχει. Μύωπι μὲν γὰρ ὅμοιος ὁ τοῦ Ὕλλα ἔρως· ταυρῳ δὲ ὁ Ἡρακλῆς κεντούμενος ὑπὸ τοῦ περὶ τὸν Ὕλλαν ἔρωτος, ὥσπερ ὁ ταῦρος ὑπὸ τοῦ μύωπος. Πισεα δέ φησι τὴν ναῦν καὶ την σύνοδον τῶν ἑταίρων· ταῦτα γὰρ τῳ Ἡρακλεῖ ὁμοίως ἡδέα, ὡς τὰ πισεα τῷ ταύρῳ. Τὸ δὲ οὔτ᾽ ἀγέλης, οὔτε νομέων φροντίζειν τον ταῦρον ἔφη, ὅτι καὶ ὁ Ἡρακλῆς τὸν τοῦ Ὕλλα ἔρωτα προύτιμησε τῶν Ἀργοναυτῶν. Καὶ τὸ ἄλλοτε δέ κεν *) παυεσθαι, ἄλλοτε δ᾽ ἵστασθαι τὸν ταυραν, πάνυ τοι συμβαινει τῷ Ἡρακλεῖ· κἀκεῖνος γὰρ ποτὲ μὲν ἔτρεχε, ποτὲ δ᾽ ἵστατο αναπαυόμενος. Τὸ δὲ μύκημα τοῦ βοὸς διὰ τὴν φωνὴν εἴληπται τοῦ Ἡρακλέους.*

V. 1273. sq. *Ἠῶον δὲ ἀστέρα φησὶ τὸν ἑωσφόρον.*

Ἄκριας δὲ ἀκροτάτας, τὰ ὕψη τῶν ὀρῶν.

V. 1277. *Τὸ δὲ ἀνακροῦσαι τοὺς κάλωας, τὸ ἐπιτεῖναι τὰ καλώδια σημαίνει τὰς ἀγκύρας, ἢ καὶ τὸ ἀποτινάξαι διὰ τὸ βεβρέχθαι.*

Τὸ δὲ αὐτίκα πρὸς τὸ τὴν αι συντακτέον. **)

---

*) In his videntur latere *μὲν μή*. Si enim scriptum fuisse ponas *δὲ μὲν*, (conf. not. ad Gregor. Cor. p. 146. et 405.) *δὲ* ex *μὲν*, *μὲν* ex *μὴ* nasci potuisse, ostendunt Melet. Crit. I. p. 111. et Ind. Graecit. ad Gregor. Cor. p. 1004. b. Infra Schol. Paris. ad II. v. 244. *σημαίνει δὲ καὶ* —. Corrig. σ. *μὲν καὶ* —. Xenophon Memor. II, 1, 25. *οὐ φόβος, μή σε ἀγάγω.* Cod. *ἀφόβως μὲν ἀπάγω.*

**) Ad v. 1273.

Ἐκ δὲ τοῦ εἰπεῖν εὐναίας πληθυντικῶς ἐπισημαίνονταί τινες, ὅτι δύο ἦσαν ἄγκυραι. Διὸ καὶ Ἐφόρου εἰπόντος, Ἀνάχαρσιν εὑρηκέναι τὴν διπλῆν ἄγκυραν, πρότεροι Ἀναχάρσιδος οἱ Ἀργοναῦται. Ἴσως δὲ συνεκδοχικῶς τὸ πληθυντικὸν ἔλαβεν ἀντὶ ἑνικοῦ.

Τὸ δὲ ἐπαύρεσθαι τοῦ ἀνέμου συνεκδοχικῶς τὸ ἑπόμενον ἀντὶ τῆς πράξεως. Ἡ μὲν γὰρ πρᾶξις ἦν χαλάσαι τὰ ἱστία· ἕπεται δὲ τῷ χαλάσαι τὰ ἱστία τοῦ *) ἀπολαύειν τοῦ ἀνέμου. **)

V. 1280. sq. Χαροπὴν δὲ τὴν ἠῶ ἔφη, διὰ τὸ λαμπρόν. Ἡ γὰρ ἡμέρα λαμπρύνει φωτίζουσα τὸν ἀέρα. Τὸ δὲ γλαυκὸν καὶ χαροπὸν συνωνύμως λέγεται ἐπὶ τοῦ λαμπροῦ. Διὸ καὶ ἀπήνεγκε τὸ διαγλαύσσουσιν, ἀντὶ τοῦ φωτίζουσι καὶ λαμπρύνουσιν. Ἀπὸ δὲ τοῦ γλαύσσειν, τοῦ ὁρᾷν, καὶ ἡ γλαὺξ παρῆκται, καὶ ἡ γλαυκῶπις Ἀθηνᾶ, καὶ γλήνη, ἡ τοῦ ὀφθαλμοῦ κόρη. Εὐριπίδης δὲ ἐπὶ τῆς σελήνης ἐχρήσατο τῷ γλαυκῶπις, εἰπών·

Γλαυκῶπίς τε στρέφεται μήνη.

Ἡ δὲ περάτη σημαίνει μὲν κατά τινας καὶ τὸ ὑπὸ γῆν ἡμισφαίριον· λέγεται δὲ κυρίως ἡ ἀνατολή· πέρας γὰρ αὐτὴ τῆς τοῦ οὐρανοῦ κινήσεως· ἐκεῖθεν γὰρ ἄρχεται, καὶ εἰς αὐτὴν τελευτᾷ.

V. 1286. Τὸ δὲ σφωΐτερον, ἀντὶ τοῦ σφέτερον κεῖται· οὐ γὰρ δύο, ἀλλὰ πολλοὶ ἦσαν οἱ Ἀργοναῦται.

V. 1289. Τελαμὼν δὲ ὑπὲρ τοὺς ἄλλους λυπεῖται, ὅτι φίλτατος ὢν ***) Ἡρακλεῖ, εἰς πολλούς τε ἄθλους συνεμαχέσατο Ἡρακλεῖ. Συνέπλευσε μὲν γὰρ αὐτῷ εἰς Ἴλιον, καὶ συνεπολέμησεν αὐτῷ πρὸς Ἀμαζό-

*) Leg. τό. **) Ad v. 1275. ***) Leg. ἦν.

νας, καὶ τὸν Ἀλκυονέα ἀνεῖλεν, ὡς ἱστορεῖ Πίνδαρος. Ὁ δὲ Βουκόλος *) οὕτως ἐνέδειξε τὴν φιλίαν αυτῶν·

Οἳ μιαν ἄμφω ἑταῖροι αἰεὶ δαίνυντο τράπεζαν.

V. 1290. Ὁ δὲ λόγος· ἧσαι ἤγουν καθέζῃ οὕτως ὡς ἔτυχεν ἥσυχος.

Τὸ δὲ ἄρμενον ἀντὶ τοῦ ἁρμόδιον καὶ ἀρεστόν.

Ἀπολλώνιος μὲν ουν φησὶ ἀπολελεῖφθαι τὸν Ἡρακλέα ἐκβάντα περὶ Κίον κατὰ τὴν Ἡρακλέους **) ζήτησιν. Διονύσιος δὲ ὁ Μιτυληναῖος συμπεπλευκέναι φησὶ τον ἥρωα ταῖς Ἀργοναύταις, καὶ συμπεπραχέναι τὸν περὶ Μηδειαν τῷ Ἰάσονι. Ὁμοίως δὲ καὶ Δημάρετος. Ἡρόδωρος δέ φησι, μὴ συμπεπλευκέναι αὐτὸν καί τινας ἄλλους. Ἡσίοδος δὲ ἐν τῷ τοῦ Κύηκος γάμῳ φησὶν, ἐκβάντα αὐτὸν κατὰ ζήτησιν ὕδατος της Μαγνησίας περὶ τοὺς ἀπὸ τῆς ἀφέσεως τῆς Ἀργοῦς καλουμένους Ἀφέτας ἀπολειφθῆναι. Ἀντίμαχος δὲ ἐν τῇ Λυδῇ φησὶν ὑπὸ τῶν ἡρώων ἐκβιβασθῆναι αὐτὸν δια τὸ καταβαρεῖσθαι τὴν Ἀργώ. Τουτῳ δὲ καὶ Ποσίδιππος ὁ ἐπιγραμματογράφος ἠκολούθησε καὶ Φερεκύδης. Ἔφορος δὲ ἐν τῇ ε̄ ἑκουσίως ἀπολειφθῆναι φησὶ πρὸς Ὀμφάλην τὴν τῶν Λυδῶν βασιλεύουσαν. Ἰδίως δὲ Ἀντικλείδης ἐν τῇ β̄ τῶν Δηλιακῶν φησὶ, Ὕλλον τὸν Ἡρακλέους υἱὸν ἐξελθόντα ἐπὶ ζήτησιν ὕδατος μὴ ἀποστρέψαι.

V. 1292. Ὅρα δὲ, ὅτι οὐ τὴν ἐν Σκυθίᾳ δόξαν αἴτιον εἶναι φησὶν τοῦ δόλου ὁ Τελαμὼν, ἀλλὰ τὴν ἐν

---

*) Hoc nomine Theocritus etiam aliis dicitur, ut Scholiastae Pindarico ad Isthm. II. extr. p. 814. Heyn. Sed Porphyrii *Θεόκριτος ἐν Βουκόλοις* puto Bentleium Epist. ad Mill. p. 49. recte mutasse in *Θ. ἐν Βουκολικοῖς*, quidquid contradicat Toupius Cur. Poster. in Theocrit. p. 9.

**) Leg. *Ὕλα.* Vid. not. ad Gregor. Cor. p. 418.

Ἑλλάδι, ὅταν ὑποστρέψωσι. Τῆς γὰρ ἐν Ἑλλάδι δόξης φροντὶς ἦν αὐτοῖς, ἀλλ᾽ οὐ τῆς ἐν Σκυθίᾳ.

V. 1294. Τὸ δὲ ἦδος κατὰ Ἡρωδιανὸν ψιλοῦται. Φησὶν γὰρ ἐν τῷ η· Τὰ εἰς ος λήγοντα οὐδέτερα δισύλλαβα, ἀρχόμενα ἀπὸ μακροῦ, ψιλοῦται, αἶσχος, ἦσθος, εὖρος, εἶδος. Οὕτως οὖν καὶ ἦδος. Τὸ δὲ ἧθμος δασύνεται, τῇ ἐννοίᾳ τοῦ ἥσω μέλλοντος δασυνόμενον.

V. 1295. Ἐν δὲ τῷ συνετεκτήναντο λείπει τὸ σοί.

V. 1297. Ὄστλιγγας δὲ ἐνταῦθα τὰς λαμπηδόνας *). Εὕρηται δὲ ἡ λέξις καὶ ἐπὶ τῶν βοστρύχων.

ὀστλίγγων δ᾽ αἰέναι εἶφαρ ῥεείας.

Τοῦτο δέ φησι Ἡρωδιανὸς ἐν τῷ β τῆς καθόλου. Παρὰ μέντοι Ἀπολλωνίῳ καὶ Φιλητᾷ εὕρηται διὰ τοῦ α.

V. 1298. Τὸ δὲ ἄψ καὶ ὀπίσω ἐκ παραλλήλου.

---

*) Sic etiam ad II. v. 42. Recentiora Lexica, etiam Schneideri, flectunt per ω. Perperam. Diodorus Sic. III. c. 37. extr. τὰς λαμπηδόνας προσβάλλοντας. Hesychius T. II. c. 542. Μαρμαρυγαί. — λαμπηδόνες. [E Photii glossa c. 182. Μαρμαρυγή, ἄστραψις, λαμπηδών, infer in Lexica substantivum ἄστραψις.] Paraphrastes Phoenissarum Euripidis v. 234. sq. λάμπον διπλῇ λαμπηδόνι. Scholiastes ad Philostrati Her. p. 440. Boisson. λαμπήδονι. Imo λαμπηδόνι. H. Stephanus solum vocabulum affert, nullo scriptoris veteris loco commemorato: ita etiam Lexicon quod vulgo dicitur Septemvirale: sed R. Constantinus (ed. 1592.) citat e Cleomede, item μικρογραφούμενον. Alio modo Lexicographi nostri peccant in eiusdem substantivo flexionis, ἀλγηδών. Quod cum feminini sit generis, illi certatim et quasi de compacto inter masculina referunt. Plutarchus V. Ages. c. 27. αἱ μὲν ἀλγηδόνες ἔληξαν. Cito hunc locum, ut in transcursu moneam, ibid. c. 24. in. scribendum esse Φοιβίδου μὲν ἔργον εἶναι, βούλευμα δ᾽ Ἀγησιλάου. Passim confusa βούλευμα et βούλημα. V. var. lect. ad Dionys. Hal. Ant. Rom. IV. c. 62. Heindorf. ad Platon. Gorg. p. 116. et Lobeck. ad Sophocl. Aiac. p. 226.

V. 1299. Τὸ δὲ λαῖτμα βιησάμενοι, ἀντὶ τοῦ μαχεσάμενοι τῷ κατεπείγοντι ἀνέμῳ. καὶ βισάμενοι. *) Λαῖτμα δέ ἐστι τὸ κῦτος **) καὶ διάστημα τῆς θαλάσσης, οἱονεὶ λαίτμημα, παρὰ τὸ λίαν τύπτεσθαι ὑπὸ τῶν κυμάτων. Σειληνὸς δὲ ἐν Γλώσσαις πέλαγος εἶναι, καὶ Εἰρηναῖος ἐν ᾱ Ἀπολλωνίου ***) ἀποδεδώκασιν.

V. 1300 — 1308. Εἰ μὴ Θρηΐκιοι δύω. Τούτους Ἡρακλῆς ἀνεῖλεν ὕστερον ἐν Τήνῳ τῇ νήσῳ, ἣ παράκειται τῇ Δήλῳ. Νίκανδρος δὲ ὁ Κολοφώνιος ἐν ᾱ τῶν Οἰταϊκῶν αἴτιον γεγονέναι Βορέαν φησὶ τοῦ θανάτου τῶν υἱέων, διὰ τὸ χειμάσαι Ἡρακλέα ἐν Κῷ τῇ νήσῳ ὑποστρέφοντα. Καὶ Ὅμηρος·

Τὸν μὲν, ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θύελλας.

Αἰνησίδημος δὲ ἐν Τηνιακοῖς φησὶν, διότι ξενίσαντες τὸν Ἡρακλέα ἐνήδρευσαν αὐτὸν ἀποκτεῖναι βουλόμενοι. Σῆμος δὲ, διὰ τὸ λειφθῆναι δρόμῳ τὸν Ἡρακλέα ὑπὸ τῶν Βορέου παίδων. Στησίμβροτος δέ φησιν, ὅτι διαφορὰν ἔσχον πρὸς Ἡρακλέα περὶ τῶν δεδομένων δώρων τοῖς ἀριστεῦσιν ὑπὸ Ἰάσονος. Κατὰ δὲ Ἀπολλώνιον, διὰ τὸ τοὺς Βορεάδας κωλῦσαι τοὺς Ἀργοναύτας ὑποστρέψαι εἰς Μυσίαν κατὰ ζήτησιν Ἡρακλέους. Δεδυπότος ὕστερον καὶ ἀποθανόντος τοῦ Πελίου, ὑποστρέφοντας αὐτοὺς ἐκ τοῦ ἐπιταφίου ἀγῶ-

---

*) Leg. ἀνέμῳ, καὶ βιασάμενοι. Vid. Bastii Comment. Palaeogr. p. 741.

**) Schol. edit. melius κύτος. Eratosthenes in Anthol. Gr. III. v. 4.

ἢ σιρὸν, ἢ κοίλου φρείατος εὐρὺ κύτος.

***) Vid. Ind. Verbor. et Rer. ad Homeri Odyss. p. 152. Add. Scholiast. ad Aeschyli Eumen. v. 2. Ἐπαφρόδιτος ἐν ὑπομνήματι Καλλιμάχου Αἰτίων β̄.

νος ὡς εὗρεν ὁ Ἡρακλῆς, ἀναμνησθεὶς τῶν τότε ὑπ' ἐκείνων πραχθέντων κατὰ αὐτοῦ, ἀνεῖλεν αὐτοὺς ἐν Τήνῳ τῇ νήσῳ.

Ἰστέον δὲ, ὅτι τῶν Βορεάδων *) δύο τάφοι εἰσὶν ἐν Τήνῳ τῇ νήσῳ, καὶ δύο στῆλαι, ὧν τὴν ἑτέραν συμβαίνει παντως κινεῖσθαι ὑπ' ανεμου Βορεου του πατρὸς αὐτῶν.

V. 1309. Τὸ δὲ, καὶ κατὰ μὲν, ὡς ἤμελλον, στίχον εἶναι φασὶ Καλλιμαχου.

Ἰστέον δὲ, ὅτι οἱ μεθ' Ὅμηρον ποιηταὶ τοὺς ἀπὸ τοῦ ε ἀρχομένους παρατατικοὺς τῷ η γράφουσιν, ἤμελλον, ἠβουλόμην, καὶ τὰ ἑξῆς.

V. 1310. Τοῖσι δὲ Γλαῦκος. Γλαῦκος Πολύβου παῖς, Ἀνθηδόνιος τὸ γένος· ἡ δὲ Ἀνθηδόνη πόλις Βοιωτικὴ, ὡς καὶ Ὅμηρος·

Ἀνθηδόνα τ' ἐσχατόωσαν·

ἁλιεὺς τὴν τέχνην, ὃς πολλήν ποτ' ἰχθύων εὐτυχήσας **) ἄγραν, μεταξυ τῆς ὁδοῦ ἀποκαμὼν ἀπέθετο τὸ φορτίον τῶν ἰχθύων. Τούτων δὲ εἰς ***) ἀθάνατον βοτάνην φαγὼν ἀνέζησεν. Ὡς δὲ εἶδε τουτο ὁ Γλαυκος,

*) Imo Βορεαδῶν. Vitiosum legas etiam ad II. v. 285. 296. Supra ad v. 482. Ἀλωϊάδων pro Ἀλωϊαδῶν. Infra ad III. v. 337. Αἰολίδων pro Αἰολιδῶν. V. Sylburgii notam de Οἰνιάδων eodem modo παρατονωθέντι in Pausania IV. c. 25. extr. p. 341. Contrario vitio in Euripid. Phoeniss. v. 1689. Pors. olim legebatur Δαναϊδῶν. In Luciani Hermot. c. 61. extr. T. I. p. 803. Reitzius, haud raro ille trepidans, quando nulla trepidandi causa, sequi debebat Hemsterhusii exemplum, quem v. ad Timon. c. 18. p. 129.: secutus est Schmiederus T. I. p. 576. Perinde vitiatum in Athenaeo Ἐπικιχλιδῶν iam Casaubonus mutavit in Ἐπικιχλίδων. V. Schweighaeus. Animadv. T. VII. p. 492.

**) *nactus.* De v. εὐτυχεῖν c. accusat. v. Abresch. Lect. Aristaen. p. 122. et Bast. Specim. Aristaen. p. 34.

***) Leg. εἷς.

λαβὼν καὶ αὐτὸς τὴν βοτάνην ταύτην καὶ φαγὼν, ἀπεθανατίσθη. Ὡς δὲ εἰς ἄκρον γῆρας ἀφίκετο, μὴ φέρων ἔῤῥιψεν ἑαυτὸν εἰς τὴν θάλασσαν, καὶ ἐτιμήθη ὡς δαίμων θαλάσσιος. Τὸν δὲ ἰχθὺν ἐκεῖνον γλαῦκον ἀπὸ τοῦ Γλαύκου φασὶ κεκλῆσθαι.

Βρυχίαν δὲ ἅλα τὴν βρυχώδη φησί.

V. 1314. Νήϊον δέ ἐστι μέρος τῆς νεὼς, ὅπερ σύρεται ὀπίσω κατὰ τὸ ὕδωρ.

V. 1315. Τὸ δὲ, τίπτε παρ᾽ ἐκ μεγάλοιο, ἀντὶ τοῦ, διὰ τί μενεαίνετε καὶ προθυμεῖσθε πράττειν τι παρὰ τὴν τοῦ Διὸς βουλήν.

V. 1317. Ἔοικε δὲ Ἀπολλώνιος τῶν ἐν καταλόγῳ εἰρημένων καὶ νῦν μνημονεύειν διὰ τοῦ Ἄργου. Ἔφη γὰρ ἐκεῖ, ὅτι ἆθλον ἐπιτελῶν ὁ Ἡρακλῆς, καταλιπὼν ἐκεῖνον, ἀπῆλθεν εἰς τοὺς ἀριστεῖς.

V. 1318. Τὸ δὲ ἐκπλῆσαι ἀντὶ τοῦ ἐκπληρῶσαι.

V. 1319. Μετὰ οὖν τὸ ἐκπληρῶσαι τοὺς δώδεκα ἄθλους, καὶ προσέτι ἑτέρους ὀλίγους, συνέστιος ἔσται τοῖς θεοῖς καὶ ὁμότιμος.

V. 1321—1323. Τὸν δὲ Πολύφημον πέπρωται μαχόμενον τοῖς Χάλυψι τὸ χρεὼν ἐκτελέσαι. Ἔθνος δὲ οἱ Χάλυβες Σκυθικὸν, ὅπου ὁ σίδηρος γίνεται. Καλλίμαχος·

Χαλύβων ὡς ἀπόλοιτο γένος.

V. 1325. Ἐν δὲ τῷ, ὃν πόσιν, τὸν*) ὃν ἀντὶ τοῦ τὸν ἑαυτῆς εἴληπται. Λέγοιτο δ᾽ ἂν καὶ ἧς πόσις. Καὶ τοῦτο δὲ ἀντὶ τοῦ ἑαυτῆς.

V. 1326. Ἀλίαστον δὲ τὸ πολύ.

Τὸ δὲ δύψας, ἀντὶ τοῦ καταδύς.

---

*) Leg. τό.

V. 1329. *Γήθησαν δὲ*, ἀντὶ τοῦ ἐχάρησαν, διὰ τὸ μαθεῖν τῆς αἰτίας τῆς ἀπολείψεως.

Τὸ δὲ *ὀσσομένως*, ἀντὶ τοῦ ταχέως.

V. 1331. *Προσπτύσατο δὲ*, ἀντὶ τοῦ ἐδεξιώσατο, ἐφιλοφρονήσατο.

V. 1332. Τὸ δὲ, *μή μοι τι χολῶσαι*, ἀποφαντικὸν *) ἔχει ἀντὶ ὑποτακτικοῦ. Τὸ γὰρ μὴ πρὸς ἐνεστῶτα μεταβαῖνον προστακτικὸν ἀπαιτεῖ· πρὸς δὲ μέλλοντα ὑποτακτικόν.

Τὸ δὲ *ἀφραδίῃσιν*, ἀντὶ τοῦ ἀφραδέως, ὄνομα ἀντὶ ἐπιῤῥήματος.

V. 1333. Τὸ δὲ *ἀασαίμην* μεταφορικῶς ἀπὸ τῶν ἁρματοδρόμων **) εἴρηται.

V. 1334. Τὸ δὲ *ὑπερφίαλον*, ἀντὶ τοῦ ἡμαρτημένον, οἱονεὶ ἔκφυλον, κατὰ παρέμπτωσιν τοῦ ᾱ. Καταστρέφει δὲ εἰς τὸ μὴ καθῆκον μηδὲ νόμιμον.

V. 1336. Τὸ δὲ *ἐπιφραδέως*, ἀντὶ τοῦ διανενοημένως ***) καὶ συνετῶς.

---

*) I. q. *ὁριστικόν*. Sic mox ad v. 1349. Tacent Lexicographi nostri de hoc Grammaticorum usu vocis *ἀποφαντικός*. Apollonius de Synt. III. p. 243, 9. *ἡ μὲν γὰρ καλουμένη ὁριστικὴ, καλεῖται καὶ ἀποφαντική.* ut bene scripsit Sylburgius pro *ἀποφατική*. E contrario in Ammonio de adfin. vocab. differ. p. 105. corrig. *Οὔκουν παροξυτόνως μὲν, ἀποφατικόν.*

**) Hinc natum est verbum *ἁρματοδρομεῖν*, quod, a Lexicographis omissum, reperisse mihi videor in Apollodoro III, 5, 5. extr. Nam quod ibi ediderunt *ἁρματοδραμεῖν*, receptum illud a Schneidero in Lexicon, ut analogia tueatur, multum vereor.

***) Lexicis a Schneidero, nescio qua de causa, ablatum redde e Scholiasta nostro, quo auctore Scottus recte asciverat.

Τὸ δὲ ἀνέμοισι δώομεν Ὁμηρικόν. *) Φησὶ γὰρ ἐκεῖνος·

ἔπος δ᾽ εἴπερ τι βέβακται
δεινὸν ἄφαρ. τὸ φέροιεν ἀναρπάξασαι θύελλαι.

V. 1337. Τὸ δὲ κυδάσσας, ἀντὶ τοῦ ἐλοιδορήσω. Κῦδος γὰρ ἀρσενικῶς ἡ λοιδορία παρὰ Συρακουσίοις.

V. 1338. Ἐν δὲ τῷ ἐνηέος ἀνδρὸς ἐνηλλαγμέναι εἰσὶν αἱ πτώσεις. Ὁ γὰρ νοῦς· προσηνῆ ἄνδρα ἁμαρτεῖν.

V. 1344. Τὸ δὲ ἀριθμηθέντες **), ἀντὶ τοῦ φιλιωθέντες.

V. 1345. Τὸ δὲ βαλέσθαι ἐνταῦθα τὸ πολίσαι καὶ οἰκῆσαι.

V. 1346. Τὸ δὲ ἐπώνυμον, ἀντὶ τοῦ ὁμώνυμον. Ὁμωνύμως γὰρ Κίος καὶ ἡ πόλις καὶ ὁ ποταμὸς ἐκαλεῖτο.

V. 1349. Τὸ δὲ Μυσίδα ἔχει μὲν τύπον ὑποκοριστικοῦ, οὐ μὴν ἐστὶν ὑποκοριστικόν. Καὶ τὸ Ἄσιδα, ἀντὶ τοῦ Ἀσίαν.

Τὸ δὲ ἀναστήσειν τὸ ἀνάστατον ποιήσειν σημαίνει.

Τὸ δὲ ὁππότε ἐνταῦθα μὲν πρὸς εὐκτικόν· παρ᾽ Ὁμήρῳ δὲ καὶ πρὸς ἀποφαντικόν·

Ὁππότε μιν ξυνδῆσαι —.

---

*) Ad v. 1334. sq.

**) Similiter confusa ἀρθμὸς et ἀριθμὸς in Scholiis Paris. ad II. v. 755. Item in Eustathio ad Hom. p. 480, 34. Rom. quod fefellit Italum interpretem T. III. p. 1042.

*Τίθεται δὲ καὶ ἐπὶ μέλλοντος, συνεκφωνουμένου αὐτῷ τοῦ ἐπιζευκτικοῦ *) συνδέσμου τοῦ ἄν.*

Ὁπόταν ἡβήσῃ τε —.

Ἔδει δὲ τὸν Ἀπολλώνιον ἐνταῦθα χρήσασθαι τῷ ἐπιζευκτικῷ εἰ, Ὁμηρικῶς·

Εἰ μή μοι τλαίης γε θεά —.

V. 1350. *Ὁ δὲ μόρος ἀντὶ τῆς μοίρας κεῖται. Παρεσχημάτισται γὰρ ἀπὸ τοῦ μοίρα, ὥσπερ ὁ πύλος ἀπὸ τῆς πύλης παρ' Ὁμήρῳ. Ἤγουν ἐν ποίᾳ μοίρᾳ ἐστὶν ὁ Ὕλλας, πότερον ἐν τῇ τῶν ζώντων, ἢ ἐν τῇ τῶν θανόντων· ἤγουν πότερον ζῇ, ἢ τέθνηκεν ὁ Ὕλλας.*

V. 1351 — 1353. *Ῥύσια δὲ τὰ ἐνέχυρα. Ἐνέχυρα οὖν ἔδωκαν τῷ Ἡρακλεῖ νέους ἐκ τῆς πόλεως ἐκλέξαντες, καὶ ὤμοσαν ἀεὶ ζητεῖν τὸν Ὕλλαν. Μαστεύειν γάρ ἐστι τὸ ζητεῖν, ὅθεν καὶ μαστὺς ἡ ζήτησις. Καλλίμαχος·*

Μαστύος ἄλλοτ' ἔκαμνον ἀλητύϊ.

Ἐντεῦθεν καὶ οἱ μαστοὶ διὰ τὸ ἀναγκαίως ὑπὸ τῶν παίδων ζητεῖσθαι.

V. 1354. *Τὸ δὲ ἐρέουσιν ἀντὶ τοῦ ἐρευνῶσι καὶ ζητοῦσι κεῖται. Ὅμηρος·*

Τὰς ἐρέων Ὀδυσσῆϊ συνήντετο.

καί·

Κνημοὺς ἐξερέεισιν.

Ῥύσια δὲ σημαίνει μὲν καὶ τὰ σωτήρια· σημαίνει δὲ καὶ τὰ ἐνέχυρα. Νῦν δὲ τὰ διδόμενα εἰς πίστιν τινὶ σημαίνει, ἃ καλοῦμεν ὅμηρα. Ὅτι δὲ ὅμηρα ἔδωκαν οἱ Κιανοὶ Ἡρακλεῖ καὶ ὤμοσαν, μὴ λήξειν ζητοῦντες τὸν

---

*) Adiectivum hoc, quod mox recurrit, Lexicis adde. V. Sylburgii Indic. in Apollon. h. v.

Ὕλλαν, καὶ ὡς ἐπεμελοῦντο τῆς Τραχῖνος, διὰ τὸ ἐκεῖ κατοικῆσαι τὸν Ἡρακλέα τοὺς ὁμηρεύοντας Κιαναίων, ὡς ἱστορεῖ ἐν τῇ Ἡρακλείᾳ. *)

V. 1356. Τὸ δὲ *καταυτόθι* οὐ καλῶς κεῖται. Σημαντικὸν γάρ ἐστι τοῦ παρόντος τόπου. Ὅμηρος·

Αὖθι μένων, μή πως ἀβροτάξομεν ἀλλήλοιϊν.

Ἔδει γοῦν ἀφεστῶτος τόπου σημαντικὸν εἰπεῖν τὸ ἐκεῖ, ὥσπερ καὶ τό·

ὅθι ποιμένα ποιμὴν
ἠπύει —.

Τὸ δὲ *νάσσατο*, ἀντὶ τοῦ κατῴκισε.

V. 1360—1362. Τὸ δὲ *ἠοῦς τελλομένης*, ἀντὶ τοῦ ἡμέρας γενομένης. Ὁ οὖν *ἄνεμος*, *λάβρος* ὢν καὶ σφοδρὸς τὴν νύκτα, τὴν ἡμέραν ἐπαύσατο.

Τὸ δὲ *εἰσανέχουσαν*, ἐξέχουσαν, ἐπηρμένην, ἢ ἀνατεταμένην καὶ πλαγίαν ἰδόντες *ἀκτὴν*, ἐπίκωποι γενόμενοι, ὥρμησαν εἰς αὐτὴν τὴν ναῦν.

---

*) Ad v. 1351 — 1353.

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ

ΤΩΝ

ΑΠΟΛΛΩΝΙΟΥ

ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

V. 1. *Ἔνθ' ἔσαν σταθμοί τε βοῶν.* Ὑπόθεσις τοῦ β̄ τῶν Ἀργοναυτικῶν τοιαύτη τίς ἐστιν. Ἄμυκος, ὁ τῶν Βεβρύκων βασιλεὺς, διαπυκτεύει Πολυδεύκει, καὶ ἀναιρεῖται. Δι' ὃν μάχη γίνεται τῶν Ἀργοναυτῶν καὶ τῶν Βεβρύκων· καὶ πολλοὺς αὐτῶν ἀναιροῦσιν. Οἱ Ἀργοναῦται δὲ μετὰ τοῦτο ἀφικνοῦνται εἰς Φινέα, πεπηρωμένον ὄντα τὰς ὄψεις. Ὁ δὲ ἱκετεύει βοηθῆσαι αὐτῷ. Ἅρπυιαι γὰρ ἐξ ἀφανοῦς τινος πορευόμεναι, ἁρπάζουσαι τὴν τροφὴν αὐτοῦ, ἄγευστον αὐτὸν ἐποίουν. Μάντις δὲ ὢν ᾔδει, ὑπὸ τίνων ἦν μεμοιραμένον αὐτὰς διωχθῆναι. Ἱκετεύσαντος οὖν οἱ Βορεάδαι οὐκ ἠπείθησαν, ἀλλ' ἐδίωξαν αὐτάς. Ἐν τοσούτῳ δὲ ὁ Φινεὺς διηγεῖται τοῖς Ἀργοναύταις τὸν εἰς Κόλχους πλοῦν. Ἐπελθόντες δὲ οἱ Βορεάδαι διηγοῦνται, ὅπως κατηγωνίσαντο τὰς Ἁρπυίας. Ἑξῆς δὲ τὰ περὶ τὴν Κυρήνην περιέχεται τὴν Ὑψέως, καὶ Ἀρισταῖον τὸν τῆς Κυρήνης καὶ Ἀπόλλωνος υἱόν· καὶ ὅσα περὶ τῶν ἐτησίων μεμύθευται, καὶ ὡς διέπλευσαν τὰς Συμπληγάδας, καὶ ἐν

τῇ παρακειμένῃ νήσῳ τῇ Θυνίδι χώρᾳ ἐγένοντο, ἔνθα ἐφάνη αὐτοῖς ὁ Ἀπόλλων. Οἱ δὲ τέμενος αὐτῷ κατασκευάσαντες, Ἑῷον τὸν θεὸν ἐπωνόμασαν. Τάς τε περὶ τὴν Μαριανδινιαν, καὶ την ἐνταῦθα Ἀχιρουσιαν ἄκραν, καὶ ὡς ὁ Λύκος, ὁ βασιλεὺς τῆς χώρας ταύτης, φιλοφρονέστατα αὐτους ὑπεδέξατο, ὅτι Αμυκον, τὸν ἐχθρὸν αὐτοῦ, ἀπέκτειναν, καὶ ὡς Ἴδμων ὁ μαντις καὶ Τιφυς ὁ κυβερνήτης τελευτῶσιν ἐν τῇ Μαριανδινίᾳ. Τὰ δὲ ἑξῆς περὶ τῶν παρὰ Χάλυψι καὶ Τιβαρηνοῖς καὶ Μοσυνοίκοις νομίμων λέγεται, καὶ τῶν ἐν τῇ νήσῳ τοῦ Ἄρεος μυθευομένων ὀρνέων, ὡς ἐξελαθησαν ὑπὸ τῶν Ἀργοναυτῶν, καὶ ὡς οἱ Χαλκιόπης, της Μηδείας ἀδελφῆς, καὶ Φρίξου παῖδες, εἰς Ὀρχομενὸν στελλόμενοι, ἐναυάγησαν, καὶ καταχθέντες εἰς τὴν Ἄρεως νῆσον, συνέβαλον ἐκεῖ τοῖς Ἀργοναύταις, καὶ γνωρίσαντες ἀλλήλους κοινῇ εἰς τὸν ἐν Κόλχοις ποταμὸν Φᾶσιν ἔπλευσαν.

Αὖλίς τ' Ἀμύκοιο. Ἄμυκος ἐβασίλευσε Βεβρύκων τῆς Βιθυνίας, τά τε ἄλλα καὶ τὰ παραθαλάσσια κατ' ἐκεῖνον τὸν χρόνον κατέχων. Κατῴκησαν δέ τινες τῶν Βεβρύκων καὶ περὶ τοὺς κατὰ τὴν Ἔφεσον καὶ Μαγνησίαν τόπους. Χάρων δέ φησι, τὴν Λαμψακηνῶν χώραν Βεβρυκίαν πρότερον καλεῖσθαι ἀπὸ τῶν ἐκεῖ κατοικησάντων Βεβρύκων. Ἀπώλετο δὲ τὸ ἔθνος ὑπὸ πολέμου, ὥσπερ καὶ ἄλλα πλεῖστα. Αὖλιν δέ φησι τὴν διατριβὴν καὶ διαγωγήν.

V. 2. Ἀγήνορα δὲ τὸν ὑπερήφανον.

V. 4. Ἐν δὲ τῷ, Βιθυνὶς Μελίη, δοκεῖ τὸ μὲν Μελίη ἐπίθετον τῆς Νύμφης εἶναι, τὸ Βιθυνὶς κύριον. Μελίαι γὰρ αἱ Νύμφαι, ἢ ἀπὸ Μελίας τῆς Ὠκεανοῦ, ὥς φησι Καλλίμαχος, ἢ ἀπὸ τοῦ περὶ τὰς μελίας

τὰ δένδρα διατρίβειν, καθάπερ καὶ Ἀμαδρυάδες ἀπὸ τῶν δρυῶν. Βιθυνὶς δὲ τὸ κύριον, ἐξ ἧς ἴσως καὶ ἡ Βιθυνία ἐκλήθη. Ἢ παρωνύμως αὕτη ἀπὸ τοῦ τῶν Βιθυνῶν ὀνόματος.

Γενέθλιον δέ φησι τὸν Ποσειδῶνα, διὰ τὸ δεσπόζειν τοῦ ὑγροῦ καὶ πάσης τροφῆς, καὶ τῆς γενέσεως αἴτιον εἶναι, ὥσπερ καὶ τὸ ὕδωρ γενητικόν *).

Ὑπεροπληέστατον δέ φησι τὸν ὑπερηφανέστατον.

V. 8. Χρειὼ δέ φησι τὴν χρείαν. Ἀντὶ δὲ **) χρειὼ μὲν πολλὰ τῶν ἀντιγράφων χρειώ μιν ἔχει ἡμαρτημένα. Τὸ γὰρ μὶν ἐπὶ ἑνικοῦ ἀεὶ λαμβάνεται. Ἐνταῦθα δὲ πληθυντικὸν ἀνάγκη εἶναι· πολλοὺς γὰρ καὶ οὐχ ἕνα ἐρωτᾷ, εἰ μὴ ἐπὶ τὸν Ἰάσονά τις ἀναφέροι.

V. 9. Τὸ δὲ ἄτισεν, ἀντὶ τοῦ οὐκ ἐφρόντισεν· ὃ γὰρ οὐ τιμᾷ τις, ἐκείνου οὐδὲ φροντίζει.

Ἀποστείχειν, τὸ ἀποχωρεῖν. ***)

V. 15. Τὸ δὲ ἀποκριδὸν, ἀντὶ τοῦ κατ' ἐκλογήν.

Τὸ δὲ παρασχεδὸν, ἀντὶ τοῦ ἐγγύς. †)

V. 10. Τὸ δὲ δηρινθῆναι, ἀντὶ τοῦ μαχέσασθαι, ἀπὸ τοῦ δηρίνομαι. Τοῦτο δὲ ἀπὸ τοῦ δηρίομαι.

V. 17. Τὸ δὲ ἀπηλεγέοντες, τὸ ἀφροντιστοῦντες σημαίνει. Ἡρωδιανὸς δὲ ἐν τῇ καθόλου ἀνηλεγέοντες γράφει τῷ ν̄, καὶ τὸ ἐπίῤῥημα ἀνηλεγέως.

V. 21. Τὸ δὲ ἑῷν δασύνεται, ὥσπερ καὶ τὸ ἰῶν.

---

*) Imo γεννητικόν. Sic passim legas γενητὸς, ἀγένητος, ubi scribendum γεννητὸς, ἀγέννητος. Haec enim tam ortu quam significatione differunt. Γενητὸς est, ὁ γενόμενος, ἀγένητος, ὁ μὴ γενόμενος: γεννητὸς, ὁ γεννηθεὶς, ἀγέννητος, ὁ μὴ γεννηθείς. Ceterum referenda haec ad v. 3.

) Add. τοῦ. *) Ad v. 6. †) Ad v. 10.

Τὸ γὰρ προστιθέμενον τοῖς δασυνομένοις ε καὶ αὐτὸ δασύνεται, ἕδνον, ἔεδνον, ἕρση, ἐέρση, ὃν, ἑόν.

V. 22. Τὸ δὲ ὅστις εὔχεαι ἐπὶ καταφρονήσει εἴρηται.

V. 25. Τὸ δὲ ἑλίξας, ἀντὶ τοῦ περιστρέψας τὰ ὄμματα εἰς τὸν Πολυδεύκην.

V. 27. Ἰλλόμενος δὲ, ἀντὶ τοῦ συνειλούμενος καὶ συστρεφόμενος.

V. 29. Τὸ δὲ ἔτυψε παροίτατος ἔφη, ὅτι φασὶ τὸν λέοντα τὸν τρώσαντα πάνυ ὁρᾷν, ἐὰν μόνος ὁ τρώσας ᾖ· ἐὰν δὲ πλείους, τὸν πρῶτον.

V. 30. Εὔστιπτον δὲ λέγει τὸν εὔστρεπτον καὶ εὐπίλητον, ἀπὸ τοῦ στείβω. Ὅθεν καὶ στιβὰς, καὶ στιβεῖς οἱ κναφεῖς.

V. 32. Λώπην δέ φησι τὴν χλαμύδα, ἢ τὴν διφθέραν.

V. 33. Καλαύροπα δὲ τὴν ποιμενικὴν ῥάβδον. Ἐμφαίνει δὲ διὰ τούτου τὸ τοῦ ἀνδρὸς ἄγριον ἦθος.

V. 34. Τὸ δὲ φορέεσκεν, ἀντὶ τοῦ ἐκράτει.

Ὀριτρεφῆ δὲ κότινον φησὶ τὴν ἐν τῷ ὄρει τεθραμμένην ἀγριελαίαν.

V. 35. Ἑαδότα δέ φησι τὸν ἀρέσαντα τόπον.

V. 38—40. Τὴν δὲ τοῦ Ἀμύκου καὶ Πολυδεύκους δεῖξαι θέλων διαφορὰν, ἐκεῖνον μὲν Τυφῶνος υἱῷ παρεικάζει, ἢ γηγενεῖ, διὰ τὸ ἐκτράπελον καὶ τερατῶδες τοῦ σώματος· τοιοῦτοι γὰρ οἱ γηγενεῖς Γίγαντες, οὓς φησιν ὀργισθεῖσαν τὴν Γῆν γεννῆσαι, διὰ τὸ τὸν Δία καταταρταρῶσαι τοὺς Τιτᾶνας.

Πέλωρ δὲ λέγεται τὸ θηρίον, καὶ τὸ ὑπερμέγεθες.

V. 40—42. Τὸν δὲ Πολυδεύκην ἀστέρι εἰκάζει τῷ καλουμένῳ Ἑσπέρῳ, περὶ οὗ Ὅμηρός φησιν:

Ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ.

Ἑσπερίην δὲ νύκτα φησὶ τὴν τῆς νυκτὸς ἑσπέραν.

Ἀμαρυγὰς δὲ τὰς λαμπηδόνας φησί.

V. 43. Χνοάοντας δέ φησιν ἰούλους, τοὺς ὡς χνοῦς *) ἀναφυομένους ἰούλους.

Ἴουλος δὲ λέγεται καὶ ἡ ἐξάνθησις τῶν γενείων, καὶ ζῶόν τι πολύπουν, καὶ εἶδος ᾠδῆς, ὥς φησιν Ἐρατοσθένης.

V. 44. Τὸ δὲ ἀντέλλειν τὸ φύειν ἐνταῦθα ἐνεργητικῶς σημαίνει.

V. 45. Τὸ δὲ πῆλε τὸ ἐκίνει σημαίνει.

V. 46. Καὶ πειράζειν τὸ δοκιμάζειν.

V. 48. Ὁ δὲ Ἄμυκος οὐκ ἐπειράσατο ἑαυτοῦ δι' ὑπερηφανίαν.

V. 49. Τὸ δὲ ὀρεχθεῖν τὸ ἐν ὀρέξει εἶναι σημαίνει. Ἐνταῦθα δὲ ἀντὶ **) ἐπεθύμει καὶ ὥρμα. Λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ στένειν, ὡς τὸ,

ὠρέχθεον ἀμφὶ σιδήρῳ.

V. 51. Τὸ δὲ Λυκορεὺς πεποίηται τῷ ποιητῇ, ἀλλ' οὐκ ἀπὸ τῆς ἱστορίας εἴληπται.

V. 52. Ἱμάντας δέ φησι τοὺς καλουμένους μύρμηκας.

V. 53. Ἀζαλέους δὲ τοὺς καταξήρους. Διὸ καὶ

*) Schol. edit. ὡς χνοῦν. Utrumque recte habet. V. Melet. Crit. I. p. 126. Aeschines Socrat. de Virt. c. 13. τοπάζω — γίγνεσθαι τοὺς ἀγαθοὺς, ὥσπερ οἱ θεῖοι τῶν μάντεων καὶ οἱ χρησμολόγοι. quo loco ne poterat quidem accusativus poni.

**) Add. τοῦ.

τινὲς τὴν Ἀζανίαν οὐκ ἀπὸ Ἀζάνος βασιλέως ὠνομάσθαι φασὶν, ἀλλὰ διὰ τὸ κατάξηρος *) εἶναι.

Τὸ δὲ κατεσκληότες, ἀντὶ τοῦ κατάξηροι. Ὅθεν καὶ σκέλος, το ἄσαρκον μέρος τοῦ σώματος.

V. 54 Ὑπερφίαλον δὲ τὸ ὑπερήφανον καὶ ὑπέρμετρον. Ἡ δὲ μεταφορὰ ἀπὸ τῆς φιάλης. Τὸ γαρ ἐν αυτῇ πληθύον ὑπερφιαλον καὶ ὑπέρμετρόν ἐστι. Φιάλη δέ ἐστιν εἶδος ἀγγείου λεβητώδους.

V. 55. Τὸ δὲ πάλου ἄτερ, ἀντὶ τοῦ ἄνευ κλήρου ἔκλεξον, οὓς ἂν αυτὸς ἐθέλεις.

V. 56. Τὸ δὲ ἀτέμβεσθαι οἱ μὲν παλαιοὶ ἐπὶ τοῦ στερίσκεσθαι ἔταττον· οἱ δὲ νεώτεροι ἐπὶ τοῦ μέμφεσθαι, ὡς ἐνταῦθα.

V. 60. Παραβλήδην δὲ τὸ παραβλητικῶς **) καὶ ἐκ του ὁμοίου φιλονεικεῖν.

V. 64. Παρηγορεῖν δὲ τὸ προτρέπεσθαι ἐνταῦθα σημαίνει.

Ἀπροφάτως δὲ ἀντὶ τοῦ ἀδιστάκτως καὶ ἀδιακρίτως, καὶ μηδὲν πρὸς τὴν αἵρεσιν περιεργασάμενος. ***)

V. 65. Τὸ δὲ ἤδειν ἀντὶ τοῦ πληθυντικοῦ κεῖται τοῦ ᾔδεισαν, ὡς καὶ τὸ, της δ' ἦν τρεῖς κεφαλαί.

V. 67. Οἱ δ' ἐπεὶ οὖν ἐν ἱμᾶσι. Διασταδὸν μὲν φησὶ τὸ κεχωρισμένως †)· ἐν διαφόροις γὰρ τόποις παρεσκευάσθησαν.

---

*) Imo κατάξηρον: aut constructio soloeca est.

**) Hoc adverbium omissum in Lexicis.

***) Ad v. 62.

†) Hoc quoque adverbio Lexica carent: item simili κεχυμένως, quo utitur Alciphron III. epist. 65. p. 436. Bergl.

Τὸ δὲ ἀρτύνασθαι, τὸ παρασκευάσασθαι σημαίνει.

V. 68. Ῥέθος δὲ ἅπαν μέλος. Ἐνταῦθα δὲ τὸ πρόσωπον.

V. 70—73. Ὅρα δὲ, ὅπως ἐμμελῶς κύματι μὲν θαλάσσης τὸν Ἄμυκον ἀπεικάζει διὰ τὴν ἄλογον ἀγριότητα· κυβερνήτην *) δὲ τὸν Πολυδεύκην διὰ τὴν ἐμπειρίαν.

Τῷ δὲ ἀλύσκει συναπτέον τὴν ὑπὸ, ἵν᾽ ᾖ ὑπαλύσκει, ἀντὶ τοῦ ἐκφεύγει.

Τὸ δὲ ἱεμένου πρὸς τὸν κυβερνήτην ἀναφέρειν οὐ δοκεῖ κατάλληλον· οὐ γὰρ ἐφίεται ὁ κυβερνήτης εἰςέρχεσθαι τὴν ναῦν εἰς τοὺς κλύδωνας. Ἢν δὲ πρὸς τὸ κλύδωνος ἀναχθῇ, καταλληλότερον ποιήσει τὸν λόγον· ὁ γὰρ κλύδων ἐγειρόμενος ἔοικεν ἐφίεσθαι βαπτίσαι τὴν ναῦν, καὶ ταύτην εἴσω ἑαυτοῦ ποιῆσαι.

Τοῖχον δὲ κλύδωνος τὴν περιοχὴν τοῦ κλύδωνος εἴρηκεν. Εἰ καὶ **) πρὸς τὸν κυβερνήτην ἀναφέρουσι τὸ ἱεμένου, τὸ ὑγιὲς ἕξει καὶ οὕτως ὁ λόγος, ἢν τοῖχον νοήσωμεν τὴν ἀποφυγὴν τοῦ κλύδωνος· ἐφίεται γὰρ ὁ κυβερνήτης εἴσω τοῦ τοίχου καὶ τῆς ἀποφυγῆς τοῦ κλύδωνος φέρεσθαι.

V. 75. Τὸ δὲ δηθύνειν τὸ βραδύνειν σημαίνει. Οὐκ εἴα δὲ ὁ Ἄμυκος βραδύνειν τὸν Πολυδεύκην.

V. 76—78. Τὸ δὲ ἀπηνέα, εἰ μὲν τὸν ἀμαθῆ νοήσεις, οὕτως ἐρεῖς· αἶψα δὲ καὶ ταχέως ὁ Πολυδεύκης τὸν Ἄμυκον ἀμαθῆ κατὰ τὴν πυγμαχίαν νοήσας, καὶ οἱ ***) κάρτος ἄατον, ἀντὶ τοῦ μέγα, ἦν αὐτῷ· κατὰ γὰρ τὴν ἰσχὺν ἴσως ὑπερεῖχεν ὁ Ἄμυκος·

---

*) Leg. κυβερνήτῃ. **) Leg. δέ. ***) Leg. ᾗ.

καὶ ἧ χερείων τοῦ Πολυδεύκους ἦν· κατὰ γὰρ τὴν ἐμπειρίαν ἐνικᾶτο ὁ Ἄμυκος· ταύτῃ ἄμοτον καὶ ἀπλήστως συνέμιξεν αὐτῷ τὰς χεῖρας. Εἰ δὲ τὸ ἀπηνὲς τῆς πυγμαχίας, καὶ συνεκδοχικῶς ἔξωθεν τῆς κατὰ λαμβανομένης, οὕτως ἐρεῖς· κατὰ δὲ τὴν ἀπηνῆ πυγμαχίαν ἐνόησε, καὶ ἧ ὑπερέχει καὶ ἧ ὑπερέχεται ὑπὸ τοῦ Ἀμύκου.

V. 79. Νήϊα δὲ δοῦρα φησὶ τὰ πρὸς κατασκευὴν νεὼς ἐπιτήδεια ξύλα. Ὥστε, ἡνίκα συμβάλωνται, ἁρμόζειν ἀλλήλοις, ἢ τὰ ἀντικείμενα τοῖς σφησίν. Εἰς γὰρ τὰ πλάγια τῶν σανίδων τιθέασι τοὺς σφῆνας πρὸς ἀσφάλειαν.

Θοὸν δὲ τὸ ὀξὺ κατὰ μετάληψιν. Ὅμηρος·

ἐγὼ δ' ἐθόωσα παρὰ στάς.

V. 80. Ὑλουργὸς δὲ ὁ τὴν ὕλην ἐργαζόμενος. Νῦν δὲ ὁ ναυπηγός.

Τὸ δὲ ἐπιβλήδην τὸ ἐπιβλητικῶς *) σημαίνει. Ἐπιβάλλουσι γὰρ ἄλληλα τὰ ξύλα οἱ ναυπηγοί.

---

*) Hoc adverbium, in H. Stephani Thesauro obvium, Lexicographi nostri omiserunt. Quo minus mirandum, etiam adiectivum ἐπιβλητικός, ἡ, όν, neglectum iis esse, quod Graecos usurpasse scriptores, ex illo ipso adverbio satis apparet. Nec Meleagri XVII, 2. περίβλητος dignum habuerunt, cui locum concederent, etsi receperant compositum ἀπερίβλητος. Num forte, quod tot vexari coniecturis vidissent? His mea verecunde accedat:

μηδὲ περικλειτὰς εἶχε Πόθων ἀκίδας.

famosas illas Cupidinum sagittas, ut confusa videantur περικλειτὸς et περίκλητος (unde post natum περίβλητος: v. not. ad Dionys. Hal. de Compos. verb. p. 309.), quod toties accidit in Homericis vocibus τηλεκλειτὸς et τηλέκλητος. In transcursu moneo, eiusdem poëtae Epigr. XXIV. v. 5. distrahendo quae male coaluerunt, sic scribendum videri: καί μ' εὖ νῦν θάλπει μνήμης πόθος. *et me aeriter nunc urit voluptatis memoriae inhaerentis desiderium.* Rursus iungendo quae perperam distracta erant, Hermannum credo genuinam Xenophonti scri-

V. 81. Τὸ δὲ *ἄηται* τὸ ἐξηχεῖται καὶ ἐξακούεται σημαίνει.

V. 84. Τὰ *ἐπισταδὸν* ἀντὶ τοῦ ἐπιστατικῶς καὶ ἀμετακινήτως.

Τὸ δὲ *ἐπ' ἄλλα δὲ ἄλλος*, τὴν συνέχειαν τῶν κτύπων σημαίνει. *) Διὸ καὶ τοὺς ναυπηγοὺς ἔλαβε παράδειγμα. Κἀκείνων γὰρ σφυρακτυπούντων **) συνεχεῖς γίνονται οἱ κτύποι.

Ἰστέον δὲ, ὅτι κατὰ Ἀρίστιππον τὸν φιλόσοφον θάρσος μέν ἐστι τὸ θάῤῥος ἡ μετὰ λόγου γενομένη ὁρμή· θράσος δὲ ἡ ἄλογος ὁρμή. ***)

Ἄδην δὲ ἀντὶ τοῦ συνεχῶς ἢ ἀκορέστως. †)

Βρυχὴ δέ ἐστιν ὁ τῶν ὀδόντων ἦχος. ††)

V. 89. *Φορβάδος ἀμφὶ βοός.* *Φορβάδα* λέγει τὴν ἀγελάδα †††) καὶ νομάδα καὶ εὔτροφον βοῦν.

---

pturam restituisse Oeconom. XV, 1. ubi Schneiderus edidit: ἐπὶ δὲ τούτοις πᾶσιν, ἤδη τε σοὶ τὰ ἐκ τῆς γῆς ὡραῖα ἀποδεικνύοντα κ. τ. λ. Egregie vir doctissimus: ἐπὶ δὲ τούτοις πᾶσιν ἥδηται σοὶ τὰ ἐκ τῆς γῆς ὡραῖα ἀποδεικνύων κ. τ. λ. Ac si quem offendat, quod sic oratio subito, neque inserto pronomine tertiae personae, convertitur a domino ad villicum, legat Heindorfii notam ad Platon. Theaet. p. 303.

*) Ad v. 81.

**) Lege σφυροκτυπούντων, Lexicisque hoc verbum adde.

***) Haec unde et cur in hunc locum illata sint, ignoro.

†) Ad v. 82.

††) Ad v. 83.

†††) Ἀγελὰς in Lexicis frustra quaeras. Item haec eiusdem familiae: Ἀγέλασμα. Proclus Hymn. in Minerv. v. 44. πικρῶν ἀγελάσματα νούσων. Recte vir doctissimus ad h. l. in *Bibliothek der alten Litteratur und Kunst II. St* Inedit. p. 38.: „ἀγελάσματα pro ἀγέ„λαι positum videtur.“ [Etiam ἀγελασμὸς alicubi repertum iri auguror: nam compositum συναγελασμὸς dudum in Lexica relatum est.] Ἀγελαστικός. Nemesius p. 53. Matth. ὥσπερ ἴδιόν ἐστι τῆς οὐσίας αὐτοῦ

Ἐχρήσατο δὲ τῷ ἐπιθέτῳ, ἵνα πλέον αὐξήσῃ τὴν ἔριν τῶν ταύρων. Περὶ γὰρ εὐπρεπεστέρας βοὺς, τοιαύτη δὲ ἡ εὔτροφος, εἰκὸς αὐτοὺς μᾶλλον μάχεσθαι. Φησὶ δὲ Ἀντίπατρος ἐν τῷ Περὶ ζώων, τὸν ἀλκιμώτατον ἐν τῇ ἀγέλῃ ταῦρον μίσγεσθαι πάσαις ταῖς βουσὶν, ἑτέρῳ δὲ μὴ ἐπιτρέπειν, εἰ μή τις ἄλλος θαῤῥήσας τῇ ἑαυτοῦ δυνάμει ἀντιστῇ αὐτῷ. Τότε γὰρ ἣν καταγωνίσηται, οὐκέτι πλησιάζει αὐταῖς.

V. 90—94. Τὸ δὲ ἀερθεὶς, τὸ ἐπαρθεὶς σημαίνει. Ἐπαρθεὶς οὖν ὁ Ἄμυκος καὶ ἐπὶ τοῦ ἄκρου σταθεὶς τῶν ποδῶν, ἀπέκτεινεν *) ἑαυτὸν, καὶ κατεπελέμιξε καὶ κατέφερε τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν Πολυδεύκην. Ὁ δὲ Πολυδεύκης, ὁρμήσαντος ἐκείνου, ὑπέστη παρακλίνας τὴν κεφαλὴν, καὶ ἐπὶ τοῦ ὤμου τυτθὸν, ἤγουν ἐπ᾽ ὀλίγον, ἀνεδέξατο τὸν πῆχυν, ἤγουν τὴν πυγμὴν, τοῦ Ἀμύκου.

Βουτύπος δὲ λέγεται ὁ τοὺς θυομένους βοῦς ἀναιρῶν. Αἴρεται δὲ κἀκεῖνος μέλλων πλήξειν τὸν βοῦν.

V. 94. Τὸ δὲ παρὲκ γόνυ γουνὸς ἀμείβων Ὁμηρικόν. Σημαίνει δὲ τὸ προβαίνειν καὶ μεταφέρειν τὰ σκέλη.

V. 95. Τὸ δὲ μεταΐγδην τὸ ὁρμητικῶς σημαίνει.

V. 96. Τὸ δὲ γνὺξ ἤριπεν, ἀντὶ τοῦ ἐπὶ γόνυ κατενεχθεὶς ἔπεσεν εἰς γῆν.

V. 97. Τὸ δὲ ἀθρόως ἔκχυτο θυμὸς, ἀντὶ τοῦ ταχέως ἐξέπνευσε.

V. 98. Τὸ δὲ ἀφείδησαν τὸ κατεφρόνησαν δηλοῖ.

τὸ γελαστικόν. Vere, opinor, Dorvillius ad Chariton. p. 678.: „tu „ibi lege τὸ ἀγελαστικόν.“ Ἀγελοτρόφος. Habet Pollux I. 181.

*) Leg. ἀπέτεινεν.

V. 99. Ἀζηχὲς δὲ λέγεται τὸ ξηρὸν καὶ ψόφον κατάξηρον ἐμποιοῦν.

Σίγυνος δέ ἐστιν ἀκόντιον κατὰ Κυπρίους· κατὰ δὲ ἄλλους τὸ ὁλοσίδηρον ακόντιον.

V. 100. Τὸ δὲ ἀντιαασκον τὸ ἀπήντουν *) καὶ ὥρμων δηλοῖ.

V. 106. Λὰξ δὲ κατὰ μέν τινας σημαίνει τὸν ὑπὸ τῶν δακτύλων τοῦ ποδὸς ψόφον· κατα δὲ Ποσειδωνιον τὸ ὑποκάτω τῶν τοῦ ποδος δακτύλων λαξ καλεῖται. Οὕτω γὰρ ἐκεῖνος ἐξηγειται. καὶ τὸ παρ᾽ Ὁμηρῳ, λὰξ ποδοΐϊν κινήσας.

Ἰστέον δὲ, ὅτι Ἀπολλώνιος μὲν ἀναιρεθῆναι φησὶ τὸν Ἄμυκον ὑπὸ τοῦ Πολυδεύκους· Ἐπιχαρμος δὲ καὶ Πείσανδρος δεθῆναι. Διΐοχος δὲ ἐν ᾱ τῶν περὶ Κυζίκου καταπυκτευθῆναι **) μόνον φησί.

V. 107—109. Ἐν δὲ τῷ, τοῦ δ᾽ ἆσσον ἰόντα. οὕτω γὰρ κατ᾽ ἀλλήλως ***) ἂν ἀπεδόθη πρὸς τὰ ἀνωτέρω, εἰπὼν Ἰτυμονῆα καὶ Μίμαντα. πρὸς μὲν τὸν πρῶτον αἰτιατικὴν ἀπέδωκεν ἀπενεγκών· τὸν μὲν ὑπὸ στέρνοιο. πρὸς δὲ τὸν δεύτερον οὐκ ἐφύλαξε τὸ κατάλληλον. συγχωρεῖται δ᾽ ὅμως διὰ τὸ συγγενὲς τῶν πλαγίων.

Τοῦ οὖν Μίμαντος τῇ δεξιᾷ ὁρμήσαντος ἐγγὺς τοῦ Πολυδεύκους, αὐτὸς τῇ εὐωνύμῳ ἀπέδρυψε τὸ βλέφαρον τοῦ Μίμαντος, ἀποκόψας αὐτοῦ τὸν ὀφθαλμόν. Τοῦτο γὰρ νοεῖται διὰ τοῦ ἐπιφερομένου τοῦ, γυμνὴ δ᾽ ὑπελείπετ᾽ ὀπωπὴ, ἡ τοῦ ὀφθαλμοῦ χώρα δηλονότι.

*) Leg. ἀπήντων.

**) Verbum Schneidero visum fidei dubiae.

***) Conf. Bast. in Addend. ad Gregor. Cor. p. 888.

V. 110. Τοῦ δὲ Ὠρείδης ἡ παραλήγουσα διφθόγγῳ γράφεται τῇ ει κατὰ Ἡρωδιανὸν ἐν τῷ γ τῆς καθόλου.

V. 113. Νηδύια δέ φησι τὰ ἐντόσθια. Ἐκείνων οὖν, φησὶν, οὐχ ἥψατο χαλκὸς, ἀλλ' ἐπὶ τῷ δέρματι μόνον ἔμεινεν, ὑπὸ τὸν κατὰ τὴν ζώνην τόπον.

V. 114. Τὸ δὲ αὔτως, ἀντὶ τοῦ ὁμοίως.

Μενεδήϊον τὸν Ἴφιτον λέγει, ὡς ἐμμενετικὸν ἐν τῷ πολέμῳ. Δηῒς γὰρ ὁ πόλεμος καὶ ἡ μάχη.

V. 115. Ἀζαλέην δὲ τὴν ξηράν. Ἔστι δὲ ξυλίνη κορύνη. Ὅμηρος δὲ καὶ σιδηρᾶν οἶδεν·

Ἀλλὰ σιδηρείῃ κορύνῃ.

Τίνες δὲ τὸ σιδηρείῃ ἀντὶ τοῦ εὐτόνως ἤκουσαν, ὥσπερ τὸ,

σιδήρειος δ' ὀρύγμαδος *) ὀρώρει.

V. 116. Τὸ δὲ, οὔπω κηρὶ κακῇ πεπρωμένον, ἀντὶ τοῦ, οὔπω πεπρωμένον ἦν ἀποθανεῖν.

V. 117. Τὸ δὲ δηώσεσθαι τὸ φονευθήσεσθαι δηλοῖ.

Ὁ δὲ Κλύτιος υἱὸς ἦν Εὐρύτου, ἀδελφὸς Ἰφίτου.

V. 118 — 120. Ὁ δὲ Ἀγκαῖος πελέκει ἐχρῆτο ἐν ταῖς μάχαις καὶ δορᾷ ἄρκτου ἀντὶ ἀσπίδος.

Τὸ δὲ θρασὺς ἐνταῦθα ἐπὶ τοῦ ἀνδρείου, ἀλλ' οὐκ ἐπὶ τοῦ ὑπερβάλλοντος κεῖται.

Τὸ δὲ μέλαν ἐπὶ τοῦ δέρος ἀναφέρειν δεῖ, ὥσπερ καὶ τὸ μελαίνειν, ἀλλ' οὐκ ἐπὶ τοῦ πέλεκυν. Οὐ γὰρ καταλλήλως τὸ οὐδέτερον ἐπιτεθήσεται τῷ ἀρσενικῷ **). Καὶ ἤτοι ἐκ παραλλήλου ληπτέον τὸ μέλαν

*) V. Porson. ad Homer. Odyss. p. 57. et 128. Lips.

**) i. e. ἐπίθετον ἔσται τοῦ ἀρσενικοῦ. qui usus verbi ἐπιτίθεσθαι notandus.

καὶ τὸ μελαινόν· ἢ τὸ μέλαν ἐπὶ τὸ χρῶμα ἀναφέρειν δεῖ, τὸ δὲ μελαινὸν ἐπὶ τὸ ἐκπληκτικόν.

Τὸ δὲ τεταγὼν, ἀντὶ τοῦ ἐκτείνας.

Τὸ δὲ προσχόμενος, ἀντὶ τοῦ προβαλλόμενος.

V. 121. Τὸ δὲ ὁμοῦ οὐ μόνον ἐπὶ ἀθροίσματος κεῖται, ἀλλὰ καὶ ἐπὶ τοῦ ἐγγὺς εἰώθασι λαμβάνειν Ἀθηναῖοι. Μένανδρος·

Ὁμοῦ δὲ τῷ τίκτειν παρεγένεθ' ἡ κόρη.

ἀντὶ τοῦ ἐγγύς.

V. 123. Ὡς δ' ὅτ' ἐνὶ σταθμοῖσι. Ὁμοία ταύτῃ καὶ ἡ παρ' Ὁμήρῳ παραβολή·

Ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον, ἢ ἐρίφοισιν.

Ἀπείρονα μὲν οὖν φησὶ τὰ πολλά.

V. 124. Πολιοὺς δὲ τοὺς λύκους λέγει, ὡς γέροντας καὶ ταύτῃ ἐντέχνους. Οὐ γὰρ δήπου κατὰ τὸ χρῶμα, ἢ διὰ τὸ χρῶμα· ὑπότεφροι *) γὰρ δοκοῦσιν εἶναι καὶ ταύτῃ πολιοί. Οἱ δὲ καὶ διὰ τὸ τίμιον ἐξηγοῦνται. Τίμιον γὰρ παρ' Ἀθηναίοις τὸ ζῶον. Ὁ γοῦν ἀποκτείνας λύκον ἀγείρει αὐτῷ τὰ πρὸς τὸν τάφον. Καὶ ἴσως διότι ἡ Λητὼ ἔγκυος οὖσα διὰ ιθ ἡμερῶν ἦλθεν εἰς Δῆλον μεταβαλοῦσα εἰς λύκον. Διόπερ καὶ κατά τινα ὡρισμένον χρόνον τοῦ ἐνιαυτοῦ τίκτει πᾶσα λύκαινα διὰ ιθ ἡμερῶν, ὥς φησιν Φιλοστέφανος ἐν τοῖς Ὑπομνήμασι.

V. 125. Τὸ δὲ εὐρίνων σημαίνει μὲν καὶ τῶν δερμάτων **)· ῥινὸς γὰρ τὸ δέρμα. Κυρίως δὲ εὔρινες λέγονται οἱ κύνες διὰ τὸ εὖ ἔχειν ὀσφρήσεως. Ταῖς γὰρ

*) Interpunge sic: — κατὰ τὸ χρῶμα. Ἢ διὰ τὸ χρῶμα. Ὑπότεφροι —.

**) Leg. εὐδερμάτων.

ῥισὶν ὀσφραίνονται τὰ θηρία. Διὸ καὶ παραινοῦσιν οἱ κυνηγοὶ πρὸ ἡμέρας ἐξάγειν τοὺς κύνας ἐπὶ τὴν θήραν, ὡσὰν *) πρὸ τοῦ τὸν ἥλιον ἀνατεῖλαι βέλτιον ἀνιχνεύωσι τὰ θηρία. Σοφοκλῆς·

Κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις.

V. 126. Τὸ δὲ *μαίονται* ἀντὶ τοῦ ζητοῦσι κεῖται.

V. 128. Τὸ δὲ *σφίσιν* οὐ κατάλληλον· ἔδει γὰρ ἐπαλλήλοις **) εἰπεῖν· οὐ γὰρ ἐφ' ἑαυτὰ ἔπιπτον. Χρῶνται δὲ ὅμως οἱ μεθ' Ὅμηρον τῷ *σφίσιν* ἀντὶ τοῦ ἀλλήλοις.

Τὸ δὲ *ἐπιπαμφαλᾷν* τὸ μετ' ἐνθουσιασμοῦ καὶ πτοίσεως ὁρᾷν φησί. Κέχρηται δὲ τῇ λέξει καὶ Ἱππῶναξ καὶ Ἀνακρέων. Καὶ Ἐρύκιος οὕτως ἐχρήσατο· Πάντοσε παμφαλόωντες δινήσαντο πόδεσσι. Εἰρηναίῳ δὲ ἀμφανόωντες γράφοντι καὶ ἐξηγουμένῳ κτείνοντες οὐ προσεκτέον· οὔτε γὰρ χρῆταί τις ὅλως τῇ λέξει, οὔτ' ἔστιν ὅλως τοῦ ποιητοῦ. ***)

V. 130. *Σμῆνος* δέ ἐστι τὸ τῶν μελισσῶν πλῆθος.

V. 131. *Μελισσοκόμοι* δέ εἰσιν οἱ μελισσουργοί †).

---

*) Leg. ὡς ἄν, *ut*. Coniunctim scribas, ubi significat *quasi, utpote:* quanquam etiam talibus locis fere diiunctim scriptum legitur.

**) Leg. ἐπ' ἀλλήλοις. Contrarium vitium vidimus supra ad v. 107.

***) Ad v. 127. Erycii fragmentum habeam pro duobus hemistichiis duorum hexametrorum continuorum.

†) Haec quoque vox Schneidero videbitur dubiae fidei, ut qui praeferet μελιτουργοί. Mihi contrariâ sententia placet. *Apiarius* graece dicitur μελισσουργὸς s. μελιττουργὸς, uti θαλασσουργὸς s. θαλαττουργὸς de piscatoribus aliisque opus maritimum factitantibus dicitur: et ubicunque μελιτουργὸς hoc sensu occurrit, duplex τ restituendum est. Sed μελιτουργὸς, simplici τ, si cui scriptorum Graecorum vere usurpatum sit, nego posse intelligi nisi de ipso insecto τὸ μέλι conficiente. Idemque valet de ceteris vocibus utriusque formae.

Τὸ δὲ καπνιᾷν τὸ καπνίζειν σημαίνει.

V. 132. Σίμβλον δέ ἐστιν, ἐν ᾧ τὰ κηρία αἱ μέλισσαι τίθενται. Λέγεται αὐτὸ καὶ κυψέλη.

V. 133. Βομβηδὸν δὲ, ἀντὶ τοῦ μετὰ βόμβου. Βόμβος δέ ἐστιν ὁ τῶν μελισσῶν ψόφος. Οἱ δὲ τὸν τῆς βοξίνης καλουμένης μελίσσης μόνον καλοῦσι βόμβον.

Λιγνυόεις δέ ἐστιν ὁ αἰθαλώδης καὶ σπονδώδης *) καπνὸς, ἢ ὁ ἐκ τῆς λιγνύος γενόμενος.

V. 134. Τυφόμεναι δὲ ἐνταῦθα ἀντὶ τοῦ καπνιζόμεναι· ἀλλαχοῦ δὲ καὶ ἀντὶ τοῦ καιόμεναι.

Ἰστέον δὲ, ὅτι καπνιζόμεναι αἱ μέλισσαι φεύγουσι, διὰ τὸ στενόπορον εἶναι τὴν ὄσφρησιν αὐτῶν. Μάλιστα δὲ ὑπὸ τῆς κονίζης **) καπνιζόμεναι τοῦτο πάσχουσι, διὰ τὸ δριμύτατον εἶναι τὸν καπνὸν αὐτῆς. Καὶ οἱ ὄφεις δὲ τοῦτο πάσχουσι· καπνιζομένου γὰρ ἐλαφείου κέρατος ***) φεύγουσιν, ὥς φησι Νίκανδρος.

V. 138. Ἀλωαὶ δέ εἰσιν οἱ ἀμπελόφυτοι τόποι.

V. 139. Οἶαι δὲ αἱ κῶμαι, διὰ τὸ τὰ πρόβατα ἐν αὐταῖς καὶ τὰ ἄλλα θρέμματα νέμεσθαι.

Λύκον δέ φησι τὸν βασιλέα τῶν Μαριανδυνῶν.

V. 140. Μαριανδυνοὶ δὲ ἐκλήθησαν ἀπὸ Μαριανδυνοῦ υἱοῦ Φινέως. Φινέως γὰρ παῖδες ἐκ μὲν Κλεοπάτρας Παρθένιος καὶ Κρώμενος· ἐκ δὲ Ἰδαίας τῆς Δαρδάνου, ἢ Σκυθικῆς τινος παλλακίδος, Θύνος καὶ Μαριανδυνός. Οἱ δὲ ἀπὸ Μαριανδυνοῦ τοῦ Κιμμερίου

*) Leg. σποδώδης. Obiter Lexicis adde σποδόεις, quo utitur Suidas T. II. p. 486. v. Μαλερόν.

**) Vulgo per ῡ. Sed etiam Pollux I. 246. κονίζης, pro quo tamen Heringa Observat. p. 25. legere malit κονύζης.

***) Notetur haec phrasis, rarius obvia quam illa altera, qua quid dicitur καπνίζεσθαι, *fumo infici*.

παιδὸς κληθῆναι Μαριανδυνός. Ὅμηροι *) δὲ οἱ Μαριανδυνοὶ τοῖς Βέβρυξι.

Τὸ δὲ ἀπεόντος, τὸ τεθνηκότος σημαίνει, ὥσπερ τὸ περιεόντος, τὸ ζῶντος. Λέγει δὲ περὶ τοῦ Ἀμύκου.

V. 141. Σιδηροφόρον δέ φησι τὴν τῶν Χαλύβων γῆν. Οὗτοι γάρ εἰσιν οἱ τὸν σίδηρον ἐργαζόμενοι.

V. 142. Τὸ δὲ οἴδ᾽ ἤδη ἐπὶ τοὺς Ἀργοναύτας ἀνενεκτέον.

V. 143. Τὸ δὲ περιτροπάδην, τὸ περιτρεπτικῶς **) σημαίνει, ἀπὸ τοῦ περιτρέπειν. Σημαίνει μὲν καὶ νικᾷν, ἐνταῦθα δὲ τὸ ἐλαύνειν δηλοῖ.

V. 148. Τὸ δὲ κριθήμεναι, ἀντὶ τοῦ διαχωρισθῆναι.

V. 151. Ἀκήδεστον δὲ ἀντὶ τοῦ ἀκηδέστως καὶ ἀφροντίστως, ὄνομα ἀντὶ τοῦ ἐπιῤῥήματος.

V. 156. Οὐταμένους δὲ λέγει τὸν Ἴφιτον καὶ τὸν Ταλαόν.

V. 159. Δάφνῃ δὲ στέφονται διὰ τὸ Ἀπόλλωνος ἱερὰν εἶναι. Τριχῶς δὲ ἐχρῶντο τῇ στέψει, ἐπὶ τῆς κεφαλῆς, ἐπὶ τοῦ μετώπου, ἐπὶ τοῦ τραχήλου τιθέμενοι τοὺς στεφάνους. Ἴσως διὰ τὸ τριμερὲς τῆς ψυχῆς. Ἐνταῦθα δὲ τὴν ἐπὶ τῆς κεφαλῆς στέψιν δηλοῖ· ὑπὲρ γὰρ τὰ μέτωπα φησὶν ἐστῆφθαι.

V. 160. Ἡ δὲ δάφνη, ἀφ᾽ ἧς ἔστεψαν ἑαυτοὺς, ἦν, ἀφ᾽ ἧς τῇ καὶ τῇ, δηλονότι ἐκ διαφόρων μερῶν, τὰ πρυμνήσια τῆς νεὼς ἀνῆπτο καὶ ἐδέδετο.

Οὐ ποιητικῶς δὲ ἐπλάσατο τὰ περὶ τῆς δάφνης ὁ Ἀπολλώνιος, ἀλλ᾽ ἔστιν ἐν ἐκείνῳ τῷ τόπῳ φυτὸν δά-

*) Leg. Μαριανδυνοῦς. Ὅμοροι —.

**) Hoc adverbium Lexicis addatur: simulque adiectivum περιτρεπτικὸς, quod in usu fuisse nemo dubitet.

φνης ὑπερμέγεθες, ὥς φησιν Ἀνδρότας ὁ Τενέδιος ἐν τῷ Περίπλῳ τῆς Προποντίδος, παριστορῶν *), ὅτι Ἄμυκος μὲν ἐκαλεῖτο τὸ χωρίον, ἔχει δὲ ἐποίκια **) καὶ νῦν, διέστηκε δὲ τοῦ Χαλκηδονίου Νυμφαίου στάδια πέντε. Ἀπολλόδωρος δὲ ἐν τῷ ᾱ τῶν Ποντικῶν ἡρῷον εἶναί φησιν Ἀμύκου ἐκεῖ. καὶ ὅστις ἐκ τῆς δάφνης κλάδον λάβῃ, εἰς λοιδορίαν ἐξανίστησι.

V. 161. *Συνοίμιος δὲ ὕμνος*, ὁ μετ' ᾠδῆς λεγόμενος. Οἴμη γὰρ ἡ ᾠδή. Νῦν δὲ τὸν ἐπινίκιον λέγει.

V. 162. *Ἰαίνεσθαι* δέ φησι, τουτέστιν εὐφραίνεσθαι καὶ ἐκκεχύσθαι, τὴν ἀκτὴν καθ' ὑπερβολήν· ἐπειδὴ καὶ τὸν Ὀρφέα ἐμυθολόγησαν κινεῖν τὰ ἄψυχα.

V. 162. *Θεραπναῖος* δὲ ὁ Ἀπόλλων ἀπὸ μέρους ὁ Λάκων. Θεράπναι γὰρ ὁ τόπος ἐν Σπάρτῃ, ἢ πόλις. Κατὰ δὲ Ἀπολλώνιον τόπος Ἀπόλλωνος ἱερός.

V. 165. *Πέρατα* δέ φησι τὰ ὑπὸ τὸν ὁρίζοντα ἡμισφαίρια.

V. 168. *Βόσπορον* δέ φησι τὸ μεταξὺ Χαλκηδόνος καὶ Βυζαντίου διάστημα.

Οἱ μὲν οὖν δ' ***) Ἰὼ τὴν Ἰνάχου οὕτω κληθῆναί φασιν, ἥτις εἰς βοῦν μεταβαλοῦσα, δι' ἐκείνου τοῦ πορθμοῦ ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην διανηξαμένη ἐπέρασεν· οἱ δὲ, ὅτι ἅπαντας τοὺς στενοὺς πορθμοὺς βος-

---

*) *obiter narrans*. V. Corrad. ad Ciceron. Epist. ad Attic. VI. 1. T. I. p. 598. Graev.

**) Sub h. v. H. Stephanus Thes. T. II. c. 1214. A. citat Apollonium. Debebat Apollonii Scholiastam. Tabula Heracleensis prior v. 98. ἐς δὲ τὰ ἐποίκια χρήσονται ξύλοις κ. τ. λ. Vertitur: *ad casas*. V. Mazochius ad h. l. p. 232. not. (40).

***) Leg. δι', quomodo citavit Bastius Epist. Crit. ad Boissonad. p. 151. V. not. ad Gregor. Cor. p. 54.

πόρους καλοῦσιν. Ἄλλοι δέ φασι, τοὺς παροικοῦντας τὴν θάλασσαν ταύτην, ἐπειδὰν ἐκ τῆς ἑτέρας εἰς τὴν ἑτέραν ἤπειρον διαβαίνειν ἤθελον, ποιήσαντας σχεδίαν καὶ ὑποζεύξαντας βοῦς, οὕτω διαπερᾶν. Νύμφαιος μὲν οὖν φησὶν, ἱστορεῖν Ἀκαρίωνα, ὅτι Φρύγες τὸ παλαιὸν βουληθέντες διαπεράσαι τὸν πορθμὸν, κατεσκεύασαν ναῦν ταύρου τύπον ἐπὶ τῆς πρώρας ἔχουσαν καὶ, ὡς εἰπεῖν, ταυροπρόσωπον *), καὶ ταύτῃ φησὶν αὐτοὺς διαπεράσαι, καὶ τὸν πορθμὸν ἀπὸ τῆς νεὼς Βόσπορον κληθῆναι· ὥσπερ καὶ Φρίξον φασὶν ἐπὶ νεὼς κριοπροσώπου εἰς τὴν Σκυθίαν πλεῦσαι. Ἔφορος δέ φησιν, ἁρπασθῆναι μὲν τὴν Ἰὼ ὑπὸ τῶν Φοινίκων, κομισθῆναι δὲ εἰς Αἴγυπτον· τὸν δὲ βασιλέα τῆς Αἰγύπτου ἀντὶ ταύτης πέμψαι τῷ Ἰνάχῳ ταῦρον· τεθνηκότος δ' ἐκείνου, περιϊέναι τινὰς δεικνύντας τὸν ταῦρον πᾶσι, καθ' οὓς οὐκ ἐγινώσκετο πρότερον τὸ ζῶον· καὶ τὸν τόπον ἐκεῖνον, ὅτι δι' αὐτοῦ οἱ τὸν ταῦρον ἔχοντες ἔπλευσαν, ὀνομασθῆναι Βόσπορον. Εἰσὶ δὲ δύο Βόσποροι, οὗτός τε ὁ καλούμενος Θρακικὸς διὰ τὴν παρακειμένην Θράκην, καὶ ὁ ἐπὶ τοῦ στόματος τῆς Μαιώτιδος λίμνης καλούμενος Κιμμέριος, διὰ τὸ Κιμμερίους, ἔθνος Σκυθικὸν, κατοικῆσαι περὶ τοὺς τόπους ἐκείνους. Ἔστι δὲ, φασὶν, ὁ πορθμὸς ἐκεῖνος τὸ στόμα τῆς λίμνης στενόν. καὶ ἐπιμήκης ἐμφερὴς τῷ ἐν τῷ Βυζαντίῳ Βοσπόρῳ. Ὁ δὲ ἐν τῷ Βυζαντίῳ Βόσπορος, Θράκιος νῦν καλούμενος, Μύσιος ἐκαλεῖτο τὸ πρότερον.

V. 169. Ἠλίβατον δὲ ὄρος φησὶν, ἀφ' οὗ ἐστιν ἀλητεῖν διὰ τὸ ὕψος, τουτέστιν ὑψηλὸν καὶ ἀπρόσβατον.

V. 170. Ἐπαΐσσοντι δὲ, ἀντὶ τοῦ ἐπελευσομένῳ, ἢ ἐφορμήσαντι.

*) Hanc vocem Lexica ignorant.

V. 174. *Στόρνυται δὲ*, ἀντὶ τοῦ ὁμαλίζεται, ἢ πραΰνεται.

V. 177. Ἰστέον δὲ, ὅτι δύο εἰσὶ Βιθυνίαι· μία μὲν ἐν τῇ Εὐρώπῃ περὶ τὸν Σαλμυδησσόν· Θράκιος δέ ἐστιν οὗτος· ἑτέρα δὲ ἐν τῇ Ἀσίᾳ, καθήκουσα ἀπὸ τοῦ *) ἐπὶ τὸν Βόσπορον καὶ ἐπὶ τὸ στόμα τοῦ Πόντου. Ἔστι καὶ τρίτη Βιθυνία νῆσος περὶ τὸν τόπον, ἐν ᾗ ἐστιν Ἀπόλλωνος ἱερόν. Ἀμφισβητεῖται οὖν, ἐν ποίᾳ Βιθυνίᾳ φησὶ τὸν Φινέα βασιλεύειν, ἀμφοτέρων οὐσῶν ἐπὶ τῶν περάτων. Δοκεῖ οὖν, ὅτι ἐπὶ τῆς Εὐρωπαίας. Φησὶν οὖν, ὅτι ἐν τῇ Βιθυνίᾳ τὰ ἀπόγεια ἔδησαν, τῇ ἐπιούσῃ ἡμέρᾳ δηλονότι ἀπὸ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην. Ἄλλως τε καὶ ὑπὸ πάντων ὁμολογεῖται, τὸν Φινέα περὶ τὸν Σαλμυδησσὸν κατοικῆσαι. Ὁ δὲ Σαλμυδησσὸς ἐπὶ τῆς Θράκης ἐστὶ κατὰ τὰ ἀριστερὰ εἰσπλέοντι τὸν Πόντον. Προσεκτέον δὲ βελτίον τοῖς τοῦ Ἀπολλωνίου ῥήμασιν. Οὐ γάρ φησι δῆσαι τὰ ἀπόγεια τοὺς Ἀργοναύτας ἐν τῇ Βιθυνίᾳ, ἀλλ' *ἐν τῇ ἀντιπέρην τῇ Βιθυνίᾳ*, ὡς εἶναι μίαν μὲν τὴν Βιθυνίαν, τὴν δὲ ἐξ ἐναντίας αὐτῇ τὴν Θράκην, ἐν ᾗ φησι δῆσαι τὸ ἀπόγεια τοὺς Ἀργοναύτας.

V. 178—182. *Ἀγηνορίδην δὲ τὸν Φινέα* φησὶν, ὅτι κατὰ μὲν Ἑλλάνικον Ἀγήνορος ἐστὶν υἱός· κατὰ δὲ Φινέα **) Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας. Ὁμοίως δὲ τούτῳ καὶ Ἀσκληπιάδης φησὶ καὶ Ἀντίμαχος καὶ Φερεκύδης. Ἐκ γὰρ Κασσιεπείας τῆς Ἀράβου γίνεται Φοίνιξ καὶ Κίλιξ καὶ Φινεὺς καὶ Δόρικλος. Ὁ δὲ Ἄτυμνος κατὰ μὲν ἐπίκλησιν καὶ αὐτὸς τοῦ

---

*) Exeidit aliquid.

**) „Sic" addidit Anonymus, cuius manu Apographum scriptum est.

Φοίνικος, ταῖς δὲ ἀληθείαις τοῦ Διός. Ἔνιοι δὲ βασιλεῦσαι φασὶν ἐν Παφλαγονίᾳ τὸν Φινέα. Αὕτη δὲ τῆς Ἀσίας, ὥς φησιν Ἑλλάνικος. Ἐπηρώθη δὲ τὰς ὄψεις κατὰ μὲν ἐνίους ὑπὸ τοῦ Ἡλίου, διὰ τὸ πολὺν χρόνον αἰτῆσαι μᾶλλον ζῆν, ἢ βλέπειν· κατὰ δὲ ἐνίους, ὅτι ἐπεβούλευσε Περσεῖ. Σοφοκλῆς δὲ, ὅτι τοὺς ἐκ Κλεοπάτρας υἱοὺς ἐτύφλωσεν, Ὄαρθον καὶ Κράμβην, πεισθεὶς διαβολαῖς Δίας τῆς αὐτῶν μητρυιᾶς. Ὁ δὲ Ἀπολλώνιος πηρωθῆναι φησὶν αὐτὸν καὶ ὑπὸ τῶν Ἁρπυιῶν κακῶς πάσχειν, ὅτι ἀνέδην ἅπασι περὶ πάντων ἐμαντεύετο. Φησὶ γοῦν, οὐδ᾽ ὅσον ὀπίζετο Διὸς, ἀντὶ τοῦ, οὐδὲ μικρὸν ἐπεστρέφετο τοῦ Διὸς, τὰ θεῖα ἐνθυμήματα πᾶσιν ἐμφαίνων. Λέγων γὰρ αὐτοῖς τὰς τῶν θεῶν βουλὰς, ἀμελεῖς αὐτοὺς εἶναι περὶ τοὺς θεοὺς ἐποίει.

Ἡσίοδος μὲν ἐν ταῖς Ἠοίαις πεπηρῶσθαι φησὶ αὐτὸν, διὰ τὸ δεῖξαι Φρίξῳ τὴν εἰς Σκυθίαν ὁδόν· ἐν δὲ τῷ γ̄ τῶν Καταλόγων, διὰ τὸ ζωὴν μακρὰν ὄψεως μᾶλλον ἑλέσθαι. Φερεκύδης δέ φησι ἐν τῇ ϛ̄, ὅτι Φινεὺς πάντων τῶν ἐν τῇ Ἀσίᾳ Θρακῶν ἐβασίλευσε μέχρι Βοσπόρου· οὗτοι δ᾽ εἰσὶ Θυνοὶ καὶ Παφλαγόνες.

Ἔνιοι δὲ ἀπίθανον οἴονται τοσαῦτα ἔτη ἐζηκέναι Φινέα, ὥστε τοῦ Φοίνικος ὄντα υἱὸν μέχρι τῶν Ἀργοναυτῶν διαρκέσαι. Ἕτερον οὖν φασὶ τοῦτον τὸν Φινέα τοῦ παλαιοῦ Φινέως, ἕβδομον ὄντα ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος. Παῖδας δέ φησιν αὐτῷ γενέσθαι Ἡσίοδος δύο, Θυνὸν καὶ Μαριανδυνόν. Καὶ παρὰ μὲν Θυνοῦ Θυνίδα, παρὰ δὲ Μαριανδυνοῦ Μαριανδυνίαν φασὶ προσαγορεύεσθαι.

V. 185. Ὀνείατα δέ φησι τὰ σιτία καὶ βρώματα.

V. 191. *Μυδαλέην* δὲ τὴν μυσαράν.

V. 192. *Λευκανίην* δὲ οἱ μὲν τὸ ἀπηρτημένον τοῦ γαργαρεῶνος ἀπέδωκαν· Ἀμερίας δὲ τὸν λαιμὸν καὶ τὸν βρόχον *).

V. 195. Τὸ δὲ *ἐπήϊσεν*, ἀντὶ τοῦ ᾔσθετο.

V. 196. *Θέσφατον* δὲ τὸ εἱμαρμένον. Εἱμαρμένον οὖν ἦν, φησὶν, ἐπειδὰν ἔλθωσιν οἱ Ἀργοναῦται, *ἀπόνασθαι* τὸν Φινέα τροφῆς.

V. 197. *Ἀκήριον* δὲ τὸ ἄψυχον.

Εἰκότως δὲ ἐπήγαγε τὸ *ἠΰτ᾽ ὄνειρον*, διὰ τὸ λελεπτύνθαι ὑπὸ τῆς νόσου.

V. 198. Τὸ δὲ *ῥικνοῖς*, ἀντὶ τοῦ ῥυσσοῖς.

V. 200. sq. Τῷ *πίνῳ* δὲ καὶ τῷ ῥύπῳ ὁ *αὐσταλέος* καὶ κατεσκληκὼς αὐτοῦ *χρὼς ἐσκλήκει*, ἤγουν ῥυπαρὸς ἦν ἢ κατάξηρος.

Τὴν δὲ *σὺν* συναπτέον τῷ *ἔεργον*, ἵν᾽ ᾖ, οἱ ῥινοὶ δὲ μόνοι συνεῖχον τὰ ὀστᾶ αὐτοῦ.

Ῥινὸς δέ ἐστι τὸ δέρμα.

V. 203—205. *Κάρος* δέ ἐστιν ἡ σκότωσις. Ἐδόκει οὖν περιφέρεσθαι τὴν γῆν διὰ τὴν σκοτοδινίαν, ὡς εἰ ἔλεγεν, ᾠήθη ἐπ᾽ αὐτῷ πεσεῖσθαι τὴν γῆν.

Ἀβληχρὸν δὲ, ἢ τὸ ἀσθενοποιὸν, ἢ τὸ ἀσθενὲς, κατὰ στέρησιν τοῦ βληχροῦ.

Κῶμα δὲ ὁ ὕπνος καὶ ἡ ἔκλυσις. Κατὰ συγκοπὴν δέ ἐστιν ἀπὸ τοῦ κοίμημα, ὥσπερ ἀπὸ τοῦ οἴμημα οἶμα, καὶ ἀπὸ τοῦ δώμημα δῶμα. Κῶμα οὖν κατὰ συγκοπὴν, καὶ τροπῇ τῆς οι διφθόγγου εἰς ω μέγα, προσγραφέντος καὶ τοῦ ι, κῶμα.

---

*) Leg. βρόγχον. In Theognide v. 1057. Brunck. scribendum videtur βρόκχον.

V. 206. Τὸ δὲ περισταδὸν τὸ περιεστᾶναι σημαίνει.

V. 207. Τὸ δὲ τάφον, ἀντὶ τοῦ ἐξεπλάγησαν.

Τὸ δὲ μόλις τὸ σφοδρὸν τῆς νόσου καὶ μέγα αἰνίττεται.

Τὸ δὲ ἐξ ὑπάτου τὸ ἐξ ἄκρου καὶ οὐκ ἐκ βάθους. Διὰ γὰρ τὴν ασθένειαν ἀναπνεῖν καὶ λαλεῖν οὐ δύναται.

Ἰστέον δὲ, ὅτι Διονύσιος ἐν τοῖς Ἀργοναύταις φησὶν ἀναιρεθῆναι τὸν Φινέα ὑπὸ Ἡρακλέους, ἰδόντος τοὺς Φινέως παῖδας ἐν ἐρημίᾳ, καὶ μαθόντος, ὅτι ὑπὸ Φινέως ἦσαν ἐκβεβλημένοι διὰ γυναικὸς Σκυθικῆς διαβολὴν, ἣν ἐγεγαμήκει Φινεὺς παραιτησάμενος Κλεοπάτραν. Γέγονε δὲ Φινέως κατήγορος καί τις πρεσβύτης παρ' Ἡρακλεῖ. Κατανοήσας οὖν ὁ Ἡρακλῆς, ἀναιτίους εἶναι τοὺς παῖδας, κατήγαγεν αὐτοὺς εἰς τὴν πατρῴαν οἰκίαν. Φινέα δὲ ἀνθιστάμενον καὶ θελήσοντα καταποντίσαι τῶν παίδων τὸν ἕτερον, λακτίσας ὁ Ἡρακλῆς ἀπέκτεινεν. Ἴστρος δέ φησιν, Αἰήτην γνόντα, ὅτι τοὺς Φρίξου παῖδας εἴη σεσωκὼς ταῖς μαντείαις, καταράσασθαι αὐτῷ, τὸν δὲ Ἥλιον ἐπακούσαντα ἐκπηρῶσαι.

V. 212. Διὰ δὲ *) ἔτι μοι νόος καὶ τῶν ἑξῆς τὸ μαντικὸν τῆς ἑαυτοῦ τέχνης ἐμφαίνων καὶ τὸ προγνωστικὸν τῶν μελλόντων, εἰς βοήθειαν αὐτοὺς παρακαλεῖ.

V. 214. Ἐν δὲ τῷ, καὶ ἐν ἀργαλέοισιν, ὁ καὶ ἐναντιωματικός ἐστιν ἀντὶ τοῦ καίπερ. Καίπερ οὖν, φησὶν, ἐν κακοῖς ὢν, ὅμως χάριν σοὶ οἶδα, ὦ Λητοῦς υἱέ.

V. 215. Ῥίγιστον δέ ἐστι τὸ φοβερώτατον. Ὁ γοῦν Ζεὺς, φησὶ, φοβερώτατός ἐστι τοῖς ἁμαρτάνουσιν εἰς τοὺς ἱκέτας.

---

*) Add. τοῦ.

Εἰκότως δὲ, οὐ ξενίου νῦν, ἀλλ' ἱκεσίου Διὸς μέμνηται. Καὶ γὰρ ὁ Φινεὺς διὰ τὴν κατεπείγουσαν νόσον ἱκέτης τῶν ἡρώων γίνεται.

V. 216. *Τὸν δὲ Φοῖβον καλεῖ, ἢ ὡς μάντιν, ἢ διὰ τὸ αἴτιον γεγονέναι τὸν θεὸν τοῦ πλοῦ.*

V. 218. *Τὸ δὲ χραισμεῖν, Κλιτόριοι μὲν ἀντὶ τοῦ ἐπαινεῖν ἢ παραινεῖν λαμβάνουσι· κοινῶς δὲ λαμβάνεται ἀντὶ τοῦ βοηθεῖν. Ἔστι δὲ τὸ χραίσμετε ἀπὸ τοῦ χραίσμω βαρυτόνου, ὡς ἀπὸ τοῦ βαίνω βαίνετε. Τοῦ γὰρ χραισμῶ περισπωμένου χραισμεῖτε ἐστί.*

V. 221. *Τὸ δὲ ἀμήρυτον γράφεται καὶ ἀμήριον* *). *Σημαίνει δὲ τὸ ἀτέλεστον, καὶ διηνεκῶς ἐπιμένον, ἀπέραντον, ἢ τὸ τέλος μὴ ἔχον. Βούλεται δὲ λέγειν τὸ θάνατον μὴ ἔχον. Ἡ δὲ διαφορὰ* **) *ἀπὸ τῶν μηρυομένων ἐρίων.*

V. 222. *Τὸ δὲ, πρὸς δέ τι πικρότατον, αὔξησιν ποιεῖται τοῦ πάθους. Ἄλλο γὰρ, φησὶν, ἄλλοις κακοῖς ἐπιγίνεται.*

V. 224. *Ἄφραστον δέ ἐστι τὸ ἀνεπίγνωστον καὶ ἀπροόρατον καὶ ἄδηλον.*

V. 226. *Τὸ δὲ ἐμὸν, ἀντὶ τοῦ τὸν ἐμαυτοῦ νοῦν. Γράφεται δὲ καὶ ἑόν.*

Μεμηλὼς δὲ, ἀντὶ τοῦ φροντίζων. Εἰκότως δὲ οὐκ εἶπεν εὐωχούμενος, ἢ ἐσθίων, ἀλλὰ μόνον φροντίζων, ἵνα δαιμονίως αὐξήσῃ τὸ πάθος.

V. 231. *Τὸ δὲ ἐληλαμένον τὸ κεχαλκευμένον δηλοῖ.*

Ἀδάμας δὲ καὶ λίθος, καὶ στερεοῦ σιδήρου εἶδος.

---

*) „Sic" addidit is cuius manu Apographum scriptum est.

**) Leg. *μεταφορά*.

V. 232. Τὸ δὲ, ἀλλά με πικρὴ δαίτη, τὴν ἀνάγκην τοῦ ὑπομένειν τὴν δυσωδίαν δείκνυσι. Διὰ γὰρ τὸ μὴ δύνασθαι ζῆν ἄνευ τροφῆς.

V. 234. Τὸ δὲ θέσφατον πάνυ ἐστὶν ἀναγκαστικόν. Τὰ γὰρ ὑπὸ θεῶν κριθέντα ἀναγκαζόμεθα πράττειν.

V. 235. Τὸ δὲ, οὐδ᾽ ὀθνεῖον, μάλιστα προτρέπει τοὺς Βορεάδας εἰς βοήθειαν. Οἱ γὰρ συγγενεῖς ἀλλήλοις βοηθεῖν ἀναγκάζονται. Καὶ Εὐριπίδης·

Ἑλληνικόν τι τὸν ὁμόθεν τιμᾷν ἀεί.

Καὶ τὴν συγγένειαν ἐνέφηνε· Κλεοπάτραν γὰρ, τὴν Βορέου μὲν καὶ Ὠρειθυίας θυγατέρα, Ζήτου δὲ καὶ Καλάϊδος ἀδελφὴν, ἔγημεν ὁ Φινεύς.

V. 241. Τὸ δὲ, περὶ δ᾽ αὖτε δύω, δεικτικόν ἐστι τοῦ τὸ συγγενὲς ἐπικάμπτεσθαι μᾶλλον ταῖς συμφοραῖς.

V. 243. Ἀσχαλόωντος δὲ, ἀντὶ τοῦ δυσφοροῦντος.

V. 244. Στυγερὸν δὲ, σημαίνει δὲ *) καὶ τὸ μισητόν· σημαίνει δὲ καὶ τὸ ἐπίφοβον. Ἐνταῦθα δὲ ἴσως τὸ ἐπίπονον.

V. 246. Τὸ δὲ ἀφραδίῃσι γράφεται καὶ ἀτροπίῃσιν. Ἀφραδία μὲν οὖν ἡ ἀφροσύνη καὶ ἡ ἀβουλία· ἀτροπία δὲ ἡ ἐκτροπὴ τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ, παρὰ τὸ ἀτραπὸς, ὃ σημαίνει τὴν ὁδόν.

V. 247. Τὸ δὲ δεδαὼς τὸ μαθεῖν μᾶλλον, ἢ τὸ διδάσκειν σημαίνει. Διὰ γοῦν τὸ μαθεῖν σε, φησὶ, τὴν μαντικὴν, καὶ μαντεύεσθαι παρὰ τὴν **) θεῶν γνώμην, ἥμαρτες εἰς τοὺς θεούς.

---

*) Leg. μέν.

**) Add. τῶν. Bastius ad Gregor. Cor. p. 360.: „Librarii, ubi duo „articuli deinceps ponuntur, alterum saepius omittunt.“ In Platonis

V. 248. *Ἀτύζεται* δὲ, ἀντὶ τοῦ φοβεῖται καὶ ταράττεται.

V. 249. Τὸ δὲ *πρόχνυ* τὸ ἀπαραιτήτως ἐνταῦθα σημαίνει.

V. 250. *Ἀρίζηλον* δὲ, τὸ μέγα καὶ ἐναργές.

Ἐνιπὴ δὲ, ἡ κόλασις καὶ ἡ ἐπιτίμησις.

Καθ' ὑπέρβατον δὲ ὁ λόγος· τὸ γὰρ ἑξῆς οὕτως· *ἄμμι γε μὴν νόος ἔνδον ἀτύζεται ἱεμένοισι χραισμεῖν, ἀρίζηλοι γὰρ ἐπιχθονίοισιν ἐνιπαὶ ἀθανάτων*· εἶτα προσθετέον τὸ, *εἰ δὴ πρόχνυ* καὶ τὰ ἑξῆς.

V. 253. Τὸ δὲ, *τοῖο ἕκητι*, ἀντὶ τοῦ, τούτου χάριν, τοῦ βοηθῆσαι.

Τὸ δὲ, *ἀπὸ θυμοῦ ἔσεσθαι τοῖς θεοῖς*, τὸ μισητὸν εἶναι τοῖς θεοῖς δηλοῖ.

Σημαίνει δὲ διὰ τούτων, ὅτι οὐχ ὁ ἀσεβὴς μόνος, ἀλλὰ καὶ ὁ τοῖς ἀσεβέσι βοηθῶν ὑπὸ τῶν θεῶν μισεῖται. Ὃ δὴ καὶ Εὐριπίδης ἐμφαίνει λέγων·

Ὡς οὖν ἂν εἰδῇς, Μενέλεως, τοῖσι θεοῖς
μὴ πρᾶσσ' ἐναντί' ὠφελεῖν τοῦτον θέλων.

Ἀσεβὴς γὰρ ἐδόκει τῷ Τυνδαρέῳ ὁ Ὀρέστης.

V. 254. sq. *Κενεὰς δὲ γλήνας* ἔφη τοὺς κενοὺς καὶ τυφλοὺς ὀφθαλμούς.

V. 257—259. Τὸ δὲ, *ἴστω Λητοῦς υἱὸς*, Ὁμηρικῶς εἴρηται. Φησὶ γὰρ ἐκεῖνος·

Ναὶ μὰ γὰρ Ἀπόλλωνα, Διῒ φίλον.

Οἰκεῖον γὰρ καὶ τοὺς πρὸς μάντιν ὀμνύντας, καὶ τοὺς μάντεις αὐτοὺς κατὰ τοῦ Ἀπόλλωνος ὀμνύναι, διὰ τὸ προστάτην εἶναι τὸν θεὸν τῆς τέχνης.

Gorgia p. 32. Heind. legam ἐκ τῆς τῶν δημιουργῶν. Duumviris doctissimis placuit (p. 510.) ἐκ τῆς δημιουργῶν.

Τὸ δὲ μὴ μόνον κατὰ τοῦ Ἀπόλλωνος ὀμόσαι τὸν Φινέα, ἀλλὰ καὶ κατὰ τῆς τυφλότητος καὶ τῆς ἄλλης συμφορᾶς αὐτοῦ, Ὁμηρικῶς εἴρηται, καὶ κατὰ τὸ παλαιὸν ἔθος. Εἰώθασι γὰρ οἱ παλαιοὶ κατὰ τῶν μεγάλων ὀμνύναι συμφορῶν. Ὅμηρος·

Οὐ μὰ Ζῆν', Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο.

Δημοσθένης· Ναὶ μὰ τοὺς ἐν Μαραθῶνι κινδυνεύσαντας, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους. Καὶ αὐτὸς οὖν ὀμόσας κατὰ τοῦ Ἀπόλλωνος, προσεπόμνυσι καὶ κατὰ τῶν συμφορῶν. Ὥστε οὐκ ὀρθῶς ἐπιλαμβάνονται λέγοντες, ὅτι ὄμνυσι καθ' ὧν οὐδείς ἐστι κίνδυνος. Οὐ γὰρ, ὥσπερ κατὰ τῶν ὀφθαλμῶν ὄμνυμεν, οὕτω καὶ κατὰ *) συμφορᾶς. Ἐκείνους γὰρ ἢν μὴ εὐορκῶμεν **), τὴν ἀπώλειαν ὁ ὅρκος ἐμφαίνει τῶν ὀφθαλμῶν. Οὗτος δὲ τὴν συμφορὰν ὁ ὅρκος προστίθησι, δι' ἧς αὐτός τε ***) ὅρκος περιπαθέστατος γίνεται, καὶ ὁ ἀκροατὴς εἰς οἶκτον ἐφέλκεται.

Ἀλαὸν δὲ νέφος φησὶ τὴν ἐπικειμένην ἀχλὺν τοῖς ὀφθαλμοῖς. Ὥστε τὸ ἀλαὸν οὐ παθητικῶς, ἀλλ' ἐνεργητικῶς μόνον κεῖται. Οὐ γὰρ τὸ τυφλὸν, ἀλλὰ τὸ τύφλωσιν ἐμποιοῦν σημαίνει.

V. 259. sq. Ὑπένερθε δὲ δαίμονας τοὺς καταχθονίους φησὶ θεούς. Οὗτοι οὖν, φησὶν, μὴ εἶεν

---

*) Bastius Epist. Crit. ad Boissonad. p. 103. hunc nostri Scholiastae locum citans addit τῆς.

**) Notetur phrasis, εὐορκεῖν τι. Aristophanes Plut. v. 61.

ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις.

Scribendum, ut opinor:

ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόργου τρόποις.

V. Ruhnken. ad Xenophont. Memor. p. 230.

***) Bastius l. c. addit ὁ.

ἐμοὶ εὐμενεῖς θανόντι ὧδε, ἤγουν ἐπιόρκως. Ὁμηρικῶς δὲ καὶ τοῦτο εἴληπται.

Εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν.

V. 263. Τὸ δὲ κουρότεροι, ἀντὶ τοῦ κοῦροι. Ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ νεώτεροί φαμεν ἀντὶ τοῦ νέοι. Καὶ Ὅμηρος δεξιτέρην ἔφη χεῖρα τὴν δεξιάν.

Τὸ δὲ πεπονήατο, ἀντὶ τοῦ ἐποίουν καὶ ἐσπούδαζον.

V. 264. Λοίσθιον δὲ τὸ ἔσχατον σημαίνει.

Ἑλώριον δὲ τὸ ἀναίρεμα καὶ ἅρπαγμα, καὶ βρῶμα.

V. 265. Ἐπεσσυμένας δὲ, ἀντὶ τοῦ σπευδούσας. Πρὸς τὴν ταχύτητα γὰρ τῆς πτήσεως τῶν Ἁρπυιῶν τοῦτο εἴρηται.

V. 267. Ἀδευκέας δὲ, ἀντὶ τοῦ ἀπροσδοκήτους, ἢ ἀντὶ τοῦ πικράς. Δεῦκος γὰρ τὸ γλυκύ.

V. 268. Ἀπρόφατοι δὲ αἱ ἀπροόρατοι, ἢ ἀπροφάσιστοι. Δηλονότι χωρὶς προφάσεως, καὶ ἐποχῆς, καὶ ὑπερθέσεως, παρ' ὅσον τοῖς προφασιζομένοις ὑπέρθεσις ἕπεται.

V. 269. Τὸ δὲ κλαγγῇ μαιμόωσαι ἔφη μεταφέρων ἀπὸ τῶν ἁρπακτικῶν ὀρνέων. Ὡς γὰρ ἐκεῖνα κλάζει πρὸ τῆς ἁρπαγῆς, οὕτω καὶ αὗται.

V. 270. Τὸ δὲ μεσσηγὺς, ἀντὶ τοῦ μεταξύ.

Ἐνδεικτικὸν δέ ἐστι τοῦ τάχους καὶ τῆς ἀθρόας τῶν Ἁρπυιῶν πτήσεως.

V. 271. Τὸ δὲ καταβρώξασαι τὸ καταφαγοῦσαι σημαίνει, ἀπὸ τοῦ βιβρώσκω παραχθέν.

Πόντον δὲ τὸ Αἰγαῖον πέλαγος καὶ τὸ Σικελικόν φησι. Διὰ τούτων γὰρ ἐδίωκον τὰς Ἁρπυίας, ὥς φησι Φερεκύδης ἐν τῇ ϛ̄.

V. 275. sq. Ἐν δὲ τῷ, ἀτὰρ Διὸς, ὁ ἀτὰρ ἀντὶ τοῦ γὰρ κεῖται. Τὸ γὰρ ἀκόλουθον οὕτως· οὐ γὰρ ἂν χωρὶς βοηθείας τοῦ Διὸς ἠκολούθησαν ταῖς Ἁρπυίαις. Καὶ τὸ αἴτιον ἐπιφέρει· αἱ γὰρ Ἅρπυιαι ἀφικνούμεναι, ἢ καὶ ἀπερχόμεναι τοῦ Βορέου παρεπέτοντο καὶ τὰς ἀέλλας τοῦ Ζεφύρου. Τὸ μὲν γὰρ τὴν τοῦ ἀνέμου πνοὴν παρατρέχειν οὐ τοσοῦτον τὸ τάχος τῆς πτήσεως δηλοῖ, ὅσον τὸ παρατρέχειν τὰς ἀέλλας. Ἡ μὲν γὰρ πνοὴ καὶ ἐπιτείνεται καὶ ἀνίεται· ἡ δὲ ἄελλα ὁμοτόνως ταχίστη ἐστί.

Τοῦ Ζεφύρου δὲ εἶπε, διὰ τὸ ταχύτατον εἶναι τὸν Ζέφυρον τῶν ἄλλων ἀνέμων καὶ ἐλαφρότατον. Ὅτι δὲ οὕτως ἔχει, καὶ Ὅμηρος μαρτυρεῖ·

Νῶϊ καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν,
τόνπερ ἐλαφρότατον φασὶν ἔμμεν.

V. 279. Πρὸξ δὲ ζῶον τὸ *) ὅμοιον ἐλάφῳ, ὁ λεγόμενος νεβρός. Διονύσιος δὲ ὁ Ἀθηναῖος ἐν ταῖς κτίσεσι φησὶ τὰς ἐλάφους καλεῖσθαι πρόκας. Διὸ καὶ Προκόνησον τὴν ἐν Προποντίδι νῆσον κληθῆναι συνέβη, ὅτι πληθύει ἐλάφων. Οἱ δὲ Προνόχησον **) λέγουσιν ἀπὸ τῆς προχόου, ἣν φέρουσα ἡ παρθένος συνήντησε τοῖς Μιλησίοις, ὅτε τὴν ἀποικίαν ἔστελλον. Οἱ δὲ Προχούνησον φασὶν αὐτὴν κληθῆναι, ὅτι νῆσος οὐκ οὖσα πρότερον, ὕστερον προσεχώσθη. Καλεῖται δὲ οὐ μόνον Προκόνησος, ἀλλὰ καὶ Ἐλαφρόνησος ***). Φιλητᾶς

---

*) Leg. τι. Confusio haec satis frequens est. V. not. ad Dionys. Hal. Antiquit. Rom. VI. c. 78. et 91. quaeque notavi ad Theocrit. p. 217. Diodorus Sic. XX. c. 39. εἰς τὸ φρούριον. Wesselingius: „Quale illud atque ubi locorum? Fors fuit εἴς τι φρούριον."

**) Leg. Προχόνησον.

***) Leg. Ἐλαφόνησος. De contrario vitio v. Bastii Comment. Palaeogr. p. 747. sq.

δέ φησι, λέγεσθαι πρόκας τὰς πρῶτον τικτομένας ἐλάφους, οἱονεὶ πρωτοτόκους.

V. 280. Τὸ δὲ τυτθὸν τιταινόμενοι, ἀντὶ τοῦ, μικρὸν ἄποθεν μετὰ διαστάσεως ἔτρεχον.

V. 281. Τὸ δὲ μάτην ἀράβησαν, ἀντὶ τοῦ, οὕτως ἔτρεχον πλησιον, ὥστε οἰόμενοι ἤδη δακεῖν αὐτὰς, μάτην ἐκτύπουν τοὺς ὀδόντας διὰ τὸ ἀποφεύγειν.

V. 282. sq. Οὕτω μάλα σχεδὸν τῶν Ἁρπυιῶν ἔτρεχον· καὶ ὅτε, φησὶν, ἐπλησίαζον αὐταῖς, τοῦτο γὰρ σημαίνει τὸ ἐπέχραον, ὥστε ψαῦσαι ταῖς χερσὶν, ἤλυθα καὶ μάτην ἀπέτεινον τὰς χεῖρας.

V. 284. Τὸ δὲ ἀέκητι θεῶν, τὸ παρὰ γνώμην τῶν θεῶν σημαίνει. Οὐ γὰρ ἦν μόρσιμον αὐτὰς ἀποθανεῖν.

V. 285. Πλωτὰς δέ φησι νήσους, ἤτοι πάσας ἐπιθετικῶς *) καλῶν διὰ τὸ περικεχύσθαι καὶ περικλύζεσθαι ὑπὸ τῶν κυμάτων, ἢ ἰδίως ταύτας φησὶ Πλωτὰς, ἐν αἷς ὑπὸ τῶν Βορεάδων αἱ Ἅρπυιαι κατελήφθησαν, κατά τι μυθολόγημα οὕτω κληθείσας. Σχεδὸν δὲ καὶ οἱ ποιηταὶ οὕτως αὐτὰς ὀνομάζουσι. Εἰσὶ δὲ ἐν τῷ Σικελικῷ πελάγει. Ταύτας δὲ ὁ ποιητὴς Καλυδνὰς νήσους καλεῖ, εἰ καὶ Λυκόφρων ἄλλας νήσους καλεῖ Καλυδνάς.

V. 296. Ταύτας οὖν φησὶν τὰς νήσους Ἀπολλώνιος Στροφάδας μετὰ ταῦτα κληθῆναι, διὰ τὸ ἐκεῖθεν ὑποστρέψαι τοὺς Βορεάδας, καὶ μηκέτι διώκειν αὐτάς. Παρὰ Ἀντιμάχου δὲ τοῦτο εἴληφεν ὁ Ἀπολλώνιος. Οὕ-

*) Hunc usum adverbii ἐπιθετικῶς Lexica nostra ignorant. Sic usurpat etiam Scholiastes Thucydid. I. c. 6. ad v. λίπα. De adiectivo ἐπιθετικὸς sic usurpato v. quae notavi in Append. ad Bastii Epistol. Critic. p. 27. et in Epimetro I. ad Aristophan. Plut. p. XXXII.

τω γὰρ ἐκεῖνος ἐν τῇ Λυδῇ περὶ αὐτῶν μέμνηται. Ἄλλοι δὲ καὶ διὰ τοῦτο Στροφάδας φασὶν αὐτὰς κληθῆναι, ὅτι ἐν αὐταῖς ὑποστραφέντες οἱ Βορεάδαι ηὔξαντο τῷ Διῒ λαβεῖν αὐτάς. Ὅτι δὲ ηὔξαντο τῷ Διῒ καταλαβεῖν αὐτὰς, λέγει καὶ Ἡσίοδος·

Ἔνθ' οἱ εὔχεσθον *) Αἰνηΐῳ ὑψιμέδοντι.

Ἔστι γὰρ Αἶνος ὄρος Κεφαληνίας, ἔνθα ἐστὶν Αἰνηΐου Διὸς ἱερὸν, οὗ μέμνηται καὶ Λέων ἐν Περίπλῳ, καὶ Δημοσθένης ἐν Λιμέσιν.

Ἀμέλει οὔτε κατελήφθησαν αἱ Ἅρπυιαι ὑπὸ τῶν Βορεάδων, οὔτε ἀπεκτάνθησαν **) κατὰ Ἡσίοδον καὶ

---

*) Εὔχεσθον si a poëta profectum est, arseos vi ultima syllaba producitur. Ceterum anomalicam tertiae personae dualis imperfecti terminationem in ον non uno hoc loco legere memini. Homerus Il. XIII. v. 301.

τὼ μὲν ἄρ' ἐκ Θρῄκης Ἐφύρους μέτα θωρήσσεσθον.

Quomodo nonnulli scripserunt etiam Il. XVI. v. 218.

πάντων δὲ προπάροιθε δύ' ἀνέρε θωρήσσεσθον.

Eiusdem in activo anomaliae exemplum est Il. XIII. v. 346.

ἀνδράσιν ἡρώεσσι τετεύχετον ἄλγεα λυγρά.

sive sic legas, seu cum aliis ἡρώεσσιν ἐτεύχετον. Schol. Venet. ad h. l. Ἡ διπλῆ, ὅτι ἀντὶ τοῦ τετευχέτην. — Ἐν ἄλλῳ, ἡρώεσσιν ἐτεύχετον. Vicissim Zenodotea Poëtae recensio secundam personam terminavit in ην. V. Schol. Venet. ad Il. XI. v. 781. Etiam in aoristo altero. V. eadem Schol. ad Il. X. v. 545. Reprehenditur propterea Zenodotus: fortasse sine iusta causa. Prisca enim Graecitas dualem, certe activi, in his temporibus videtur bifariam flexisse:

I.	II.
2. — ετον	2. — έτην
3. — ετον.	3. — έτην.

sed posteriorum usus temporum, Grammaticâ subtilius an argutius excultâ, terminationem in ον assignasse secundae personae, in ην tertiae. Quae si vera sunt, sequitur, paulo pensiculatius scribenda fuisse Valckenario, quae notavit ad Euripid. Phoeniss. v. 1310.

**) Aenigma XXXIV. Κτανθεὶς τὸν κτείναντα κατέκτανον. Tho-

Ἀπολλώνιον. Ἄλλοι μὲν οὖν, ὧν καὶ Ἡσίοδος, Ἑρμῆν φασιν ἀποτρέψαι τοὺς Βορεάδας· Ἀπολλώνιος δὲ Ἶριν λέγει, καὶ οἰκείως αὐτῇ τὸ κωλῦσαι ἀποδίδωσιν, ἢ διὰ τὸ ἄγγελον εἶναι, ἢ διὰ τὸ ἀδελφὴν τῶν Ἁρπυιῶν.

Ὀπιδνοτάτην δέ φησι τὴν Στύγα, δηλονότι τιμίαν καὶ ἐπιστροφῆς ἀξίαν, παρὰ τὴν ὄπιδα, τὴν ἐπιστροφήν. Ῥιγίστην δὲ, δηλονότι φρικτὴν, διὰ τὸ τιμωρεῖσθαι τοὺς ἐπιόρκους. *)

V. 299. Κευθμῶνα δὲ ~~τὸ σπή~~λαιον καὶ τὴν κοιλάδα φησὶν, εἰς ἣν κατέδυσαν αἱ Ἅρπυιαι. Τοῦτο δέ φησι καὶ Νεοπτόλεμος ὁ τὰ Ναυπακτικὰ ποιήσας. Καὶ Φερεκύδης δὲ ἐν τῇ γ̄ φησὶ, εἰς τὸ σπέος αὐτὰς καταφυγεῖν τῆς Κρήτης τὸ ὑπὸ τῷ λόφῳ τῷ Ἀργινοῦντι.

V. 300. Τὸ δὲ μεταχθονίη γράφεται καὶ μετα χ ῤ ο ν ί η. Καὶ σημαίνει ἑκατέρως τὴν μετέωρον.

V. 301. sq. Ὅτι πινῶδες ἦν καὶ αὐσταλέον καὶ κατεσκληκὸς τὸ σῶμα τοῦ Φινέως. τοῦτο οὖν φοιβήσαντες, ἤγουν καθάραντες, οἱ Ἀργοναῦται. Φοίβη γὰρ τὸ καθαρόν. Διὸ καὶ Φοῖβος ὁ Ἀπόλλων διὰ τὸ καθαρόν.

---

mas Mag. p. 141. ὁ ὑπὸ βαρβάρων κτανθείς. H. Stephanus Thes. T. II. c. 472. A.: „Pr. ἔκτακα — et ἔκταγκα quoque, ut quidam volunt, „afferentes itidem ἀπέκταγκα.“ Tu noli dubitare de hac praeteriti forma. Moeris p. 31. Ἀπέκτονεν, Ἀττικῶς· ἀπέκταγκεν, Ἑλληνικῶς. Diodorus Sic. IV. c. 55. ἀπεκτονότα. Wesselingius: „Ἀπεκτακότα Reg. Vat. „ἀπεκγαγκότα Mut. vitio scripturae pro ἀπεκταγκότα, quod in Coisl.“ Ibid. XIV. c. 47. ἀπεκτάκει. Wesselingius: „Ἀπεκτάνκει ambo Reg. „Voluerunt ἀπεκτάγκει, neque adeo perperam.“ Suidae T. I. p. 252. v. Ἀπεκτάκασι et p. 278. v. Ἀποκτιννύναι e Cod. Oxon. pro ἀπεκτάκασι quater reddendum ἀπεκτάγκασι. V. Porson. Append. ad Toupii Emendat. p. 485.

*) Ad v. 292.

V. 302. *Ἐπικριδὸν ἱερεύσαντο*, ἀντὶ τοῦ, ἐπικρίναντες ἔθυσαν.

V. 306. Τὸ δὲ *οἷόν τ' ἐν ὀνείρασι* καὶ τὰ ἑξῆς τοιοῦτόν ἐστιν. Ἤσθιε μὲν ὁ Φινεὺς *ἁρπαλέως* καὶ ἀδηφάγως *)· ἡδονὴν δὲ παραπλησίαν εἶχε τοῖς ἐν ὀνείρῳ ἐσθίουσιν. Οὐδὲ γὰρ νῦν πιστευων ἦν, εἰ εὐωχεῖτο, ἀλλ' ὥσπερ ὀνείρατι ὁρᾷν ἐδόκει.

V. 308. *Ἐγρήσσειν* τὸ ἐγρηγορεῖν.

Τὸ δὲ *μένον*, ἀντὶ τοῦ προσεδέχοντο.

V. 310. *Πείρατα δὲ ναυτιλίης*, ἃ διαπεράσειν ἔμελλον, ἢ τὰ τέλη.

Ἄνυσιν δὲ τὴν μετὰ καμάτου πρᾶξιν. Ἀνυσθῆναι γὰρ φαμεν τὸ μετα κόπου τὶ πραχθῆναι.

V. 311. sq. Ἐν δὲ τῷ, *Κλῦτε νῦν*, ἀντὶ τοῦ οὖν τὸ *νῦν* κεῖται. Διὰ δὲ τοῦ οὖν δείκνυσιν, ὅτι ὡς ὀφειλομένην τὴν μαντείαν αὐτοῖς ἀποδίδωσιν.

Πάντα μὲν οὖν οὐκ ἐπαγγέλλεται ἐρεῖν ἀκριβῶς· ὅσα δὲ *ὄρωρε* καὶ ὑπάρχει τοῖς θεοῖς φίλον, οὐκ ἐπικεύσειν φησίν· ἅμα μὲν ἀποτρέπων τῆς ἀκριβοῦς ἐρεύνης, ἵνα μὴ διοχλῶσιν **) αὐτὸν μετὰ ταῦτα, ἅμα δὲ καὶ ἑαυτοῦ ὑπεραπολογούμενος, καὶ εἰς θεοὺς τὸ αἴτιον τῆς σιωπῆς ἀναφέρων.

V. 313 — 316. Τὸ δὲ *ἀασάμην* ἀντὶ τοῦ ἐλύπησα κεῖται.

Ἀφραδίαν δέ φησι τὴν ἀβουλίαν. Καὶ τὴν αἰτίαν ἐπάγει, δι' ἣν ἐλύπησε τὸν Δία. Διὰ γὰρ τὸ χρᾷν καὶ μαντεύεσθαι ἐφεξῆς πᾶσι καὶ ἐς τέλος καὶ κατὰ ἀκρίβειαν. Τὸν γὰρ Δία φησὶ βούλεσθαι ἀτελῆ μαν-

---

*) Hoc adverbio Lexica carent.

**) *Διοχλεῖν* cur Schneidero displicuerit, non intelligo. Exempla eius citavit Abreschius ad Xenophont. Ephes. p. 256. Loc.

τεύματα ἐμφαίνειν τοῖς ἀνθρώποις, ἵνα καὶ τῶν θεῶν χατέωσι καὶ χρείαν ἔχωσι.

Τὸ μὲν οὖν χρείω, ἀπὸ τοῦ χρέω χρείω γίνεται.

Θέσφατα δὲ μαντοσύνης τὰ θεσπίσματα τῆς μαντικῆς λέγει.

V. 318—323. Ξυνοχὴν δὲ ἁλὸς τὴν ἀποστενουμένην θάλασσαν φησί· δηλονότι τὸ στόμα τοῦ Πόντου.

Ἐκπλήττει διὰ πολλῶν τὸν ἀκροατὴν, καὶ μεγάλων αὐτοῖς εὐεργέτης πειρᾶται φανῆναι, ἐπειδὴ καὶ μεγάλα ὑπ' αὐτῶν εὐεργέτηται. Ὅρα οὖν, πόσα φοβερὰ ἐκτίθησι· τὸ στενὸν τῆς θαλάσσης, τὸ χρῶμα τῶν πετρῶν, τὸ μὴ ἐῤῥιζῶσθαι αὐτὰς, ἀλλὰ κινεῖσθαι, καὶ κινεῖσθαι συνεχῶς, τὸ ἐξ ἐναντίας αὐτὰς συνέρχεσθαι· τοῦτο γὰρ τὸ φοβερώτατον· εἰ μὲν γὰρ ἐκ πλαγίου συνήρχοντο, ἐλπὶς ἦν διαπλεύσειν αὐτὰς ἐπιτηρήσαντας τὴν σύνοδον· τὸ δὲ ἐξ ἐναντίας κινεῖσθαι ἀδύνατον τὸν διάπλουν ποιεῖ· ἔτι δὲ τὸ κῦμα τὸ κορθυόμενον καὶ ὑψούμενον, τὸ σκληρὸν καὶ ταραχῶδες ἠχεῖν τὰς ἀκτάς. Ταῦτα γὰρ τίνι οὐκ ἂν ἐμποιήσειαν φόβον, καὶ πρὸ πάντων τὸ πρὸ τούτων ῥηθὲν, ὅτι οὐδεὶς αὐτὰς διαμπερὲς καὶ διόλου ἐξαλέατο καὶ ἐξέφυγεν. Οὐδὲ οὐδ' ἡ Ἀργὼ ἀβλαβὴς διῆλθε, καίτοι τῆς Ἥρης προνοουμένης.

Τὸ μὲν οὖν ἐρηρεῖσθαι τὸ ἐῤῥιζῶσθαι σημαίνει.

Νεάτας δέ φησι τὰς εἰς βάθος ὑπαρχούσας ῥίζας.

Τὸ δὲ ξυνιέναι τὸ συνέρχεσθαι σημαίνει.

Κορθύειν δὲ τὸ ὑψοῦν, ἀπὸ τοῦ κόρου, κατ' ἐπένθεσιν τοῦ θ.

Βρασσόμενον δὲ ἀντὶ τοῦ μετὰ ἤχου καὶ ταραχῆς αἱρόμενον.

Πρηνὲς *) δὲ τὸ σκληρὸν καὶ μέγα καὶ ὀξὺ καὶ τορόν. Ὄνομα δὲ ἀντ' ἐπιῤῥήματος κεῖται.

Στυφελὴ δὲ ἡ ταραχώδης ἀκτή.

V. 324. Τὸ δὲ τῷ ἀντὶ τοῦ διὰ τοῦτο κεῖται.

Παραιφασίαν δέ φησι τὴν παραίνεσιν.

V. 325. Τὸ δὲ *ἀλέγειν*, ἀντὶ τοῦ φροντίζειν.

V. 326. *Πείρειν* δὲ ἐνταῦθα μὲν τὸ πλέειν καὶ διαπερᾷν, ὡς τὸ,

ἀλεγεινά τε κύματα πείρων.

ἀλλαχοῦ δὲ καὶ τὸ διατρυπᾷν.

Σπλάγχνα δ' ἄρ ἐμπείραντες.

Αὐτάγρετον δὲ τὸ αὐθαίρετον δηλοῖ.

V. 327. Τὸ δὲ *θύνειν* τὸ ὁρμᾷν σημαίνει. Οἱ δὲ *ἰθύνειν* γράφοντες ἁμαρτάνουσι.

V. 328. sq. Τὸ δὲ *πρόσθεν* τὸ πρότερον δηλοῖ.

Τὸ δὲ *ἀπόπρο* τὸ μακράν.

Τὸ δὲ *ἐφιέναι* ἐνταῦθα μὲν τὸ ἐνδιδόναι σημαίνει· ἔστι δ' ὅτε τὸ ἐντέλλεσθαι καὶ ἐπιτρέπειν. Παρὰ δὲ τοῖς ῥήτορσιν ἰδίως τὸ ἀπὸ δικαστηρίου εἰς δικαστήριον μεταβαίνειν. Καὶ ἔφεσις ἡ μετάβασις. Λουκιανός: ἡ δὲ ἔφεσις ἐπὶ τὸν Δία ἔσται. Ἐφίεμαι δὲ τὸ ἐπιθυμῶ. Ὁ δὲ νοῦς· πρότερον δὲ πειράσασθαι ἐφιέναι οἰωνῷ πελειάδι, ὥστε πέτεσθαι δηλαδὴ μεθέντες αὐτὴν ἀπόπρο καὶ μακρὰν τῆς νεώς.

---

*) Confusionis litterarum π̄ et σ̄τ̄ causam indicavit Bastius in Addend. ad Gregor. Cor. p. 931. Exemplis commutatarum vocum ἐπὶ et ἐστὶ adde Euripideum, de quo Seidlerus meus in egregio libro de Versib. Dochmiac. p. 18. Porro hac de causa confusa πάντες et στάντες. V. var. lect. ad Dionys. Hal. Antiquit. Rom. VII. c. 50. Item πέμματα et στέμματα. V. Iungerm. ad Polluc. T. I. p. 20. b.

Ὅτι δὲ περιστερᾷ ἐχρήσαντο μέλλοντες πλεῖν, καὶ Ἀσκληπιάδης ἐν Τραγῳδουμένοις φησί.

Πελειὰς δὲ εἶδος περιστερᾶς κατὰ Ἀριστοτέλην.

V. 330. Σόη δὲ λέγεται ἡ ἀβλαβής.

Τὸ δὲ διηται, ἀντὶ τοῦ διωχθείη καὶ πετασθείη ἡ ὄρνις.

V. 332. Τὸ δὲ κρατύνειν σημαίνει μὲν τὸ ἰσχυροποιεῖν· ἐνταῦθα δὲ τὸ κρατῆσαι καὶ ἀσφαλίσαι. Δωριέων δέ ἐστιν ἡ τοῦ στοιχείου μετάθεσις. Τὴν μὲν γὰρ καρδίαν κραδίαν, καὶ τὸ κράτος κάρτος φασί. Καὶ τὸ κρατύνω οὖν καρτύνω.

V. 333. Τὸ δὲ ἐπεὶ φάος καὶ τὰ ἑξῆς παρόμοιόν ἐστι τῷ,

οὐδέ τι κῶας
αὐτόματον δώσει τὶς ἑλὼν θεοὺς εὐξαμένοισιν.

V. 335. Ὀνήϊστον δὲ τὸ ἐπωφέλιμον. Τὸ οὖν ἐπωφελὲς, φησὶ, πονεῖτε καὶ πράττετε. Τοῦτο δ' ἐστὶ τὸ κωπηλατεῖν.

V. 336. Πρὸ δὲ τοῦ ἐλθεῖν εἰς τὸν πορθμὸν εὔχεσθαι τοῖς θεοῖς οὐκ ἀποτρέπω.

V. 341. Τὸ δὲ παρὲξ παροξύνεται καὶ σημαίνει τὸ χωρίς. Συντάσσεται δὲ καὶ αἰτιατικῇ καὶ γενικῇ.

Σκεπτέον ὅτι ἐπειδὴ τοῖς ἀσεβέσι καὶ τοῖς ὑπὸ θεῶν στυγουμένοις οὐ πειθόμεθα, διὰ τοῦτο ἐπιμελέστερον ἀναγκάζεται τὰ λεγόμενα βεβαιῶσαι.

V. 343. Τὸ δὲ ἀνάρσιος σημαίνει μὲν τὸν ἀνάρμοστον, σημαίνει δὲ καὶ τὸν ἐχθρόν. Οἱ γὰρ ἐχθροὶ ἀλλήλοις οὐ συμβαίνουσι.

V. 346. Σύνδρομα πετρῶν, τὰς συνελεύσεις τῶν Συμπληγάδων φησί.

V. 347. sq. Καλῶς δέ φησιν εἰς τὰ δεξιὰ κεῖσθαι

τὴν Βιθυνίαν. Ἐπὶ τὰ ἀριστερὰ γὰρ, ἔνθα Φινεὺς ἦν, ὁ κατὰ τὴν Θράκην Σαλμυδεσσὸς κεῖται, καλούμενος οὕτως ἀπὸ ποταμοῦ Σαλμυδησσοῦ συῤῥέοντος εἰς αὐτόν. Κατῴκουν δὲ περὶ τὸν Σαλμυδησσὸν οἱ ἀγριώτεροι τῶν Θρακῶν, οἵτινες ἐπιτιθέμενοι τοῖς παραπλέουσιν τὸν Σαλμυδησσὸν ἐλυμαίνοντο. Διὰ τοῦτο οὖν συμβουλεύει αὐτοῖς φυλαττομένοις τὸν Σαλμυδησσὸν πλέειν τοὺς ῥηγμῖνας καὶ τοὺς αἰγιαλοὺς τῆς Βιθυνίας.

V. 349. Ὁ δὲ Ῥῆβας ποταμος Βιθυνίας.

Τὸ δὲ Μέλαινα τῆς ἀκτῆς ἐστιν ὄνομα.

V. 350. Η δὲ Θυνηῒς πρότερον *) μετὰ τὴν Βιθυνίαν κεῖται, ἢ μέρος ἐστὶν αὐτῆς, ἢ ἡ αὐτή ἐστιν Βιθυνία καὶ Θυνηΐς. Ἐπισκεπτέον βέλτιον.

V. 351. sq. Ἡ δὲ Μαριανδυνία κεῖται μὲν μετὰ τὴν Βιθυνίαν· ᾤκησαν δὲ αὐταὶ **) Βοιωτοὶ σὺν Γνησιόχῳ τῷ Μεγαρεῖ, ὡς Εὐφορίων ἱστορεῖ.

Τὸ δὲ ἀντιπεραίαν πρὸς τὴν νῆσον. Ἀντιπέραν γὰρ τῆς νήσου κεῖται ἡ Μαρινδυνια ***).

V. 353. Καταιβάτιν δὲ κέλευθον τὴν ἐν τῇ Μαριανδυνίᾳ εἰς ᾅδου καταβάτην †) ὁδόν.

V. 354. Ἀκτὴ δὲ προβλὴς, ἡ ἐν τῇ Μαριανδυνίᾳ ἄκρα. Ἔστι δὲ ἡ ἀκτὴ περί που τὴν Ἡρακλείαν. Καὶ καλοῦσι αὐτὴν οἱ ἐγχώριοι Ἀχερουσιάδα.

Ὑψόθι δὲ τείνειν αὐτὴν φησὶ, τουτέστιν ὑψηλή ἐστιν.

V. 355. Ὁ δὲ Ἀχέρων ὁ δινήεις καὶ σφοδρὸς

*) F. πρώτη.

**) F. ᾤκισαν δὲ αὐτήν.

***) V. Bast. Comment. Palaeogr. p. 741.

†) Imo καταβατὴν, qua vulgari forma huius adiectivi Lexica nostra carent.

τέμνων αὐτὴν τὴν Μαριανδυνίαν νειόθι *), ἤγουν ἀπὸ τῶν ἐσχάτων μερῶν. Ἢ νειόθι ἤγουν κάτωθεν ἀπὸ τοῦ ᾅδου διὰ τῆς ἄκρης, Ἀχερουσιάδος δηλαδή.

V. 356. Ἵησιν ἤγουν ἀφίησιν τὰς προχοὰς ἔκ τινος μεγάλης φάραγγος καὶ κοιλάδος τοῦ ὄρους.

Ἀχέρων δὲ ποταμὸς καὶ Ἀχερουσιὰς ἄκρα πλησίον Ἡρακλείας. Καλοῦνται δὲ ἀπὸ τοῦ ἄχη ῥέειν. Καὶ στομίον **) δέ τι σπιλῶδες ***) ἐκεῖ ἐστὶ, δι' οὗ κατιέναι φασὶν εἰς τὸν ᾅδην.

Φάραγξ δὲ λέγεται ἡ ὀρεινὴ κοιλάς.

Ἡρόδωρος δέ φησιν καὶ Εὐφορίων ἐν τῷ ξενίῳ διὰ τοῦ στομίου ἐκείνου ἀναχθῆναι τὸν Κέρβερον ὑπὸ Ἡρακλέους, καὶ ἐμέσαι χολὴν, ἀφ' ἧς γενέσθαι φάρμακον τὸ καλούμενον ἀκόνιτον. Ἄντρων δὲ ὁ Τήριος Ἀχέροντά τινα βασιλεῦσαι φησὶ κατ' ἐκεῖνον τὸν τόπον· γενέσθαι δὲ αὐτῷ θυγατέρα Δαρδανίδα, ᾗ συγγενόμενος Ἡρακλῆς τίκτει παῖδα Ποιμένα καλούμενον. Κατὰ δὲ τὸν αὐτὸν χρόνον τεθνηκότος Βαρδανίδος τε καὶ τοῦ παιδὸς Ποιμένος, τόποι τινὲς περὶ τὴν Ἡράκλειαν ὀνομάζονται Δαρδανίς τε καὶ Ποιμήν.

V. 357—359. Ἀγχίμολον δὲ καὶ ἐγγὺς, φησὶν, ἐπὶ τῇ Μαριανδυνίᾳ παραπλέετε τοὺς κολωνοὺς ἤγουν τὰ ὄρη τῶν Παφλαγόνων, ἔνθα ὁ Ἐνετήϊος

---

*) Sic, προπαροξυτόνως. Mox παροξυτόνως.

**) Hoc accentu. Vulgo scribitur στόμιον.

***) Schol. edit. πηλῶδες, ubi vitiose ante π omissum initiale σ, cuius omissionis aliud exemplum, idque, opinor, perquam notabile, quum insigni sensus damno omnes Xenophontis editores et interpretes fefellerit, nuper dedi in praefat. ad Anacreont. p. XIII. Scilicet scribendum σπηλῶδες, quod adiectivum, Schneidero visum fidei incertissimae, nostrorum auctoritate Scholiorum in posterum tueri licebit. Ceterum scriptores stili cultioris a contractione tam abnormi abstinuisse facile concedo.

Πέλοψ, ἢ ὁ μενεδήϊος, ἐβασίλευσε. Μενεδήϊος μὲν οὖν ὁ ἐμμενετικὸς ἐν τῷ πολέμῳ λέγεται· Ἐνετήϊος δὲ ὁ ἐξ Ἐνέτης πόλεως. Ὅμηρος· ἐξ Ἐνετῶν, ὅθεν ἦν γένος ἡμιόνων.

Οὗτος μὲν οὖν Παφλαγόνα λέγει τὸν Πέλοπα· οἱ δὲ πλείους Λυδόν· Εὐφορίων δὲ ἀμφοτέραις ταῖς δόξαις συντίθεται.

Το δὲ, τοῦ καίπερ ἀφ' αἵματος εὐχετόωνται, περισσὸν ἔχει τὸν περ. Ἀπὸ τοῦ Πέλοπος γὰρ ἔλεγον καταγεσθαι οἱ Παφλαγόνες.

V. 360—363. Ὅτι δὲ ἡ Κράμβις ἄκρα ὑψελή ἐστι τῆς Παφλαγονίας, καὶ εἰς τὸ πέλαγος ἐπιπλεῖστον τείνει πρὸς ἄρκτον, ἱστορεῖ καὶ Ἔφορος. Κατ' ἐναντίον μὲν τῆς Ἑλικης εἰπὼν, προσέθηκε σαφηνίζων τῆς ἄρκτου. Η δὲ ὑπὲρ ἀντὶ τῆς ὑπὸ κεῖται, ὡς εἶναι τὸν λόγον, ὑφ' ἧς αἱ τοῦ Βορέου σχίζονται ἄελλαι, ἤγουν πνοαί. Ἴσως δὲ βέλτιον λαμβάνειν τὴν ὑπὲρ τῆς Καραμβίδος καὶ αἱ πνοαὶ τοῦ Βορέου σχίζονται, ἤτοι διαλύονται. Εἰ γὰρ ἐν ταῖς κορυφαῖς τῶν ὑψηλῶν ὀρέων νηνεμία ἐστὶν, ὡς οἱ φυσιολόγοι ἀξιοῦσι, πολλῷ μᾶλλον ὑπὲρ ἐκείνας. Διὸ καὶ ἐπάγει· οὕτως ἀνὰ τὸ πέλαγος τετραμμένη τῷ αἰθέρι κινεῖ καὶ προσπελάζει.

V. 366. Ὁ δὲ Ἅλυς ποταμὸς ῥέων μεταξὺ δύρων τῶν ἐν τῷ Πόντῳ καὶ Παφλαγόνων ἐκδιδωσιν εἰς τὸν Πόντον περὶ Σινώπην πόλιν.

V. 367. Τὸ δὲ ἐρεύγεσθαι τὸ μετὰ ἤχου ῥέειν σημαίνει.

V. 368. Λευκὰς δὲ δίνας τὰς καθαρὰς φησίν.

V. 369. Ὑπείροχος δὲ αγκὼν, ὁ ὑψηλὸς καὶ μέγας κόλπος.

V. 370. Ἐξανέχει δὲ τῆς γῆς, ἀντὶ τοῦ ἔκκειται εἰς τὴν θάλασσαν.

Ἔοικε δὲ ὑπὸ ὀρῶν περιέχεσθαι τὸν κόλπον, καὶ διὰ τοῦτο ὑπείροχον αὐτὸν καὶ ἐξανέχειν ἔφη.

V. 370—372. Ἐπὶ δὲ, ἀντὶ τοῦ μετὰ τοῦτο τὸ στόμα τοῦ Θερμώδοντος ποταμοῦ μύρεται ἐν τῷ εὐδίνῳ κόλπῳ ἐπὶ τὴν Θεμισκύριον ἄκραν, ἔνθα δὴ αἱ Ἀμαζόνες ᾤκησαν.

Διαειμένον δέ φησι τὸν Θερμώδοντα εὐρείης ἠπείρου, ὅτι διὰ πολλῆς γῆς ἔρχεται, ἤγουν ῥέει. Ἀπὸ τοῦ ἵεμαι γὰρ, τὸ πορεύομαι, εἷμαι παρακείμενος.

V. 373—376. Δοίας δὲ καὶ Ἄλκμων ἀδελφοὶ, ὧν ὁ πατὴρ ἀγνοεῖται, ὥς φησι Φερεκύδης. Καὶ χώρα τὶς πεδίον Δοίαντος καλουμένη, οὗτινος πλησίον τρεῖς πόλεις Ἀμαζονικαὶ, Λυκαστία, Θεμίσκυρα καὶ Χαλκοβία.

Μετὰ δὲ ταύτας εἰσὶν οἱ Χάλυβες, οἱ σμυγερώτατοι καὶ ἐπιπονέστατοι *) τῶν ἀνθρώπων, ἀτει-

---

*) Adde hoc Collectaneis Fischeri ad Weller. II. p. 86. sq. In Strabone T. IV. p. 228. mallem editum εὐρυχωρέστατον. Quamquam huius superlativi ratio est diversa: derivatur enim a positivo εὐρυχωρὴς, quo utitur Geographus T. VI. p. 671. E contrario formae plane barbarae ποδηγὴς, quam non pauca Lexica habent, cave colorem petas e Suidae glossa T. III. p. 136. Ποδηγέστερον. ὁδηγητικώτερον. (Al. ὁδηγικώτερον. unde in Lexica sis infer ὁδηγικός.) Hunc enim comparativum quis dubitabit deducere a ποδηγός? Idem vereor ne valeat in adiectivum ὑπερηφανὴς, quod Lexicographi certatim asciverunt. Nam comparativum quidem, ὑπερηφανέστερος, cum superlativo, ὑπερηφανέστατος, quo Scholiastes noster supra ad II. v. 4. utitur, quid obstat quo minus analogice derivemus a positivo ὑπερήφανος? In Xenophontis autem loco Hipparch. V, 7., quem vulgo citant ad tuendam illam positivi formam, rectius legitur ὑπερφανῆ. At, inquit, scribimus ὑπερηφάνεια, προπαροξυτόνως, quod non potest aliunde deduci quam ab illo

ρέα καὶ σκληρὰν γῆν οἰκοῦντες, ἐργατῖναι καὶ ἐργάται ὄντες τοῦ σιδήρου. Καλοῦνται δὲ οὕτως ἀπὸ Χάλυβος υἱοῦ Ἄρεος.

Τὸ δὲ μέλονται, ἀντὶ τοῦ φροντίδα ποιοῦσι. Μέμνηται τοῦ ἔθνους καὶ Καλλίμαχος·

Χαλύβων ὡς ἀπόλοιτο γένος,
γειόθεν ἀντέλλοντα κακὸν φυτὸν οἵ μιν ἔφηναν.

Ἐπισημαίνεσθαι δὲ ἄξιον, ὅτι εἰπὼν στόμα Θερμώδοντος ἐπήνεγκε μετοχὴν ἀρσενικὴν τὴν διαειμένος, δεικνὺς ὅτι ταυτόν ἐστι στόμα Θερμώδοντας καὶ Θερμώδων. *)

V. 377. sq. Τιβαρηνοὶ δὲ ἔθνος Σκυθικόν. Οἰκοῦσι δὲ τὴν καλουμένην Γενηταίαν ἄκραν ἀπὸ Γένητος ποταμοῦ, ἐν ᾗ Διός ἐστιν Εὐξείνου ἱερόν.

V. 379—381. Μετὰ δὲ τοὺς Τιβαρηνοὺς οἰκοῦσι Μοσύνοικοι. Τὸ δὲ ἕτοιμον **) τοῦ ἔθνους ἔθη-

---

tibi suspecto ὑπερηφανὴς, perinde ut ἀλήθεια deducitur ab ἀληθής. Sic vulgo scribi scio: rectene scribatur, addubito. Malim enim accentum promovere in paenultimam, siquidem derivandum esse opinor ab ὑπερηφανεύομαι. [Activum ὑπερηφανεύω, neglectum Lexicographis, habet Etymolog. M. c. 527, 7. 8. et c. 778, 49.]

*) Ad v. 370—372.

**) Leg. ἔτυμον. Confusio harum vocum haud rara est. Schol. Venet. ad Homer. Il. XV. v. 502. ὠφέλιμον, ἢ ἔτυμον. Heynius T. VII. p. 84.: „lege ἕτοιμον." Eadem ratio vocum cognatarum. Meleager LXXXV. v. 3. ἦ ῥ' ἐτύμως ὡνὴρ —. ut Graefius recte dedit. Codex Vaticanus perperam ἑτοίμως. Eodem modo corruptus idem liber in Nicarchi Epigr. XXXVI. v. 4. Suidas T. I. p. 892. Εὐθυῤῥήμων. εὐθυλόγος. ἐτυμολόγος. Toupius Emend. T. I. p. 206.: „Rescribe, ἑτοι„μολόγος. Quomodo et legendum apud Hesychium. Nam illud alte„rum, quod uterque praefert, nihil facit ad locum." Conf. idem Emend. T. II. p. 582. et T. IV. p. 188. In Strabone T. IV. p. 160. recte editum ἐτυμολογεῖν et p. 162. ἐτυμολογίας, ubi nonnulli Codices ἑτοιμολογεῖν et unus e corr. ἑτοιμολογίας.

κεν *) Ἀπολλώνιος εἰπὼν, οὕτω καλεῖσθαι διὰ τὸ δουρατέους ἔχειν πύργους, οὓς καλοῦσι μόσυνας. Καὶ οἰκία δέ φησιν αὐτοὺς ἔχειν κάλινα, ἤγουν ξυλίνους οἴκους. Ὑλήεσσαν δὲ αὐτοὺς εἶπεν οἰκεῖν γῆν τὸ αἴτιον παραστῆσαι θέλων τοῦ ξυλίνας οἰκεῖν οἰκίας, διὰ τὸ ξύλων εὐπορεῖν.

V. 382. Λισσὴν δὲ νῆσον φησὶ τὴν καλουμένην Ἀρητιάδα. Λισσὴ δὲ λέγεται, ἢ διὰ τὸ ὁμαλὴ εἶναι· λισσὸν γὰρ τὸ ὁμαλόν· ἢ ὡς ἀποδίδωσιν Ἀμερίας ἐν ταῖς Γλώσσαις· λισσὴν γάρ φησι τὴν ὑψηλὴν καὶ τραχεῖαν.

V. 384. Ἐν ταύτῃ δὲ τῇ νήσῳ ἦσαν αἱ Στυμφαλίδες ὄρνιθες, ἀπὸ Στυμφήλου, πόλεως Ἀρκαδίας, διωχθεῖσαι ὑπὸ Ἡρακλέους, αἵτινες τοὺς προσιόντας τοξεύουσαι τοῖς ἑαυτῶν πτεροῖς ἀπέκτεινον. Ὅτι δὲ ἐν ταύτῃ τῇ νήσῳ τοιαῦται ἦσαν ὄρνιθες, φησὶ καὶ Εὐριπίδης ἐν Φρίξῳ.

V. 387. Ὀτρηρὰ δὲ καὶ Ἀντιόπη βασίλειαι μὲν ἦσαν Ἀμαζόνων. Περὶ ποίας δὲ ἐκστρατείας φησὶν, ἀγνοεῖται ὑπὸ πάντων.

Ἐφέπουσι δὲ ἐνταῦθα ἀντὶ τοῦ διατρίβουσιν. **)

V. 388—390. Ἔνθα γὰρ, ἤγουν ἐν τῇ Ἀρητιάδι νήσῳ, φανήσεταί ὑμῖν ὠφέλεια. Τοῦτο γάρ φησιν, ὅτι οἱ Φρίξου καὶ Ἀλκιόπης τῆς Αἰήτου υἱοὶ, Ἄργος, Μέλας, Λυτίσωρος καὶ Φρόντις, εἰς Ἑλλάδα στελλόμενοι διὰ τὸν Ἀθάμαντος κλῆρον, ἐν τῇ νήσῳ ταύτῃ ναυαγήσαντες καὶ τυχόντες ὑπὸ τῶν Ἀργοναυτῶν ἐπιμελείας, ὁδηγοὶ ἐγένοντο αὐτοῖς εἰς Κολχίδα καὶ Φᾶσιν.

Ἀδευκῆ δέ φησι τὴν θάλασσαν, ἤγουν πικράν. Δεῦκος γὰρ τὸ γλυκύ.

---

*) Notanda phrasis τιθέναι τὸ ἔτυμον.

**) Ad v. 384.

Ἄῤῥητον δέ φησι τὸ *ὄνειαρ* διὰ τὸ ἀπροσδόκητον τοῦ ναυαγίου.

Τῷ κέν τε, ἤγουν διὰ τοῦτο, *φίλα φρονῶν*, ἤγουν εὐνοῶν ὑμῖν, λέγω *ἰσχέμεν* καὶ προσχεῖν τῇ νήσῳ· ἢ *ἰσχέμεν*, ἤγουν κατέχειν καὶ μνημονεύειν αὐτῶν.

V. 390. sq. Τὰ δὲ ἑξῆς προστίθησιν, ὅτι οἱονεὶ ἔλαθεν ἑαυτὸν αὖθις τὰ καθέκαστα *) μαντευόμενος. Διὸ ἐπαναλαμβάνει ἑαυτὸν **), καὶ τὰ μὲν κατὰ μέρος συμβησόμενα οὐ λέγει, τὰ δὲ ἑξῆς τῶν Μοσυνοίκων ἔθνη καταλέγει.

V. 392. sq. Μετὰ οὖν τὴν Ἀρητιάδα νῆσον, φησὶν, καὶ τὴν *περαίαν ἤπειρον*, ἤγουν τὴν ἐξ ἐναντίας τῆς νήσου κειμένην, οἱ *Φίλυρες* οἰκοῦσι, κληθέντες ἀπὸ Φιλύρας, τῆς Ὠκεανοῦ μὲν θυγατρὸς, Κρόνου δὲ γυναικὸς, μητρὸς δὲ Χείρωνος.

V. 393. sq. Μετὰ δὲ τοὺς Φίλυρας οἱ *Μάκρωνες*. Εὐβοέων δὲ οὗτοι ἄποικοι. Διὸ καὶ οὕτω καλοῦνται, διότι ἡ Εὔβοια τὸ παλαιὸν Μάκρις ἐκαλεῖτο.

---

*) Ita coniuncte scriptum passim legas. Sed rectius, diremtis vocibus, καθ' ἕκαστα. Theophrastus Charact. c. 3. τὰ καθ' ἕκαστα διεξελθεῖν. ad quem locum Schneiderus p. 90.: „Magis ex usu Atticorum es„set τὰ καθ' ἕκαστον. Apud Diodorum I, 85. est ὑπὲρ ὧν μακρὸν τὸ „καθ' ἕκαστον διεξιέναι." Alterum ἀττικώτερον esse non puto. In Diodoro autem, cum Cod. habeat καθὲν ἕκαστον, scribendum videtur τὰ καθ' ἓν ἕκαστον. Ibid. c. 89. ὑπὲρ ὧν τὰ καθ' ἕκαστον μακρὸν ἂν εἴη γράφειν. Sed plurali utitur idem II. c. 2. τὰς μὲν οὖν καθ' ἕκαστα μάχας κ. τ. λ. Ex eodem Eclogae T. II. p. 528, 31. οἱ καθ' ἕκαστον ἐπιμεληταὶ τῶν κοινῶν. Alius generis est quod habet Alciphron III. ep. 42. καθ' ἓν γὰρ ἕκαστον τῶν ἱματίων ἐκ προκλήσεως ἀποτιθεὶς, simillimum illud Herodoteo, de quo v. not. ad Dionys. Hal. de Compos. verb. p. 358.

**) *corrigit se.* Schol. edit. ἑαυτοῦ δ' ἐπιλαμβάνεται, *corripit autem se.*

Ἔθνη δὲ ταῦτα Σκυθικὰ, καὶ τὰ ἐφεξῆς ῥηθησόμενα.

Μετὰ δὲ τοὺς Μάκρωνας οἰκοῦσιν οἱ Βέχειρες.

V. 395. Μετὰ δὲ τούτους οἱ Σάπειρες, καλούμενοι οὕτω διὰ τὸ την Σαπειρικην*) λιθον γινεσθαι πλείστην ἐν αὐτοῖς.

Περιώσιον δὲ τὸ τῶν Βεχείρων φησὶν ἔθνος, ὅτι μέγα τέ ἐστι, καὶ ἐν πολλοῖς διέσπαρται τόποις. **)

V. 396. Μετὰ δὲ τοὺς Σάπειρας οἰκοῦσιν οἱ Βύζηρες, ὁμώλακες ὄντες τοῖς Σάπειρσιν, ἤγουν ὅμοροι. Ὦλαξ γὰρ ἡ αὖλαξ Δωριστί. Καὶ Ὅμηρος·

Ἱεμένῳ κατὰ ὦλακα.

V. 397. Ὑπὲρ δὲ τους Βύζηρας τοὺς Κόλχους φησὶν, οὓς ἀρηΐους λέγει, ἢ διὰ τὸ φυσει πολεμικοὺς εἶναι, ἢ διὰ τὸ φιλους καὶ ἱεροὺς εἶναι τοῦ Ἄρεος.

V. 398. Ἀλλὰ πείρετε, φησὶν, καὶ πλέετε, ἤγουν ἕως ἂν τῇ μυχάτῃ καὶ ἐσχατῃ θαλάσσῃ ἐγχρίμψητε, δηλονότι μέχις ἂν εἰς τὸν μυχὸν ἀφίκησθε τοῦ Εὐξείνου πόντου. Ἐνταῦθα γὰρ καὶ ἡ Σκυθία τελευτᾷ. Καὶ τὴν μὲν Σκυθίαν διαδέχεται ἡ Σαρματία, τὸν δὲ Εὔξεινον ἡ Μαιωτις. Περιοικοῦσι δὲ τὴν Μαιῶτιν οἱ Σαρμάται. Ὑπὲρ δὲ τοὺς Σαρμάτας ὁ Σαρματικὸς καὶ ἀρκτικὸς Ὠκεανός.

V. 399—401. Ἐνθάδ᾽ ἐπ᾽ ἠπείροιο. Κυταία πόλις Κολχίδος, ἀφ᾽ ἧς Κυταῒς καὶ Κυταϊκὴ λέγεται ἡ Μήδεια. Ἔστι δὲ καὶ ἑτέρα πόλις ἐν τῇ Ευρώπῃ κατὰ τὸν εἴσπλουν τοῦ Εὐξείνου Κυταια καλουμένη ὁμωνύ-

*) Schol. edit. Σαπειρίτην, propius ad verum. Nam scribendum puto Σαπφειρῖτιν, nisi praeferas τὸν Σαπφειρίτην. Neutram harum vocum Lexica norunt.

**) Ad v. 394.

μως τῇ Κολχικῇ, ἀφ' ἧς φησὶ καὶ τὴν Κολχικὴν ἐσχηκέναι τὴν ἀρχήν. Ἀπολλώνιος δὲ Κυταΐδα τὴν πόλιν ἐνταῦθα φησίν.

Οἱ δὲ Ἀμαραντοὶ, οὕτω γὰρ ὀξυτόνως Ἡρωδιανὸς γράφειν ἀξιοῖ ἐν τῇ καθόλου προσῳδίᾳ, πόλις ἐν τῷ Πόντῳ, ἢ, ὡς αὐτός φησιν, ὄρη Κολχίδος, ἀφ' ὧν καταφέρεται ὁ Φάσις. Ὅπερ ἀγνοήσας Ἡγησίστρατος ὁ Ἐφέσιος Ἀμαραντίους ἀπέδωκε λιμένας *) Φάσιδος, διὰ τὸ εὐθαλεῖς εἶναι καὶ ἀμαράντους. Ὅτι δὲ τὰ Ἀμάραντα ὄρη Κολχίδος εἰσὶ, καὶ Κτησίας ἐν β ἱστορεῖ. Κατὰ δὲ Ἐρατοσθένην ὁ Φάσις ἀπὸ τῶν Ἀρμενίων ὀρῶν καταφέρεται καὶ εἰς τὴν Κολχίδα ἐκδίδωσι θάλασσαν.

Κίρκαιον δὲ παροξυτόνως **) τόπος ἐστὶ Κολχίδος, ἢ πεδίον ἀπὸ Κίρκης τῆς Αἰήτου ἀδελφῆς οὕτω κληθέν. Πότερον δὲ ἀπὸ τῆς Ἰταλικῆς Κίρκης, ἢ ἀφ' ἑτέρας, ἄδηλον. Γεγόνασι γὰρ δύο Κίρκαι, περὶ ὧν ὕστερον ἐροῦμεν. Καὶ Τίμαιος δὲ Κίρκαιον εἶναι πεδίον Κολχίδος ἱστορεῖ.

V. 404—406. Ἑλλάνικος μὲν οὖν φησιν ἐν τῷ Διὸς

---

*) Quae sequuntur, non mirer, si te huc inclinent, ut λειμῶνας scribendum esse suspiceris. Neque rara sunt exempla confusionis horum substantivorum. Diodorus Sicul. V. c. 70. οἱ περὶ αὐτὸ λειμῶνες. Al. perperam λιμένες. Rursus Strabo T. VI. p. 689. λιμένας οὐ πολλούς. Al. perperam λειμῶνας. Iosephus de Bello Iud. I. c. 21, 11. ἄλση καὶ λειμῶνας. Vetus Interpres, quem vulgo dicunt Rufinum, in suo libro habuit λιμένας: nam vertit *lucos portusque.* Schol. ad Euripid. Orest. v. 54. ὅτι ἐν λειμῶνι διέτριβεν, ἐκ τούτου ὁμώνυμος αὐτῷ ὁ λιμήν. Lennepius ad Phalar. p. 57. b.: „legendum esse ἐν λιμένι, nemo non videt."

**) Leg. προπαροξυτόνως. V. Ind. Graecit. ad Gregor. Cor. p. 1019. a. Similiter confusa προπερισπώμενον et περισπώμενον in Scholiis Tzetzarum ad Lycophron. v. 187.

ἱερῷ κεῖσθαι τὸ δέρας· ἄλλοι δέ φασιν ἐν τῷ τοῦ Ἄρεος ἄλσει κεῖσθαι ἐπί τινος φηγοῦ φυλασσόμενον ὑπὸ δράκοντος τεραστίου τὸ μέγεθος. Πολλὴ δὲ ἡ φήμη τοῦ ἐν Κόλχοις Ἄρεος ἄλσους, καὶ τοῦ καλουμένου ἐκεῖ Ἀργείου πεδίου.

Σκιόειν δὲ τὸ σκιόεν ἔφη κατὰ παρένθεσιν τοῦ ῑ Ἰωνικήν.

V. 409. Τὸ δὲ *ἀφασίῃ βεβλημένοι*, ἀντὶ τοῦ ὑπὸ ἀφασίας ἐκπεπληγμένοι.

V. 415. Τὸ δὲ *ἀσπαστῶς*, ἀντὶ τοῦ ἡδέως.

V. 416—418. Δύο δὲ μάλιστα ἐφίεται ὁ Ἰάσων μαθεῖν παρὰ του Φινέως· ἓν μὲν, πῶς ἂν αὖθις κατα τὴν ὑποστροφὴν διαπλεύσοι *) τὰς Συμπληγάδας· δεύτερον, πῶς ἂν μέχρι τῆς Κολχίδος ἀφίκοιτο διαπλεύσας τοσαύτην θάλασσαν. Τὸ δὲ δυσχερὲς τοῦ πλοῦ ἐνέφηνε διὰ τοῦ τὴν Κολχίδα κεῖσθαι ἐπὶ τὰ ἔσχατα τῆς γῆς καὶ τοῦ Πόντου.

Ἡ δὲ *Αἶα* ἐνταῦθα, ἢ τὴν γῆν ἁπλῶς σημαίνει, ἢ ἰδίως τὴν Κολχίδα γην οὕτως ἐκάλουν. Οἱ δὲ καὶ πόλιν ἔφασαν Κολχίδα τὴν Αἶαν.

V. 421—424. Ὁ οὖν Φινεὺς πρὸς μὲν τὴν ἐκ Κολχίδος ἐπάνοδον, οὐ διὰ τῶν Συμπληγάδων αὐτοῖς ἔσεσθαί φησι τὸν πλοῦν· ἄλλον γὰρ, φησὶ, πλοῦν ὁ θεὸς ὑμῖν ἐξηγήσεται· περὶ δὲ τοῦ εἰς τὴν Κολχίδα πλοῦ, ἱκανοὺς ἐπαγγέλλεται αὐτοῖς ἔσεσθαι τοὺς πομπούς.

Ἐν γοῦν τῷ, *μετὰ δ' Αἶαν*, ἡ *μετὰ* ἀντὶ τῆς πρὸς κεῖται.

Καὶ ἕτερον δέ τι παράγγελμα αὐτοῖς προστίθησιν, ἀφανῶς καὶ τοῦτο εἰπὼν, ὅτι ἐκ τῆς Ἀφροδίτης ἔσται

*) Malim διαπλεύσαι.

αὐτοῖς δόλιον βοήθημα. Αἰνίττεται δὲ τὸν ἔρωτα τῆς Μηδείας.

V. 431, sq. Τὸ δὲ, ὅσον ἄποθεν ἤλασαν, ἀντὶ τοῦ, ὅσον μακρὰν ἐπορεύθησαν.

V. 434. Δικταῖον δὲ ὄρος ἐν Κρήτῃ.

Ἐρίπνας δὲ, οἱ μὲν τὰ ἀποθραύσματα τῶν ὀρῶν ἔφασαν. Ὁ δὲ Γλωσσογράφος πάντα τὰ ὄρη φησὶν ἐρίπνας καλεῖσθαι.

V. 438. Τὸ δὲ ἦ ἄρα ἠθικῶς κεῖται. Ὅμηρος ἐν Ὀδυσσείᾳ·

οὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν.

Καὶ Ἡσίοδος·

Οὐκ ἄρα μοῦνον *) ἔην ἐρίδων γένος.

V. 445. Τὸ δὲ ὑποσμύχονται, ἀντὶ τοῦ ὑποτύφονται, ὑπὸ βάθους ἠμαύρωνται. Ἢ ὑποκαίονται· τὸ γὰρ ὑποσμύχειν καὶ τὸ ἠρέμα ὑποκαίειν σημαίνει.

V. 451. Θαμίζειν δέ ἐστι τὸ συνεχῶς πορεύεσθαι.

---

*) Musgravius ad Euripid. Helen. v. 1705.: „μόνος in compositione „valet *unus*, ut μονόμματος, μονόφθαλμος." Non in sola compositione, sed etiam ipsum per se valuit εἷς, ut Hesiodi hic locus clarissime ostendit. Ceterum de phrasi ἄρα ἦν v. quae notavi ad Sophocl. Oedip. Colon. v. 1697., quibus haec exempla, omnia ex Euripideis fabulis depromta, addere nunc iuvat: Hippol. v. 1183. sq. Musgr. ὡς ἄρ' ἦσθ' ἐμὸς πατὴρ Ὀρθῶς. Androm. v. 419. sq. πᾶσι δ' ἀνθρώποις ἄρ' ἦν Ψυχὴ τέκν'. Iphig. Aul. v. 949. ἐγὼ κάκιστος ἦν ἄρ' Ἀργείων ἀνήρ. ubi cave scribas, cacophoniae scilicet vitandae causa, ἦν ἄν. Ibid. v. 1340. ἦ πολύμοχθον ἄρ' ἦν γένος. Troad. v. 416. οὐδέν τι κρείσσω τῶν τὸ μηδὲν ἦν ἄρα. [Mox v. 452. γυμνάν θ' ἐκβεβλημένην. Musgravius: „γυμνάν θ'. MS. Harl. γυμνά θ'. Utrumque mendosum. „Forte verum fuerit, γυμνόν." In libri Harleiani scriptura latere suspicor γυμνάδ'. γυμνὰς i. q. γυμνή. Lucianus T. I. p. 264. γυμνὰς τὰ πολλά. ubi al. e glossemate γυμνή. Magnus Interpres vertit: *nuda plerumque.*] Heraclid. v. 65. μάντις δ' ἦσθ' ἄρ' οὐ καλὸς τάδε.

V. 456. *Σὺν τοῖσι δ' ἵκανε Παραίβιος.* Τὸν Παραίβιον οἱ μὲν δοῦλον εἶναι τοῦ Φινέως φασὶν, οἱ δὲ φίλον.

V. 457—460. *Ἀσπάσιος οὖν*, φησὶν, ἀντὶ τοῦ ἀσπασίως καὶ ἡδέως, ὁ Παραίβιος τοὺς ἥρωας ἐθεάσατο. Αὐτὸς γὰρ ὁ Φινεὺς *ὑπεμυθήσατο* καὶ προεῖπε τῷ Παραιβίῳ τὴν τῶν ἡρώων ἔλευσιν. Συνάπτειν μὲν γὰρ δεῖ τὴν *ὑπὸ* τῷ *ἐμυθήσατο*, λαμβάνειν δὲ ἀντὶ τῆς πρὸ *), ὥσπερ καὶ τὸ ὑπειπὼν ἀντὶ τοῦ προειπών.

Ὅρα δὲ, ὅτι *Θυνίδα γῆν* εἶπεν, ἐν ᾗ κατῴκει ὁ Φινεὺς, ὡς εἶναι μέρος τι Θράκης, ὃ καλεῖται *Θυνίς*.

V. 470. *Μόρον* δὲ ἐνταῦθα, οὐ τὸν θάνατον, ἀλλ' ἢ τὴν δυστυχίαν ἔφη, ἢ τὴν ποιὰν **) τῆς τύχης διάθεσιν.

V. 473. *Χρησμοσύνην* δὲ τὴν συνεχεστέραν χρείαν. Ὅσῳ οὖν, φησὶ, πλέον ἐμόχθει ὁ Παραίβιος, τοσούτῳ μᾶλλον ὑπὸ πενίας ἐτρύχετο.

V. 477. *Ἀμαδρυάδες* δὲ λέγονται αἱ ***) Νύμφαι, κατὰ μὲν Μνησίμαχον, διὰ τὸ ἅμα ταῖς δρυσὶ γεν-

---

*) Ὑπὸ in pluribus compositis est i. q. πρό. V. Thom. Mag. p. 866. cum interprett. et Brunck. ad Aristophan. Ran. v. 874. T. I. p. 192. et T. III. p. 189. Xenophon Conviv. IV, 9. κρόμυον ὑποτρώγειν. In eiusdem Oeconom. XVI, 10. non debebam ὑπεργάζεσθαι mutare in προεργάζεσθαι, quod ut facerem, permovit ingratiis festinantem usus posterioris verbi de eadem re XX, 3.

**) De ὁ ποιός v. H. Stephani Thes. T. III. c. 449. E. Thomas Mag. p. 694. τὴν ποιὰν μάζαν. Oudendorpius: „τὴν abest MS. Burm." Melius adest. Obiter moneo, substantivum ποιὸς, quod nonnulla Lexica e Scholiis Theocriteis ad Idyll. III. v. 32. asciverunt, mihi barbarum videri, ut qui in Scholiis illis scribendum putem: ποιὰ γὰρ κυρίως ὁ πυρός. V. not. ad Gregor. Cor. p. 413.

***) Articulum deleam, utpote natum ex iteratione postremarum lit-

νᾶσθαι· κατὰ δὲ ἄλλους, διὰ τὸ ἅμα ταῖς δρυσὶ φθείρεσθαι. Καὶ Πίνδαρος δὲ περὶ τῶν Νυμφῶν τὸν λόγον ποιούμενος φησίν· Ἰσοδένδρου *) τέκμαρ αἰῶνος λαχοῦσα. Χάρων δὲ ὁ Λαμψακηνὸς ἱστορεῖ, ὡς Ῥοῖκος τὶς θεασάμενος δρῦν ἔσον οὔπω μέλλουσαν εἰς γῆν καταφέρεσθαι, προσέταξε τοῖς παισὶν ὑποστηρίξαι αὐτήν. Ἡ δὲ ἅμα τῇ δρυῒ μέλλουσα Νύμφη φθείρεσθαι χάριν μὲν ἔφασκεν εἰδέναι αὐτῷ ὑπὲρ τῆς σωτηρίας, ἐπέτρεπε δέ γε αἰτήσασθαι ὅ, τι ἂν βούλοιτο παρ' αὐτῆς. Ὡς δὲ ἐκεῖνος ᾔτησε μιγῆναι αὐτῇ, ὑπέσχετο μὲν αὐτῷ δεομένῳ, παρήγγειλε δὲ ἑτέρας γυναικὸς ὁμιλίαν φυλάξασθαι· ἔσεσθαι δ' ἔφη μεταξὺ αὐτῶν μέλισσαν ἄγγελον. Καί ποτε πεττεύοντος αὐτοῦ, ἐπέστη ἡ μέλισσα. Πικρότερον δὲ ἀποφθεγξάμενος εἰς ὀργὴν ἔτρεψε τὴν Νύμφην, ὥστε πηρωθῆναι αὐτόν. Καὶ ὁ τοῦ Παραι-

---

terarum vocis antecedentis. Vicissim in Platonis Gorg. p. 78. Heind. leg. καὶ αἱ τριήρεις.

*) I. e. ἴσον τῷ τοῦ δένδρου αἰῶνι, eâdem breviloquentiâ, quam exemplis illustravi in not. ad Plinii Epist. p. 40. ad Dionys. Halic. de Compos. verb. p. 170. et in Melet. Crit. I. p. 57. s. 134. Dionysius Halic. Ant. Rom. VII. c. 59. p. 447, 32. Huds. καὶ ὅπλα οὐχ οἷα τοῖς πρὸ αὐτῶν ἔφερον. Egregie Vaticanus liber καὶ ὅπλα οὐκ ἴσα τ. π. α. quam scripturam, non Sylburgii commentum, Reiskius recipere debebat. De commutatione adiectivorum ἴσος et οἷος v. Bast. ad Gregor. Cor. p. 345. Inversâ, nec tamen minus compendiariâ dicendi ratione Xenophon Hier. c. I. extr. Ἐπιστάμεθα γὰρ αὖ τοὺς (olim αὐτούς: ego malim αὐτοὺς τοὺς) διὰ φόβον ὑπηρετοῦντας, ὡς, ᾗ μάλιστ' ἂν δύνωνται, ἐξεικάζουσιν αὐτοὺς ταῖς τῶν φιλούντων ὑπουργίαις. αὐτοὺς i. q. τὰς αὐτῶν ὑπουργίας. Similiter, quanquam plenius, idem Oecon. VII, 32. Καὶ ποῖα δ', ἔφη ἐκείνη, (sic interpung.) ἔργα ἔχουσα ἡ τῶν μελισσῶν ἡγεμὼν ἐξομοιοῦται τοῖς ἔργοις, οἷς ἐμὲ δεῖ πράττειν; Ut regulâ complectar: Scriptores Graeci Latinique in comparationibus solenni compendio dicendi rem ponunt pro rei attributo, seu comparetur ipsa, sive aliud quid cum ea comparetur.

βίου δὲ πατὴρ ἐκκόπτων δρῦν παρεκαλεῖτο ὑπὸ Νύμφης μὴ διακόψαι αὐτήν. Συγγεγενημένη *) γὰρ οὖσα αὐτῇ, ἐὰν ἐκκοπῇ, συναποθανοῦμαι αὐτίκα αὐτῇ. Ἀπιθήσαντος δὲ ἐκείνου, νεμεσῆσαν τέ φασι τὸ δαιμόνιον αὐτῷ τὸ δαιμόνιον, καὶ τοῖς ἐκγόνοις, καὶ κακῶν γενέσθαι παραίτιον.

Ἀθερίξαι μὲν οὖν τὸ καταφρονῆσαι.

V. 482. Οἶτον δὲ τὸν θάνατον λέγει.

Νηκερδὲς δὲ τὸ ἀνωφελές.

V. 483 — 486. Ἐπεὶ δὲ ἀφικόμενος ἐπὶ τὸν Φινέα ὁ Παραίβιος μαντεύσασθαι περὶ τῆς δυστυχίας αὐτοῦ ἐβούλετο, γνοὺς ὁ Φινεὺς, ὅτι διὰ τὸ τοῦ πατρὸς ἀμπλάκημα πάσχει, προσέταξεν αὐτῷ, καμόντα καὶ ποιήσαντα βωμὸν τῆς Θυνιάδος Νύμφης, ῥέξαι ἐπ᾽ αὐτῷ λωφήϊα τῇ Νύμφῃ, τουτέστιν ἐξιλαστήρια καὶ καταπαυστήρια **) τῆς ὀργῆς. Ἀπὸ τοῦ

---

*) Schol. edit. melius duplici ν, συγγεγεννημένη. In Eupolidis versu ap. Hephaest. de Metr. p. 57. Valckenarius ad Euripid. Phoeniss. v. 360. calami, opinor, errore ξυνεγεινόμην scripsit pro ξυνεγινόμην. — De coniunctione participii ὢν cum alio participio v. Porson. ad Euripid. Hecub. v. 362. Hoc modo Herodotus I. c. 60. ita tamen, ut haec coniunctio minus habeat offensionis: ἐὸν καὶ δεξιώτερον, καὶ εὐηθίης ἠλιθίου ἀπηλλαγμένον μᾶλλον. Diodorus Sic. XI. c. 19. in. αἱ — νῆες ἐχόμεναι τούτων οὖσαι. Dionysius Hal. Ant. Rom. V. c. 10. συνάρχοντα ὄντα. Quanquam h. l. Vaticani libri dissensus rem dubiam facit: praetereaque συνάρχων substantivi vicem adeo explet, ut participii naturam paene exuisse videatur. Propemodum idem dicas de Xenophonteo Conviv. VIII, 2. καὶ ἐρώμενος ὤν. ubi non erat cur vir egregius notaret: „Inprimis mihi ὢν post ἐρώμενος displicet.“ Lucianus T. I. p. 845. ἠγνοημένην οὖσαν. quod Solanum videtur offendisse. Scholiastes noster supra ad II. v. 1. πεπηρωμένον ὄντα τὰς ὄψεις.

**) Καταπαυστήριος Lexicis adde. Utitur eo etiam Scholiastes ad Sophocl. Trachin. v. 575. Pausanias III. c. 22. in. Ζεὺς καππώτας. Sylburgius: „Metuo — ne audacior coniectura videatur λεῦς —.“ Haec

λωφᾷν δὲ τὸ λωφήϊον παρήχθη. Κυρίως δὲ λωφῆσαι ἐστὶ τὸ ἀποθέσθαι τοῦ τραχήλου τὸν φόρτον, οἱονεὶ τὸν λόφον, ὃ σημαίνει τὸν τράχηλον, ἀπαλλάξαι τοῦ πόνου. Λωφῆσαι οὖν τὸ λῆξαι καὶ παύσασθαι.

V. 493. *Μαντήϊον* δὲ *Ἀπόλλωνα* τὸν μαντικὸν λέγει.

V. 494. Τὸ δὲ *ἐπ' ἐσχαρόφιν*, ἀντὶ τοῦ ἐν τῇ ἑστίᾳ.

Τὸ δὲ *νέον* ἐνταῦθα, ἀντὶ τοῦ ἤδη. Ἤδη γοῦν *ἀνομένοιο* καὶ δύνοντος τοῦ *ἤματος* ἔθυον οὗτοι ἐπὶ τῇ ἐσχάρᾳ.

V. 498. Οἱ δὲ *ἐτησίαι* ἄρχονται μὲν πνεῖν ἐν τῇ ἐσχάτῃ μοίρᾳ τοῦ καρκίνου τοῦ ἡλίου ὄντος, μέχρις ἂν ὅλον τὸν λέοντα παρέλθῃ, ὡς καὶ Ἄρατος φησίν·

Ἠελίου τὰ πρῶτα συνερχομένοιο λέοντι,
τῆμος καὶ κελάδοντες ἐτησίαι εὐρέϊ πόντῳ
ἐμπίπτουσιν.

V. 500—527. Ἐγένοντο δὲ δι' αἰτίαν, ὥς φησιν Ἀπολλώνιος, μυθώδη τοιαύτην. Τοῦ κατηστερισμένου κυνὸς ἐν τῷ λέοντι, ἐπειδὰν ὁ ἥλιος εἰσέλθῃ τὸν λέοντα, αὐχμοὺς καὶ ἀνομβρίαν ποιοῦντος, ὡς καταφλέγεσθαι τὰς Κυκλάδας νήσους, οἱ τὴν Κέω οἰκοῦντες, ὑπὸ θεοπροπίων ἀναπεισθέντες, προσεκαλέσαντο Ἀρισταῖον ἐκ Φθίας, τὸν Ἀπόλλωνος καὶ Κυρήνης τῆς Ὑψέως. Ὁ δὲ λαβών τινας ἀπ' Ἀρκαδίας ἦλθεν εἰς τὴν Κέω, καὶ Διὸς

---

coniectura Schneidero tam certa visa est, ut vocem illam, tanquam a Pausania scriptam, in Lexicon haud cunctanter inferret: quod ego quidem non imiter. Magis probaverim, quod *καππώτας* pro integro habuit, vitiosum visum Valckenario ad Theocriti Adoniaz. p. 278. C. corrigenti *καππαύτης*. Doricam enim mutationem diphthongi *αυ* in vocalem *ω* etiam aliunde cognitam habemus.

ἱερὸν ἱδρύσατο ἐκεῖ Ἰκμαίου, ἕνεκα τοῦ τοὺς ὄμβρους γίνεσθαι καὶ τοὺς ἐτησίας πνεῖν· καὶ τὸν κύνα ἐξιλάσατο καὶ ἐνομοθέτησε τοῖς Κείοις, ἐπιτηροῦντας τὴν τοῦ κυνὸς ἐπιτολὴν μεθ' ὅπλων θύειν αὐτῷ. Ὅθεν οἱ ἐτησίαι πνέουσι τῷ θέρει τὴν γῆν καταψύχοντες, καὶ αὐχμοῦ τοὺς Ἕλληνας ἀπαλλάττουσι. Διὰ δὲ τὸ αἴτιον γενέσθαι τῶν ἐτησιῶν *), Ζεὺς Ἀρισταῖος ἐκλήθη καὶ Ἀπόλλων Ἀγυιεὺς καὶ Νόμιος. Εὗρέ τε ἐν Κέῳ τὰ μελισσουργικὰ **) πρῶτος καὶ τὴν τοῦ ἐλαίου κατεργασίαν.

Περὶ δὲ τῆς Κυρήνης ἱστορεῖ Πίνδαρος ἐν Πυθιονίκαις, ὡς παρθένος τέ ἦν, καὶ συνεκυνηγέτει τῷ Ἀπόλλωνι μέχρι πολλοῦ. Καταπαλαίσασα δέ ποτε λέοντα, ἠγαπήθη ὑπὸ τοῦ Ἀπόλλωνος, ὃς καὶ ἁρπάσας αὐτὴν, διεκόμισεν εἰς τὴν νῦν ἀπ' αὐτῆς Κυρήνην καλουμένην, καὶ μιγεὶς ἔτεκε τὸν Ἀρισταῖον. Φερεκύδης δέ φησι καὶ Ἄρατος, ἐπὶ κύκνων ὀχηθεῖσαν ***) αὐτὴν κατὰ

*) E praecepto τῶν Τεχνικῶν scribi debebat παροξυτόνως, ἐτησίων. V. Fischer. ad Weller. I. p. 293. qui quod etiam Λαπίθων, non Λαπιθῶν, scribendum censet, ego accedere malim Sylburgio, auctori aliquanto graviori, cuius ad Pausan. V. c. 10. p. 400. hanc notam legas: „Λαπίθων. Rectius Λαπιθῶν, iuxta regulam."

**) Optimae vox notae. V. supra ad v. 131. Sic dicas θαλασσουργικὸς, quod, mihi quidem nondum lectum, certe nondum e libris enotatum, alicubi repertum iri auguror.

***) *curru cycnis iuncto vectam.* Philostratus Heroic. p. 70. Boisson. ἤλαυνεν ἐπὶ τεττάρων ἵππων οὖ μεγάλων. [*Mannuli* h. l. me offendunt. Multo magis placeret εὖ μεγάλων. Leonidas Tarent. XCV. v. 7. εὖ μέγα κῆτος. ut scribendum diremtis vocibus. Aliud exemplum commutatarum vocum εὖ et οὐ reperire mihi visus sum in fragmento Aeliani, de quo v. not. ad Dionys. Hal. de Compos. verbor. p. 26.] Hunc quoque dicendi usum praeivit poësis Homerica. V. Clark. ad Odyss. IX. v. 49. et Ruhnken. ad Callimach. H. in Cerer. v. 87.

Ἀπόλλωνος προαίρεσιν εἰς Κυρήνην ἀφικέσθαι. Ἀγροίτας δὲ ἐν ᾱ Λιβυκῶν ὑπὸ Ἀπόλλωνος φησὶν αὐτὴν εἰς Κρήτην κομισθῆναι, ἐκεῖθεν δὲ εἰς Λιβύην. Ἦν δὲ καὶ ἀδελφὴ τῇ Κυρήνῃ Λάρισσα, ἧς ὁμώνυμος *) πόλις

*) Cum dativo supra p. 21. 25. 47. Diodorus Sic. III. c. 54. πόλιν — ὁμώνυμον ἑαυτῆς κτίσαι. Sed c. 55. cum dativo: οἰκοδομῆσαι πλείους πόλεις, καὶ τούτων ὁμώνυμον ἑαυτῇ κτίσαι μίαν. Rursus cum genitivo V. c. 57. extr. ἑαυτοῦ πόλιν ὁμώνυμον ἔκτισε. Cum dativo Lucianus T. I. p. 851. τοῦ ὁμωνύμου σοι ποιήσαντος τὸ μέλος. ubi Marcilius non habebat cur σοι mutaret in σου. Vere Iensius: „Utroque „modo Graeci, ὁμώνυμός τινι et τινος." [Plane sic dicitur et ἐπώνυμός τινος, et ἐπώνυμός τινι: ut mirum non sit, libros inter has constructiones passim fluctuari. *Genitivi* exempla habent hi scriptores: Demosthenes T. I. p. 773, 2. Diodorus Sic. I. c. 15. IV. c. 25. (ubi alii dativum habent.) V. c. 4. it. c. 66. (ubi al. dativum habent.) Dionysius Halic. Ant. Rom. I. c. 71. (ubi liber Vaticanus addit ἀπό.) Arrianus Indic. c. 6. bis. (ubi priore loco Codex dativum habet.) Appianus T. I. p. 622. Schweigh. (ubi eadem scripturae diversitas.) Scholiastes ad Sophoclis Aiac. v. 575. Lob. (ubi eodem modo variatur.) *Dativi* hi: Diodorus Sic. V. c. 4. Dionysius Halic. Ant. Rom. I. c. 9. it. c. 71. Strabo T. IV. p. 462. Pausanias IX. c. 34. extr. et X. c. 17. in. Lucianus T. I. p. 304. (Paulo ante malim τί Ποσειδῶνα λέγεις;) Theodorus Metoch. de polit. Cyren. p. 93. Orell. Quod autem significationis discrimen inter genitivum et dativum esse dicit Schweighaeuserus ad Appian. T. III. p. 591., parum firmo niti fundamento videtur, convelliturque hoc loco Nonni Dionys. XVIII. p. 504, 17. Hanov.

ἔφασκεν ἐπώνυμον ὠκέϊ ταρσῷ
ἀνδράσι πὰρ Κιλίκεσσι νεόκτιτον ἄστυ χαράξαι.

Hic enim cum de etymo urbis Tarsi agatur, (v. Vales. ad Ammian. XIV, 8.) sensus docet, arcte iungenda esse ἐπώνυμον ὠκέϊ ταρσῷ; metrumque de mutatione dativi in alterum casum cogitare prorsus vetat. Minus fidenter antesteris Oppianum Halieut. II. v. 17. sq.

ἄλλος δ' ἀλλοίοισιν ἐπώνυμος ἔπλετο δαίμων
ἔργοις, —

Nam ibi Rittershusius: „S. supra script. hab. ἀλλοίων, et mox ver. seq. ἔργων. Ita ἐπιώνυμος legendum esset."] Ceterum notanda phrasis ὁ σὸς ὁμώνυμος, qua utitur Plato Theaet. p. 300. Heind. ἐμοί τε καὶ τῷ

ἐν Θεσσαλίᾳ. Ψεύδονται δὲ οἱ λέγοντες αὐτὴν θυγατέρα Πηνειοῦ. Ἔνεμε γὰρ θρέμματα παρ᾽ αὐτῷ, ἀλλ᾽ οὐκ ἦν ἐκείνου θυγάτηρ. Μνασέας δέ φησι, κατ᾽ ἰδίαν προαίρεσιν αὐτὴν εἰς Λιβύην ἀπελθεῖν, οὐχ ὑπὸ Ἀπόλλωνος ἀχθεῖσαν. Ἀκέστωρ δέ φησι ἐν τοῖς περὶ Κυρήνης ἐπ᾽ Εὐρυπύλου βασιλεύοντος ἐν Λιβύῃ ὡς διακομισθείη ὑπὸ Ἀπόλλωνος ἡ Κυρήνη εἰς Λιβυην, καὶ ὡς, λέοντος κατανεμομένου τὴν χώραν, προσθειη *) τὴν βασιλείαν Εὐρύπυλος ἆθλον τῷ ἀποκτενοῦντι τὸν λέοντα, καὶ ὡς Κυρήνη διαχρησαμένη τὸν λέοντα λάβοι τὴν

σῷ ὁμωνύμῳ τούτῳ Σωκράτει. ubi cave pro σῷ scribendum censeas σοι aut σου. Similia passim occurrunt. Xenophon Hist. Gr. V, 2, 33. τοῖς — ὑμετέροις δυσμενέσι. quod recte tuetur Wolfius p. 122. Apol. Socrat. 27. τοῖς ἐμοῖς εὔνοις. Vir egregius: „Recte Stephanus ἐμοὶ corrigi voluit." Ego vulgatam teneo. Talia etiam Latina lingua habet, ut *meus aequalis* etc.

*) Leg. προθείη, *proposuisse.* Solennis haec confusio. V. Wesseling. ad Diodor. Sic. XIV. c. 41. et Reisk. Animadv. ad Graec. auct. Vol. I. a. p. 60. Vicissim in Plutarcho Mor. T. III. p. 259. Oxon. (p. 69. ed. Wyttenb. a. 1772.) pro λιταῖς τισι καὶ προτροπαῖς scribendum λ. τ. κ. προστροπαῖς. Passim confusa haec nomina. V. Interpretes ad Thom. Mag. p. 756. et Musgrav. ad Euripid. Alcest. v. 1178. Aliud autem προτροπή, aliud προστροπή. Hoc de familia est satis numerosa illarum vocum, quae cum proprie significent conversionem sui ad aliquem, aditum ad aliquem, occursum, metaphorico usu dicuntur de precibus, quibus aliquid ab aliquo petitur. Inter has referendum est etiam verbum ἐντυγχάνειν. Plutarchus V. Ages. c. 25. μετὰ δεήσεως καὶ δακρύων ἐντυχόντος, ὅπως τὸν Ἀγησίλαον εὔνουν παράσχῃ, *cum contendisset ab eo precibus lacrymisque, ut Agesilaum placaret.* In Epigrammate adesp. CCIII. v. 7. τὸν εὐάντητον θεὸν est *deum preces facile audientem.* Conf. Ruhnken. ad Hermesianact. v. 8. p. 286. In Aeschyli Supplic. v. 492. Stanl. ἄφιξις idem est quod ἱκεσία, *supplicatio*, non, ut vulgo interpretantur, *adventus.* Id docere Interpretes potuerat Ζεὺς ἀφίκτωρ ibid. v. 1., i. e. ἱκετῶν ἔφορος, et ἀφικτόρων v. 249., i. e. ἱκετῶν. Hinc etiam peti poterunt, quae in Lexica recte inferantur.

βασιλείαν. Φύλαρχος δέ φησι, μετὰ πλειόνων ἀπελθεῖν τὴν Κυρήνην εἰς Λιβύην· ἐκείνοις δὲ ἐξιοῦσιν εἰς θήραν συνεξελθεῖν αὐτοῖς καὶ τὴν Κυρήνην, κἀκεῖ διαχρησαμένην τὸν λέοντα λαβεῖν τὴν βασιλείαν. Ἐγέννησε δὲ ἐξ Ἀπόλλωνος παῖδας δύο, Αὐτοῦχον καὶ Ἀρισταῖον. Αὐτοῦχος μὲν ἐν Λιβύῃ ἔμεινεν· Ἀρισταῖος δὲ ἀφίκετο εἰς Κέω *).

Τέσσαρας δὲ Ἀρισταίους γενεαλογοῦσιν ἄλλοι τε καὶ Βακχυλίδης· ἕνα μὲν τοῦ **) Καρίστου υἱὸν, δεύτερον δὲ τὸν Χείρωνος, τρίτον δὲ τὸν Γῆς καὶ Οὐρανοῦ, καὶ τέταρτον τὸν Κυρήνης καὶ Ἀπόλλωνος.

V. 500. Πέφαται δὲ ἀντὶ τοῦ λέγεται καὶ ἱστορεῖται.

V. 504. Αἱμονίαν δὲ λέγει τὴν Θεσσαλίαν ἀπὸ Αἵμονος υἱοῦ Ἄρεος.

V. 505. Μυρτώσιον δὲ τόπος ἢ ἄκρα περὶ Κυρήνην.

Χθονίαις δὲ Νύμφαις, ταῖς ἐγχωρίαις. ***)

V. 507. Ἀγρέα δὲ τὸν Ἀρισταῖον ἔλεγον, ὅτι ἐν τῷ ἀγρῷ ἐμίγη τῇ μητρὶ αὐτοῦ ὁ Ἀπόλλων. Νόμιον δὲ, ὅτι νεμούσης †) ἐμίγη. Οἱ δέ φασι οὕτω κληθῆναι διὰ τὸ τὴν κατὰ τοὺς ἀγροὺς θεραπείαν δεῖξαι τοῖς νομεῦσι.

---

*) Hanc formam nominis ab aliis aliter scripti hic aliquoties legimus: recurritque mox in Schol. ad v. 522. Rarissima, modo sit genuina, Κείως est, quam libri aliquot dant in Diodoro Sic. eundem mythum tractante IV. c. 82. ubi Wesselingius: „Κέω Coisl. Κέων Mut. Κείῳ „Reg. Vat. Clar. 2. Edd. Κῶ." Mox: „Ἐν τῇ Κέῳ Cois. Mut. Κειῶ „Clar. 2. Κειῷ Reg. Vat. vulgo Κῶ."

**) Imo τόν.

***) Ad v. 504.

†) Schol. edit. νεμούσῃ, quod non mirer si quis etiam in nostro scribendum censeat. Mihi genitivus non videtur repudiandus esse. V. Dor-

V. 509. *Ἀγρότην δὲ τὴν Κυρήνην, ὅτι φιλοκυνηγὸς* *) *ἦν. Ἐν γοῦν τῇ Λιβύῃ ἀπέκτεινε λέοντα.*

Μακραίων δὲ, ἡ πολυχρόνιος.

V. 511. sq. *Ἀκεστορίην δὲ, ἤγουν ἰατρικὴν, ἐδίδαξαν τὸν Ἀρισταῖον αἱ Μοῦσαι, καὶ θεοπροπίην, ἤγουν μαντικήν. Καὶ ἔγημεν Αὐτονόην τὴν τοῦ Κάδμου θυγατέρα.*

V. 513. *Κοίρανον δὲ καὶ προστάτην τῶν ἑαυτοῦ ποιμνίων αἱ Μοῦσαι ἐποίησαν.*

V. 514. *Ἀθαμάντιον δὲ πέδον ἐν Ἅλῳ, ἀπὸ Ἀθάμαντος οὕτω κληθὲν, διὰ τὸ ἐν Ἅλῳ κατοικῆσαι τὸν Ἀθάμαντα μετὰ* **) *ἐξελθεῖν τῆς βασιλείας.*

V. 515. *Ὄθρυς δὲ ὄρος ὑψηλὸν Θεσσαλίας. Καὶ Ἀπηδανὸς ποταμὸς Θεσσαλίας.*

V. 516. *Μινωΐδας δὲ τὰς Κυκλάδας νήσους λέγει, ὅτι Μίνως θαλασσοκρατήσας ἐβασίλευσε τῶν Κυκλάδων νήσων, ἐξελάσας τοὺς Κᾶρας.*

---

vill. ad Chariton. p. 254. quaeque ipse notavi ad L. Bos. Ell. p. 50. sq. et ad Aesopum Heusingeri p. 137. et 149. Xenophon Anab. II, 4, 24. *διαβαινόντων μέντοι, ὁ Γλοῦς αὐτοῖς ἐπεφάνη.* ubi si scriptor, quod licebat, *αὐτοῖς* omisisset, locus foret nostro ad amussim congruens.

*) Schol. edit. *προπαροξυτόνως, φιλοκύνηγος.* Ita etiam in Diogene Laërt. II, 56. Sic alii scribunt *συγκυνηγὸς*, alii *συγκύνηγος*. V. H. Stephan. Thes. T. II. c. 520. D. Dorvill. ad Chariton. p. 272. Valckenar. ad Euripid. Phoeniss. v. 11. et Hippol. v. 1066. et 1092. Eadem accentus varietas in voce *φιλογεωργος*. Supra enim p. 23. habuimus *ὀξυτόνως, φιλογεωργός*. Ibi etiam Schol. edit. *προπαροξυτόνως, φιλογέωργος*. Eademque in *τονώσει* fluctuatione alii scribunt *συγγεωργὸς*, alii *συγγέωργος*. V. H. Stephan. Thes. T. I. c. 804. H. et Schol. ad Aristophan. Plut. v. 223. cuius canonem si sequaris, nihil est quod in talibus te dubium faciat. Omnia enim huiusmodi composita *βαρυτόνως* scribi iubet: *τὰ γὰρ εἰς ος ὀξύτονα, συντιθέμενα βαρύνεται.*

**) Add. *τό*. Conf. Bastii Comment. Palaeogr. p. 793. et 815.

V. 517. *Σείριος* δὲ ὁ κύων λέγεται, ἢ ἀπὸ τοῦ ζέειν ζείριος, κατὰ ἀποβολὴν τοῦ δ, ἢ παρὰ τὸ σειροῦν, τὸ ἐκκενοῦν· ἐκκενοῖ γὰρ τὰ σώματα ἡμῶν διὰ τοῦ ἱδρῶτος· ἢ παρὰ τὸ ποιεῖν σεσηρέναι· τοὺς γὰρ κύνας ποιεῖ διασεσηρέναι *) καὶ χάσκειν· ἢ παρὰ τὸ σείεσθαι καὶ πάλλεσθαι. Καὶ πάντα τὰ ἄστρα σείρια ἂν λέγοιτο, οἱονεὶ τείρεα, ἢ διὰ τὸ τείρειν, τὸ δαμάζειν, ἢ ὅτι τέρατα, οἱονεὶ σημεῖα, παρέχουσι τοῖς πλωϊζομένοις. Οἱ μέντοι ἀστρολόγοι τοὺς παλλομένους τῶν ἄστρων **) στίλβοντας καλοῦσι. Τὸ δὲ ἄστρον τοῦ κυνὸς οἱ μὲν τοῦ Ὠρίωνος κύνα φασὶν, οἱ δὲ τῆς Ἠριγόνης, οἱ δὲ τοῦ Ἀλκυονέως, οἱ δὲ Ἴσιδος, οἱ δὲ Κεφάλου. Ὁ δὲ Τιμοσθένης κυρίως ὄνομα εἶναί φησι.

V. 520. sq. *Παράσιον* δὲ *λαὸν* τὸν Ἀρκαδικὸν, ἀπὸ μιᾶς Ἀρκαδικῆς πόλεως καλουμένης Παῤῥασίας.

V. 522. *Ἰκμαίου* δὲ *Διὸς* ἱερὸν ἐστὶν ἐν Κέῳ, τουτέστι Διύγρου, ἕνεκεν τῆς ἰκμάδος καὶ τῆς πνοῆς τῶν ἀνέμων.

V. 524—526. *Τοῖο δ' ἕκητι*, ἤγουν τοῦ Διὸς χάριν, οἱ ἐτησίαι πνέουσι τεσσαράκοντα ἡμέρας. Οἱ μὲν γὰρ τεσσαράκοντα ἡμέρας φασὶν αὐτοὺς πνεῖν· οἱ δὲ ν̄, ὡς Τιμοσθένης. Ἄρχονται μὲν γὰρ πνεῖν ἐπὶ τῷ τέλει

---

*) Proprio sensu hîc dicitur, cuiusmodi exemplum Lexica non habent.

**) Leg. ἀστέρων. Haec passim confusa sunt. In Diodoro Sic. IV. c. 80. sive cum vulg. legas κατὰ τὴν τῶν ἄστρων ποίησιν, sive, quod Codex habet, κ. τ. τ. ἀστέρων π., haud ita multum refert. Sed ibid. V. c. 67. in. pro καὶ τῶν ἄλλων ἄστρων malim, quod nonnulli libri dant, ἀστέρων. Atque in Eusebii Praeparat. Euang. VI. c. 10. p. 275. C. non magis, quam in nostro Scholiasta, corrigere dubitabis οἱ ἀγαθοποιοὶ τῶν ἀστέρων.

τοῦ καρκίνου τοῦ ἡλίου ὄντος· πνέουσι δὲ διόλου *) τοῦ λέοντος, καὶ λήγουσιν ἐν τῷ διμοίρῳ **) τῆς παρθένου.

V. 527. *Ἀντολέων* δὲ τῶν ἀνατολῶν.

V. 528. *Ὑδέονται* δὲ, ἀντὶ τοῦ ᾄδονται καὶ λέγονται.

V. 529. *Ἐρυκομένους* δέ φησιν, ἤτοι κωλυομένους τοὺς Ἀργοναύτας διὰ τοὺς ἐτησίας. Ἐναντίοι γάρ εἰσιν οἱ ἐτησίαι τοῖς πλέουσιν εἰς τὸν Πόντον, διὰ τὸ εἶναί βορέας ***), ὥσπερ ἐν τῇ Ἑλλάδι ἐναντίοι οἱ ζέφυροι καὶ ἐτησίαι.

V. 531. sq. *Ἐκ δέ τοθεν*, ἤγουν μετὰ ταῦτα, πλεύσαντες εἰς τὸ πέραν τῆς ἁλὸς, ἤγουν εἰς τὴν Ἀσίαν, βωμὸν ἐν τῷ αἰγιαλῷ ᾠκοδόμησαν τῶν δώδεκα θεῶν, καὶ ἔθηκαν ἐπ' αὐτῷ ἱερὰ, τουτέστιν ἐκαλλιέρησαν. Ὁ δὲ τόπος, ἐν ᾧ τὸν βωμὸν ᾠκοδόμησαν, ἔτι καὶ νῦν ἱερὸν καλεῖται.

Τιμοσθένης δέ φησι, τὸν μὲν Φρίξον βωμὸν τῶν δώδεκα θεῶν ἱδρύσασθαι, τοὺς δὲ Ἀργοναυτας τοῦ Ποσειδῶνος. Ἡρόδωρος δὲ ἐπὶ τοῦ αὐτοῦ βωμοῦ τεθυκέναι τοὺς Ἀργοναύτας φησὶν, ἐφ' οὗ καὶ Ἄργος ὁ Φρίξου ἐπανιὼν ἐτεθύκει.

Τὰ δὲ τῶν δώδεκα θεῶν τὰ ὀνόματα εἰσὶ ταῦτα· Ζεὺς, Ἥρα, Ποσειδῶν, Δημήτηρ, Ἀπόλλων, Ἄρτεμις, Ἄρης, Ἀφροδίτη, Ἑρμῆς, Ἀθηνᾶ, Ἥφαιστος, Ἑστία.

V. 535. *Δῆμα* δὲ γράφεται καὶ *δεῖμα*. Τῷ μὲν οὖν η γεγραμμένῳ †) τὸν δεσμὸν σημαίνει· τῇ δὲ διφθόγγῳ τὸν φόβον.

---

*) Leg. δι' ὅλου. V. Bastii Comment. Palaeogr. p. 795.

**) *ubi sol percurrit duas tertias partes.* Labbaei Glossaria p. 52. c. Δίμοιρον, Bessim.

***) Schol. edit. ὄντες Βοῤῥαῖ. Notetur hic usus pluralis huius substantivi, cuius exemplo Lexica carent. Sic etiam infra ad v. 1100.

†) Leg. γεγραμμένον.

V. 541—548. Ἡ δὲ παραβολὴ παρὰ τὸ Ὁμηρικὸν εἴρηται·

Ὡς δ' ὅταν ἀΐξῃ νόος ἀνέρος.

Ὁ δὲ νοῦς τοιαῦτος· ὡς δ' ὅταν τις τῆς πατρίδος ἀποπλανηθεὶς, ὁποῖα πολλὰ πάσχομεν οἱ ἄνθρωποι πλανώμενοι, ἐνόησε μὲν, καὶ ἐν τῇ ἑαυτοῦ διανοίᾳ τὴν οἰκίαν ἐθεάσατο· οὐδὲν δὲ διάστημα τηλουρὸν καὶ μακρὸν δοκεῖ αὐτῷ, πᾶσαι δὲ αἱ εἰς τὴν οἰκίαν δηλαδὴ ὁδοὶ κατόψιοι καὶ πρὸ ὀφθαλμῶν εἰσὶν αὐτῷ· ἅμα δὲ αὐτῷ ἡ διὰ θαλάσσης καὶ ἡ διὰ ξηρᾶς ὁδὸς ἰνδάλλεται καὶ τῇ φαντασίᾳ ἐμπεριλαμβάνεται· ὀξέα δὲ ἤγουν ταχέως πορφύρων καὶ διανοούμενος ἄλλοτε ἄλλῃ, τουτέστιν εἰς ἄλλα *) μέρη τοῖς ὀφθαλμοῖς ἐπιμαίεται καὶ ἐπιζητεῖ· οὕτω καὶ ἡ Ἀθηνᾶ ταχέως ἀΐξασα εἰς τὴν Θυνίδα ἀκτὴν τοῦ Εὐξείνου πόντου ἀφίκετο.

Τὸ μὲν οὖν ἀλώμενος εἰς τὸ ἐνόησεν ἀναφέρειν δεῖ.

Ἐν δὲ τῷ, πλαζόμεθα τετληῶτες, μετάθεσιν ποιητέον, οἷον πλαζόμενοι τέτλαμεν **).

Ἐν δὲ τῷ, οὐδέ τις αἶα, τὸ διάστημα δηλοῖ.

Τὸ δὲ σφωϊτέρους ἀντὶ τοῦ τοὺς ἑαυτοῦ δόμους κεῖται.

Ὑγρὴν δὲ κέλευθον Ὁμηρικῶς τὴν διὰ θαλάσσης νοεῖ· τραφερὴν δὲ τὴν διὰ ξηρᾶς.

Πορφύρειν δὲ τὸ κατὰ βάθος μεριμνᾶν σημαίνει. Ἀπὸ μεταφορᾶς δὲ τῆς πορφύρας εἴρηται τῆς ἐν τῷ βάθει τῆς θαλάσσης εὑρισκομένης.

---

*) Videtur excidisse καὶ ἄλλα.

**) Tetigit hoc Schema Schol. Ven. ad Homer. Il. XVI. v. 162. V. Gregor. Corinth. p. 87. Lips. ibique Koen. et Heindorf. ad Platon. Gorg. p. 124. sq.

Ἄξεινον δὲ τὸν Εὔξεινον πόντον φησὶν, οἱονεὶ κακόξεινον, τοῦ ᾱ σημαίνοντος τὸ κακόν. Πρότερον μὲν γὰρ ὑπὸ λῃστῶν περιοικούμενος Ἄξεινος ἐκαλεῖτο· καθαρθεὶς δὲ τὸ μετὰ ταῦτα Εὔξεινος ἐκλήθη.

V. 550. Τὸ δὲ *ἐργμένον* παράγεται μὲν ἀπὸ τοῦ εἴργω, τὸ κωλύω· σημαίνει δ᾽ ὅμως καὶ τὸ περικυκλούμενον, ὡς ἐνταῦθα.

V. 551. sq. *Δινήεις* δὲ *ῥόος* ὁ δίνας καὶ συστροφὰς ῥευμάτων ἔχων.

Τὸ δὲ *ἀνεκλύζεσκε* *) τὸ ἀνέκαμπτε **) σημαίνει.

---

*) Sic cum augmento, quomodo fortasse hic quoque in Argonauticis scribendum. Conf. Brunck. ad I. v. 1074. IV. v. 1650. Quanquam parum ille hac in re sibi constitit. vid. not. ad III. v. 687., ubi euphoniam nescio quam iactat, et ad IV. v. 1725. In Homeri Odyss. XIV v. 521. nuper Wolfius, etiam Harleiani libri auctoritate, dedit quod iam probaverat Barnesius, παρεκέσκετο. Herodotus IV. c. 130. extr. ἐλάβεσκον, nullâ e libris enotatâ scripturae diversitate. Sed in Aristophanis Equit. v. 1242. antiqua scriptura, nisi multum fallor, revocanda, versusque sic inter colloquentes distribuendus est:

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἠλλαντοπώλουν καὶ —

ΚΛΕΩΝ.

τί;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ βινεσκόμην.

[Simile perversae verborum inter colloquentes distributionis vitium in Euripidis Hel. v. 683. Musgr. mihi nuper indicavit Hermannus, totum illum versum Menelao contribuens simulque ita refingens: Ἥρα; τί νῷν χρῄζουσα προσθεῖναι κακῶν;] Hoc βινεσκόμην si in promtu fuisset Wesselingio, paulo dubitantius, opinor, scripsisset quae notavit ad Herodot. p. 88, 79. et p. 507, 74. Me quidem formae illae contractiores, quas negat esse ἀναλόγους, non offendunt. Vide Clarkium ad Homer. Il. XV. v. 338. (poterat citare etiam πωλέσκετο), quem Brunckius audire debebat perperam tentans Apollonii κάλεσκε IV. v. 1514. Aristo-

Τὸ δὲ πολλὸν δὲ φόβῳ, ἀντὶ τοῦ λίαν μετὰ φόβου εἰς τοὔμπροσθεν ἐνέοντο.

V. 553. Τὸ δὲ ἀρασσομένων πετράων, ἀντὶ τοῦ συγκρουομένων, ὥσπερ καὶ τὸ ἀρασσομένων θυρῶν.

V. 554. Νωλεμὲς δὲ, τὸ συνεχές.

Ἁλιμυρέες δὲ ἀκταὶ, αἱ ὑπὸ τῆς ἁλὸς περιῤῥεόμεναι ἢ περιραινόμεναι *).

V. 557. Θελήμονα δὲ τὴν πρόθυμον καὶ ἐπιτεταμένην. Οὐ γὰρ δὴ τὴν ἥσυχον ἐνταῦθα δηλοῖ.

V. 559. Τὸ δὲ λοίσθιον ἔφη, ὅτι εἵμαρτο στηριχθῆναι αὐτὰς, ἐπειδὰν ἡ Ἀργὼ διέλθῃ αὐτάς.

V. 561. sq. Ὅτι δὲ πελειάδος προηγουμένης διέπλευσαν, καὶ Ἀσκληπιάδης φησὶν ἐν Τραγῳδουμένοις.

---

phanes Pac. v. 1070. ἐξαπάτασκον. Haec quoque forma contractior est pro ἐξαπατάασκον. Ceterum verissime, ut puto, Clarkius l. c.: [οἴχνεσκε, κάλεσκε etc.] „non, quod commentus est Barnesius," qui nollem assensum tulisset nonnullorum de aequalibus nostris] „ex καλέσκω et οἰχνέσκω, quae nulla sunt; sed ex καλέω et οἰχνέω." Omnes enim has imperfectorum aoristorumque formas epica poësis, ut lenibus hexametrorum rhythmis aures deliniret, fabricata est, unde post in prosam Ionicae dialecti, ac parce etiam in Atticam dialectum transierunt. Quae ipsa causa fuit, cur illae formae nunc in plures syllabas excrescerent, nunc in pauciores contraherentur. Eandem puto causam fuisse, cur in imperativis verborum contractorum εεο, eliso altero ε, abiret in εο: quam imperativorum formam item ascivit prosa Ionica. In Herodoto VIII. c 68, 1. vulgato ποιέεο praeferendum erat, quanquam tantum ex uno Codice enotatum, ποιέο. Ceterum talia fere παροξυτόνως scribuntur. Quae si vera est ratio, (et videtur vera esse,) in Homer. Il. I. v. 275. scribendum erit ἀποαιρέο, et in hexametro ap. Aristotel. Rhetor. III. c. 14. ἡγέο.

**) In transcursu adde Lexicis adiectivum ἀνακαμπτικὸς, quo usus est Eustathius ad Homer. Il. p. 1107. extr. Rom.

*) Sic uno ρ. V. Bastii Comment. Palaeogr. p. 788.

V. 568. *Σπήλυγγας* δὲ λέγει τὰς κοιλάδας ὑπὸ κάτω *) τῶν πετρῶν.

Σπιλάδας δὲ τὰς τοιαύτας πέτρας.

V. 569. Τὸ δὲ *ἐβόμβεον*, ἀντὶ τοῦ ἤχουν, ὅθεν καὶ βομβίλη **), εἶδος μελίσσης. Καὶ εἶδος ποτηρίου Ἀντισθένης ἀποδίδωσιν. Ἔστι δὲ τὸ τοιοῦτον στενοτράχηλον.

V. 570. *Καχλάζειν* δέ ἐστι τὸ ποιὰν φωνὴν ἀποτελεῖν.

Ἄχνη δὲ ὁ ἀφρός.

V. 571. Τὸ δὲ *εἶλει*, ἀντὶ τοῦ περιέστρεφε.

V. 572. *Ταίγε* δὲ ἀντὶ τοῦ αὗται αἱ πέτραι ἔκοψαν τὰ ἄκρα τῆς οὐρᾶς πτερά.

V. 573. Τὸ δὲ *ἔβραχε* τὸ ἐβόησε σημαίνει.

V. 576. *Πλημμυρὶς* δὲ ὀξυτόνως. Τὰ γὰρ ἀπὸ βαρυτόνων ῥημάτων παραγόμενα εἰς ῑς ὀνόματα ὀξύνεται. Βασιλεύω βασιλὶς, πλημμύρω πλημμυρίς.

Τὸ δὲ *κατένεικεν*, ἀντὶ τοῦ κατήνεγκε τὴν ναῦν εἴσω τῶν πετρῶν.

V. 579. Τὸ δὲ *ἔνθα καὶ ἔνθα*, ἀντὶ τοῦ εἰς τοὔμπροσθεν καὶ εἰς τοὔπισθεν. Ὄπισθεν μὲν ἐφαίνετο ἡ Προποντὶς, ἔμπροσθεν δ᾽ ὁ Εὔξεινος. Ἢ τὸ *ἔνθα καὶ ἔνθα* πρὸς τὰ δεξιὰ καὶ ἀριστερὰ τοῦ Πόντου ἀνενεκτέον.

---

*) Vulgo, iunctis vocibus, *ὑποκάτω*. Sed ut in nostro Codice, sic editum in Apollonii Dysc. Histor. Commentit. XXXVI. *ὑπὸ κάτω πετρῶν*.

**) Vulg. *βομβύλη*. Sed et nostri scriptura Codicis videtur in usu fuisse. Hesychius T. I. c. 740. in. *Βομβυλία. ἡ Ἀθηνᾶ ἐν Βοιωτίᾳ.* Kusterus: „Ex serie liter. legendum *Βομβιλία*." Obiter in Lexica infer adiectiva *βομβικὸς* e Pindari Scholiasta p. 167. Heyn. et *βομβώδης* ex Eustathio ad Homer. Il. p. 1084, 47. Bas.

V. 580. Τὸ δὲ ἀπροφάτως, ἀντὶ τοῦ ἀπροοράτως.

V. 581. Ἀποτμάγι δὲ σκοπιῇ, ἀντὶ τοῦ ἀποτετμημένῳ ὄρει.

V. 582. Τὸ δὲ ἤμυσαν, ἀντὶ τοῦ ἐκλίνθησαν λοξώσαντες τὰς κεφαλάς.

V. 583. Τὸ δὲ κατεπάλμενον τὸ ὑπεραναβὰς σημαίνει. Ἀναφέρεται δὲ πρὸς τὸ μέγα κῦμα.

V. 584. sq. Τὸ δὲ βαρύθουσαν ἀγχαλάσας, ἤτοι ὑπὸ τοῦ κύματος βαρυνομένην καὶ κατεπειγομένην ἀνεχάλασε τῇ εἰρεσίᾳ τὸ πάρος *), ἢ ὅτι ὑπὸ τῆς εἰρεσίας βαρυνομένην καὶ κατεπειγομένην ἀνεχάλασεν ἐνδοὺς καὶ καταπαύσας τὴν εἰρεσίαν.

V. 586. Τὸ δὲ μέγεθος τοῦ κύματος δεικνὺς ἀνείρυσέ φησὶ καὶ ὕψωσεν ἀπὸ τῆς πρύμνης τὴν ναῦν τὸ κῦμα ὑπεράνω τῶν πετρῶν γεγονὸς αὐτὸ ὑπὸ τὴν τρόπιν.

V. 590 — 592. Ὅσον δὲ ἡ ναῦς ὑπείκαθεν καὶ ὑπεχώρει τοῖς ἐρέταις, δὶς τόσον πάλιν ἐπαναστρέφετο ὑπὸ τοῦ κύματος· ἐπεγνάμπτοντο δὲ αἱ κῶπαι καθάπερ καμπύλα τόξα.

Τὸ δὲ μεταχρονίη, ὅτι καὶ μεταχθονίη γράφεται, εἴρηται. **)

V. 594. Κύλινδρος δέ ἐστι στερεὸν κυκλοτερὲς ἑκατέραν βάσιν ἔχον ἐπίπεδον.

V. 595. Τὸ δὲ προπροκαταΐγδην, ἀντὶ τοῦ ἄνωθεν εἰς τὸ πρόσω ὁρμητικῶς φερομένην.

V. 598. sq. Κατασχεθείσης δὲ τῆς νεὼς ὑπὸ τοῦ

---

*) Leg. βάρος.

**) Ad v. 587.

ῥοῦ ἐν τῷ μέσῳ τῶν πετρῶν, ἡ Ἀθηνᾶ τῇ μὲν λαιᾷ χειρὶ ἐπέσχε τὴν πέτραν, τῇ δὲ δεξιᾷ ὦσε τὴν ναῦν εἰς τὸν Πόντον.

V. 601. Τὸ δὲ παρέθρισαν, ἀντὶ τοῦ παρεθέρισαν κατὰ συγκοπήν. Σημαίνει δὲ τὸ ἀπέκοψαν.

Ἀφλάστου δὲ κόρυμβα τὰ ἀκροστόλια λέγει.

V. 602. Νωλεμὲς δὲ τὸ βιαίως.

Τὸ δὲ ἐμπλήξασαι τὸ ἐμπεσοῦσαι δηλοῖ.

V. 611. Τὸ δὲ αὐτῇ νηῒ ἔλλειψιν ἔχει τῆς σὺν, ἵν' ᾖ, ἐλπίζω ἡμᾶς σὺν αὐτῇ τῇ νηῒ ἐκφυγεῖν τὸ δεινόν. Τὸ ἔμπεδον ἀντὶ τοῦ ἐμπέδως. Ἢ ἀντὶ τοῦ, δι' αὐτῆς τῆς νεώς. Βέλτιον δὲ τὸ πρῶτον.

V. 620. Τὸ δὲ σεῦεν, ἀντὶ τοῦ ἴθυνεν ἐπὶ τὴν Βιθυνίαν τὴν ναῦν.

V. 624. Τὸ δὲ χρῆν ῥῆμα ἐστὶν, οὐκ ἐπίῤῥημα. Πίπτει γὰρ ἐκ τούτου *) ἡ χρεία. Ὡς παρὰ τοῦ **) δρῶ ἡ δρᾶσις. Ἀπὸ δὲ ἐπιῤῥήματος οὐ σχηματίζεται ὄνομα.

V. 626. Τὸ δὲ δαιόμενος ἀντὶ τοῦ κοπτόμενος καὶ μεριζόμενος.

V. 627. Ἀτλήτους δὲ μελεδῶνας τὰς ἀνυποίστους καὶ μεγάλας λέγει.

V. 628. Στυγεῖν δὲ τὸ φοβεῖσθαι. Ὅμηρος·

τάτε στυγέουσι θεοί.

καί·

τὸ στυγέουσι καὶ ἄλλοι.

*) Schol. edit. Παρ' αὐτὸ γὰρ — πίπτει. i. e. *derivatur*. Infra ad IV. v. 175. Πέπτωκε δὲ ἀπὸ τοῦ ἀγρώσσω ῥήματος. et ad v. 1177. Παρὰ τὸ βρι πέπτωκε τὸ βρίθω. Qui usus verbi πίπτειν notandus: nam Lexicographi de eo tacent.

**) Legendum τὸ, si, quod nunc credo, certus est canon Bastii. V. virum desideratissimum ad Gregor. Cor. p. 167. 353. et 883.

Τὸ δὲ *παρηγορέεις*, ἀντὶ τοῦ παρηγορητικῶς *) λέγεις. **)

V. 631. Τὸ δὲ *στονόεσσαν νύκτα φυλάσσω*, ἀντὶ τοῦ διάγω. Παρὰ τὸ Ὁμηρικόν·

Νῦν μὲν δὴ διὰ νύκτα Μελάνθις πάγχυ φυλάξεις.

V. 633. Τὸ δὲ *εὐμαρέως*, ἀντὶ τοῦ εὐκόλως. Ὅθεν καὶ ἀμάρα ***), εἶδος ὑποδήματος, ᾧ ἔξεστιν εὐκόλως χρῆσθαι.

V. 634. Ἑῆς δὲ ψυχῆς, ἀντὶ †) τῆς σεαυτοῦ ζωῆς.

V. 635. sq. Τὸ δὲ *εἶο*, ἀντὶ τοῦ ἐμεῖο. Περὶ ἐμοῦ οὖν, φησὶν, ἔγωγε οὐδὲ μικρὸν *ἀτύζομαι* καὶ φοβοῦμαι· περὶ δὲ σοῦ καὶ *τοῖο*, ἤγουν τούτου, καὶ τῶν ἄλλων δέδοικα.

---

*) Hoc adverbium adde Lexicis, simulque adiectivum *παρηγορητικὸς*, quo usus est Schol. Ven. ad Homer. Il. XIII. v. 726. [Item simile adiectivum *πολεμητικὸς* cum adverbio suo *πολεμητικῶς*. Dorvillius ad Chariton. p. 703.: „ap. Dionem Cassium p. 82. male „corrumpuntur *στρατόπεδα πολιτικὰ* in *πολεμητικά*. recte Cod. „Reg. in Coislin. Bibl. 455.“ Hinc colligas, non inauditum librariis hoc adiectivum fuisse. In usu vere fuisse, docet adverbium, quo utitur Photius Lex. c. 324. *Πολεμησείειν, πολεμητικῶς ἔχειν.* Perperam Suidas T. III. p. 138. *Πολεμησείειν. πολεμικῶς ἔχειν.* Nam talibus adverbiis verbo substantivo iunctis Grammatici utuntur ad desiderativa explicanda. Sic Hesychius T. I. c. 798. *Γαμησείειν. γαμητικῶς ἔχειν.* e qua glossa adverbium *γαμητικῶς* ideoque adiectivum *γαμητικὸς* Lexicis accedere possunt.] Obiter moneo, verbum *παρηγορεῖν* raro usu significare simpliciter *dicere ad aliquem*. Euripides Hecub. v. 292. Pors. *παρηγόρησον, ὡς ἀποκτείνειν φθόνος Γυναῖκας.* Iulianus p. 17. B. *τῆς ἴσης παρηγορίας.* Wyttenbachius ad h. l.: „*Ἴση παρηγορία* raro usu dicitur „pro *ἰσηγορία*.“

**) Ad v. 622.

***) Leg. *εὐμάρα.* Utare hoc nostri Scholiastae loco, si tueri velis eorum rationem, qui in Theocriti Id. V. v. 10. scripserunt *προσηγορικῶς, εὐμάρα.* Conf. Casaubon. Lect. Theocr. p. 88. Reisk.

†) Add. *τοῦ.*

Τὸ δὲ ἠ β α ι ὸ ν τὸ μικρὸν σημαίνει· κυρίως δὲ τὸ μὴ ἔχον βάσιν, οἷον ἄβαιόν τι ὄν.

V. 638. Τὸ δὲ ὁ μ α δ ῆ σ α ι τὸ ὁμοῦ ἠχῆσαι δηλοῖ, ἀπὸ τοῦ ὁμοῦ ᾄδειν παραχθέν. Οἱονεὶ ὁμοῦ ᾄδησαν.

V. 640. Τὸ δὲ ἐ π ι ῤ ῥ ή δ η ν, ἀντὶ τοῦ διαῤῥήδην καὶ παῤῥησιαστικῶς.

V. 643. Τὸ δὲ τ ά ρ β ο ς ἀ ν ά ψ ο μ α ι τὸ φόβον περιθήσομαι σημαίνει.

V. 650. Κ ο λ ώ ν η δέ ἐστιν ἄκρα οὕτω καλουμένη περὶ τὸν Λύκον ποταμὸν, ἧς μέμνηται Νύμφις ὁ Ἡρακλεώτης ἐν τῷ περὶ Ἡρακλείας. Σ κ ο π ε λ ὸ ν οὖν Κ ο λ ώ ν η ς, ἀντὶ τοῦ ὑψηλὸν τῆς Κολώνης τόπον.

V. 652 — 655. Φ ύ λ λ ι ς δὲ ποταμὸς Βιθυνίας. Φύλλιδος δὲ καὶ Νύμφης τινὸς ἐγχωρίου υἱὸς Δ ί ψ α κ ο ς, ὅν φασι ξενίσαι Φρίξον τὸν Ἀθάμαντος, ὅτε σὺν τῷ κριῷ ἐκεῖσε ἀφίκετο. Ἐκεῖ δέ φασι σφαγιασθῆναι τὸν κριὸν τῷ Λαφυστίῳ Διΐ. Καὶ μέχρι νῦν νόμος εἰσελθόντα εἰς τὸ πρυτανεῖον ἕνα τῶν Φρίξου ἀπογόνων θύειν τῷ εἰρημένῳ Διΐ.

V. 658. sq. Τὰς δὲ ε ὐ ρ έ α ς ἠ ϊ ό ν α ς Διονύσιος ὁ Ἀλβιανὸς Ἀχιλλέως δρόμους φησὶ καλεῖσθαι.

V. 661. Τὸ δὲ ἐ π ε ῤ ῥ ώ ο ν τ' ἐ λ ά τ η σ ι ν, ἀντὶ τοῦ ἐκωπηλάτουν νύκτα μίαν καὶ ἡμέραν ἐν νηνεμίᾳ.

V. 662. Π λ α δ ό ω σ α δὲ ἄ ρ ο υ ρ α ἡ ἔτι δίυγρος οὖσα.

V. 667. Σ κ η ρ ί π τ ο ν τ ε ς δὲ τ ὰ ς χ η λ ὰ ς, ἀντὶ τοῦ ἐπερείδοντες καὶ ἐμπείροντες τοὺς ὄνυχας. Ὅθεν καὶ τὸ σκηπάνιον.

V. 671. Ἀ μ φ ι λ ύ κ η δὲ ἡ σκοτεινή. Λύγος γὰρ τὸ σκότος. Ὅθεν καὶ λυγόφως καὶ λυκόφως.

V. 672. sq. Ἡ δὲ νῆσος αὕτη κατὰ Νύμφιν τὸν

Ἡρακλεώτην ἑπταστάδιον ἔχει τὴν διάμετρον. Καλλισθένης δὲ ἐν τῷ Περίπλῳ τήν τε χώραν καὶ τὴν νῆσον ὑπὸ μὲν Ἑλλήνων φησὶ Θυνίδα καλεῖσθαι, ὑπὸ δὲ βαρβάρων Θυνίαν.

V. 675. Ὑπερβορέους δὲ Ἡρόδωρος μὲν εἶναι ὅλως φησίν· εἰ γὰρ εἰσὶν Ὑπερβόρειοι, ἔσονται καὶ Ὑπερνότιοι. Ποσειδώνιος δέ φησιν, εἶναι μὲν τοὺς Ὑπερβορέους, κατοικεῖν δὲ τὰς ἐν Ἰταλίᾳ Ἄλπεις. Μνασέας δέ φησι, τοὺς Ὑπερβορέους Δελφοὺς λέγεσθαι. Ἑκαταῖος δέ φησι, μέχρι τῶν αὐτοῦ χρόνων εἶναι τοὺς Ὑπερβορέους. Καὶ ἔστιν αὐτῷ βιβλία περὶ Ὑπερβορέων γεγραμμένα. Τιμᾶται δὲ παρ' αὐτοῖς ὁ Ἀπόλλων· ὅθεν καὶ ἐκεῖσε χωρῶν ὤφθη.

V. 686. Εἰ δ' ἄγε νῆσον μὲν Ἑώου. Ἑῷον τὸν Ἀπόλλωνα ἐκάλεσαν, οὐχ ὅτι ὄρθρου ἐφάνη αὐτοῖς, ἀλλ' ὅτι κατὰ τὸν ὄρθρον ἀφίκοντο αὐτοὶ εἰς τὴν νῆσον, ὥς φησιν Ἡρόδωρος. Καὶ ἱερὸν δὲ Ἀπόλλωνος ἐν τῇ νήσῳ τῇ Θυνίδι ἐστίν. Καὶ τὸν θεὸν οὖν Ἑῷον, καὶ τὴν νῆσον Ἑώου Ἀπόλλωνος προσηγόρευσαν.

V. 696. Κεμὰς δὲ ἡ νέα ἔλαφος.

Ἐδίνευον, περιήρχοντο. *)

Χερμὰς, ὁ μικρὸς λίθος. *)

V. 699. Διπλόα δὲ μηρία, ἢ ὅτι δύο εἰσὶν, ἢ ὅτι διπλοῦς ὁ ἔπιπλος **) καὶ ὑπετίθετο καὶ ἐπετίθετο.

V. 702. Ἰὴ παίων δὲ ὁ Ἀπόλλων, ἢ διὰ τὸ πέμπειν τὰ βέλη, ἢ ὅτι ἰάσεως αἴτιος ὁ θεός.

V. 704. Βιστωνίῃ ***) δὲ, τῇ Θρακικῇ. Βίστω-

*) Ad v. 695.

**) Sic etiam Schol. edit. Haec forma huius vocis in Lexica nondum relata est. Vicissim Herodotus I. c. 94. ἐπίπλοα dixit, quae vulgo dicuntur ἔπιπλα.

***) Proprium Codicis Parisini, certe Apographi nostri, vitium,

νες γὰρ οἱ Θρᾶκες, ἀπὸ Βίστωνος, υἱοῦ Κίκωνος, ὥς φησι Φιλοστέφανος. Καὶ Βιστωνὶς λίμνη, Θρακική.

V. 706. Τὸν δὲ τοξευθέντα ἐν τῷ χρηστηρίῳ τῶν Δελφῶν δράκοντα ὑπὸ Ἀπόλλωνος, οἱ μὲν ἄῤῥενα φασὶν εἶναι, οἱ δὲ δράκαιναν θήλειαν *). Διὸ καὶ οἱ μὲν ὁ Δελφύνης κλίνουσιν ἀρσενικῶς, οἱ δὲ ἡ Δελφύνη θηλυκῶς. Ὅτι μὲν οὖν Δελφύνης ἐκαλεῖτο, Λέανδρος καὶ Καλλίμαχος λέγει.

V. 709. sq. Οἰόθι δ' αὐτὴ, ἀντὶ τοῦ, μόνον αὐτὴ ἡ Λητὼ ἡ Κοιογένεια ἀφάσσει τῆς τοῦ Ἀπόλλωνος κόμης **).

Ἔστι δὲ τὸ Κοιογένεια παθητικὸν, ἣ ὑπὸ τοῦ Κοίου γεννηθεῖσα.

Παρνασσὸς δὲ ὄρος Φωκίδος, κατὰ μὲν Ἑλλάνικον ἀπὸ Παρνασσοῦ, ἥρωος ἐγχωρίου. Ἄντρων δέ φησι, διὰ τὸ προσχεῖν τὴν Δευκαλίωνος λάρνακα ***) ἐκεῖ

---

nomina propria μεγεθύνειν, quae oportuisse σμικρύνειν, tam in vulgus notum est, ut monere taedeat. Itaque semel dictum esto.

*) Sic dixit pleonasmo notabili.

**) Notetur ἀφάσσω hic iunctum genitivo: nam vulgo regit accusativum. Herodotus III. c. 69. ἄφασσον αὐτοῦ τὰ ὦτα. ut Wesselingius edidit. Sed revocanda omnium scriptura librorum, ἄφασον. Etiam mox scribo, (nam praestat aoristus) ἤφασε τὰ ὦτα. Cum enim huius verbi futurum sit ἀφάσω (ad analogiam futurorum ἱμάσω, πλάσω, al.), in aoristo soli poëtae, idque metro coacti, sibilantem litteram geminant. Conf. Galeni Gloss. Hippocrat. p. 74. et 88. sq. H. Steph. In Zonarae Lex. c. 356. vellem receptum, quod Codex praebebat, Ἀφάσας — ἀφάσσω. Galenus quidem l. c. p. 89. diserte docet, δασέως hoc verbum legi oportere. Ἔγκειται γὰρ ἐν ἐκείνῳ, inquit, τὸ τῆς ἁφῆς ὄνομα.

***) Λάρναξ in Hederici Lexico masculini esse generis dicitur. Non probo: nam ὁ λάρναξ, quod sciam, proprium est Graecitatis citerioris. V. Schol. Vatic. ad Simonid. Epigr. XXIX. (XXXV.) et ad Epigr. adesp. DCLV. Vetustiores et qui illos secuti sunt, non dixerunt nisi ἡ λάρναξ.

οὕτω προσαγορευθῆναι. Διὸ καὶ Λαρνασσὸς πρότερον ἐκαλεῖτο· ὕστερον δὲ κατὰ παραφθορὰν τῶν στοιχείων ἐκλήθη Παρνασσός. *)

V. 711—713. Κωρύκιον δὲ ἄντρον ἐν τῷ Παρνασσῷ, ἀπὸ Κωρυκίας Νύμφης, ἧς καὶ Ἀπόλλωνος Λυκωρεὺς, ἀφ' οὗ Λυκωρεῖς οἱ Δελφοί.

Πλεῖστος δὲ ποταμὸς Δελφῶν, ὃν ὑπὸ τῶν ἐγχωρίων Πλειστὸν φασὶ λέγεσθαι ὀξυτόνως, ὡς καλόν. Διὸ καὶ Πλειστοῖο προπερισπωμένως ἐπὶ τῆς γενικῆς ἀναγινώσκουσιν.

Αἱ οὖν Νύμφαι, φησὶν, αἱ θυγατέρες τοῦ Πλειστοῦ παραθαρσύνοντες αὐτὸν, ὅτε ἐτόξευε τὸν Ἀπόλλωνα, ἴη, ἴη βέλος ἔλεγον, ἐξ οὗ καὶ τὸ ἐφύμνιον ἔλεγον τὸ ἰηπαίων.

V. 714. Χορείαν δὲ ἀοιδὴν τὴν διὰ χοροῦ γινομένην φασί.

V. 719. Τὸ δὲ πορσαίνειν, ἀλλαχοῦ μὲν τὸ ὑπηρετεῖν, ἐνταῦθα δὲ τὸ τιμᾷν σημαίνει.

Οἱ οὖν ἥρωες, φησὶ, κατὰ τῶν θυμάτων ὀμόσαντες βοηθήσειν ἀλλήλοις, ἱερὸν Ὁμονοίας ἱδρύσαντο πορσαίνοντες καὶ τιμῶντες αὐτήν.

V. 722. Ὁ δὲ Σαγγάριος ποταμὸς Φρυγίας. Μυρλεανὸς Σάγγαρον αὐτὸν λέγεσθαί φησιν. Ἑρμογένης δὲ ἐν τῷ περὶ Φρυγίας Σάγγαν τινὰ φησὶ περὶ τὴν Ῥέαν μεταβαλεῖν εἰς τοῦτο τὸ ὕδωρ, καὶ ἀπὸ τούτου οὕτω προσαγορευθῆναι τὸν ποταμόν. Πλησίον δὲ αὐτοῦ ἱερόν ἐστι Δήμητρος, ὥς φησι Ξάνθος.

V. 724. Λύκος δὲ ποταμὸς ὁμώνυμος τῷ βασιλεῖ, ῥέων διὰ τῆς Μαριανδυνῶν χώρας.

---

*) Ad v. 705.

Τὴν δὲ Ἀνθεμοεισίδα λίμνην κληθῆναι φασὶν ἀπὸ Ἀνθεμοεισίας, τῆς Λύκου μὲν θυγατρὸς, Δασκύλου δὲ τοῦ Ταντάλου γυναικός.

Ὅτι δὲ οἱ Μαριανδυνοὶ ἀπὸ Μαριανδυνοῦ τοῦ Κιμμερίου παιδὸς ἐκαλοῦντο, εἴρηται. *)

V. 729. Ἡ μέν τε κρημνοῖσιν. Ὅτι ἡ περὶ Ἡράκλειαν Ἀχερουσία ἄκρα πανταχόθεν ἀπὸ θαλάσσης ἐστὶν ὑψηλή τε καὶ ἀπόκρημνος, καὶ νένευκεν εἰς δυσμὰς εἰς τὸ πρὸς Βιθυνίαν πέλαγος, καὶ ὡς προσπίπτον αὐτῇ τὸ κῦμα σφοδροὺς ἀποτελεῖ ἤχους, καὶ περὶ τῶν ἐπ᾽ ἄκρας αὐτῆς πεφυκυίων **) πλατάνων, καὶ τοῦ ἐν αὐτῇ πεδίου, καὶ ὡς δοκεῖ κατάβασις εἶναι ᾅδου ***), Νύμφις ἐν τῷ περὶ Ἡρακλείας πρῶτον φησὶ, παρ᾽ οὗ Ἀπολλώνιος ἔοικε ταῦτα μεταφέρειν.

V. 731. Λισσάδες δὲ αἱ ὑψηλαὶ καὶ ἀνάντεις.

Τὸ δὲ ἐῤῥίζωται τὸ τεθεμελίωται δηλοῖ.

V. 733. Ἀμφιλαφὴς δέ ἐστιν ἡ ἀνθηρὰ καὶ μεγάλη καὶ περίοπτος.

V. 735. Κατὰ δὲ τὸ πρὸς ἤπειρον καὶ μεσημβρίαν μέρος τῆς Ἀχερουσίας ἄκρας τὸ Ἀχερούσιον ἐστὶ σπήλαιον, καὶ τὸ χάσμα τὸ κατὰ γῆς.

Τὸ δὲ ὕπαιθα τὸ ἔμπροσθεν καὶ ἐκ πλαγίου σημαίνει.

---

*) Ad v. 723.

**) Rectius in Schol. edit. πεφυκυιῶν.

***) Schol. edit. κατάβασις εἰς ᾅδου. Nostrum idem valet. V. Melet. Crit. I. p. 90. et not. ad Sophocl. T. II. p. 345. Homerus Odyss. V. v. 344. sq.

ἐπιμαίεο νόστου
γαίης Φαιήκων —

Ibid. XXIII. v. 68.

ὤλεσε τηλοῦ νόστον Ἀχαιΐδος —

V. 736—739. *Ἐπηρεφὲς* δέ ἐστι τὸ σύσκιον.

Ὅτι δὲ πνεῦμα καὶ ψυχρά τις αὖρα*) ἐκ τοῦ στομίου ἀναφέρεται διὰ τὸ τοῦ**) κύκλῳ περιπεπάχνωται.

Πηγυλὶς δέ ἐστιν ἡ παγετώδης καὶ ψυχρά.

Ἰαίνεται δὲ ἐνταῦθα ἀντὶ τοῦ λύεται καὶ τήκεται.

V. 740. *Βλοσυρὰν* δὲ ἐνταῦθα τὴν λαμπρὰν ἴσως σημαίνει.

V. 743—745. Ὁ δὲ *Ἀχέρων* ἐκ τῆς Ἀχερουσίας ἄκρας διά τινος φάραγγος εἰς τὴν πρὸς ἀνατολὰς θάλασσαν *ἐρεύγεται*, ἤγουν καταῤῥεῖ καὶ ἔξεισι.

V. 746—749. *Σωναύτης* δὲ λέγεται, ὅτι Μεγαρεῖς οἱ κατοικήσαντες Ἡράκλειαν, ὅτε εἰς τὴν ἀποικίαν ἐστέλλοντο, χειμασθέντες κατέφυγον εἰς τὸν Ἀχέροντα. Καὶ σωθέντες οἱ ναῦται Σωναύτην αὐτὸν ἐκάλουν. Εἰσὶ γὰρ οἱ Ἡρακλεῶται Μεγαρέων καὶ Βοιωτῶν ἄποικοι κατοικοῦντες ἐν τῇ Μαριανδυνῶν χώρᾳ. Καὶ χωρὶς δὲ τῆς ἱστορίας λέγοιτ' ἂν ὁ ποταμὸς οὗτος Σωναύτης. Σώζει γὰρ τοὺς ναυτιλλομένους ἀπαθεῖς καὶ ἠρεμαίους ἔχων λιμένας.

Τὸ δὲ *ἐγχρίψαι* τὸ ἐμπεσεῖν σημαίνει.

V. 751. *Εἰσωποὶ* δὲ, ἀντὶ τοῦ ἐσώτεροι.

Διὰ τῆς Ἀχερουσίας οὖν ἄκρας, φησὶν, οἱ Ἀργοναῦται νεωστὶ δηλαδὴ γενόμενοι *ἔκελσαν* καὶ προσέσχον.

V. 752. *Λύκος* δὲ ἐκαλεῖτο ὁ τῶν Μαριανδυνῶν βασιλεὺς, υἱὸς***) ἦν Δασκύλου τοῦ Ταντάλου καὶ

---

*) Ita etiam Schol. edit. Debebat esse αὔρα. V. not. ad Sophocl. T. II. p. 341.

**) Leg. ἀναφέρεται, διὰ τοῦτο —. Τοῦτο corrumpi potuisse in τὸ τοῦ, nemo mirabitur, qui contulerit Bastii Comment. Palaeogr. p. 782. 783.

***) F. ὃς υἱὸς —.

Ἀνθεμοεισίας τῆς Λύκου τοῦ ποταμοῦ. Ὁ Λύκος οὖν, ἅμα διὰ τὸ τιμηθῆναι Πέλοπα, τὸν αὐτοῦ θεῖον, ὑπὸ τῶν Ἑλλήνων, ἅμα δὲ καὶ διὰ τὸν Ἀμύκου καὶ τῶν Βεβρύκων φόνον, ἐχθροὶ γὰρ ἦσαν οἱ Βέβρυκες τοῖς Μαριανδυνοῖς, ἐξένισε τοὺς Ἀργοναύτας.

V. 754. Τὸ δὲ αὐθέντης συλληπτικῶς ἐνταῦθα εἴληπται. Οὐ γὰρ οἱ Ἀργοναῦται, ἀλλ' ὁ Πολυδεύκης μόνον ἀπέκτεινε τὸν Ἄμυκον. Λέγεται δὲ αὐθέντης ὁ δι' ἑαυτοῦ ἐπί τινος φόνον ἱέμενος, οἱονεὶ αὐτοέντης τὶς ὢν καὶ αὐθέντης.

Οὕτω δὲ ἐχθροὶ ἀλλήλοις ἦσαν Βέβρυκές τε καὶ Μαριανδυνοὶ, ὥστε τὸν ἀδελφὸν τοῦ Λύκου Πριόλαον συλληφθέντα ὑπὸ Ἀμύκου ἀναιρεθῆναι. Τινὲς δὲ υἱὸν τοῦ Λύκου, ἀλλ' οὐ*) ἀδελφὸν γεγονέναι φασὶ τὸν Πριόλαον. Ὕστερον δὲ Λύκος προσλαβόμενος Ἡρακλέα σύμμαχον, πρὸς Ἀμαζόνας στρατευόμενον, ἐξ εὐχεροῦς τῶν Βεβρύκων περιεγένετο.

Κλέος δὲ ἡ διαδεδομένη φήμη.

V. 755. Ἀριθμὸς δέ ἐστιν ἡ φιλία.

V. 767. Ὁ δὲ Γλαῦκος παρὰ τοῖς Ἴβηρσιν τιμᾶται, γέρων καλούμενος. Καὶ ἄκρα δέ τις ἐκεῖ Γλαύκου καλεῖται.

V. 777. Ἀσίαν δὲ ἐνταῦθα τὴν Λυδίαν φησίν. Οὕτω γὰρ ἡ Λυδία πρότερον ἐκαλεῖτο. Διὸ καὶ ἡ κιθάρα Ἀσία ἐκλήθη, διὰ τὸ ἐν τῇ Λυδίᾳ πρῶτον εὑρεθῆναι. Καὶ Ὅμηρος·

---

*) Sic pro *οὐκ*. Ita in libris etiam alibi scriptum legas. V. Reiskii Emendat. et Coniectur. in Chariton. ad p. 125. Sed talia librariis imputanda. Velut quod Reiskius e Dione Chrysostomo citat, *οὐ ἀποκτενεῖτε*, ipse in Sophistae editione T. I. p. 612. fatetur, satius esse legi: *οὐκ ἀποκτ.*

Ἀσίῳ ἐν λειμῶνι.

V. 778. Τὸ δὲ πεζὸς ἔβη, ἀκολουθῶν τῷ μύθῳ πεζὸν ἔφη τὸν Ἡρακλέα ἐπὶ τὸν Ἱππολύτης ἀπελθεῖν ζωστῆρα. Ἔνατος *) δὲ οὗτος ἆθλος τῷ Ἡρακλεῖ.

Πολλοὶ δὲ λόγοι περὶ τοῦ τῆς Ἱππολύτης ζωστῆρος. Τινὲς μὲν γὰρ Ἱππολύτης· τινὲς δὲ Δηϊλύκης· Ἴβυκος δὲ ἰδίως ἱστορῶν Οἰολύκης φησὶν εἶναι τῆς Βριαρέω θυγατρός.

V. 783. Τὸν δὲ καταγωνισθέντα Τιτίην ὑπὸ Ἡρακλέους, οἱ μὲν Διὸς παῖδα φασὶν εἶναι, οἱ δὲ ἕνα τῶν Ἰδαίων Δακτύλων, οἱ δὲ τὸν πρεσβύτατον τῶν Μαριανδυνοῦ παίδων. Ὁ δὲ Μαριανδυνὸς Φινέως, ἢ Φρίξου, ἢ Κιμμερίου παῖς λέγεται εἶναι. Ἀπὸ δὲ τοῦ Τιτίου καὶ Τίτιος πόλις ἐκλήθη, ὡς ἀπὸ Πριολάου Πριόλαος. Τιτίου δὲ υἱὸς Βαρίνος κατὰ Νύμφιν καὶ Καλλίστρατον, κατὰ δὲ ἄλλους Πριόλαος.

---

*) Sic etiam Schol. edit., simplici ν. V. Melet. Crit. I. p. 32. et 97. [Quod posteriore loco notavi de τετάρτων Aeliani mutando in τεττάρων, facit ut meminerim haec Strabonis T. VI. p. 227. Ἀπὸ δὲ πέντε ἐτῶν ἕως τετάρτου καὶ εἴκοσι κ. τ. λ. Tam scabrâ verborum iuncturâ Geographum usum esse non puto: itaque etiam hîc corrigam τεττάρων. Ceterum quod in Christodori loco ibidem citato proxime antecedit, ὅσσα περ ἠπείρων δυὰς ἤγαγεν, addatur illis quae de divisione orbis terrarum in duas continentes congessi in Melet. Crit. I. p. 37. et in L. Bos. Ell. p. 531. Item addatur e Scymno Chio v. 76. τὴν τῶν δύ' ἠπείρων τε κατὰ μέρος θέσιν, ad q. l. Hudsonus Annotat. p. 2.: „Europae sc. „et Asiae, nam orbe universo in duas partes a veteribus diviso, „unico Europae vocabulo Africam et Europam comprehendebant. „Hac de re vide Berkelium ad Steph. v. Ἤπειρος." ubi Berkelius cum alia de Africa Europae contribuenda notavit, tum Agathemeri citavit locum inprimis notabilem II, 2. p. 219. Gron. Οἱ μέντοι παλαιοὶ τήν τε Λιβύην καὶ τὴν Εὐρώπην, ὥσπερ μίαν οὖσαν συναμφοτέρας ἐκάλουν ἑνὶ καὶ μόνῳ τῷ τῆς Εὐρώπης ὀνόματι. Haec

Ἐλέγους δέ φησιν τοὺς θρήνους. Τοῖς γὰρ ἐλεγείοις ἐν τοῖς ἐπιταφίοις ἐχρῶντο οἱ παλαιοί. *)

V. 787. Καὶ Φρύγας, οἳ ναίουσι. Γράφεται ἔν τισι Μύγδονας ἀντὶ τοῦ καὶ Φρύγας. Καὶ εἴη ἂν ἤτοι Μύγδονας τοὺς Φρύγας καλῶν ἀπὸ Μύγδονος, τοῦ βασιλέως αὐτῶν, οὕτω κληθέντας, ἢ Μοίριδι **) κατακολουθήσας οὕτω γράφει. Ἐκεῖνος γὰρ Μύγδονας φησὶ καταπολεμῆσαι τὸν Ἡρακλέα. Νύμφις δὲ Φρύγας φησὶν εἶναι τοὺς καταπολεμηθέντας.

Φρύγας οὖν, φησὶ, καὶ Μυσοὺς ὁμοῦ ὁ Ἡρακλῆς ὑπέταξε τῷ ἐμαυτοῦ πατρί.

V. 789. Ῥηβαῖος δὲ ποταμὸς ῥέων διὰ τῆς ἐπικειμένης Φρυγίας ἔξεισι παρὰ τὴν τῶν Τιτάνων πόλιν ἐπὶ δυσμὰς ἕως Ῥήβα ποταμοῦ καὶ τοῦ ἐπικειμένου σκοπέλου κατὰ τὴν ἐκβολὴν τούτου.

V. 790. Ὅτι δὲ τοὺς Παφλαγόνας ὑπέταξε τοῖς περὶ Λύκον ὁ Ἡρακλῆς, ἱστορεῖ Δεινίας ἐν $\bar{\alpha}$ Ἀργολικῶν, καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς ἐν $\bar{\iota}$ Βιθυνιακῶν.

V. 791. Βιλλαῖος δὲ ποταμὸς προπερισπωμένως, ὥς φησιν Ἡρωδιανὸς ἐν τῷ $\bar{\varepsilon}$ τῆς καθόλου. Ἔστι δὲ Παφλαγονίας. Οἱ δὲ, Φρυγίας.

V. 794. Τὸ δὲ δὴν ἀποτεμνόμενοι, ἀντὶ τοῦ ἐπὶ πολὺ ἀφελόμενοι.

V. 795. Ὕπιος δὲ ποταμὸς, μέχρις οὗ προήγαγον τοὺς ὅρους οἱ Βέβρυκες. Ὤικισται παρὰ ***) ποταμῷ

---

spero satisfactura viro docto, cui nuper mirum videbatur quod scripseram, Libyam a veteribus Europae contributam esse.]

*) Ad v. 782.

**) V. Pierson. praefat. ad Moer. p. XIV.

***) Excidit articulus τῷ. V. Bastii Comment. Palaeogr. p. 830.

καὶ πόλις Ὑπία λεγομένη ἐν τῇ Θυνίᾳ. Ὕπιος δὲ λέγεται ἀπὸ τοῦ καταφέρεσθαι ἀπὸ τῶν ὀρῶν.

Ὑαμενὰς δέ φησι τοὺς καθύγρους τόπους.

V. 799. Ἄρτιος δέ ἐστιν ὁ ἱκανός.

Τίειν δὲ τὸ ἀποδοῦναι.

V. 801. Ὀφέλλειν δὲ τὸ εὐεργετεῖν.

V. 804. Ἀντιᾷν δὲ τὸ περιτυχεῖν ἐνταῦθα.

V. 808. Ἀπὸ δὲ τοῦ εἰπεῖν ἱλάξονται ἔδειξεν, ὅτι ἱερὸν ἱδρύσει τοῖς Τυνδαρίδαις ἐπὶ τῆς Ἀχερουσιάδος ἄκρας.

V. 811. Τὸ δὲ ἑψιόωντο τὸ ἔπαιζον καὶ ὡμίλουν σημαίνει.

V. 812. Ἐγκονοῦντες δὲ ἀντὶ τοῦ ἐνεργοῦντες. Ὅθεν καὶ γόνυ, οἱονεὶ κόνυ τι ὄν, παρὰ τὸ δι' αὐτοῦ ἐνεργεῖν.

V. 815. sq. Περὶ δὲ τοῦ Ἴδμονος θανάτου Ἡρόδωρός τε ἐν τοῖς περὶ Ἡρακλείας καὶ Νύμφις ὁμοίως ἐν τοῖς περὶ Ἡρακλείας ἱστορεῖ.

V. 817. Χρεὼ δέ φησι τὸ εἱμαρμένον.

V. 818. Δονακώδης *) δὲ ἡ **) ὑλώδης.

---

*) Idem h. l. quod δονακόεις. Nam adiectiva in ωδης non tantum similitudinis sunt δηλωτικὰ, sed etiam plenitudinis. V. Abresch. ad Cattier. p. 45. sq. Idem tenendum de adiectivis in οειδης desinentibus. Aristophanes Thesmoph. v. 1067. sq. ἀστεροειδέα νῶτα — αἰθέρος ἱερᾶς. de quo loco v. Toup. Emend. T. I. p. 150. [Obiter Lexicis adde adverbium ἀστεροειδῶς, quo usus est Scholiastes Lips. ad Homer. Il. V. v. 734. (Heyn. T. V. p. 713.) it. Eustathius ad Il. p. 599, 36. Rom.] Quanquam rara sunt exempla, ubi de plenitudine dicuntur. Vicissim adiectiva in οεις, fere indicantia plenitudinem, interdum etiam de similitudine usurpantur. V. de hoc usu adiectivi ἀστερόεις Eustath. ad Homer. Il. p. 1050, 15. et 1147, 51. (vbi pro εἴπερ scribendum ἥπερ.)

**) Leg. ἥ. Alibi etiam confusa ἡ et ἥ. V. infra ad III. v. 932. et ad IV. v. 1614. it. Bastii Comment. Palaeogr. p. 843.

V. 819. *Ψυχόμενος* δὲ, ὁ ψυχρῷ ὕδατι βρεχόμενος.

V. 821. *Ἑλειονόμαι* δὲ *Νύμφαι*, αἱ ἐν τοῖς ἕλεσι διατρίβουσαι.

V. 822. *Τίφος* δὲ ὁ ἑλώδης τόπος.

V. 823. *Θρωσμοὺς* δὲ λέγει τὰς ἀναβολὰς *) καὶ ἀναβάσεις καὶ καθόδους.

V. 824. *Ἄφραστον* δὲ, τὸ ἀπροσδόκητον.

V. 828. Τὸ δὲ *ὠρέξατο* τὸ ἔτυψε σημαίνει.

V. 830. Ἐν δὲ τῷ *καπρίον* νοεῖται ἡ κατά.

Αἰγανέα δὲ λέγεται ἢ παρὰ **) ἄγαν ἵεσθαι, ἢ ἀπὸ τῆς ἀγκύλης τῆς ἀπὸ αἰγείου δέρματος γενομένης, ἢ ἀπὸ τοῦ ἐπὶ τὰς αἶγας νεῖσθαι. ***)

V. 831. *Θοῷ* δὲ λέγει τῷ ὀξεῖ.

V. 833. Τὸ δὲ *ψυχοῤῥαγέοντα* τὸ ἀποψύχοντα δηλοῖ.

V. 836. *Κηδείαν* δὲ λέγει τὸ ἐπὶ τῶν νεκρῶν πένθος.

V. 838. Τὸ δὲ *μεγαλωστὶ*, ἀντὶ τοῦ μεγαλοπρεπῶς.

V. 843. *Κότινος* δὲ λέγεται οὐ μόνον ἡ ἀγριελαία καὶ ἡ ἄκαρπος ἐλαία.

Φάλαγξ δὲ τὸ ἐπίμηκες καὶ στρόγγυλον ξύλον. Τοιαῦτα δὲ πολλὰ εἶχον ἐπὶ τῆς νεὼς οἱ ἀριστεῖς διὰ

---

*) Editiores locos illius paludis. Cognato usu ἀναβολὴ dicitur de aggere iuxta fossam. Xenophon Anab. V, 2, 5. καὶ γὰρ τάφρος ἦν περὶ αὐτὸ εὐρεῖα ἀναβεβλημένη, καὶ σκόλοπες ἐπὶ τῆς ἀναβολῆς. ubi v. Schneider. Diodorus Sic. XVII. c. 95. τὴν δ' ἀναβολὴν ἐντὸς τῆς τάφρου σωρεύσας.

**) Add. τό. V. Bastii Comment. Palaeogr. p. 830.

***) Ad v. 829.

νεουλκίαν *). Τούτων οὖν τῶν κοτίνων μίαν κατὰ παραίνεσιν Φινέως λαβόντες οἱ ἥρωες ἔπηξαν ἐπὶ τῷ τάφῳ τοῦ Ἴδμονος. Ἡ δὲ βλαστήσασα ἔτι καὶ νῦν δείκνυται. Περὶ ταύτην δὲ ἔκτισαν οἱ Μεγαρεῖς τὴν Ἡράκλειαν.

V. 844—850. *Εἰ δὲ μὲ καὶ τὸ χρείω.* Εἰ δὲ δεῖ με, φησὶ, καὶ τοῦτο *ἀπηλεγέως*, ἀντὶ τοῦ ἁπλῶς καὶ κατὰ ἀλήθειαν, *γηρύσασθαι*, ἤγουν εἰπεῖν, οὗτος ἐστὶν ὁ Ἴδμων, ὃν ἔχρησεν ἡ Πυθία Μεγαρεῦσι καὶ Βοιωτοῖς ὡς πολιοῦχον ἱλάσκεσθαι, ὅτε τὴν Ἡράκλειαν κτίζειν ἔμελλον. Τοῦτο δὲ λέγει, ἐπειδὴ οἱ Ἡρακλεῶται ἠγνόουν τὸν δηλωθέντα πολιοῦχον ὑπὸ Ἀπόλλωνος διὰ χρησμοῦ, καὶ διὰ τοῦτο ἀντ᾽ ἐκείνου Ἀγαπήστορα τινὰ, ἐγχώριον ἥρωα, ἐτίμων. Τοῦτο δὲ Προμαθίδας φησίν. Ὅτι δὲ Μεγαρεῖς καὶ Βοιωτοὶ τὴν ἐν Πόντῳ Ἡράκλειαν ἔκτισαν, καὶ Ἔφορος ἐν τῇ ε̄ καὶ ἄλλοι ἱστοροῦσι.

Τὸ δὲ *ἐπιῤῥήδην* τὸ διαῤῥήδην καὶ φανερῶς σημαίνει.

Περὶ δὲ τὸν κότινον ἐθέσπισεν ὁ θεὸς κτίσαι τὴν Ἡράκλειαν. Ἐν τῇ ἀγορᾷ δὲ τῶν Ἡρακλεωτῶν ἐστιν ὁ ἀγριέλαιος πεφυτευμένος.

V. 854. Φάτις δὲ, φησὶ, καὶ τὸν Τῖφυν ἐκεῖ ἀποθανεῖν. Τοῦτο δέ φησιν, ὅτι Νύμφις μέν φησιν, ἀπιόντα τὸν Τῖφυν εἰς τοὺς Κόλχους ἀποθανεῖν. Ἡρόδωρος δὲ οὐκ ἀπιόντα, ἀλλ᾽ ἐπανιόντα λέγει.

---

*) Haec forma, per diphthongum ου, in Lexica nondum relata est. Schol. edit. πρὸς τὰς νεολκίας, quod, a Lexicographis receptum, viri docti parum probant. V. Schweighaeus. ad Polyb. T. VI. p. 489. et Wyttenbach. ad Plutarch. Mor. T. I. p. 553.

V. 857. *Εἰσόκε δὲ*, ἀντὶ τοῦ ἐν ὅσῳ τὸν Ἴδμονα ἔθαπτον, ἐν τοσούτῳ καὶ ὁ Τίφυς νοσήσας ἀπέθανε.

V. 858. *Κῆδος δὲ* ἡ λύπη.

V. 859. *Παρασχεδὸν δὲ*, ἀντὶ τοῦ ἐγγὺς, ἢ ἐν τῷ μεταξύ.

V. 862. Τὸ δὲ *κατήμυσαν*, ἀντὶ τοῦ ἐστύγνασαν, ταῖς λύπαις κατεκλίνθησαν, διότι ἀπελπίκεσαν παντάπασι τὴν σωτηρίαν.

V. 866. sq. *Ἴμβρασος δὲ* ποταμὸς Σάμου, ὁ πρότερον Παρθένιος λεγόμενος, ὡς καὶ Καλλίμαχος λέγει·

Ἀντὶ γὰρ ἐκλήθης Ἴμβρασε Παρθενίου *).

Ὅτι δὲ Ποσειδῶνος ἦν υἱὸς καὶ Ἀστυπαλαίας Νύμφης Ἀγκαῖος ὁ ἐκ Σάμου, ὁ τὴν Ἀργὼ κυβερνήσας μετὰ τὸν Τίφυος θάνατον, καὶ Σιμωνίδης ὁ γενεαλόγος ὁμοίως τῷ Ἀπολλωνίῳ λέγει.

Τὸ δὲ *περὶ πρὸ* ἀντὶ τοῦ διαφερόντως κεῖται.

V. 872. *Παρθενία δὲ* ἡ Σάμος ἐκλήθη. Πολλοῖς γὰρ ἐκαλεῖτο ὀνόμασι. Καὶ Μελάνθεμος, καὶ Παρθενία, καὶ Ἀνθεμοῦσα **) ἐκαλεῖτο.

V. 875. Τὸ δὲ *ὅτινα*, ἀντὶ τοῦ ὅντινα. Ὡς γὰρ ὅτου καὶ ὅτῳ λέγομεν, οὕτω καὶ ὅτινα ποιητικῶς.

Τὸ δὲ *ἰάψει*, ἀντὶ τοῦ βλάψει καὶ διαφθερεῖ τὸν πλοῦν.

V. 878. Τὸ δὲ *ὀρέξατο*, ἀντὶ τοῦ ὄρεξεν, ἔλαβε ***), καὶ οἱονεὶ πρόθυμος γέγονε.

---

*) Fragmentum in Bentleianis CCXIII. Vocativus *Ἴμβρασε* pro nominativo *Ἴμβρασος*. Eâdem antiptosi Theocritus XVII. v. 66. *ὄλβιε κῶρε γένοιο.* ubi v. quae notavi p. 219. Hermannique observationes ad Bucol. p. X.

**) Rectius *Ἀνθεμοῦσσα*. V. Barnes. ad Schol. in Homer. Odyss. XII. v. 39.

***) Nemo non corrigeret *ὄρεξιν ἔλαβε*, etiamsi Schol. edit. tace-

V. 888. *Τὸ δὲ κατηφῆσαι*, ἀντὶ τοῦ δυσανασχετῆσαι.

V. 889. *Τὸ δὲ τῷ καὶ ὁμοῦ φθιμένοις*, ἀντὶ τοῦ ὁμοίως τοῖς ἀπολομένοις προορῶμαι τὴν ἀπώλειαν.

V. 895. *Μετετράπετο* ἀντὶ τοῦ μετέπεσεν καὶ μετετράπη ὁ Ἀγκαῖος εἰς εὐπιστίαν *).

Ἰστέον δὲ, ὅτι ὁ Ἡρόδωρος Ἐργῖνον φησὶ κυβερνῆσαι τὴν Ἀργὼ μετὰ τὸν Ἐργίνου **) θάνατον.

V. 901. *Καρπαλίμως δὲ* ***) ταχέως τοῦ Ἀχέροντος ποταμοῦ ἐξήλασαν τὴν ναῦν. Πέντε γὰρ διαπλεύσαντες στάδια διὰ τοῦ ποταμοῦ τοῦ Ἀχέροντος, μεθωρμήσαντο †), ὥς φησιν Ἡρόδωρος ἐν τοῖς Ἀργοναύταις ††).

---

ret. Scholiastae Homerici ad Il. XIV. v. 216. phrasis, *πρὸς μίξιν ὄρεξις*, notanda ob constructionem.

*) *Εὐπιστία* in Lexicis frustra quaeras; poteritque hinc inferri, nisi forte librarius post primam syllabam scribere neglexit *ελ*. Nam Schol. edit. habet *εὐελπισίαν*, quod mutandum in *εὐελπιστίαν*. Similem, ni fallor, medicinam exspectat Charito p. 79, 22. *ποίαν εὐελπίσω ναῦν* —; Scribendum, opinor, *εὐελπιστῶ*. *Εὐελπίζω* enim non magis Graecum videtur, quam *δυσελπίζω*; quod non ausim tueri cum Schweighaeusero ad Polyb. T. VII. p. 290. Conf. Melet. Crit. I. p. 6. et 68. it. Dorvill. ad Chariton. p. 435. et 555. Quod si recte conieci, verbum *εὐελπιστῶ*, auctore Charitone, Lexicis accedat.

**) Leg. *Τίφυος*. V. not. ad Gregor. Cor. p. 418.

***) Particula *δὲ* videtur elisisse sequentem *καί*.

†) Leg. *καθωρμίσαντο*. Duplicis huius vitii exempla frequentissima sunt. Schol. Paris. ad I. v. 586. *ἔκελσαν, ἀντὶ τοῦ ὥρμησαν*. Cum probabile sit, Grammaticum *ἔκελσαν* active intellexisse, subaudito *ναῦν*, scribendum puto *ὥρμισαν*. Homerus Odyss. IX. v. 546. *νῆα μὲν — ἐκέλσαμεν*. Scholiastes: *ἐκέλσαμεν. ὡρμήσαμεν, ἐνεωλκήσαμεν*. Imo *ὡρμίσαμεν*. Quomodo etiam Hesychius T. I. c. 1132. corrigendus. Apollonius Lex. Hom. T. II. p. 470. *Κελσάσῃσι. Ὁρμηθείσαις*. Leg. *Ὁρμισθείσαις*. [Marklandus ad Eurip. Iphig. Taur. v. 1328.: „Pro *ὡρμισμένη* A. *ὡρμημένη*."]

V. 904 — 907. Ὁ δὲ Καλλίχορος ποταμὸς Παφλαγονίας περί που τὴν Ἡράκλειαν *), οὗ μέμνηται καὶ Καλλίμαχος. Ἔξεισι δὲ διὰ στομάτων δισσῶν. Ἐκλήθη δὲ οὕτως, ὅτι ὑποστρέφων ὁ Διόνυσος ἐκ τῶν Ἰνδῶν αὐτόθι ἔστησε χορόν.

Ὅτι δὲ Διόνυσος ἐπολέμησεν Ἰνδοῖς, Διόνυσός **) φησι καὶ Ἀριστόδημος ἐν ᾱ Θηβαϊκῶν ἐπιγραμμάτων***), καὶ Κλείταρχος ἐν ταῖς περὶ Ἀλέξανδρον ἱστορίαις, προσιστορων, ὅτι καὶ Νύσσα ὄρος ἐστὶν ἐκεῖ, καὶ κισσῷ ὅμοιον φυτὸν, ὃ καλεῖται σκινδαψός. Τὰ αὐτὰ δὲ καὶ Χαιμαλέων ἱστόρησεν ἐν τῷ περὶ Ἰλιάδος.

V. 908. Ἀμειδήτους δὲ τὰς φοβερὰς λέγει, ἢ διὰ τὰ μυστήρια τοῦ θεοῦ, ἢ ὅτι αἱ νύκτες φοβεραί εἰσιν. Εὐριπίδης·

Νύκτωρ τὰ πολλὰ σεμνότητ᾽ ἔχει σκότος.

V. 911 — 914. Σθενέλου δὲ τοῦ Ἄκτορος τάφος ἐστὶν ἐν Παφλαγονίᾳ. Οὗτος γὰρ συστρατεύσας Ἡρακλεῖ ἐπ᾽ Ἀμαζόνας τρωθεὶς ἀνεχώρησε, καὶ καθ᾽ ὁδὸν

Add. Duker. ad Thucydid. I. c. 110. — Plutarchus V. Ages. c. XI. in. τὸν στρατὸν καταστήσας εἰς —. Malim μεταστήσας, cum traduxisset.

††) Alibi citatur ἐν τοῖς Ἀργοναυτικοῖς, melius, opinor: ut illud natum sit e compendio a legentibus male expleto. Conf. supra ad I. v. 1289.

*) Schol. ad I. v. 40. περί που τὴν Τρωάδα. ad v. 834. p. 67. περί που τὰ μέσα. ad II. v. 1249. περί που τὸν Καύκασον. Eudocia p. 312. περί που Βοιωτίαν. Sic etiam Eustathius ad Homer. Od. p. 1684, 22. Simile est Scholiastae nostri ad I. v. 1110. πλησίον που τῆς Κυζίκου.

**) Leg. Διονύσιος. Sic passim peccatum in utramque partem. V. Dorvill. ad Chariton. p. 647.

***) Corruptum videtur Schleusnero Cur. Noviss. in Phot. Lex. c. 280., non item Iacobsio Prolegom. ad Commentar. in Anthol. Gr. p. XXXV., cui assentior.

ἀπέθανεν ἐν Παφλαγονίᾳ. Τὰ μὲν οὖν περὶ τοῦ Σθενέλου τάφου παρὰ Προμαθίδα ἔλαβε· τὰ δὲ περὶ τοῦ εἰδώλου αὐτὸς ἔπλασεν.

V. 915. Ἀνεμέτρεον δὲ, ἀντὶ τοῦ παρέπλεον.

V. 918. Στεφάνην δὲ, τὴν ἄκραν.

V. 926. Ἥγνισαν δὲ, ἀντὶ τοῦ ἐκάρπωσαν *) καὶ ἔκαυσαν.

V. 928. sq. Ἰστέον δὲ, ὅτι Ἀπολλώνιος μὲν ἐν τῷ τοῦ Ἀπόλλωνος βωμῷ ἀνατεθεῖσθαι τὴν λύραν φησὶν ὑπὸ Ὀρφέως· Προμαθίδας δὲ ἐπὶ στήλης τινός.

V. 933. Ἐντενὲς δὲ, ἀντὶ τοῦ συντόνως.

V. 934. Διὰ δὲ τοῦ ταρσοῦ τὰς πτέρυγας δηλοῖ.

V. 935. Ῥιπὴν δέ φησι τὴν ὁρμήν.

V. 936. Παρθένιος δὲ ποταμὸς Παφλαγονίας. Ἐκβάλλει δὲ τὸ ῥεῦμα παρὰ πόλιν Σήσαμον. Τὸ δὲ ὕδωρ ἐν πᾶσι παρέρχεται **). Κληθῆναι δέ φησι Καλλισθένης οὕτω διὰ τὸ στάδιον ***) καὶ ἥσυχον τοῦ ῥεύματος.

V. 938. Λητωῒς δὲ ἡ Ἄρτεμις.

V. 941. Ἡ δὲ Σήσαμος πόλις Παφλαγονίας. Κληθῆναι δέ φασιν οὕτως ἀπὸ τοῦ σήσαμον λαβεῖν παρὰ Καρῶν τὸν βουλόμενον κτίσαι τὴν πόλιν. Ὕστερον δὲ μετωνομάσθη Ἄμαστρις ἀπὸ τῆς θυγατρὸς τοῦ ἀδελφοῦ Δαρείου.

Οἱ δὲ Ἐρυθινοὶ λόφοι τινὲς εἰσὶ περὶ τὴν Παφλαγονίαν, καλούμενοι οὕτως ἀπὸ τοῦ χρώματος· εἰσὶ γὰρ ἐρυθροί. Καὶ Ὅμηρος μέμνηται·

---

*) Significatione vix differt ab eo quod sequitur, *ἔκαυσαν*. V. Bielii Thesaur. T. I. p. 138. et T. II. p. 112.

**) F. vertendum: *omni re excellit*.

***) I. q. *στάσιμον* Scholiastae editi.

καὶ ὑψηλοὺς Ἐρυθινούς.

V. 942. *Ὑλήεντα* δὲ λέγει τὸν *Κύτωραν*, ὅτι πύξος πολὺς *) γίνεται ἐν αὐτῷ.

Καὶ *Κρωβίαλος* δὲ Παφλαγονικὴ πόλις, ἧς μέμνηται Στράβων ἐν Γεωγραφουμένοις. Παρ' Ὁμήρῳ δὲ μεταγράφει, ἀντὶ τοῦ Κρώμναν τ' Αἰγίαλόν τε, Κρώμναν Κρωβίαλόν τε.

V. 945. *Αἰγιαλὸν* δέ φησι τὴν μετὰ τὴν Κάραμβιν παράλιον. Κάμψαντι γὰρ τὴν Κάραμβιν ἐστὶν αἰγιαλὸς μέχρι Σινώπης μυρίων σταδίων.

V. 946. *Ἀσσυρίαν* δὲ λέγει τὴν Συρίαν καὶ Καππαδοκίαν. Τινὲς δὲ αὐτοὺς Λευκοσύρους ἐκάλουν, πρὸς ἀντιδιαστολὴν ἴσως τῶν ἑτέρων Σύρων τῶν ἐν τῇ Φοινίκῃ, ὥσπερ καὶ Ἄντρων ἐν τῷ περὶ Πόντου φησίν.

V. 953. Ὁ δὲ *Ἅλυς* μεταξὺ Συρίας καὶ Παφλαγονίας ῥέων ἐκδίδωσιν εἰς τὸν Εὔξεινον Πόντον.

Ἡ δὲ Σινώπη πόλις ἐστὶν ἐν τῷ Εὐξείνῳ Πόντῳ, κληθεῖσα οὕτως ἀπὸ *Σινώπης*, τῆς *Ἀσώπου* **) *θυγατρὸς*, ἣν ἁρπάσας Ἀπόλλων κατὰ Φιλοστέφανον ἀπὸ Βοιωτίας ἐκόμισεν εἰς τὸν Πόντον, καὶ μιγεὶς αὐτῇ ἔτεκεν υἱὸν Σύρον, ἀφ' οὗ Σύροι ἐκλήθησαν. Κατὰ δὲ Ἀπολλώνιον καὶ ἄλλους τὴν παρθενίαν μέχρι τέλους ἐφύλαξε, καὶ τόν τε Ἅλυν ποταμὸν ἐπλάνησε, καὶ τὸν Δία καὶ Ἀπόλλωνα ἠπάτησε. Κατὰ μὲν οὖν Εὔμηλον καὶ Ἀριστοτέλην Ἀσωποῦ θυγάτηρ ἐστί· κατὰ δέ τινας Ἄρεος καὶ Παρνάσσης. Ἐν δὲ τοῖς Ὀρφικοῖς

---

*) Masculino genere etiam Schol. edit. Vulgo dicitur feminino. Theophrastus Hist. Plant. III. c. 15. p. 223. Bod. ἡ δὲ πύξος μεγέθει μὲν οὐ μεγάλη· — καὶ γὰρ τὰ *Κύτερα* τοιοῦτον, οὗ ἡ πλείστη γίνεται. Genuina Bas. scriptura, *Κύτωρα*, non debebat in marginem reiici.

**) Rectius paulo post *Ἀσωποῦ*.

Ἄρεος καὶ Αἰγίνης γενεαλογεῖται. Οὕτω μὲν οὖν οἱ μῦθοι τὸ τῆς Σινώπης πόλεως ἔτυμον ἀποδιδόναι πειρῶνται. Ἄντρων δὲ ὁ Τήϊος μίαν τῶν Ἀμαζόνων φησὶ φυγοῦσαν εἰς τὸν Πόντον γήμασθαι τῷ τῶν τόπων ἐκείνων βασιλεῖ, πίνουσαν δὲ οἶνον ὀνομασθῆναι Σανάπην. Μεταφραζόμενον δὲ τοῦτο τὸ ὄνομα σημαίνει τὴν πολλὰ πίνουσαν. Πανάπαι γὰρ λέγονται παρὰ Θραξὶν οἱ μέθυσοι· ᾗ διαλέκτῳ καὶ Ἀμαζόνες χρῶνται. Ἀπ' ἐκείνης δὲ τὴν πόλιν κληθῆναι Σινώπην. Ἑκαταῖος δέ φησιν τὴν μέθυσον ἐκείνην Ἀμαζόνα ἀπὸ πόλεως*) ἀφικέσθαι παρ' Αὐτίδαν. **)

V. 955 — 957. Οἱ δὲ περὶ Αὐτόλυκον συνεμάχουν μὲν Ἡρακλεῖ, ὅτε ἐπὶ τὴν Ἱππολύτης ζώνην ἐστρατεύσατο· ἔπειτα εἴθε ***) πλανηθέντες, εἴτε καὶ ἑκουσίως καταλειφθέντες, ἵνα τοὺς περὶ Σινώπην τόπους καταπολεμήσωσιν, κατῴκησαν ἐκεῖ ἐν Σινώπῃ.

V. 961. Τὸ δὲ παρεπιπνείειν, τὸ ἐπ' ὀλίγον πνεῖν σημαίνει.

Τὸ δὲ ἆσσον σημαίνει τὸ τῆς νεὼς ἐγγὺς ἤδη πνεῖν.

Ἀργέστην δὲ ἢ τὸν ζέφυρον λέγει, ἢ τὸν ἀπὸ θερινῆς δύσεως πνέοντα.

V. 963. Ἅλυς δὲ καὶ Ἶρις ποταμοὶ τῆς Λευκοσυρίας.

Κατὰ δὲ τὴν Θεμισκύρειον ἄκραν καὶ ἡ καλουμένη Ἡράκλειος ἄκρα ἐστὶν, ἧς ἄλλοι τε καὶ Ἀρτεμίδωρος μέμνηται.

---

*) Post v. πόλεως in Cod. lacuna fere dimidii versus. Ante ἀφικέσθαι Apographum tale punctum habet, quo cola distinguimus.

**) Ad v. 946 — 954.

***) Leg. εἴτε.

V. 964. *Πρόχυσιν δὲ Συρίας*, τουτέστιν Λευκοσυρίας, ἔφη τὴν ἐπικειμένην γῆν αὐτῆς πρὸς θάλασσαν, περὶ ἧς καὶ ἐν *) ἐπάνω εἶπε·

Λεῖπον Ἅλυν ποταμὸν, λεῖπον ἁλιμυρέα χῶραν.

Τοῦτο δὲ λέγει, ὡς ποταμοχώστου τῆς γῆς οὔσης, διὰ τὸ μεγάλους εἰς αὐτὴν καταφέρεσθαι ποταμοὺς, Ἅλυν τε καὶ Ἶριν. Ἔχει δὲ καὶ τῇ ἀληθείᾳ οὕτως. Διὸ καὶ Ἀπολλωνίδης πρὸς ἄρκτον τε ἐγκεῖσθαι τὴν χώραν λέγει, καὶ ποταμόχωστον εἶναι. Τοὺς γὰρ προειρημένους ποταμοὺς, μάλιστα δὲ τὸν Ἶριν κατὰ διάφορα μέρη τῆς χώρας ῥέοντα ἄλλοτε κατ᾽ ἄλλους τόπους ἐκδιδόναι, καὶ ταύτῃ μακροῖς προσχώμασιν ἐπεκτείνειν αὐτὴν εἰς μέσον τὸ πέλαγος. Βίαιον γὰρ αὐτῷ καὶ πολὺ τὸ ῥεῦμα. Ἀπὸ τῆς Ἀρμενίας διὰ χειμερίου καὶ μακρᾶς χώρας φερόμενος παρασύρει τὴν γῆν· καὶ ἔπειτα τοῦ κύματος παλισσύτου ἐλαύνοντος συμβαίνει κατὰ πολὺ προσχοῦσθαι τὴν χώραν, καὶ τὴν θάλασσαν γίνεσθαι τεναγώδη.

V. 965. *Λιμενίοχον δὲ ἄκραν* τὸ Θεμισκύρειον ἄκρον φησὶ, οὗ καὶ ἀνωτέρω μέμνηται. Εἰκότως δὲ τοῦτο εἶπεν, ἐπειδὴ ἀπὸ Σινώπης μέχρι Τραπεζοῦντος τῆς Κολχικῆς ἀπὸ τρίων σταδίων λιμὴν ἄλλος οὐχ ὑπόκειται, πλὴν τοῦ κατὰ τὸ Ἡράκλειον, εἴτε καὶ Θεμισκύρειον ἄκρον.

Ἔφορος δέ φησιν ἐν τῷ θ̄, τὰς Ἀμάζονας ὑβριζομένας ὑπὸ τῶν ἀνδρῶν ἐξελθόντας ἐπί τινα πόλεμον τοὺς μὲν καταλειφθέντας ἀναιρεῖν, τοὺς δὲ ἀπὸ τῆς ξένης προσιόντας μὴ δέχεσθαι. Διονύσιος δέ φησιν ἐν τῷ β̄, ἐν Λιβύῃ αὐτὰς ᾠκηκέναι· ῥώμῃ δὲ διενεγκούσας καὶ τρεψαμένας τοὺς ὁμόρους, ἐλθεῖν καὶ εἰς τὴν Εὐρώπην,

*) Add. τοῖς. Conf. Bast. ad Gregor. Cor. p. 459.

καὶ πόλεις πολλὰς αὐτόθι κτίσαι· ὑποτάξαι τε αὐταῖς τὸ Ἀτλαντικὸν ἔθνος, ὃ ἦν τῶν ἐν Λιβύῃ δυνατώτατον. Ζηνόθεμις δέ φησιν, ἐν Αἰθιοπίᾳ αὐτὰς ᾠκηκέναι, καὶ διερχομένας ἐπὶ τὸ ἀντιπέραν συγγίνεσθαι τοῖς ἐν αὐτόθι *) ἀνδράσι· καὶ εἰ μὲν θῆλυ ἀποκυήσειαν, τῇ αὐτῇ ἀγωγῇ τρέφειν, εἰ δὲ ἄῤῥεν, τοῖς ἀνδράσι διδόναι.

Τὸ δὲ λιμενιόχον, εἰ μὲν προπαροξύνοιτο, τὸ συνεχόμενον δηλοῖ ὑπὸ τοῦ λιμένος, παθητικῶς· εἰ δὲ παροξύνοιτο, τὸ συνέχον τὸν λιμένα, ἐνεργητικῶς.

V. 970. sq. Τοὺς δὲ Ἀργοναύτας ἐπὶ τὰς ἐκβολὰς τοῦ Θερμώδοντος, ἐν τῷ κόλπῳ τῆς, ἤγουν τῆς Θεμισκυρείου ἄκρας, κέλσαι φησὶν, ἤγουν προσχεῖν.

V. 972—975. Ὅτι δὲ ὁ Θερμώδων τῆς Λευκοσυρίας ἐστὶν, ἣν Ἀμαζόνες πρότερον ᾤκουν, οὐκ ἀγνοεῖται. Τοῦτον οὖν φησιν Ἀπολλώνιος ἑκατὸν δεούσας τεσσάρων ῥύσεις κατέχειν ἀπὸ μιᾶς πηγῆς κατ' ἄλλα καὶ ἄλλα μέρη τῆς χώρας ῥεούσας. Ἄλλοι δέ φασιν, ἑτέρους πόρους δέχεσθαι εἰς αὐτόν. Ἐκαλεῖτο δὲ πρότερον Ἀράξης ὁμωνύμως τῷ ἐκ τῆς Ἀρμενίας ῥέοντι.

Τὸ δὲ πεμπάζειν τὸ ψηφίζειν καὶ μετρεῖν σημαίνει.

Ἐν δὲ τῷ παρὲξ ἕθεν ἡ παρὰ περισσή. Ὁ δὲ νοῦς· οὐδεὶς ἄλλος ὅμοιος τούτῳ ποταμὸς ἐξ ἕθεν, ἤγουν ἀφ' ἑαυτοῦ, ἄνδιχα καὶ χωρὶς βάλλει τοσαῦτα ῥεῖθρα.

V. 978. Τὸ δὲ αἰπυτέρην, ἀντὶ τοῦ ὑψηλοτέραν. Ἀπὸ ὑψηλῶν οὖν, φησὶν, ὀρέων, ἔνθα εἰσὶν αἱ πηγαὶ αὐτοῦ, φερόμενος ὁ Θερμώδων, ἀντικρὺ καὶ

---

*) *Αὐτόθι* iunctum praepositioni *ἐν* nusquam nisi h. l. vidi: siquidem a Scholiasta sic scriptum est.

κατεναντίον ἐπὶ ὑψηλοτέραν γῆν κίδναται καὶ ῥεῖ· διὸ καὶ πολλὰς ἀπορεύσεις*) ἔχει καὶ ἀποστροφὰς διὰ τὸ τὸ ὕδωρ ἐκτρέπεσθαι.

V. 981. sq. Χθαμαλῆς δὲ, ἀντὶ τοῦ ταπεινῆς. Ἀεὶ οὖν ἄλλοσε ἄλλη τῶν ῥύσεων, ὅπου ἂν τύχῃ τῆς χώρας εἱλίσσεται καὶ φέρεται χθαμαλῆς, ἤγουν ταπεινῆς, ἀντὶ τοῦ ἐπὶ χθαμαλοῦς**) καὶ πεδινῆς γῆς. Διὰ γοῦν τὸ ἐπὶ πεδινῆς γῆς φέρεσθαι τὸν ποταμὸν, τοὺς μὲν τῶν πόρων ἤγουν τῶν ῥύσεων πολὺ διεστώσας ἔχει, τοὺς δὲ ἐγγύς.

V. 983. Ἐμφαδὸν δὲ, ἀντὶ τοῦ φανερῶς. Οἱ μὲν οὖν ἄλλοι πόροι, φησὶν, ἀνώνυμοι αὐτὸ φανερῶς μετ' ὀλίγον εἰς τὸν Εὔξεινον Πόντον ἐκβάλλει.

V. 984. Κυρτὴν δὲ τὴν ἄκραν ἔφη διὰ τὸ ἐπικαμπῆ εἶναι.

V. 987. Ἐπητέες δὲ αἱ συγγνωμονικαί. Αἱ γοῦν Ἀμαζόνες, φησὶν, οὐ συγγνωμονικαὶ καὶ προμηθεῖς, ἀλλὰ θρασεῖς καὶ ἀπερίσκεπτοι.

V. 988. Δοιάντιον δὲ πεδίον Θερμώδοντος, ἀπὸ Δοίαντος οὕτω κληθέν.

V. 990. Ἁρμονίας, Νύμφης Ναΐδος, καὶ Ἄρεος τὰς Ἀμαζόνας εἶναι φησὶν ἑπόμενος Φερεκύδῃ.

V. 992. Ἀλκμώνιον δὲ ἄλσος, Εἰρηναῖος μὲν οὐδαμοῦ ἐδήλωσεν εἶναι· Φερεκύδης δὲ ἐν Θερμώδοντι φησὶν εἶναι.

---

*) Hoc substantivo Lexica carent. Schol. edit. habet ἀποῤῥύσεις, sensu nihil diverso. Diodorus Sic. I. c. 41. παραπλησίας δὲ τὰς ῥεύσεις ποιούμενοι. Wesselingius: „Nihil admodum intererit, „hoccine probes an Theophylacti ῥύσεις." Praeterea Lexicis accedat verbum ἀπορευματίζω, quo utitur Diocles in Epistola ad Antigonum regem, quam servavit Paulus Aegineta, p. 28; 28. Bas.

**) Χθαμαλὴς nusquam mihi nisi hoc loco occurrit. Sed in usu esse potuit, perinde ut dicitur ὁμαλὸς et ὁμαλὴς, ἀνώμαλος et ἀνωμαλής.

V. 999. sq. *Λυκαστίας* δὲ τὰς Ἀμαζόνας λέγει ἀπὸ Λυκαστίου χωρίου ἐν τῇ Λευκοσυρίᾳ. Ὥσπερ *Χαδησίας* ὁ Ἑκαταῖος καλεῖ ἀπὸ τοῦ Χαδησίου.

Χωρὶς οὖν τὰς Θεμισκυρείας φησὶν καὶ χωρὶς τὰς Λυκαστίας ὁπλίζεσθαι κατὰ τῶν ἡρώων διὰ τὸ κεχωρισμένως *) οἰκεῖν. Ἔφθασαν δὲ ὅμως προανενεχθέντες **) οἱ ἥρωες.

V. 1005. *Στυφελὴν* δὲ λέγει τὴν τραχεῖαν καὶ σκληράν. Οὕτω δὲ καὶ Κλειτόριοι λέγουσιν, ὥς φησι Ζηνόδοτος ἐν ταῖς Γλώσσαις. Παρὰ δὲ Κυρηναίοις τὴν χέρσον σημαίνει. Τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ χαλεποῦ, ὡς τὸ, ἀπὸ στυφελοῦ Ἀφροδίτης.

V. 1006. *Ὦνος* δέ ἐστι τὸ τῆς τροφῆς τίμημα.

V. 1008. *Ὀτλεύειν* δὲ τὸ ὑπομένειν.

Κελαινὴν δὲ λιγνὺν τὴν αἰθάλην φησί.

V. 1010—1014. *Τιβαρηνοὶ* δὲ ἔθνος Σκυθικὸν δικαιότατον. Οὐδέποτε γοῦν μάχην τινὶ συνέβαλον, εἰ μὴ πρότερον καταγγείλειαν καὶ ἡμέραν καὶ τόπον καὶ ὥραν τῆς μάχης. Ἐπειδὰν δὲ τέκωσιν αἱ γυναῖκες αὐτῶν, τημελοῦσι τοὺς ἄνδρας ὥσπερ λεχούς ***).

V. 1015. *Ἱερὸν* δέ ἐστιν ὄνομα ὄρους. Καθήκει δὲ τὸ ὄρος εἰς τὸν Εὔξεινον Πόντον. Μέμνηται αὐτοῦ Κτησίας ἐν $\bar{α}$ Περιόδων, καὶ Σουΐδας ἐν $\bar{β}$ περὶ τοὺς

---

*) Adde Lexicis cum simili adverbio *κεχυμένως*, quo utitur Alciphron III. Ep. 65.

**) Etiam in edit. Schol. *ἀνενεχθέντες*. Tamen corrigendum videtur, hîc *προαναχθέντες*, illic *ἀναχθέντες*. Ἀνάγεσθαι enim de hac re dicitur: non item, quod sciam, *ἀναφέρεσθαι*.

***) Orpheus Hymn. II. (I.) v. 10. *μούνην γὰρ σὲ καλοῦσι λεχοί*. Aristophanes Nub. v. 559. *τὰς εἰκούς*. Quod citans Schneiderus in Lex. v. *εἰκώ* nollem scripsisset *περισπωμένως εἰκοῦς*. Eodem accentus vitio Halensis editio Hesiodi Theog. v. 274. habet *Γοργοῦς*.

λεγομένους Μάκρωνας· ἀκριβέστερον δὲ Ἀγάθων ἐν τῷ τοῦ Πόντου περίπλῳ, ὅς καὶ ἀπέχειν αὐτό φησι σταδίους ἑκατὸν τῆς Τραπεζοῦντος. Εἰρηναῖος δὲ Μνησίμαχον φησὶ μεμνῆσθαι τοῦ ὄρους ἐν τῷ ᾱ περὶ Σκυθῶν ἀγνοῶν. Μνησίμαχος μὲν μέμνηται τῆς Σκυθίας ὡς κειμένης ἐν τῇ Εὐρώπῃ· ὁ δὲ Ἀπολλώνιος καὶ οἱ προειρημένοι περὶ τῆς Ἀσίας διαλέγονται. Ἔστι καὶ ἕτερον Ἱερὸν ὄρος Θράκης.

V. 1026. Ξυνὴν δὲ φιλότητα φησὶν, ἢ διὰ τὸ ταῖς ἀλλήλων γυναιξὶ συγγίνεσθαι αὐτοὺς φανερῶς, ἢ διὰ τὸ ἕκαστον τῇ ἑαυτοῦ γυναικὶ συνέρχεσθαι φανερῶς.

V. 1027 — 1030. Περὶ δὲ τῶν Μοσυνοίκων Ἔφορος καὶ Νυμφόδωρος φασὶν, ὅτι τὸν βασιλέα αὐτῶν, ἐάν τι ἄδικον κρίνῃ, συγκλείουσι *) καὶ λιμαγχονοῦσι **).

V. 1032. Τὴν δὲ Ἀρητιάδα νῆσον οἰκισθῆναι φασὶν ὑπὸ Ὀτρήρας τῆς Ἄρεως θυγατρός. Περὶ δὲ τῶν ἐν αὐτῇ ὀρνίθων τῶν καλουμένων Στυμφαλίδων, ὡς εἰσὶ σιδηρόπτεροι ***), μέμνηται Τιμάγητος.

V. 1054 — 1058. Πλωΐδας δὲ τὰς Στυμφαλίδας ὀνομάζει, διὰ τὸ νήχεσθαι ἐν τῇ λίμνῃ τῆς Ἀρκαδίας. Οὕτω δὲ αὐτὰς καὶ Σέλευκος ἐν Συμμίκτοις ὀνομάζει, καὶ Χάρης ὁ τοῦ Ἀπολλωνίου γνώριμος. Ἰδίως δὲ ὁ Μνασέας Στυμφίλου τινὸς ἥρωος καὶ Ὄρνιθος γυναικὸς

---

*) Leg. *ἐγκλείουσι*. Rursus in Longo III. c. 14. (p. 84. meae edit.) *ἐγκατακλινεὶς* mutandum in *συγκατακλινεὶς*. Mox sequitur *συγκατακλιθῆναι* et *συγκατακλινεὶς*.

**) V. Hemsterhus. ad Aristophan. Plut. p. 87. Altera forma huius verbi a Lexicographis commemorata, *λιμαγχονᾷν*, ubi occurrat, ignoro.

***) Lexica: *Σιδηρόπτερος*, *alas ferreas habens*. Imo *pennas*. *Πτερὸν* enim hîc differt a *πτέρυξ*. Conf. Sylburg. ad Pausan. p. 191. Kuhn.

θυγατέρας εἶναι φησὶ τὰς Στυμφαλίδας, ἃς ἀνελεῖν τὸν Ἡρακλέα, διότι οὐ προσεδέξαντο αὐτὸν, καὶ ἐξένισαν τοὺς Μολίονας. Φερεκύδης δὲ οὐ γυναῖκας, ἀλλ' ὄρνιθας φησὶν εἶναι τὰς Στυμφαλίδας, ἃς ἀναιρεθῆναι ὑπὸ Ἡρακλέους πλαταγῇ χρησαμένου ὀργάνῳ ψοφοποιῷ πρὸς τὸ κτυπεῖν καὶ ἐκφοβεῖν αὐτάς. Τὰ αὐτὰ δὲ καὶ Ἑλλάνικος φησίν. Οἱ μὲν οὖν φασιν, Ἡφαιστότευκτον οὖσαν τὴν πλατάγην ὑπ' Ἀθηνᾶς Ἡρακλεῖ δοθῆναι· Ἑλλάνικος δέ φησι, αὐτὸν τὸν Ἡρακλέα ἑαυτῷ κατασκευάσαι.

Ὁ μὲν οὖν Ἡρωδιανὸς τὴν πλαταγὴν ὀξύνεσθαι φησὶν ἐν τῇ καθόλου· βέλτιον δὲ ἴσως, τὴν μὲν πλαταγὴν, τὸν ἦχον, ὀξύνειν, τὴν δὲ πλατάγην, τὸ κρόταλον, παροξύνειν.

Στύμφηλος δὲ υἱὸς Λυκάονος, καὶ Στύμφηλος ἀπ' αὐτοῦ πόλις ἐν Ἀρκαδίᾳ. Ὅμηρος·

Οἳ Στύμφηλόν τ' εἶχον.

Καὶ Στυμφήλη λίμνη ἐν Ἀρκαδίᾳ. Καὶ Στυμφαλίδες αἱ ἐν αὐτῇ ὄρνιθες. Τὴν δὲ Σταμφήλην λίμνην ἀναδοθῆναι φασὶν ἐκ βαράθρου τινὸς, καὶ αὖτις ξηρανθῆναι.

Ἀτυζηλὸν δὲ λέγεται τὸ ἐκπληκτικόν. Ὀξύνεται δὲ, ὡς Ἡρωδιανὸς ἐν τῇ καθόλου φησίν.

V. 1061. Ἀερσιλόφους δὲ τρυφαλείας, ὧν οἱ λόφοι ἐπηρμένοι τε καὶ μετέωροι.

V. 1062. Ἀμοιβαδὶς δὲ, ἀντὶ τοῦ ἀμοιβαίως.

V. 1066. Ἐπήορα δὲ λέγεται τὰ ἐπηρμένα.

V. 1069. Ἐπίῤῥοθος δὲ βουλὴ, ἡ ὠφέλιμος.

V. 1074. Κεράμῳ δέ φησιν ἐρέφειν τὸ ταῖς κεραμίσιν ἐπιστεγάζειν.

V. 1076. sq. Ὥσπερ οὖν ἄλλος ἄλλῳ κεράμῳ ἐνθι-

σταται καὶ συνήρμοσται ἀσφαλῶς, οὕτως οὗτοι σ ύ ν α ρ τ ύ ν ά ν τ ε ς καὶ συναρμόσαντες τ α ῖ ς ἀ σ π ί σ ι ν ἔ ρ ε ψ α ν.

Ἐ π η μ ο ι β ο ὶ δὲ, οὐχ οἱ ἀμείβοντες, ἀλλ᾽ οἱ ἐπηλλαγμένοι τὴν σύνθεσιν.

V. 1086. Ἐ ν ν α έ τ α ι δὲ, οἱ ἐνναιέται κατὰ ἀφαίρεσιν τοῦ ῑ. Κλεινίας δὲ καὶ τὸν ναὸν ἔνναιον φησὶ ποτὲ λέγεσθαι, διὰ τὸ ἐνναίειν ἤτοι ἐνοικεῖν ἐν αὐτῷ τοὺς θεούς.

Τ έ γ ο ς δὲ ἡ ὀροφὴ, οὗ γενικὴ πληθυντικὴ τεγέων.

V. 1087. Τὸ δὲ ἧ ν τ α ι ἀ κ ὴ ν, ἀντὶ τοῦ κάθηνται σιωπῶντες, μηδὲν τοῦ χειμῶνος φροντίζοντες, διὰ τὸ ἐξηρτημένους *) αὐτοὺς εἶναι.

V. 1088. Μ έ λ α θ ρ ο ν δὲ οἱ μὲν φασιν τὴν οἰκίαν· Κράτης δὲ ἐξελέξατο **) τὸν δοκόν ***). Ὡς καὶ παρὰ τῷ ποιητῇ·

---

*) Leg. ἐξηρτυμένους. De confusione horum verborum v. Bergler. ad Alciphron. I. ep. 1. p. 9. et Wesseling. ad Diodor. Sic. III. c. 36. et in Addend. ad T. II. p. 507. it. ad Herodot. VII. c. 147. Possis etiam quod palaeographica ratio vel maxime commendet, ἐξηρτισμένους: ad eundemque modum, nisi error est typothetae, Wesselingio aliquando placuerat corrigere posteriorem Diodori locum in not. ad T. II. p. 564, 24.: sed illud usu loquendi aliquanto magis probatur. Conf. Wesseling. ad Diodor. Sic. XIV. c. 19. et Toup. Emendat. T. III. p. 65.

**) Leg. ἐξεδέξατο. Infra ad IV. v. 860. Εἰ δὲ τὸ πέτρας αἰτιατικὴν πληθυντικὴν ἐκδέξασθαι θέλεις, κ. τ. λ. Schol. Venet. ad Homer. Il. VIII. v. 163. εἰ δὲ τὸ ἄντα ἐπίῤῥημα ἐκδέχονται. ad XIII. v. 450. Ζηνόδοτος — ἐκδεχόμενος βασιλέα καὶ φύλακα· καὶ Ἀρίσταρχος δὲ οὕτως ἐκδεχόμενος τὸν φύλακα. Schol. Harlei. ad Odyss. IV. v. 221. (p. 31. Lips.) ὁ Ἀσκαλωνίτης περισπᾷ μετοχὴν ἀκούων. Ἀρίσταρχος δὲ προπαροξύνει ὄνομα ἐκδεχόμενος. Scholiastes editus nostro loco habet simplex ἐδέξατο, quod idem est. Schol. Harlei. ad Homer. Odyss. IV. v. 260. (p. 31. sq. Lips.) ἄμεινον τὸν δὴ χρονικῶς δέχεσθαι κατὰ Ἀρίσταρχον. Strabo T.

αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον.

V. 1089. sq. *Πυκνότερα δέ φησι χαλάζης ἀφιέναι**)

V. p. 420. *οὔτε γὰρ τοὺς Κητείους ἴσμεν, οὕςτινας δέξασθαι δεῖ, οὔτε τὸ γυναίων εἵνεκα δώρων.* Paulo aliter p. 422. *ἀφ' οὗ δέχονταί τινες εἰπεῖν Αἰσχύλον κ. τ. λ.* Eodem sensu usurpatur *ἐκλαμβάνειν.* Schol. noster ad IV. v. 989. *Βέλτιον δὲ ἐκλαμβάνειν τὸν φερέσβιον.* ad IV. v. 1309. *Τινὲς δὲ ἡρῶσσαι ἐξέβαλον ἀντὶ τοῦ πρωϊναί.* Corrig. *ἐξέλαβον.* V. not. ad Gregor. Cor. p. 263. De talibus Lexicographi nostri plane tacent.

***) Schol. edit. *τὴν δοκόν. τὸν* ferri potest. Thomas Mag. p. 246. *Τὸ Δοκὸς καὶ ἐπὶ θηλυκοῦ καὶ ἐπὶ ἀρσενικοῦ εὕρηται.* temere, ut opinor, contradicentibus viris doctis ad Lucian. T. II. p. 105. Diogenes Laërt. V. sect. 81. *Περὶ τοῦ δοκοῦ, ά.* Interpres: *De trabe, unum.* Rossius Commentat. Laërt. p. 88. sq.: „*Δοκος*—, „de quo Laërtius, est ignis in speciem trabis emicans, a qua nomen „accipit, pertinens ad genus *των μετεωρων*, seu *των μεταρσιων.*" Hesychius T. I. c. 1018. *Δοκοί. εἶδος ἀστέρων.* [*Ἀστέρες* h. l. non *stellae* quae proprie dicuntur, sed *meteora ignea*, qua significatione v. *ἀστὴρ* saepius legitur. V. Apollon. Rhod. III. v. 1377. ibique Schol. Ruhnken. Epist. Crit. p. 24. et Siebelis ad Philochori Fragmenta p. 80.] Citat ibi Albertus e Sylburgii Saracenicis p. 73. *ἐφάνη κατὰ μεσημβρίαν* [Homer. Hymn. in Apoll. v. 441. *μέσῳ ἤματι*, quod perperam interpretatur Ruhnken. l. c., recte Ilgenius p. 338.] *ἀστὴρ, ὁ λεγόμενος δοκίτης.* et p. 101. *καὶ ἐφάνη σημεῖον ἐν τῷ οὐρανῷ κατὰ μεσημβρίαν, ὁ λεγόμενος δοκίτης.* unde in Lexica infer *δοκίτης.* [Item deminutivum *δοκίον* e Diodoro Sic. XVIII. c. 42. ubi *ταῖς σειραῖς*, i. e. *loris*, mire vertitur *catenis.*] Obiter moneo, in Dionysii Hal. Antiquit. Rom. III. c. 68. e libro Vaticano scribendum esse: *τέως γὰρ ἑστῶτες ἐθεώρουν ἐπ' ἰκρίοις, δοκῶν ξυλίναις σκηναῖς ἐπικειμένων.*

*) Leg. *ἐφιέναι.* Etiam in Euripidis Hippol. v. 1334. Br. malim *ἀρὰς ἐφῆκας παιδί.* Sed in Dionysii Halic. Antiquit. Rom. IV. c. 50. et 57. ambigo tuear vulgatam scripturam an sequar librum Vaticanum. Ceterum nihil frequentius confusione verborum cum his praepositionibus compositorum. Schol. Paris. supra ad I. v. 623. *ἀπωνομάσθη ἀπὸ Συκίνου.* Hoc non vereor ne quis opponat iis quae monui Melet. Crit. I. p. 93.: nam corrigendum esse *ἐπωνομάσθη*, vix erit, opinor, qui negare sustineat. Diodorus Sic. Eclog. T. II. p. 495, 83. *τῆς ὁράσεως αὐτὸν ἐπεστέρησε. Ἐπιστερεῖν* non magis Graecum est quam *ἀπονομάζειν.* Igitur scribendum *ἀπεστέρησε.*

τοὺς ὄρνιθας αὐτοῖς πτερὰ φεύγοντας δὲ *) τῆς θαλάσσης.

Πιθανῶς δὲ ὁ Πείσανδρος εἰς τὴν Σκυθίαν ἀποπτῆναι φησὶ τοὺς ὄρνιθας, ὅθεν καὶ ἐληλύθεσαν.

V. 1091—1094. Τίς γὰρ δὴ Φινῆος. Τοῦτο ἐρώτησις ἐστὶν ὡς ἀπὸ τοῦ ποιητοῦ πρὸς τὰς Μούσας. Τὸ δὲ, υἷες Φρίξου, απόκρισις ὡς ἀπὸ τῶν Μουσῶν.

V. 1100. Διερὴν δὲ Ἀρκτούρου ὁδὸν ἔφη τὴν ἑώαν ἐπιτολὴν αὐτοῦ. Κατὰ ταύτην γὰρ σφοδροί τε ὑετοὶ καταφέρονται, καὶ Βορέαι πνέουσιν. Ὑετώδεις δὲ καὶ οἱ Βορέαι ἔσθ' ὅτε. Ὅτι δὲ ὑετώδης καὶ ταραχώδης ἡ ἐπιτολὴ τοῦ Ἀρκτούρου, Δημόκριτός τε φησὶ ἐν τῷ περὶ ἀστρονομίας, καὶ Ἄρατος·

Φράζεσθαι δ' αἰνοῦ μεμνημένος Ἀρκτούροιο.

Ἔστι δὲ ὁ Ἀρκτοῦρος ἀστὴρ ἐν τῇ ζώνῃ τοῦ Ἀρκτουφύλακος.

V. 1101. Ἠμάτιος δὲ λέγεται ὁ ἡμερινός. Κατὰ τὴν ἡμέραν οὖν, φησὶν, ὁ Βορέας ἐτίνασσε τὰ φύλλα.

V. 1102. Ἀήσυρος δὲ, ὁ ἐλαφρῶς πνέων, ἀπὸ τοῦ ἄω, τὸ πνέω.

V. 1107. Μυδαλέοι δὲ, οἱ κάθυγροι.

V. 1110. Ῥόθιον δὲ, τὸ κῦμα.

V. 1113. Ῥαισθεῖσα δὲ, ἡ διαφαρεῖσα.

Κεκέδαστο δὲ, ἀντὶ τοῦ διεσκόρπιστο.

Τὸ δὲ ὠρέξαντο, ἀντὶ τοῦ ἐλάβοντο. **)

V. 1114. Τὸ δὲ παρὲξ ὀλίγον, ἀντὶ τοῦ παρ' ὀλίγον ἐκ τοῦ θανάτου.

V. 1121. Λυγαίην δὲ νύκτα φησὶ τὴν σκοτεινὴν, ἀπὸ τοῦ λύγου τοῦ φυτοῦ· κἀκεῖνο γὰρ μεμέλαν-

*) Leg. διά.

**) Ad v. 1112.

ται *). Ὅθεν καὶ ὁ ἐνιαυτὸς λυκάβας, οἱονεὶ λυγάβας, ἀπὸ τοῦ μετὰ λύγους βαίνειν. Σοφοκλῆς ἐν Πολυξένῃ·

Ἀπ' αἰθέρος δὲ κἀπὸ λυγαίου σκότους.

V. 1123. Ὁ δὲ Ἄργος εἷς τῶν Φρίξου παίδων ἐστὶν, ὃν Ἡρόδωρος μὲν ἐκ Χαλκιόπης τῆς Αἰήτου φησὶν, Ἀκουσίλαος δὲ καὶ Ἡσίοδος ἐν ταῖς μεγάλαις Ἠοίαις ἐξ Ἰοφώσσης τῆς Αἰήτου. Καὶ οὗτος μὲν δ̄ φησὶν αὐτοὺς, Ἄργον, Φρόντιν, Μέλανα καὶ Κύτωρον· ὁ δὲ Ἐπιμενίδης καὶ πέμπτον προστίθησι Πρέσβωνα.

Παροίτατος δὲ ὁ πρῶτος.

V. 1124. Ἐπόψιος δὲ ὁ ἔποπτος **).

V. 1129. Τὸ δὲ ὅσον θ' εἴλυμα, ἀντὶ τοῦ μικρὸν καὶ εὐτελὲς περίβλημα.

Ἐν δὲ τῷ, τειρόμενοι ἅμ' ἐπὶ χρέος ἐμβεβαῶτες, ἢ ἐμβεβαῶτες μετοχὴ ἀντὶ ῥήματος κεῖται τοῦ ἐμβεβήκαμεν. ***)

---

*) De his formis dixi ad Dionys. Halic. de Compos. verbor. p. 355. sq. Usus earum in numero plurali certa exempla necdum mihi oblata sunt. Quod enim in Euripidis Hippol. v. 1266. Br. legitur κέκρανται ξυμφοραὶ νέων κακῶν, nisi schema Pindaricum poëtae velis invito obtrudere, (nam falli puto Technicum inter recentiores praestantissimum, qui hoc κέκρανται nuper iterum iterumque habuit pro plurali,) corrigendum est κ. ξυμφορὰ ν. κ. Quo minus dubites, compara Androm. v. 1269. Br. ψῆφος κέκρανται, et Ion. v. 1029. Musgr. κέκρανται δίπτυχον δῶρον. Etiam Aeschylus Suppl. v. 950. Stanl. ψῆφος κέκρανται. Apollonius Rhod. IV. v. 191. 193. χρειὼ — κεκράανται, formâ productiori ob usum metricum. Cum Homerico ὥρῃ ἀπήμβλυνται compara Herodis choliambum in Stobaeo Grotii p. 481. ἤδη γὰρ αὐγὴ τῆς ζόης ἀπήμβλυνται. ubi olim legebatur ἀπήμβλυτο, (v. Grotii notas p. 560.) eodem vitio quo dederunt in Strabone βεβάθυται, in Aeliano λελάμπρυνται, de quibus v. not. ad Dionys. l. c.

**) Scholiastes aut scripsit, aut scribere debuit ἐπόπτης: nam significatio vocis ἐπόψιος hic activa est. V. Albert. ad Hesych. T. I. c. 1408. n. 18.

***) Ad versum a Brunckio omissum, qui vulgo legitur post versum 1127.

V. 1144. sq. Ἰστέον δὲ, ὅτι Διονύσιος μὲν ἐν ταῖς Ἀργοναύταις φησὶ, τὸν Κριὸν παιδαγωγὸν γεγονέναι τοῦ Φρίξου, αἰσθόμενον δὲ τὴν ἐπιβουλὴν τῆς Ἰνοῦς, ὑποθέσθαι τῷ Φρίξῳ τὴν φυγὴν, καὶ ταύτῃ μεμυθεῦσθαι, ὡς διασωθείη ὑπὸ κριοῦ. Ἡρόδωρος δέ φησιν, Ἀθάμαντος καὶ Θεμιστοῦς γενέσθαι παῖδας Σχοινέα, Ἐρύθριον καὶ Λεύκωνα, νεωτέρους δὲ Φρίξον καὶ Ἕλλην, οὓς διὰ τὴν ἐπιβουλὴν τῆς Ἰνοῦς φυγεῖν, καὶ τελευτῆσαι τὴν Ἕλλην κατὰ τὴν Πακτύην, ὡς καὶ Ἑλλάνικος μαρτυρεῖ. Ἐκ δὲ Ἀθάμαντος καὶ Ἰνοῦς Λέαρχος καὶ Μελικέρτης.

Χρυσοῦν δὲ τὸν κριὸν οὗτός τε καὶ ἄλλοι φασὶ γεγονέναι τῇ ἐπαφῇ *) τοῦ Ἑρμοῦ.

V. 1146. sq. Ταῖς δὲ ὑποθημοσύναις καὶ συμβουλαῖς τοῦ κριοῦ φησι θῦσαι αὐτὸν τῷ Διΐ. Τὸν γὰρ κριὸν φασὶν ἀνθρωπίνῃ φωνῇ χρησάμενον προστάξαι τῷ Φρίξῳ ποιῆσαι τοῦτο.

Φύξιον δὲ τὸν Δία οἱ Θεσσαλοὶ ἔλεγον, ἤτοι ὅτι ἐπὶ τοῦ Δευκαλίωνος κατακλυσμοῦ κατέφυγον εἰς αὐτὸν, ἢ διὰ τὸ τὸν Φρίξον καταφυγεῖν εἰς αὐτόν.

V. 1149. Τὴν δὲ Χαλκιόπην Φερεκύδης Νηνίαν φησὶ καλεῖσθαι, ἐπώνυμον δὲ αὐτῇ εἶναι Χαλκιόπη καὶ Ὀφιοῦσα **).

---

*) Hunc quoque Ionismum Attica dialectus ascivit. In transcursu noto, activum ἐπαφᾶν, neglectum nostris Lexicographis, legi in trimetro ap. Schol. ad Sophocl. Oedip. Col. v. 1375.

**) Non opus corrigi *Χαλκιόπην καὶ Ὀφιοῦσαν*. V. Sylburg. ad Pausan. p. 356. et 382. Dionysius Halic. Antiquit. Rom. II. c. 13. *ὄνομα δὲ κοινὸν ἅπαντες — ἔσχον Κελέριοι.* Talia materialiter posita sunt, ideoque non flectuntur. Quanquam etiam altera ratio bene habet: ut non reprehendam Facium, qui in Pausania V. c. 4. praeeuntibus Codicibus scripserit *Πιερίαν μὲν τῇ γυναικὶ ὄνομα εἶναι λέγουσι.*

V. 1157. *Συνηβολίη δὲ τὸ σύμβολον, ἢ ἡ συμβουλή* *).

V. 1159. *Τὸ δὲ κατὰ μοῖραν, ἀντὶ τοῦ κατὰ τὸ πρέπον.*

V. 1160. *Γνωτοὶ δὲ οἱ συγγενεῖς.*

V. 1162. sq. *Κρηθεὺς μὲν καὶ Ἀθάμας ἀδελφοί· Κρηθέως δὲ Αἴσων· Αἴσονος δὲ Ἰάσων· Ἀθάμαντος δὲ Φρίξος· Φρίξου δὲ Ἄργος.*

V. 1172. *Στίαι δὲ αἱ ψῆφοι παρὰ Σικυωνίοις καλοῦνται. Καλλίμαχος·*

πολύστιόν τε μέτωπον.

Καὶ ἡ ἐσχάρα οὖν, φησὶ, καὶ ὁ βωμὸς ὑπὸ **) *ψήφων κατεσκεύαστο.*

V. 1176. *Τὸ δὲ ἐπηετανὸν κομέουσαι, ἀντὶ τοῦ ἐπιμελῶς καὶ ἐκ πολλοῦ τρέφουσαι.*

V. 1177. *Ἐπαρτέα δὲ, τὴν ἑτοίμην.*

V. 1179. *Τὸν Δία δέ φησιν ἐπιδέρκεσθαι ἕκαστα ὁ Ἰάσων καὶ τὰ ἑξῆς, ἅμα μὲν παραμυθούμενος τὸν Ἄργον, ἅμα δὲ καὶ λεληθότως βοήθειαν αἰτῶν παρ᾽ αὐτοῦ, ὡς ἂν συνεργήσῃ αὐτοῖς κομίσαι τὸ κῶας εἰς τὴν Ἑλλάδα πάλιν.*

V. 1186. *Φθίαν δὲ νῦν Ὀρχομενοῦ πόλιν φησὶ, παρ᾽ ὅσον οἱ Ὀρχομένιοι ἄποικοι εἰσὶ Θεσσαλῶν. Ἢ οὐ τοῦ ἐν Βοιωτίᾳ Ὀρχομενοῦ, ἀλλὰ τοῦ μεθορίου*

---

*) Leg. *συμβολή*. Saepius confusae hae voces. V. Wesseling. ad Diodor. Sic. Eclog. T. II. p. 531, 38. et Oudendorp. ad Thom. Mag. p. 665. In Herodoto VI. c. 109. extr. nollem Wesselingio probatum *συμβολὴν*, pro quo restitui *συμβουλήν*. Etiam in Dorvillii nota ad Chariton. p. 34. sunt quae mihi quidem parum placeant: assentiorque Corayo praeferenti in Heliodoro p. 205. *συμβουλή*.

**) Leg. *ἀπό*.

Θεσσαλίας καὶ Μακεδονίας μνημονεύει. Ἔστι γὰρ Ὀρχομενὸς καὶ πόλις καὶ ὄρος Βοιωτίας, Θεσσαλίας, Ἀρκαδίας, Πόντου.

V. 1189. Τὸ δὲ κείνην γε κακὸν καὶ τὰ ἑξῆς, περὶ τῆς ναυαγησάσης *) νεὼς λέγει, ἐν ᾗ οἱ τοῦ Φρίξου υἱοὶ ἔπλεον.

V. 1193. Τὸ δὲ ἐπιῤῥοθεῖν, κυρίως ἐστὶ τὸ ἐπικελεύειν τοῖς κυσὶ καὶ ἐρεθίζειν. Σημαίνει δὲ **) τῷ ***) τῇ νηῒ συνεργεῖν, παρὰ τὸ ῥόθιον, τὸ κῦμα. Ἐνταῦθα δὲ ἐπίῤῥοθον ἁπλῶς τὸν βοηθὸν λέγει.

V. 1195. Ζηνὸς δὲ χόλον λέγει διὰ τὸ κακῆσαι †) τὸ δαιμόνιον τοῖς ἀπὸ τοῦ Αἰόλου, Φρίξου κινδυνεύσαντος. Νοεῖται δὲ ἐν τῷ χόλον ἡ διὰ, ἤγουν διὰ τὸν χόλον τοῦ Διός. Ὡς τὸ, σὴν χάριν, ἀντὶ τοῦ, διὰ τὴν σὴν χάριν. Τοῦτο δέ φησι Ἀπολλώνιος, παρ' ὅσον ὁ Πελίας τοιαύτῃ προφάσει ἐχρήσατο ἐκπέμπων αὐτούς.

V. 1196. Τὸ δὲ ἔστυγον, ἀντὶ τοῦ ἐστύγνασαν, ηὐλαβήθησαν.

V. 1197. Τὸ δὲ ἐντεύξεσθαι τὸ ἐντυχεῖν ††) σημαίνει.

Ἐνηέος δὲ, ἀντὶ τοῦ προσηνοῦς καὶ ἀγαθοῦ.

---

*) Ναυαγεῖν h. l. de ipsa navi. Similiter Aeschylus Athenaei T. I. p. 64. de vase fracto: πληγεῖσ' ἐναυάγησεν ὀστρακουμένη. Ναυηγὸς raro usu de ventis dicitur in Epigr. adesp. CCCLXXXIII. Denique notetur ναυηγὸς de muliere dictum in Xenocriti Rhodii Epigr. v. 2.

**) Add. καί.

***) Leg. τό.

†) F. μνησικακῆσαι.

††) Scholiastes cum ad interpretandum utatur infinitivo aoristi ἐντυχεῖν, videtur τεύξασθαι legisse. In Plutarchi Agesil. c. 5. παύσεσθαι mutandum in παύσασθαι.

V. 1199. Τὸ δὲ ἀτεμβόμενος νῦν οὐχ Ὁμηρικῶς ἀντὶ τοῦ στερισκόμενος κεῖται, ἀλλ' ἀντὶ τοῦ δυσχεραίνων καὶ μεμφόμενος ἐπὶ τοιοῦτον στόλον στέλλεσθαι.

V. 1204. Τὸ δὲ στεῦται, ἀντὶ τοῦ διαβεβαιοῦται.

V. 1210. Τὸν δὲ Τυφῶνα φασὶ περὶ τὸν Καύκασον ἐν τῇ Τυφαωνίᾳ πέτρᾳ κεραυνωθέντα ἰχῶρας τινὰς ἀποστάξαι, ἐξ ὧν ἐγένετο ὁ ὄφις ὁ τὸ δέρος φυλάσσων.

V. 1211—1215. Ὅτι δὲ ὁ Τυφὼς καιόμενος ἀφίκετο εἰς τὸν Καύκασον, ἐκεῖθεν δὲ φυγὼν εἰς Ἰταλίαν ἀφίκετο. ἔνθα καὶ τὴν Πιθηκοῦσαν περιρυῆναι *) φασὶν αὐτῷ, καὶ Φερεκύδης ἐν τῇ Θεογονίᾳ. Ὁ δὲ Ἀπολλώνιος ἐκ τοῦ Καυκάσου φησὶν ἀφικέσθαι εἰς τὴν Σερβωνίδα λίμνην, ἔνθα ὑποβρύχιον γεγονότα, ἤτοι βυθισθέντα, κεῖσθαι. Ἔστι δὲ ἡ Σερβωνὶς λίμνη περὶ τὸ Πηλούσιον τῆς Αἰγύπτου· διήκει δὲ καὶ μέχρι Συρίας. Τὰ δὲ αὐτὰ περὶ τοῦ Τυφῶνος καὶ Ἡρόδωρος φησὶν, ἔνθα καὶ περὶ τῆς Νύσσης ἱστορεῖ λέγων·

Ἔστι δέ τις Νύσση ὕπατον κέρας ἀνθέων ὕλη
τηλοῦ Φοινίκης, σχεδὸν Αἰγύπτοιο ῥοάων.

Ὁ δὲ Καύκασος διήκει ἀπὸ τῶν Ἀρμενίων ὀρῶν μέχρι Κολχῶν.

V. 1219. Τὸ δὲ ἠθεῖε ἔοικεν ἀπὸ τοῦ θείου κατὰ προσθήκην τοῦ η γεγονέναι, ὡς καὶ τὸ βαιὸν, ἠβαιὸν, καὶ τὸ μύω, ἠμύω. Σημαίνει δὲ τὸ θεῖον καὶ συγγενὲς καὶ θαυμάσιον καὶ καλόν.

V. 1231—1241. Φιλυρηΐδα δὲ νῆσον λέγει, ἔνθα κατοικούσῃ Φιλύρᾳ τῇ τοῦ Ὠκεανοῦ θυγατρὶ συγ-

*) Schol. edit. περιῤῥιφῆναι, quo verbo Lexica carent.

γενόμενος ὁ Κρόνος, ὅτε τῶν Τιτάνων ἐβασίλευεν, ἐπειδὴ κατέλαβεν αὐτοὺς ἐπαυτοφώρῳ ἡ Ῥέα, ὁ μὲν Κρόνος αἰδεσθεὶς εἰς ἵππον μετεβλήθη, ἡ δὲ Φιλύρα φυγοῦσα εἰς Θεσσαλίαν ἀφίκετο, καὶ ἐκεῖ τὸν Χείρωνα ἔτεκε. Καὶ διὰ τοῦτο διφυὴς ἦν. Σουΐδας δὲ ἐν ᾱ Θεσσαλικῶν τὸν Χείρωνα Ἰξίονος εἶναι παῖδα φησὶν, ἀδελφὸν δὲ Πειρίνθου.

Κρηταῖον δὲ ὄρος τὸ τῆς Κρήτης. Γέγονε καθ' ὁμοιότητα τοῦ Σιναΐου.

Τὸ δὲ χαιτήεις, ἀπὸ τοῦ χαίτη, ὥσπερ ἀπὸ τοῦ ἕρση ἑρσήεις, καὶ τιμὴ τιμήεις.

V. 1246. *Εἰπὼν δὲ, μυχὸς διεφαίνετο Πόντου*, ἔδειξεν, ὅτι ἐν τῷ μυχῷ τοῦ Πόντου ἡ Κολχική.

V. 1247. *Τὰ δὲ καλούμενα Καυκάσια* *) Ἐρατοσθένης φησὶ πλησίον εἶναι τῆς Κασπιανῆς θαλάσσης.

Ἐρίπναι δὲ αἱ τῶν Καυκασίων ὀρῶν ἀποῤῥῶγες καὶ ἐξοχαί. Τινὲς δὲ καὶ τὰς τραχείας καὶ εἰς ὕψος ἀνεχούσας πέτρας ἐρίπνας φασίν.

V. 1249. *Ἀληκτοπέδησι Προμηθεύς.* Ἀγροίτας ἐν ῑγ̄ τῶν Σκυθικῶν τὸ δαπανᾶσθαι τὸ ἧπαρ τοῦ Προμηθέως ὑπὸ τοῦ ἀετοῦ αἰνίττεσθαί **) φησιν, ὅτι τοῦ Προμηθέως περί που τὸν Καύκασον βασιλεύοντος, ὁ καλούμενος Ἀετὸς ποταμὸς τὸ εὐκαρπώτερον ***)

---

*) Adde hoc exemplum L. Bosii Ellipsibus p. 357.

**) i. e. *μετ' αἰνίγματος λέγεσθαι*, passive. Schol. ad Lucian. T. I. p. 13. Ὁ *λαγὼς ἐπὶ δειλίας αἰνίττεται.* Lexicis adde *αἴνιξις* citatum ex Epiphanio a Bastio in Specim. edit. nov. Aristaeneti p. 35.

***) Imo *εὐκαρπότερον.* V. quae notavi ad Pindar. p. IX. Adde Xenophontis Conviv. VIII, 15. *ἀνεπαφροδιτωτέρα*, et Hier. I, 5. *ἐπαφροδιτώταται*, ubi genuinam formam dat Codex Lipsien-

*τῆς χώρας διέφθειρε. Τὸ δὲ τοιοῦτον χωρίον οὖθαρ καὶ ἧπαρ οἱ ποιηταὶ καλεῖν εἰώθασιν. Ἡρακλέα δὲ εἰς Καύκασον ἀφικόμενον, καὶ τὸν ποταμὸν διωρυχαῖς *) εἰς τὴν θάλασσαν μεταστρέψαντα, τόν τε ἀετὸν ἔφασαν τετοξευκέναι, καὶ τὸν Προμηθέα τῶν δεσμῶν ἀπολύσαντα ἐμυθολόγησαν, ὡς ἄρα Ἡρακλῆς τὸν ἀετὸν ἀνελὼν ἔλυσε τὸν Προμηθέα τῶν δεσμῶν. Φερεκύδης δὲ ἐν β Τυφῶνος καὶ Ἐχίδνης τῆς Φόρκυνος εἶναί φησι τὸν ἀετὸν τὸν ἐπιπεμφθέντα τῷ Πρωμηθεῖ. Φασὶ δὲ, ὅτι τῆς μὲν ἡμέρας ἤσθιε τοῦ ἥπατος ὁ ἀετὸς, τῆς δὲ νυκτὸς τὸ λειπόμενον ηὐξάνετο καὶ ἐγίνετο ἴσον. Ἡσίοδος δέ φησι, δεδέσθαι τὸν Προμηθέα, καὶ τὸν ἀετὸν ἐπιπεμφθῆναι αὐτῷ, ὅτι τοῦ πυρὸς μετέδωκε τοῖς ἀνθρώποις. Ὁ δὲ Δοῦρις διὰ τὸ τῆς Ἀθηνᾶς ἐρασθῆναι, δεθῆναι φησὶν αὐτόν· καὶ διὰ τοῦτο τοὺς περὶ τὸν Καύκασον οἰκοῦντας μόνους Διῒ καὶ Ἀθηνᾷ μὴ θύειν, διὰ τὸ κολάσεως αἰτίους γενομένους **) Προμηθεῖ,*

---

sis, it. Strabonis T. VI. p. 282. *ἐντιμωτέρας*. Sed in Xenophontis Cyrop. VII, 5, 6. scribam *μανότερον*, an, quod alii habent, *μανώτερον*, paulum ambigo. Phrynichus quidem MS. ap. Ruhnken. ad Tim. p. 177., *Ἀθηναῖοι*, inquit, *τὴν πρώτην συλλαβὴν ἐκτείνουσιν*. Sed Zonaras Lex. T. II. c. 1334.: *Μανόν. — βραχέως λέγουσι*. Atque in Aeschyli fragmento, quod Etymologus MS. servavit, (v. Ruhnken. l. c.) *ᾱ* manifesto corripitur, si fragmentum illud, quod suspicor, est aut exitus iambici versus, aut initium trochaici. Itaque propemodum huc inclino, ut, posthabitâ Phrynichi quamvis gravi auctoritate, assentiar Anonymo Hermanni, qui in Regul. de prosod. p. 440. *μανὸς* dicit *παρ' Ἀττικοῖς συστέλλεσθαι*.

*) Schol. edit. *διόρυξι*, quam formam Lexica recentiora ignorant.

**) Leg. *γενέσθαι*.

Ἡρακλέα δὲ καθ' ὑπερβολὴν σέβειν, διὰ τὸ τοξεῦσαι τὸν ἀετόν. Ὁ οὖν Ἀπολλώνιος ἐν τοῖς περὶ Καύκασον τόποις γενόμενος, εἰκότως ἐμνήσθη καὶ τούτων.

V. 1251. Ἕσπερον δέ φησιν ἰδεῖν τοὺς ἀριστῆας τὸν ἀετὸν, ἀντὶ τοῦ κατὰ τὸν καιρὸν τῆς ἑσπέρας.

V. 1253 — 1255. Τὸ δὲ παραιθύξας ἀντὶ τοῦ παραπνεύσας κεῖται, τουτέστι πνοὴν ποιήσας διὰ τῶν πτερύγων ἐτίναξε τὸ ἱστίον. Εἶτα τὸ μέγεθος δεικνὺς, ἶσα ἦν, φησὶν, αὐτῷ τὰ ἐν ταῖς πτέρυξι πτερὰ τοῖς ἐρετμοῖς.

V. 1256. Ἐν δὲ τὸ *) δηρὸν μετέπειτα ἀναστρεπτέον, ἔπειτα δὲ μετὰ δηρόν.

V. 1260. Ἀλημοσύνην δέ φησι τὴν ἐμπειρίαν τοῦ Ἄργου.

V. 1272. Μελισταγέας δὲ τὰς γλυκείας.

Σπένδει δὲ ὁ Ἰάσων κατὰ τὸ παλαιὸν ἔθος. Τὸ δὲ ἦν σπένδειν τοὺς εἰς ἀλλοδαπὴν ἀφικομένους τοῖς ἐγχωρίοις θεοῖς, ὃ δὴ καὶ Ἀλέξανδρον φασὶ πεποιηκέναι.

V. 1275. Ἐναίσιμα δὲ τὰ καθήκοντα.

V. 1280. Ἐπήβολος δὲ ἀσφάλεια. Οὕτω γὰρ καὶ Ἀμερίας ἀπέδωκεν ἐν ταῖς Γλώσσαις.

V. 1281. Παρηγορία δὲ ἡ προτροπὴ καὶ ἡ συμβουλή.

V. 1282. Τὸ δὲ ὑψόθι νῆα, ἀντὶ τοῦ ἐν βάθει τοῦ ποταμοῦ, ἀλλὰ μὴ ἐν τῇ γῇ ἐκέλευσαν ἐρύσαι καὶ ἑλκύσαι τὴν ναῦν, ἤγουν ὁρμίσαι ἐπὶ τῶν ἀγκυρῶν.

---

*) Leg. τῷ.

V. 1283. *Τὸ δὲ δάσκιον τὸ δασύσκιον* *) *σημαίνει κατὰ συγκοπήν.*

---

*) *Δασύσκιος*, usurpatum etiam a Schol. Ven. ad Homer. Il. XV. v. 273. et a Schol. ad Odyss. V. v. 470. non referam cum Schneidero inter voces fidei dubiae. Quanquam concedo, hoc adiectivum confictum videri a Grammaticis interpretantibus *δάσκιος*. Sed et talibus vocibus, si nihil habent, quod analogiae repugnet, locum in Lexicis concedendum puto. Huiusmodi videtur etiam *νεοαύξητος* Apollonii Lex. Hom. T. II. p. 572., referendum illud sine cunctatione in Lexica, simulque aliquid auctoritatis concilians formae contractae *νεαύξητος*, quae Schneidero dubia visa est.

ΣΧΟΛΙΑ
ΕΙΣ ΤΟ ΤΡΙΤΟΝ
ΤΩΝ
ΑΠΟΛΛΩΝΙΟΥ
ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

V. 1. *Εἰδ' ἄγε νῦν Ἐρατώ.* Τὰ κεφάλαια τοῦ τρίτου βιβλίου εἰσίν· Ἥρα καὶ Ἀθηνᾶ βουλευσάμεναι πείθουσι τὴν Ἀφροδίτην Μηδείᾳ ἐπιπέμψαι Ἔρωτα. Ἰάσων δὲ μετὰ τῶν Φρίξου υἱῶν παραγενόμενος εἰς Αἰήτην ἀξιοῖ λαβεῖν τὸ δέρος. Ἀγανακτήσας δὲ ὁ Αἰήτης, προστάττει αὐτῷ ἄθλους μεγάλους, ὥστε ζεῦξαι τοὺς πυρίπνους ταύρους, καὶ σπεῖραι τοὺς τοῦ δράκοντος ὀδόντας, ἀφ' ὧν ἀναδίδοντο Γίγαντες, καὶ μὴ μόνον σπεῖραι, ἀλλὰ καὶ τὸν τῶν γηγενῶν στάχυν θερίσαι. Μήδεια δὲ διὰ τὸν ἐπὶ Ἰάσωνα ἔρωτα ὑπάγεται ὑπὸ Χαλκιόπης, ὥστε αὐτῇ τοῖς υἱοῖς βοηθῆσαι. Καὶ δὴ συνθεμένη, συντυχοῦσα Ἰάσωνι κατὰ τὸ τῆς Ἑκάτης ἱερὸν δίδωσιν αὐτῷ τὰ φάρμακα, καὶ ὑποτίθεται, ὃν τρόπον χρὴ πρὸς τὸ τῶν Γιγάντων θέρος ἁρμόσασθαι. Τοῖς δὲ φαρμάκοις ὁ Ἰάσων χρησάμενος ἤνυσε παρὰ πᾶσαν ἐλπίδα τοῦ Αἰήτου τοὺς προβληθέντας ἄθλους.

Ἐν δὲ τοῖς εἰς Μουσαῖον ἀναφερομένοις δύο γενέσεις ἱστοροῦνται Μουσῶν, τῶν τε πρότερον μετὰ τοῦ Κρόνου

γενομένων, καὶ τῶν ὕστερον ἐκ Μνημοσύνης καὶ Διός. Λέγεται δὲ τῶν Μουσῶν Κλειὼ μὲν εὑρεῖν ἱστορίαν, Θάλεια δὲ γεωργίαν καὶ τὴν περὶ τὰ φυτὰ πραγματείαν, Εὐτέρπη δὲ μαθήματα, Τερψιχόρη παιδείαν, Ἐρατὼ δὲ ὄρχησιν, Πολυμνία λύραν, Μελπομένη ᾠδὴν, Οὐρανία ἀστρολογίαν, Καλλιόπη δὲ ποίησιν.

Ἀπορεῖται δὲ πρῶτον μὲν, διὰ τί οὐκ ἀρχόμενος τῆς ποιήσεως ὁ Ἀπολλώνιος ἐπεκαλέσατο τὰς Μούσας, ἀλλὰ νῦν ἐν τῷ γ̄· δεύτερον δὲ, διὰ τί τὴν Ἐρατὼ, καὶ οὐ *) τὰς ἄλλας ἐπικαλεῖται. Ῥητέον μὲν **) οὖν πρὸς μὲν τὸ πρῶτον, ὅτι ἀρχόμενος μὲν εἰκότως Ἀπόλλωνα, τὸν τῶν Μουσῶν ἀρχηγέτην, ἐπεκαλέσατο· ἐνταῦθα δὲ, ἐπειδὴ περὶ γάμων καὶ θαλείας διαλέγεσθαι μέλλει, θαλιῶν δὲ προστάτιδες αἱ Μοῦσαι, διὰ τοῦτο νῦν τὰς Μούσας ἐπικαλεῖται. Ὅτι δὲ θαλιῶν εἰσὶ προστάτιδες αἱ Μοῦσαι, ἐν τοῖς Ὀρφικοῖς δεδήλωται·

*) Xenophon Anab. II, 1, 10. *τί δεῖ αὐτὸν αἰτεῖν, καὶ οὐ λαβεῖν ἐλθόντα;* Al. *ἀλλ' οὐ λαβεῖν.* Musaeus v. 233. *ἀνδράσιν ὕπνον ἄγουσα, καὶ οὐ ποθέοντι Λεάνδρῳ.* Plato T. VIII. p. 357. *τέλεον γὰρ καὶ οὐδ' ἥμισυν δεῖν τὸν νομοθέτην εἶναι.* Malim *καὶ οὐχ ἥμ.* Dionysius Halic. Ant. Rom. VII. c. 73. *σειραῖος ἵππος — ὃν ἀπὸ τοῦ παρηωρῆσθαι καὶ συνεζεῦχθαι παρήωρον* (l. *παρήορον*) *ἐκάλουν οἱ παλαιοί.* Sylburgius: „Si quis pro *συνεζεῦχθαι* re„ponere velit *παρεζεῦχθαι*, suo fruatur judicio.“ Valesio placuit *μὴ* inserere ante *συνεζεῦχθαι*: et sic edidit Reiskius. Mihi videtur scribendum *καὶ οὐκ ἐζεῦχθαι*: quod qua via potuerit in vulgatam abire scripturam, etiam tacente me palaeographicarum periti rerum intelligunt. Conf. Bastii Comment. Palaeogr. p. 726. et 734. [Xenophon Anab. II, 3, 11. *ὥστε πᾶσιν αἰσχύνην εἶναι μὴ οὐ σπουδάζειν.* Sic olim edebatur. Nuper e Codicibus dederunt *μὴ οὐ συσπουδάζειν.* In hac scriptura *διττογραφία*, opinor, latet: legam enim *μὴ συσπουδάζειν.* In Philostrati Heroic. p. 76, 1. Boiss. pro *σὺ γιγνώσκεις* legendum *οὐ γ.*] Sic nos *und nicht* pro *aber nicht.*

**) Dele *μέν.* V. not. ad Excerpta e Cod. Vatic. post Gregor. Cor. p. 697.

*Οὐδέ τι λήγονται *) Μουσέων βροτοί· αἱ γὰρ ἔασι κοίρανοι **), αἶσι μέμηλε χορὸς θαλίαι τ' ἐρατειναί.* *Πρὸς δὲ τὸ δεύτερον, ὅτι ἐπειδὴ ἐν τοῖς Ὀρφικοῖς εὑρέτις ***) ὀρχήσεως ἡ Ἐρατὼ παραδίδοται, μέλλει δὲ ὁ Ἀπολλώνιος τὸν τῆς Μηδείας καὶ Ἰάσωνος γάμον διηγεῖσθαι, διὰ τοῦτο τὴν εὑρέτιν τῆς ἐπιβαλούσης †) τῶν*

---

*) Medium *λήγομαι* alibi legere non memini. Corrigendumne *λήθονται*? His scriptis, video idem placuisse Ruhnkenio ad Fragmentum Hymni in Bacchum p. 3. b. Is quod, deserens librum Parisinum, *Μουσῶν* scripsit, non laudo.

**) *Ἡ κοίρανος* in Lexica nondum relatum. Obiter moneo, in loco Etymologici Gottingensis, quem citavit Huschkius in Anal. Crit. p. 116., nihil reconditi, quodque alicuius momenti sit, videri latere. Certe *τυράννῳ* non infrequenti commutatione natum est e genuino *κοιράνῳ*. V. Variet. Lection. ad Lycophron. v. 523. p. 95. Müll.

***) Mox *εὑρέτιν*, item *παροξυτόνως*, quemadmodum etiam in edito Scholiasta. Sed infra ad IV. v. 1019. *εὑρετὶς*, ubi editus Schol. *εὑρέτις*. Etiam H. Stephanus Append. Thes. c. 984. C.: „*Εὑρετὶς, ίδος, ἡ*, Inventrix, Repertrix." nullum commemorans locum e scriptoribus Graecis. Supplens hunc defectum Scottus T. I. c. 1237. duos e Diodori Siculi editione Stephanica locos citavit, quorum in priori editum est *εὑρέτιν*, in posteriori *εὑρετίν*. *Ὀξυτόνως* scriptum legas etiam in Heliodoro p. 300. Cor.: et sic nuper edidit Reiffius in Artemidoro p. 218. *Βαρύτονον* est in Sophoclis Fragm. Alet. I. et in Antipatri Sidon. Epigr. XXXV. v. 6. Utra accentus ratio praeferenda sit, discas ex accusativo, si contuleris canonem Etymologi M. c. 676, 31. *τὰ μὲν γὰρ ὀξύτονα τῶν εἰς ις θηλυκῶν, μόνως περιττοσύλλαβα κατὰ τὰς πλαγίους πτώσεις, —· τὰ δὲ βαρύτονα, ἰσοσυλλάβως ἔχει τὴν αἰτιατικήν.*

†) Schol. edit. melius *ἐπιβαλλούσης*. *Ὄρχησις τῶν γάμων ἐπιβάλλουσα* est *saltatio propria nuptiarum, decens nuptias, qualis solet esse in nuptiis.* Diodorus Sic. XIX. c. 85. *τῆς ἐπιβαλλούσης κηδείας ἀξιῶσαι τοὺς τετελευτηκότας.* Marcellinus de Thucydid. vita p. 9. Duk. *τεχνίτου γὰρ ἀνδρὸς φυλάξαι τοῖς προσώποις τὴν ἐπιβάλλουσαν δόξαν, καὶ τοῖς πράγμασι τὸν ἀκόλουθον κόσμον.* Qui post *ἐπιβάλλουσαν* posuit *ἀκόλουθον*, paene eiusdem verbum significationis, quemadmodum in nostro Scholiasta mox sequitur: *Τῷ γὰρ γάμῳ καὶ ὄρχησις ἕπεται.* Ceterum si

γάμων ὀρχήσεως ἐπικαλεῖται Μοῦσαν. Διὸ καὶ μετ' ὀλίγα μετήνεγκε μεμοίρασθαι *) τὴν Ἐρατὼ τῶν τῆς Ἀφροδίτης ὀργίων. Τῷ γὰρ γάμῳ καὶ ὄρχησις ἕπεται. Ῥιανὸς δέ φησι, μηδὲν διαφέρειν, εἰ μίαν τις ἐπικαλεῖται τῶν Μουσῶν, πάσας γὰρ διὰ τῆς μιᾶς σημαίνει. Λέγει δὲ οὕτως·

Πᾶσαι δ' εἰσαΐουσι, μιᾶς ὅτε τοὔνομα λέξεις.

Ἴσως δὲ καὶ ἐπειδὴ περὶ ἔρωτος μὲν διαλέγεται ἐνταῦθα, ἡ δὲ Ἐρατὼ παρὰ τὸ ἐρᾷν παράγεται, διὰ τοῦτο ταύτης μνημονεύει, τὸ κοινὸν εὐεργέτημα αὐτῇ ἀνατιθεὶς διὰ τὸ ὄνομα.

Ἐν δὲ τῷ *παρά θ' ἵστασο*, καὶ τὰ ἑξῆς, οὕτως ἔχει· καὶ παρίστασο καὶ ἔνισπε.

V. 6. Τὸ δὲ *ἀνωΐστως* τὸ ἀνυπονοήτως σημαίνει.

V. 13. Τὸ δὲ *μεθ' Ἑλλάδα*, ἀντὶ τοῦ εἰς Ἑλλάδα.

V. 16. Τὸ δὲ *ἀποτρωπᾶσθαι*, ἀντὶ τοῦ ἀποτρέπεσθαι καὶ παριέναι.

V. 17. Τὸ δὲ *παρᾶσσον*, ἀντὶ τοῦ εὐθέως καὶ παραχρῆμα. Ἢ λείπει τὸ καθημένη, ἵν' ᾖ παρακαθημένη ἆσσον.

V. 19. Τὸ δὲ *ἀπηλεγέως* σημαίνει μὲν τὸ ἀληθῶς καὶ ἁπλῶς, ἔτι δὲ καὶ τὸ σαφῶς. Ἐνταῦθα δὲ τὸ ἀποτόμως δηλοῖ. Ἐπιφέρει γοῦν, *ἀλλά τοι οὔπω φράσασθαι νοέω*.

---

quem offendat usus genitivi τῶν γάμων pro dativo τοῖς γάμοις, meminerit, verborum dativum regentium participia praesentis passim coniungi cum genitivo. V. Erfurdt. ad Sophocl. Aiac. v. 551. p. 539.

*) Leg. ἐπήνεγκε μεμοιρᾶσθαι.

V. 23. Τὸ δὲ ἄνδιχα πορφύρουσαι, ἀντὶ τοῦ διῃρημένως μεριμνῶσαι.

V. 25. Τὸ δὲ μετὰ Κύπριν, ἀντὶ τοῦ πρὸς τὴν Κύπριν.

Ἐπιπλόμεναι δὲ, ἤγουν παραγενόμεναι καὶ ἐπελθοῦσαι.

V. 26. Παιδὶ δὲ ἐῷ, ἤγουν τῷ τῆς Ἀφροδίτης. Οὗτος μὲν γὰρ Ἀφροδίτης παῖδα τὸν Ἔρωτα φησί· Σαπφὼ δὲ Οὐρανοῦ καὶ Γῆς· Σιμωνίδης δὲ Ἄρεος καὶ Ἀφροδίτης·

Σχέτλιε παῖ δολόμητες *) Ἀφροδίτας, τὸν Ἄρει
δολομηχάνῳ τέκεν.

Ἴβυκος δὲ καὶ Ἡσίοδος ἐκ τοῦ χάους φασὶ γενέσθαι τὸν Ἔρωτα. Ἐν δὲ τοῖς εἰς Ὀρφέα **), Κρόνου·

Αὐτὰρ Ἔρωτα Κρόνος καὶ πνεύματα πάντ' ἐτέκνωσε.

V. 28. Θέλξαι δὲ, ἀντὶ τοῦ ἀπατῆσαι, ὥστε μὴ κρατῆσαι ἑαυτῆς διὰ τὸν ἔρωτα.

V. 30. Τὸ δὲ πυκινὴ ὀρθῶς κεῖται χωρὶς τοῦ ἄρθρου, ἵν' ᾖ, πυκινὴ δὲ καὶ συνετὴ ἤρεσεν αὐτῇ ἡ βουλὴ εἶναι.

---

*) Schol. edit. rectius δολόμηδες, παρὰ τὰ δολομήδης. Sed δολομήτης habet vocativum δολομῆτα. — Hoc Simonidis Fragmentum F. Ursinus in Carminibus Lyricorum p. 172. sic scriptum edidit:

Σχέτλιε παῖ δολόμηδες,
Ἀφροδίτα τὸν Ἄρεϊ
Δολομαχάνῳ τέκεν.

Cupidinem δολομάχανον Ἔρον dixit is cuius Παιδικὰ Αἰολικὰ fuerunt penes Dorvillium. V. viri doctissimi Animadvers. in Chariton. p. 392. Ac sane hoc epitheton illum aliquanto magis decet, quam Martem, qui vi et impetu, non dolo et fraudibus grassatur. Scribendumne δολομάχανος τέκεν?

**) Subaud. ἀναφερομένοις, quod adde Catalogo Bosiano Ellipsium.

V. 37. Τὸ δὲ ὄῤῥα τε οἱ, Ἀρίσταρχος μὲν δι᾽ ἑνὸς ῥ γράφει· Ἡρακλέων δὲ διὰ δύο ῥῥ, ὡς καὶ παρὰ τῷ ποιητῇ·

Τόῤῥα οἱ ἐκ χηλοῖο λαβών.

V. 39. Αἴθουσαν δὲ λέγει τὴν παραστάδα.

V. 41. Ἦρι δὲ, ἀντὶ τοῦ ἕωθεν.

V. 42. sq. Πλαγκτὴν δὲ λέγει τὴν νῆσον, ἐν ᾗ χαλκεύει ὁ Ἥφαιστος, ἀκολουθήσας τοῖς περὶ Ἰταλίαν καὶ Σικελίαν μυθολογοῦσι τὴν Ὀδυσσέως πλάνην. Ἢ διότι τὸ παλαιὸν πᾶσαι αἱ νῆσοι ἐπλανῶντο καὶ οὐκ εἶχον βάσεις. Ἑπτὰ δὲ οὐσῶν τῶν Αἰόλου νήσων, ὧν τὰ ὀνόματα, Στρογγύλη, Εὐώνυμος, Ἱερὰ, Λιπάρα, Διδύμη, Ἐρικώδης, Φοινικώδης, οἱ μὲν ἐν τῇ καλουμένῃ Ἱερᾷ φασι τὸν Ἥφαιστον χαλκεύειν, Καλλίας δὲ ἐν Λιπάρᾳ, λέγων·

Νήσων ἐν Λιπάρῃ.

Ὁ δ᾽ αὐτὸς ἱστορεῖ ἐν τῷ ι τῶν περὶ Ἀγαθοκλέα, καὶ ὄροφον εἶναι ὑψηλὸν ἐκεῖ, ἐφ᾽ οὗ κρατῆρες *) εἰσὶ δύο, ὧν ὁ ἕτερος τὴν περίμετρον ἐστὶ τριστάδιος, ἀφ᾽ οὗ πολὺ φέρεται φέγγος, ὥστε ἐπὶ πολὺν τόπον διήκειν τὸν φωτισμόν. Ἔπειτα ἐκ τοῦ χάσματος ἀναφέρονται διάπυροι λίθοι απλατομεγέθεις **). Καὶ τηλικοῦτος βρόμος γίνεται, καθ᾽ ὃν καιρὸν συμβαίνει ἐργάζεσθαι τὸν Ἥφαιστον, ὥστε ἐπὶ πεντήκοντα στάδια ἀκούεσθαι τὸν ἦχον. Οἱ δὲ ἐκ τοῦ ἐκφυσήματος ἀναῤῥιπτόμενοι μύδροι διὰ τὴν ἐκπύρωσιν πάντοτε ἰώδεις εἰσὶ καὶ διακεκαυμένοι τὴν ὄψιν, καὶ τὴν δύναμιν καθήλιον ἔχουσι.

---

*) V. Wesseling. ad Diodor. Sic. V. c. 4. et XI. c. 89.

**) Hanc formam, in secunda syllaba habentem α, Lexica ignorant.

Νύκτωρ μὲν οὖν πάντα τὰ περὶ τὴν ἐργασίαν τοῦ θεοῦ γινόμενα καλῶς ὁρᾶται· μεθ' ἡμέραν δὲ ἐκ τῆς κορυφῆς, ὅθεν ἡ φλὸξ ἀνίησι, ὥσπερ νέφος ὑπερκείμενον ὁρᾶται.

Διὰ δὲ τοῦ λέγειν τὸν Ἀπολλώνιον δαίδαλα χάλκευε ῥιπῇ πυρὸς, συμφωνεῖ περὶ τῆς λεγομένης ὑπὸ Καλλίου ἀναφυσήσεως τοῦ πυρὸς ἐκ τοῦ χάσματος.

V. 48. *Τὸ δὲ ἔσχεθεν, ἀντὶ τοῦ ἐπαύσατο κτενίζεσθαι* *).

V. 50. *Ἀψήκτους δὲ χαίτας, τὰς ἀκτενίστους φησί.*

V. 52. *Τὸ δὲ ἠθεῖαι προσφώνησις ἐστὶ παρὰ μὲν Ὁμήρῳ ἀπὸ νεωτέρου πρὸς γέροντα. Ἀπολλώνιος δὲ συλληπτικῇ τῇ φράσει κέχρηται· τὸ γὰρ τῇ Ἥρᾳ προσὸν καὶ κατὰ τῆς Ἀθηνᾶς ἔταξε. Ταῦτα δὲ ἁρμόσει λέγεσθαι κατὰ τὴν Ὁμήρου ποίησιν. Κατὰ δὲ τοὺς νεωτέρους οὐ μόνον Ἥρας καὶ Ἀθηνᾶς ἡ Ἀφροδίτη πρεσβυτέρα ἐστὶν, ἀλλὰ καὶ Διός. Ἡσίοδος γὰρ ἐκ τῶν αἰδοίων τοῦ Οὐρανοῦ φησὶν αὐτὴν γενέσθαι.*

V. 53. sq. *Δηναίας δὲ, ἀντὶ τοῦ διὰ πολλοῦ νῦν ὀφθείσας.*

---

*) Improbant hanc constructionem Thomas Mag. p. 696. Solanus ad Lucian. T. I. p. 861. et Dawesius Miscell. Crit. p. 324. Temere. Ipse Magister e Batrachomyom. v. 194. huiusmodi exemplum citavit, excusabile ei visum *διὰ τὴν ἀνάγκην τοῦ μέτρου.* Plutarchus Mor. T. I. p. 861. Wytt. *σὺ μὲν μόλις ἐπαύσω λέγειν.* p. 863. *Παῦσαι — ἐπ' ἐμοὶ κλαίειν.* Longus II. c. 3. *ἐξ οὗ νέμειν διὰ γῆρας ἐπαυσάμην.* Ita etiam activum. Herodotus VII. c. 54. *ἤ μιν παύσει καταστρέψασθαι τὴν Εὐρώπην.* Aristophanes Acharn. v. 634. sq.:

παύσας ὑμᾶς ξενικοῖσι λόγοις μὴ λίαν ἐξαπατᾶσθαι,
μήθ' ἥδεσθαι θωπευομένους, μήτ' εἶναι χαυνοπολίτας.

Add. Oudendorp. ad Thom. Mag. l. c.

Ἐν δὲ τοῖς ἑξῆς παραφράζει τὸ Ὁμηρικὸν, τὸ,

πάρος γε μὲν οὔτι θαμίζεις.

V. 56. Τὸ δὲ κερτομέειν, τὸ εἰρωνεύεσθαι σημαίνει.

Τὸ συνορίνεται, ἀντὶ τοῦ ταράσσεται καὶ φοβεῖται.

V. 62. Τὸν δὲ Ἰξίωνα παρείληφεν, ὅτι δοκεῖ ἐπικεχειρηκέναι βιάσασθαι τὴν Ἥραν. Φλεγύου δὲ παῖς ὁ Ἰξίων, ὡς καὶ Εὐριπίδης·

Φλεγύαντος *) υἱὲ δέσποτ᾽ Ἰξίων.

Κατὰ δὲ Φερεκύδην Αἴτωνος. Φησὶ δὲ, ὅτι γαμήσας Δίαν τὴν Ἠιονέως πολλὰ ὑπέσχετο δώσειν ἕδνα. Ἐλθόντος δὲ ἐπὶ ταῦτα Ἠιονέως, βάραθρον ποιήσας ὁ Ἰξίων καὶ πυρακτώσας, σκεπάζει αὐτὸ λεπτοῖς ξύλοις καὶ κόνει λεπτῇ. Ἐμπεσὼν εἰς τοῦτο ὁ Ἠιονεὺς ἀπόλλυται. Λύσσα δὲ τῷ Ἰξίονι ἐνέπεσε διὰ τοῦτο, καὶ οὐδεὶς ἤθελεν αὐτὸν ἁγνίσαι, οὔτε θεῶν, οὔτε ἀνθρώπων, ὅτι ἐμφύλιον ἄνδρα πρῶτος ἀπέκτεινεν. Ἐλεήσας οὖν ὁ Ζεὺς ἁγνίζει αὐτόν· καὶ ἁγνισθεὶς ἠράσθη τῆς Ἥρας. Ὁ δὲ Ζεὺς νεφέλην ὁμοιώσας Ἥρᾳ, παρακοιμίζει αὐτῷ. Καὶ ὕστερον ποιήσας τροχὸν τετράκνημον **), καὶ δεσμεύσας αὐτὸν τιμωρεῖται.

---

*) Sic egregie Codex Parisinus. Habemus hîc exemplum declinationis περιττοσυλλάβου v. Φλεγύας, quale nec Stephano Byzantino (vid. eum v. Φλεγύα) neque Eustathio (ad Homer. Il. p. 904, 22. Bas.) videtur in promtu fuissé. Hinc descendit Φλεγυαντίς. V. Sylburg. ad Pausan. p. 782. Kuhn. Ceterum expleveris trimetrum, si in fine addideris ἄναξ. Sic Aristophanes Pac. v. 90. ὦ δέσποτ᾽ ἄναξ. Similis coniunctio nominum ἄναξ et βασιλεὺς, de qua v. Porson. ad Euripid. Orest. v. 342.

**) Vulgarem hanc formam, quae η̄ in paenultima habet, Lexicographi nostri paene neglexerunt. Tetigit Hemsterhusius ad Lucian. T. I. p. 219.

V. 68. *Εὐνομία* δὲ ἡ δικαιοσύνη καὶ ἡ καλοπραγία *).

V. 69. Τὸ δὲ νιφετῷ παλύνετο, ἀντὶ τοῦ τῇ χιόνι ἐσκέπαστο.

V. 72. Τὸ δὲ ὀλοφύρατο, ἀντὶ τοῦ ἐλέησε, συνέπαθε.

V. 73. Διεκπροαλὲς τὸ κατάφορον καὶ ῥοῶδες. Ἢ τὸ κατωφερὲς καὶ εἰς αἶαν **) προϊόν.

V. 76. Νεοστασία δὲ ἡ νέα ἐπίστασις καὶ σύννοια. Ἔλαβεν οὖν τὴν Κύπριν ἐπίστασις καὶ σύννοια νέων μύθων.

V. 77. Ἀζομένη, ἡ ἱκετεύουσα καὶ λισσομένη. Ἄζετο οὖν καὶ ἐσέβετο ἡ Ἀφροδίτη, ἢ εὐλαβεῖτο ὁρῶσα τὴν Ἥραν ἀντομένην καὶ ἀντιβολοῦσαν.

Ἕθεν, ἤγουν αὐτῆς τῆς Ἀφροδίτης.

V. 86. Παρθένου δὲ, ἢ ἁπλῶς ἀκουστέον τὴν θυγατέρα, ἢ πρὸς ἀντιδιαστολὴν τῶν ἄλλων εἴρηται, αἵτινες οὔπω ἦσαν παρθένοι.

V. 89. Δολόεσσα δὲ, ἡ πανοῦργος καὶ φρονίμη. Λαμβάνεται γὰρ ὁ δόλος καὶ ἐπὶ φρονήσεως. Ἢ ἡ δεινή.

V. 95. sq. Τὸ δὲ μενέηνα, ἀντὶ τοῦ ὠργίσθην, ἢ προθυμήσασα κατάξαι τοὺς ἱστοὺς καὶ τὰ τόξα.

Οἱ, ἤγουν αὐτοῦ.

Τὸ δὲ περισχομένη κακότητι, ἀντὶ τοῦ ὑπεραλγήσασα.

V. 97 — 99. Χαλεφθεὶς δὲ, ἀντὶ τοῦ ὀργισθεὶς, ἀπὸ τοῦ χαλέπτω.

---

*) Ignorant Lexica.

**) Leg. ἄλα.

Ὀργισθεὶς οὖν ἠπείλησέ μοι, εἰ μὴ ἔξω τὰς ἐμὰς χεῖρας τηλόθι, ἤγουν μακρὰν, ἕως οὗ κατέχει τὸν θυμὸν, ἀτεμβοίμην ἂν καὶ μεμφθείην ἐμαυτῇ.

Κεῖται δὲ τὸ ἕοι ἀντὶ τοῦ ἐμοί.

V. 106. Τὸ δὲ ῥαδινὸν ἐνταῦθα μὲν τὸ τρυφερὸν σημαίνει. Ἀνακρέων δὲ ἐπὶ τοῦ τάχους τάττει, ῥαδινοὺς εἰπὼν πώλους. Ἴβυκος δὲ ἐπὶ τοῦ εὐμεγέθους· τοὺς γὰρ τὸν οὐρανὸν ἀνέχοντας κίονας ῥαδινοὺς ἔφη, ἤγουν εὐμεγέθεις. Στησίχορος δ' ἐπὶ τοῦ εὐτόνου, εἰπών·

Ῥαδινοὺς δ' ἔπεμπον ἄκοντας.

V. 107. Τὸ δὲ παραβλήδην κεῖται μὲν καὶ ἀντὶ τοῦ ἀπατᾶν καὶ παραλογίζεσθαι· ἐνταῦθα δὲ ἀντὶ τοῦ ἐξ ἀντιβολῆς καὶ ὑποκρίσεως εἴρηται, οἱονεὶ παραβάλλουσαι τοῖς εἰρημένοις ἀπεκρίνατο.

V. 112. Παλίσσυτοι δὲ, ἀντὶ τοῦ ὀπισθόρμητοι.

V. 114. Τὸ δὲ ἀπάνευθε Διὸς, ἀμφίβολον ἔχει τὴν φράσιν. Ἤτοι γὰρ ἀπάνευθε τοῦ Διὸς ἐν τῇ ἀλωῇ εὗρεν αὐτὸν, ἢ συνυπακουστέον *) τὸ ἄλλων, ἵν' ᾖ, ἀπάνευθε τῶν ἄλλων ἐν τῇ τοῦ Διὸς ἀλωῇ.

V. 118. Τὸ δὲ ἑψιόωντο, ἀντὶ τοῦ ἔπαιζον κεῖται. Φίλων δὲ ἀντὶ τοῦ ὡμίλουν χρῆται ἀπὸ τοῦ ἔπος.

V. 120. Ὁ δὲ μάργος Ἔρως κατὰ μετωνυμίαν κεῖται, ἀντὶ τοῦ ὁ μαργαίνειν ποιῶν, ὡς καὶ, μαινομένου Διονύσου. Καὶ Ἀνακρέων· τακερὸς δ' ἔρως. Καὶ Ὅμηρος· χλωρὸν δέος.

Ἡ δὲ λαιὰ παρεσχημάτισται ἀπὸ τοῦ λώϊον, ὅ ἐστι βελτίονος. Διὸ καὶ εὐώνυμος λέγεται.

---

*) Schol. ad Lucian. T. I. p. 140. ἢ συνυπακουστέον τὴν εἰς πρόθεσιν. Eustathius ad Homer. Il. p. 901, 10. Rom. ἐντελειά τις τῷ δήμῳ συνυπακούεται.

V. 122. Τὸ δὲ ὀκλαδὸν, ἀντὶ τοῦ ὀκλάσας κεῖται.

V. 123. Δοιὼ δ' ἔχεν, ἀντὶ τοῦ δύω ἀστραγάλους ἐκράτει.

V. 125. sq. Ἀπολέσας δὲ τούτους πρὸς τοῖς προτέροις ὁ Γανυμήδης, ἀμήχανος ἀπέβη, ἤτοι ἐν ἀμηχανίᾳ γενόμενος ἀπῆλθεν.

V. 127. Ἐπιπλομένην δὲ, ἀντὶ τοῦ ἐπελθοῦσαν.

V. 129. Ἄφατον δὲ, τὸ ἄῤῥητον καὶ μέγα.

V. 130. Τὸ δὲ περιέπλεο, ἀντὶ τοῦ ἐνίκησας.

Νῆϊν ἐόντα, ἀντὶ τοῦ ἄπειρον ἐόντα.

V. 133. Ἀδράστεια δὲ τροφὸς μὲν Διὸς, ἀδελφὴ δὲ Κουρήτων. Καλλίμαχος· σὲ δ' ἐκοίμησεν Ἀδράστεια ἀδελφὴ Κουρήτων *).

V. 134. Ἰδαῖον δὲ ἄντρον, ἢ τὸ Κρητικὸν, ἢ τὸ Τρωϊκόν. Ἀντιποιοῦνται δὲ τῆς τοῦ Διὸς γενέσεως καὶ Τρῶες, ὥς φησι Δημήτριος ὁ Σκήψιος.

V. 137. Κύκλα δέ φησι τοὺς ῥόμβους, τὰ κυκλώματα. Κύκλα δὲ εἶπεν Ἰωνικῶς, ἀντὶ τοῦ κύκλους, ὡς λύχνα, δίφρα.

V. 138. Ἀψῖδες δὲ αἱ συναφαί.

Περιηγέες, ἀντὶ τοῦ περιφερεῖς καὶ περίδρομοι.

V. 140. Ἐν δὲ τῷ ἑαῖς ἐνὶ χερσὶ, τὸ ἑαῖς ἀντὶ τοῦ τεαῖς κεῖται.

V. 141. Ὅλκον δέ φησι τὴν διαδρομὴν τοῦ ἀστέρος.

V. 143. Θέλξον δὲ, ἀντὶ τοῦ λύσον τὴν ψυχήν.

V. 144. Ἀμβολίαν δὲ λέγει τὴν βραδυτῆτα.

Ἀφαυροτέρα δέ ἐστιν ἡ ἐλάσσων.

---

*) Poëtae verba una cum glossemate. V. Hymn. in Iov. v. 47. et Schol.

V. 146. *Μείλια μὲν ἐνταῦθα τὰ παίγνια.* Ὅμηρος δὲ ἐπὶ τῶν ξενίων τάττει·

ἐγὼ δ' ἐπὶ μείλια δώσω

πολλὰ μάλα.

V. 148—150. *Ἐν δὲ τῷ, ἤδ' ἀγανοῖσιν,* οὕτω συντάττειν δεῖ· ἡ δὲ ἐπερείσασα τὰς παρειὰς κῦσε ποτισχομένη, ἤγουν περιλαβοῦσα, καὶ ἀντομένη, καὶ ἀποκριναμένη δι' ἀγανῶν μύθων καὶ μειδιόωσα ἀμείβετο.

V. 153. *Τὸ δὲ εἴ κεν ἐνισκίμψῃ,* ἀντὶ τοῦ, ἐὰν ἐνεργήσῃς καὶ ἐπιβάλῃς.

V. 158. *Βῆ δὲ δι' ἐκ μεγάροιο.* Διὰ τούτων τῶν στίχων παραγράφει *) τὰ εἰρημένα ὑπὸ Ἰβύκου, ἐν οἷς φησὶ περὶ τῆς Γανυμήδους ἁρπαγῆς ἐν τῇ εἰς Γορ-

*) *imitatur.* Infra ad v. 876. *Δοκεῖ δὲ παραγράφειν διὰ τούτων τὸ Ὁμηρικόν.* Add. Schol. edit. ad I. v. 1026. Hoc sensu raro usurpatur *παραγράφειν*: frequentius *παραφράζειν*. Infra ad v. 1020. *Ἐν δὲ τῷ — ἔοικε τὸ Ὁμηρικὸν παραφράζειν.* Item *παραποιεῖν*. Scholiastes noster ad III. v. 1372. *Ταῦτα οὖν ἔοικε παραποιεῖν ὁ Ἀπολλώνιος ἐνταῦθα.* ubi Schol. edit. *Ταῦτα δὲ Ἀπολλώνιος παρέγραψε.* Harpocration p. 145. Gron. *Δίδυμός φησι τὴν περὶ ὄνου σκιᾶς παροιμίαν παραπεποιῆσθαι ὑπὸ τοῦ ῥήτορος.* Quod cur Interpres (p. 290. Blanc.) verterit *detortum esse,* probabilis causae nihil me videre fateor. Schol. ad Aristophan. Plut. v. 782. *Ἔστι δὲ τὸ, βάλλ' ἐς κόρακας, παρ' ὑπόνοιαν παραποιηθὲν ἐκ τοῦ, βάλλ' ἐς μακαρίαν.* Eustathius ad Homer. Il. p. 1481, 21. Bas. *Τὸ δὲ ὄζουσα ὡρῶν, παραπεποιῆσθαι δοκεῖ ἐκ Θεοκρίτου.* Demetrius Phaler. de Elocut. XCVIII. *τὴν τοῦ ἐλελεῦ ἀναβόησιν — παραποιήσας ὀνόματι.* Erravit igitur Locella, cum ad Xenophont. Ephes. p. 137. haec notaret: „*παραποιέω* non commemini adhibitum nisi in „malam partem de falsariis, vel saltem de immutationibus minus „probatis.“ Ceterum quod Facius *παραδρᾶν* eodem modo dictum reperire sibi visus est in Pausaniae Atticis c. II. 4., fefellit eum ratio loci syntactica: nam ibi sic construendum, *δρᾶσαι τελετὴν παρὰ τὴν ἐν Ἐλευσῖνι.* *Παρὰ* accusativo iunctum saepe significat imitationem. Schol. ad Aristophan. Av. v. 1240. *Τοῦτό φησι παρὰ τὸ Σοφόκλειον.* ad Nub. v. 583. *Παρὰ τὰ ἐκ Τεύκρων Σοφοκλέους.* V. Nunnes. ad Phrynich. p. 173. Pauw.

γίαν ᾠδῇ, καὶ ἐπιφέρει περὶ τῆς Ἠοῦς, ὡς ἥρπασε Τιθωνόν.

V. 166. Τὸ δὲ ἀν᾽ αἰθέρι, ἀντὶ τοῦ ἀν᾽ αἰθέρα, δοτικῇ ἀντὶ αἰτιατικῆς.

V. 167. Ἐν δὲ τῷ ἑῆς ἐπὶ σέλμασι νηὸς, τὸ ἑῆς ἀντὶ τοῦ σφῆς κεῖται. Σημαίνει γὰρ τὸ μὲν ἑῆς, τῆς ἑαυτοῦ, τὸ δὲ σφῆς, τῆς ἑαυτῶν.

V. 186. Καὶ ἐν τῷ σφέτερον κτέρας, τὸ σφέτερον ἀντὶ τοῦ ἑὸν κεῖται.

V. 187. Τὸ δὲ λωΐτερον ἀπὸ τοῦ λῷον παρῆκται.

V. 190. Ἐν δὲ τῷ ὅδε καὶ πότε, ἀπὸ ὀξείας *) τὴν πρώτην συλλαβήν. Ἐπὶ τὸν Αἰήτην γὰρ ἀναφέρεται.

V. 199. Θρωσμὸν δὲ λέγει τὸν ὑπεράνω τοῦ ποταμοῦ τόπον, ἀφ᾽ οὗ ἐστι θρόειν καὶ πηδᾷν ἀπὸ τῆς νεώς.

V. 200. Κιρκαῖον δὲ πεδίον ἀπὸ τῆς Κίρκης.

Τὴν δὲ Κίρκην τινὲς μὲν ἀδελφὴν Αἰήτου, τινὲς δὲ θυγατέρα φασὶν εἶναι. Διονύσιος μὲν οὖν ὁ Μιλήσιος ἐν ᾱ τῶν Ἀργοναυτικῶν Αἰήτου φησὶ θυγατέρα καὶ Ἑκάτης τῆς Περσέως εἶναι, ἀδελφὴν δὲ Μηδείας. Ἡλίῳ γὰρ φησὶ δύο γενέσθαι παῖδας ἐν ἐκείνοις τοῖς τόποις, Περσέα καὶ Αἰήτην. Τούτους δὲ διακατασχεῖν **) τὴν

---

*) Subaud. τάσεως. Quae ellipsis addenda Catalogo Bosiano. Pro ἀπὸ f. leg. ἐπὶ, ut plena oratio sit, ἐπὶ ὀξείας τάσεως τὴν πρώτην συλλαβὴν ἀναγνωστέον.

**) Schol. edit. κατασχεῖν. Diodorus Sic. III. c. 61. φρουραῖς διακατέχειν τὰς ἀκροπόλεις. Wesselingius: „Διακατέχειν Steph. „ora, Coisl. Mut. Clar. Vat. bene. Vid. infr. XV, 82. Editi κατέ„χειν.“ Omnino Diodorus hoc compositum frequentat. L. XX. c. 50. τὸ λαιὸν κέρας διακατεῖχε. c. 69. τὰς πόλεις διακατέχοντες. c. 77. τάς τε πόλεις — διακατέσχε. Suidas T. I. p. 854. Ἐρήτυθεν. κατέσχον. Sed Hesychius T. I. c. 1427. Ἐρήτυθεν. διακατέσχον.

χώραν. Καὶ Αἰήτην μὲν Κόλχων καὶ τῆς Μαιώτιδος, Περσέα δὲ τῆς Ταυρικῆς βασιλεῦσαι. Τὸν δὴ Περσέα πρεσβύτερον ὄντα γῆμαι γυναῖκα τῶν ἐγχωρίων τινὰ, καὶ γενέσθαι αὐτῷ ἐξ αὐτῆς θυγατέρα Ἑκάτην. Οἱ δὲ ἐκ Νύμφης τινὸς ἐγχωρίας τὴν Ἑκάτην φασὶν αὐτῷ γενέσθαι. Γενέσθαι δέ φασι τὴν Ἑκάτην ἀνδρικὴν καὶ κυνηγέτιν *), καὶ περὶ τὰς καλουμένας Ἑκὰς διατρίβουσαν, πρώτην θανασίμους ῥίζας ἐξευρεῖν, καὶ ἐμπειροτάτην γεγονέναι τῶν τε δηλητηρίων καὶ τῶν ἰᾶσθαι δυναμένων, καὶ τὸν ἑαυτῆς πατέρα φαρμάκῳ ἀποκτεῖναι. Μεταπεμψάμενος δὲ αὐτὴν Αἰήτης ὁ πατράδελφος εἰς Κόλχους ἔγημε, καὶ ἔτεκεν ἐξ αὐτῆς Κίρκην τε καὶ Μήδειαν. Κίρκην μὲν οὖν πρεσβυτέραν οὖσαν Μηδείας ὑπερβαλέσθαι τῆς ἑαυτῆς μητέρα, τὰ μὲν διακούσασαν παρ᾽ αὐτῆς, τὰ δὲ καὶ αὐτὴν ἐφευρηκυίαν πολλὰ καὶ δεινὰ φάρμακα. Μήδειαν νεωτέραν μὲν Κίρκης, οὐχ ἡττωμένην δὲ αὐτῆς. Ταῦτα μὲν Διονύσιος. Ἡσίοδος δὲ ἐν τῇ Θεογονίᾳ Ἡλίου θυγατέρα φησὶν εἶναι τὴν Κίρκην, λέγων οὕτω·

Κίρκη δ᾽, Ἠελίου θυγάτηρ Ὑπεριονίδαο,
τίκτεν Ὀδυσσῆϊ ταλασίφρονι ἐν φιλότητι
Ἄγριον ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε.

V. 202—209. Ὅτι δὲ τὰ τῶν ἀῤῥένων σώματα οὐ θέμις Κόλχοις, οὔτε καίειν, οὔτε θάπτειν, βύρσαις δὲ νεαραῖς ἐνειλοῦντας ἐκκρεμᾷν, τὰ δὲ θήλεα τῇ γῇ διδόναι, ἱστορεῖ Νυμφόδωρος, ᾧ δοκεῖ οὗτος ἠκολουθηκέναι. Σέβονται δὲ μάλιστα οὐρανὸν καὶ γῆν.

---

*) H. Stephanus Thes. T. II. c. 520. B.: „κυνηγέτιδι αἰγανέᾳ „in Epigramm. Venatorio iaculo." Ex Antipatri Sidon. Epigr. XVIII. v. 4.

Τὸ δὲ ἦ γάρ κε δίκη θεσμοῖο τέτυκται, ἀντὶ τοῦ, οὗτος γὰρ ὁ τρόπος τοῦ νόμου ἐστί.

V. 218. Χαλκείας δὲ γλυφίδας τὰ χαλκᾶ τορνεύματα φησὶν, ἢ τὰ χαλκᾶ κιονόκρανα.

V. 222. Τὸ δὲ ἐλάχηνεν, ὤρυξεν, ἔσκαψε. Καταστρέφει δὲ εἰς τὸ κατέσκευσε.

V. 224. Θυώδη δὲ ἀλοιφὴν λέγει, ἢ ἀρώμασι μεμιγμένον ὕδωρ, ἢ εὐῶδες ἔλαιον.

V. 226. Τὸ δὲ θέρμετο, ἀντὶ τοῦ ἐθερμαίνετο.

Ἰστέον δὲ, ὅτι ὁ Ἀπολλώνιος κατὰ μὲν τὴν δύσιν τῶν Πλειάδων λέγων ῥεῖν τὸ ὕδωρ θερμὸν, κατὰ δὲ τὴν ἐπιτολὴν ψυχρὸν, ἁπλούστερον ἀποφαίνεται, μὴ διελὼν, περὶ ποίας ἐπιτολῆς καὶ δύσεως διαλέγεται. Δύο γάρ εἰσιν ἐπιτολαὶ καὶ δύο δύσεις ἑκάστου τῶν ἀπλανῶν ἀστέρων. Ἑώα μὲν ἐπιτολή ἐστιν, ὅταν ἔξω τῶν αὐγῶν τοῦ ἡλίου πρῶτον ἵστηταί τι ἄστρον, καὶ πρὸ αὐτοῦ ἀνατέλλον ὀφθῇ· ἑώα δὲ δύσις, ὅταν ἡλίου ἐν τῇ ἀνατολῇ ὄντος περὶ τὰς δύσεις ἄστρον τι ὁραθῇ ὕστατον δύνον τῶν ὅσα κατ᾽ ἐκείνην τὴν νύκτα δύνει. Ἑσπερία δὲ ἐπιτολὴ, ὅταν ἡλίου δύνοντος ἐν τῇ ἀνατολῇ ἄστρον ὁραθῇ πρῶτον τῶν ὅσα κατ᾽ ἐκείνην τὴν νύκτα ἀνίσχει· ἑσπερία δὲ δύσις, ὅταν ἡλίου δύνοντος ἄστρον κατὰ τὴν δύσιν φανῇ πρῶτον τῶν ἄλλων αὐτὸ ἐπικαταδύνον *), ὡς ἂν ὑπὸ ταῖς αὐγαῖς τοῦ ἡλίου γένηται. Ὁ δὲ ὑπὸ ταῖς αὐγαῖς ἅπας χρόνος κρύψις ὀνομάζεται.

Αἱ δὲ Πλειάδες Πλειόνης τῆς Ὠκεανοῦ καὶ Ἄτλαντος οὖσαι κατὰ μέν τινας ἀπὸ Πλειόνης τῆς μητρὸς οὕτως ἔσχον τὴν ἐπωνυμίαν, κατὰ δὲ ἄλλους ἀπὸ τοῦ πλειόνος, τοῦ ἐνιαυτοῦ· σημαντικαὶ γὰρ αὗται καὶ θέ-

*) Hanc formam adde Lexicis.

ρους καὶ χειμῶνος. Αὗται οὖν τὴν ἐναντίαν τῷ Ὠρίωνι ἀεὶ ποιοῦνται πορείαν. Συναντῆσαι γάρ ποτε λέγεται τῇ Πλειόνῃ μετὰ τῶν θυγατέρων αὐτῆς, καὶ εἰς ἔρωτα ἐμπεσὼν αὐτῆς ἐδίωκεν· ἡ δὲ ἔφευγε. Γενέσθαι δέ φασι τὸν δρόμον αὐτῶν ἀδιάλειπτον, καὶ οὕτω καταστερισθῆναι τὰς Πλειάδας τὸν Ὠρίωνα φεύγουσας.

V. 230. Χαλκόποδας δὲ εἶναι τοὺς ταύρους καὶ πῦρ πνέοντας, καὶ Φερεκύδης φησίν.

V. 232. Αὐτόγυιον δέ φησιν ἄροτρον πρὸς ἀντιδιαστολὴν τοῦ πηκτοῦ. Δύο γὰρ ἀρότρων εἴδη, αὐτόγυιον καὶ πηκτόν. Πηκτὸν μὲν οὖν ἐστι τὸ ἐξ *) συμβολῆς ἔχον τὸ ἔλυμα. Ἔλυμα δέ ἐστιν, ἐν ᾧ ὁ ὕνις ἐντίθεται. Τὸ δὲ ἀπὸ τοῦ ἐλύματος ξύλον ἐπὶ τοὺς βόας τεῖνον, γύης καλεῖται. Τὸ δὲ ἀπὸ τοῦ γύου, ἱστοβοεύς. Τοῦ δὲ ζυγοῦ τὰ ἐπιτιθέμενα ἐπὶ τῶν αὐχένων τῶν βοῶν, οἱ μὲν ζεύγλας, οἱ δὲ μέσσαβα καλοῦσι. Τοιοῦτον μὲν τὸ πηκτόν. Τούτου δὲ τὴν κατασκευὴν Ἐρατοσθένης ἐν τῷ Ἀρχιτεκτονικῷ παραδίδωσιν. Αὐτόγυιον δέ ἐστιν, οὗτινος τὸ ἔλυμα οὐκ ἐστὶν ἐκ συμβολῆς.

V. 233. sq. Διὰ δὲ τοῦ Ἡλίῳ τίνων χάριν, καὶ τῶν ἑξῆς, τὴν αἰτίαν ἀποδίδωσιν ὁ Ἀπολλώνιος, δι' ἣν ὁ Ἥφαιστος τοὺς χαλκόνυχας **) ταύρους καὶ τὸ ἄρο-

---

*) Ἐξ pro ἐκ hic et illic legas, quando sequens vocabulum a σ incipit. Fischer. ad Weller. I. p. 259.: „ἐξ Σμύρνης legitur in „marm. Oxon. II. 81." Imo 82. Diodorus Sic. I. c. 23. T. I. p. 27, 2. Wessel. ἐξ Σεμέλης, sed operarum errore, ut videtur: nam Stephanica et Wecheliana habent ἐκ, quas nuper secuta est Halensis. Non dissimile est Σέξστος, quod pro Σέξτος in libris toties legitur, ut non videatur ortum ab errore librariorum. V. Polyaen. VIII. c. 6. et Fabric. ad Sext. Empir. p. 215. a.

**) Schol. edit. χαλκώνυχας, idque rectius. Sic passim scriptum ἀκρόνυχος, ubi debebat scribi ἀκρώνυχος. V. Iacobs. ad Anthol.

τρον κατεσκεύασε τῷ Αἰήτῃ. Πέπλασται μὲν οὖν ὁ μῦθος διὰ τὴν τοῦ θεοῦ τῶν ποδῶν χωλότητα, οὐ μέντοι πιθανῶς· μείζω γὰρ εἶχε δύναμιν τῶν Γιγάντων, δι᾽ ἧς κατεστρέψατο ἂν αὐτούς. Ὅτι γὰρ δυνατὸς ἦν, ἔδειξεν ὁ Ὅμηρος ἐπὶ τοῦ Ξάνθου ποταμοῦ.

Φλέγρα δὲ πόλις Θράκης περὶ Παλλήνην, ἐν ᾗ οἱ θεοὶ πρὸς τοὺς Γίγαντας ἐπολέμησαν.

V. 235. Μέσαυλον δὲ τὸ μέσον τῆς αὐλῆς, ὅπου τῶν βοῶν αἱ στάσεις. Οἱ δὲ Ἀττικοὶ μέσαυλον φασὶν τὴν φέρουσαν εἴς τε τὴν ἀνδρωνῖτιν καὶ τὴν γυναικωνῖτιν.

V. 237. Δαιδαλέη δ᾽ αἴθουσα, τουτέστι ποικίλη δὲ στοὰ ἣν ἑκατέρωθεν τῆς οἰκίας.

V. 238. Λέχρις δὲ, ἤγουν ἐκ πλαγίου τῆς αἰθούσης, αἰπύτεροι καὶ ὑψηλότεροι ἦσαν δόμοι, τουτέστι πύργοι ἦσαν ἑκατέρωθεν ὑψηλοί.

V. 242. Τὴν δὲ Καυκασίαν Νύμφην ὁ μὲν τὰ Ναυπακτικὰ ποιήσας Ἐριαύγην λέγει. Διονύσιος δὲ Ἑκάτην λέγει μητέρα Μηδείας καὶ Κίρκης, ὡς εἴρηται. Σοφοκλῆς δὲ Νέαιραν, μίαν τῶν Νηρηΐδων. Ἡσίοδος δὲ Εἰδυῖαν·

Αἰήτης δ᾽, υἱὸς φαεσιμβρότου Ἠελίοιο,
γῆμε θεῶν βουλῇσιν Εἰδυῖαν καλλιπάρῃον.

Ἐπιμενίδης δὲ Κορίνθιον εἶναι φησὶ τὸν Αἰήτην, καὶ

Gr. I. 1. p. 93. Nam „aliud est Ἀκρόνυχος, aliud Ἀκρώνυχος. „Suidas: Ἀκρόνυξ. τὸ ἄκρον τῆς νυκτός. καὶ Ἀκρονυχία, ὁμοί„ως, διὰ τοῦ ὁ μικροῦ. Ἀκρώνυξ δὲ, καὶ Ἀκρωνυχία, τὸ ἄκρον „τοῦ ὄνυχος, καὶ τοῦ ὄρους, διὰ τοῦ ω μεγάλου." Toupius Addend. in Theocrit. p. 408. b. Scholiastes ad Philostrat. Icon. ap. Boissonad. ad Heroic. p. 549.: ἀκρονυχία ἡ ἄκρα τῆς νυκτὸς, ἀκρωνυχία ἐπὶ ὄρους. e quibus Grammaticorum locis ἀκρονυχία Lexicis accedat.

τὴν μητέρα αὐτοῦ Ἐφύραν κεκλῆσθαι· Διοφάνης δὲ ἐν ᾱ τῶν Ποντικῶν ἱστοριῶν Ἀντιόπην φησὶ τὴν Αἰήτου μητέρα.

Προγενέστερον δὲ γενέσθαι τὸν Ἄψυρτον τῆς Μηδείας φασὶ, γεγονότα Αἰήτῃ ἐξ Ἀστεροδίας τῆς Ὠκεανοῦ καὶ Τιθύος.

V. 255—257. Ἐν δὲ τῷ ἔκτοθι πᾶσαι τὸ ἔκτοθι ἀντὶ τοῦ ἔκτοσε κεῖται, ἵνα τὴν εἰς τόπον σχέσιν*) σημήνῃ. Ὡσαύτως δὲ καὶ τὸ ὑψοῦ ἀντὶ τοῦ ὑψόσε ἐτέθη. Τὸ μὲν γὰρ ὑψοῦ τὴν ἐν τόπῳ, τὸ δὲ ὑψόσε τὴν εἰς τόπον σχέσιν *) δηλοῖ. Ὅμηρος·

Ὑψοῦ ἐπὶ ψαμάθοιο.

V. 260. sq. Τὸ δὲ ἔμπης οὐκ ἂν οὕτω συντακτέον· λιπόντος μὲν ἐν ἀκηδείᾳ ἀντὶ τοῦ ἀφροντίστως, ἔμπης οὐκ ἐμέλλετε μακρὰν πλανηθῆναι, ἡ δὲ αἶσα μετέτραπε καὶ μετέστρεψεν ὑμᾶς. Ἔστι δὲ ἐνταῦθα τὸ τηλόθι ἀντὶ τοῦ τηλόσε.

---

*) Sic in Schol. ad I. v. 242. τὴν ἐν τόπῳ σχέσιν — τὴν εἰς τόπον σχέσιν. Schol. ad Sophocl. Trachin. v. 1012. τὴν δὲ ἐκ τόπου σχέσιν εἶπεν, ἀντὶ τῆς ἐν τόπῳ. Schol. ad Aristophan. Plut. v. 2. ἡ γὰρ παρὰ ἐνταῦθα τὴν ἔξω σχέσιν δηλοῖ. Schol. ad Philostr. Her. p. 358. Boiss. ἡ ἐπὶ, τὴν δευτέραν σχέσιν. scil. δηλοῖ s. σημαίνει, quam ellipsin adde Catalogo Bosiano. Plene idem p. 480. ἡ παρὰ ἐνταῦθα τὴν ἔξω σχέσιν δηλοῖ. Ammonius p. 122. Valck. τὴν ἐν τόπῳ σχέσιν δηλοῖ. Paulo ante aliter: τὴν εἰς τόπον σημασίαν δηλοῖ — τὴν ἐν τόπῳ — τὴν ἐκ τόπου. aliterque Photius Lex. c. 269. in. τὴν ἐν τόπῳ σημαίνει δύναμιν. Dionysius Thrax Art. Grammat. c. 24. τὰ δὲ τοπικὰ, οἷον, ἄνω, κάτω, ὧν σχέσεις εἰσὶ τρεῖς, ἡ ἐν τόπῳ, ἡ εἰς τόπον, ἡ ἐκ τόπου. Etymologicum M. c. 309, 1. ποίας σχέσεως τῶν τοπικῶν; τῆς ἐν τόπῳ. Eustathius ad Homer. Il. p. 532, 6. Rom. ἡ γὰρ ἐξ πρόθεσις, οὐ μόνον τὴν ἔξω δηλοῖ σχέσιν, κ. τ. λ. p. 802, 28. ἐπὶ δυϊκῆς σχέσεως. Alia habet Hemsterhusius ad Scholiast. Aristophan. l. c. Congessi haec, quod Lexicographos nostros de hoc usu vocis σχέσις apud Grammaticos tam frequenti tamque vario prorsus tacere vidissem.

V. 262. Τὸ δὲ ἔκποθεν ἄτης, ἀντὶ τοῦ, ἔκ τινος βλάβης.

V. 267. Τὸ δὲ μητέρ' ἐὴν, ἀντὶ τοῦ, τὴν ὑμετέραν μητέρα.

V. 275. Πολιὸν δὲ, τὸ διαφανές.

V. 276. sq. Τετρυχὼς δὲ, ὁ τετραχυμμένος *).

---

*) Alibi τετραχυσμένος, ut solent talia participia variare. Aristoteles Hist. Anim. IV. c. 9. extr. ὅμοιον σάλπιγγι τετραχυσμένῃ. Schneiderus: „τετραχυμένῃ Rhen." Quam formam vitiosam puto. Schol. ad Aristophan. Plut. v. 1082. ἐξηραμμένη. Hîc quoque al. uno μ, ἐξηραμένη: non minus vitiose. Sed in Herodoto I. c. 186. ἀπεξηρασμένον, et VII. c. 109. ἀπεξηρασμένον. Utrobique al. alteram formam, item vitiose scriptam, dant. Diodorus Sic. XVII. c. 71. πέτρα γὰρ ἦν κατεξαμμένη. Hippocrates T. II. p. 678. med. Lind. εἴρια — κατεξασμένα. Longus l. II. in. λύγου ξηρᾶς πληγαῖς κατεξασμένης. [Praecedit: τὰ ἔνοινα τῶν βοτρύων, quod cum olim perperam solicitavissem, errorem correxi in Melet. Crit. I. p. 110. Quanquam τῶν βοτρύων nunc nolim deducere a nominativo singularis τὸ βότρυον, sublestissimae formâ fidei, siquidem et in Luciano Codex optimae notae dat βότρυσιν, neque in Longo quidquam nos cogit talem formam comminisci. Etenim, quod vulgo ignorari videtur, quando Graeci τὸ γενικὸν τῷ εἰδικῷ sic, ut in Longi loco, iungunt, utcunque se habet genus grammaticum τοῦ γενικοῦ, τὸ εἰδικὸν in neutro genere poni potest, saepissimeque ponitur. Ipse Longus p. 78. meae edit. καὶ ὅπως τὰ μὲν βρόχοις αὐτῶν (τῶν φαττῶν καὶ τῶν κοψύχων), τὰ δὲ ἰξῷ λάβοι. Aristoteles Hist. Anim. II, 12, 16. ἔστι δὲ ἃ (τῶν ὀρνίθων) οὐκ ἔχει —, ὅσα μικρὰ τῶν ὀρνίθων. IV, 9, 9. Καὶ τῶν μικρῶν ὀρνιθίων ἔνια κ. τ. λ. Schneiderus ad h. l.: „ὀρνιθίων. Ita propter sequens ἔνια scripsi pro ὀρνίθων." Vulgatam, quae me quidem non offendit, revocandam puto. V, 12, 4. τὰ ἐκτεμνόμενα (τῶν βοῶν). ubi nihil insoliti video. VI, 8, 1. τὰ πολλὰ τῶν ὀρνίθων. Idem de Gener. Anim. I. c. 4. p. 166, 24. Sylb. ὅσα τῶν ὀρνίθων. Antigonus Caryst. Histor. mirab. c. LIII. τὰ μὴ δυνάμενα τῶν ἰχθύων. Niclasius eâdem, quâ ego olim, chordâ oberrans: „Necessario scribendum est ἰχθυδίων, ut cap. 55. „Alias enim τοὺς μὴ δυναμένους legi deberet." Heraclides Allegor. Homer. p. 2. τὰ νήπια τῶν ἀρτιμαθῶν παίδων. Heynius ad h. l. p. XV.: „expectabam utique παιδίων. τὰ νήπια παιδία, ad-

Οἶστρος δὲ μύωπος διαφέρει. Μύωψ μὲν γὰρ ἀπογεννᾶται ξύλων· ὁ δὲ οἶστρος ἐκ τῶν ἐν τοῖς ποταμοῖς ἐπιπλεόντων ζωαρίων.

Τὸ δὲ τέλλεται, κατὰ ἀφαίρεσιν τοῦ σ, ἀντὶ τοῦ στέλλεται *).

V. 281. *Ὀξέα δενδύλλων, ἀντὶ τοῦ συστρέψας ἑαυτὸν καὶ ἀποκαλύψας* **). *Ἢ ἀντὶ τοῦ ὀξέα παρεπι-*

„eoque *τὰ νήπια τῶν παιδίων.*" Defendi posse vulgatam scripturam, bene vidit Bastius meus Epist. Crit. p. 199. ceteroqui minus recte comparans quae diversi sunt generis. Eustathius ad Homer. Il. p. 711, 35. Rom. *ἐλάφων τὰ μὲν νέα, νεβροί. — τὰ δὲ τέλεια, οὐκ ἄλλο τι ἢ ἔλαφοι.*] Addam eiusdemmodi alia nonnulla, ubi alterutram litteram reperi. Glossator Harleianus ad Homer. Odyss. XXII. v. 184. p. 115. Lips. *μεμολυσμένον.* Schol. MS. in Aristid. ap. Valckenar. ad Herodot. p. 501, 2. *μεμολυσμένος αἵματι τῶν πολεμίων.* Add. Photii Lex. c. 302. in. et Schol. infra ad IV. v. 661. Aelianus de Nat. Anim. IV. c. 16. *πεπραϋσμένον.* Hippocrates T. II. p. 679. med. *ὑποτεθερμασμένον.* Eustathius ad Homer. Odyss. p. 276, 19. *τεθερμασμένον.* Athenaeus T. I. p. 213. Schweigh. *τοὺς ἐπιπλεῖον ἀπεγλυκασμένους.* Quod qui ab *ἀπογλυκάζω* derivant, non meminerunt, *γλυκαίνειν* esse *reddere dulce*, sed *γλυκάζειν* esse *dulce*. V. Athenaeus T. I. p. 99. Hesychius T. II. c. 221. *Κεκραιπαληκώς. — εὐφραμμένος.* ubi v. Albert. [*Εὐφρανσία*, quo utitur Scholiastes ad Lucian. T. III. p. 396., Lexicis addi poterit, nisi illic scribendum *εὐφρασία.* Confidentius dico, *εὐφραντὸν* Glossatoris Dorvilliani ad Aristophan. Plut. v. 806., quo adiectivo item carent Lexica, mutandum esse in *εὐφραντικόν.* Solennis est commutatio adiectivorum in *ος* et *ικος*. V. Ind. Graecit. ad Gregor. Cor. p. 992. b. et Schneider. Lex. v. *ἐπίθετος.*]

*) V. Heyn. ad Pindar. T. I. p. 38. Excerpta e Cod. Paris. post Gregor. Cor. p. 681. et Add. p. 912.

**) F. *ἐπικάμψας.* In Xenophontis Conviv. II, 22. pro *καμπτομένη* Ald. et Cod. Paris. (v. Gail. ad h. l. p. 35. extr.) habent *καλυπτομένη.* V. Bastii Comment. Palaeogr. p. 724. [Disputatur ibid. de commutatione litterarum *λλ* et *μ.* Addam nunc haec. Herodoti verba I. c. 57. *οὐδαμοῖσι τῶν νῦν σφέας περιοικεόντων εἰσὶν ὁμόγλωσσοι,* ubi citantur in Dionysii Halic. Ant. Rom. I. c. 29., libri huius, quod sciam, omnes, qui quidem hucusque collati sunt

στρεφόμενος καὶ εἰς ἑαυτὸν τοῖς ὀφθαλμοῖς ἐπινεύων. Ὅμηρος δὲ ἐπὶ τοῦ στρέφειν τέθεικε τὴν λέξιν. Τὸ γὰρ ἐν ἐπιστροφῇ τοῦ προσώπου παρεγκλίναντα τοῖς ὀφθαλμοῖς ἐπινεύειν, ὥσπερ καὶ Ἀπολλόδωρος. Σοφοκλῆς δὲ ἐπὶ τοῦ περιβλέπειν τάττει.

V. 288. *Ἀμαρύγματα* δὲ τὰς λαμπηδόνας τῶν ὀφθαλμῶν λέγει.

Τὸ δὲ *καί οἱ ἄηντο*, ἀντὶ τοῦ πνοὴν ἔπεμπον, ἢ ἐμετεωρίζοντο.

V. 291. Ἡ δὲ παραβολὴ Ὁμηρικῶς·

Ὡς δ' ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ.

V. 294. Τὸ δὲ *ἄγχι*, ἀντὶ τοῦ ἐγγύς. Τίθεται δὲ καὶ ἐπὶ χρόνου. Μένανδρος· Ἔγημεν ἔναγχος, ἀντὶ τοῦ νῦν, ἢ ἀντὶ τοῦ ταχέως.

V. 296. *Εἰλυμμένος* δὲ ὁ κεκαλυμμένος καὶ οἱονεὶ κεκρυμμένος. Εἰς τοῦτο γὰρ καταστρέφει.

V. 298. *Ἀκηδεία* δὲ, ἡ πολυκηδεία, τουτέστιν ἡ πολλὴ λύπη.

V. 302. Τὸ δὲ *σφετέρης θυγατρὸς*, ἀντὶ τοῦ ἰδίας.

V. 307. Τὸ δὲ *ἐνέκλασε* κατὰ μεταφορὰν εἴρηται, ἀντὶ τοῦ ἐνεπόδισεν, οἷον ἄρα τι *) κακὸν ὑμᾶς ἐνεπόδισε κατὰ τὸν πλοῦν.

V. 311—313. Τὴν δὲ *Κίρκην* ὁ Ἀπολλώνιος ἐν τῷ Τυῤῥηνικῷ πελάγει οἰκῆσαι φασὶν **), ἑπόμενος τοῖς

---

pro οὐδαμοῖσι vitiose habent οὐδ' ἄλλοις. Aeschines Socraticus, qui dicitur, Axioch. c. 16. (10. Boeckh.) μὴ ξυνυποθέμενος ἄλλως γέ πως μίαν αἴσθησιν. Lego ἀμωσγέπως.]

*) Leg. οἷον, ἆρά τι.

**) Leg. φησίν. Hac commutatione vix alia frequentior. V. Wesseling. ad Diod. Sic. Eclog. T. II. p. 522, 44. et 538, 91. Bast. Specim. edit. nov. Aristaen. p. 46. Heindorf. ad Platon. Gorg. p.

τιθεμένοις τὴν Ὀδυσσέως πλάνην ἐν ἐκείνῳ γεγονέναι πελάγει, ὧν ἀρχηγὸς ἦν Ἡσίοδος. Ἑσπερίαν δὲ θάλασσαν τὴν περὶ Ἰταλίαν λέγει διὰ τὸ πρὸς δυσμὰς κεῖσθαι. Ὅτι δὲ ἐκεῖ κατῴκησαν *) ἡ Κίρκη, δηλοῖ καὶ τὸ Κίρκαιον **) ὄρος ἀπ' αὐτῆς ὀνομασθὲν, πολυφάρμακον ὄρος ὄν.

Ὅ γε μὲν Ἀπολλώνιος Ἡσιόδῳ ἀκολουθῶν, καὶ ἐπὶ τοῦ ἅρματος τοῦ Ἡλίου τὴν Κίρκην εἰς τὴν ἐν τῇ Τυῤῥηνίᾳ νῆσον ἀφικέσθαι φησί.

V. 322. Τὸ δὲ ποτὶ ξηρὸν, ἀντὶ τοῦ ἐπὶ τὸ ξηρὸν ἀπὸ τοῦ ὑγροῦ τῆς θαλάσσης. Ἡ δὲ ποτὶ πρόθεσις παρὰ μὲν Δοριεῦσιν ἀντὶ τῆς πρός· παρ' ἡμῖν δὲ καὶ Ἴωσιν εἴληπται ἀντὶ τῆς παρά. Ὅμηρος·

ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ.

Καὶ ἡ Δωρικὴ παροιμία· Τὸν λίθον ποτὶ τὰν Σπάρταν ***) ἄγοντας.

V. 327. Ἐν δὲ τῷ νηὸς ἑῆς, τὸ ἑῆς ἀντὶ τοῦ σφετέρους †) κεῖται.

V. 334. sq. Τὸ δὲ σφωϊτέρῃ ἀλκῇ, ἀντὶ ††) τῇ ἑαυτοῦ.

---

262. Boissonad. ad Philostr. Her. p. 489. 520. 548. 550. 588. 615. et 651. Weisk. ad Longin. p. 551. Omnes hi errores inde nati, quod φησὶν et φασὶν eodem compendio scriberentur.

*) Conf. Bastii Comment. Palaeogr. p. 756.

**) Hoc accentu etiam supra p. 160. Sed h. l. Schol. edit. Κιρκαῖον, ut in Strabone legitur T. II. p. 157. 159. Sic accentus fluctuatur in v. Νυμφαιον. V. Casaubon. ad Strabon. p. 476. Alm. coll. Photii Lex. c. 222. Item in v. Ἑρμαιον. V. Rittershus. ad Isidor. l. IV. ep. 22.

***) Leg. σπάρταν. Idem proverbium e Basilio citavit Schneiderus v. σπάρτη. Noster rectius addit articulum τάν.

†) Leg σφετέρας.

††) Add. τοῦ.

V. 337—339. *Στεῦτο δὲ*, ἀντὶ τοῦ ὑπέσχετο δὲ μὴ ὑπαλήξειν τὴν τῶν Αἰολίδων γενεὰν τὴν τοῦ Διὸς ὀργὴν, καὶ τὸ *ἄτλητον ἄγος*, ἤγουν τὸ ἀφόρητον μίασμα· λέγοι δ' ἂν τὴν ἄδικον φυγὴν τοῦ Φρίξου, καὶ τὴν ποινὴν καὶ τὴν ἐκδίκην *) τοῦ Φρίξου· εἰ μὴ τὸ δέρος ἐπανήξει εἰς τὴν Ἑλλαδα.

V. 342. *Αἰνοτάτη* δὲ ἡ κακίστη.

Τὸ δὲ *ἤλιθα*, ἀντὶ τοῦ ἀθρόως.

Τὸ δὲ *ἐπεκύρσαμεν*, ἀντὶ τοῦ ἐτύχομεν.

V. 368. Τὸ δὲ *ἠερέθοντο*, ἀντὶ τοῦ ἐμετεωρίζοντο καὶ οἰδαίνοντο.

V. 375. sq. Ἐν δὲ τῷ *αὐτίχ' ὁμαρτήσαντες* προσεκτέον ὅτι ἀσαφῶς εἴρηται. Ἴσως οὖν *αὖθις* ἀντὶ τοῦ *αὐτίκα* ληπτέον, καὶ ἀντὶ τοῦ *ἀφ' Ἑλλάδος*, *ἐφ' Ἑλλάδα*, ἵν' ᾖ, οὐκ ἄφαρ ὑποστρέψετε εἰς Ἑλλάδα· εἶτα στίξαντας εἰς τὸ *Ἑλλάδα τελείαν* **) τὸ ἑξῆς ἐπιφέρειν δεῖ, οὐκ ἐπὶ κῶας δεῦρο νέεσθε, ἐπὶ τὰ σκῆπτρα δὲ καὶ τὴν βασίλειον τιμήν. Ὥστε οὐ γραπτέον *οὐδ' ἐπὶ κῶας*, ἀλλ' *οὐκ ἐπὶ κῶας*, οὐδὲ *σκῆπτρά τε*, ἀλλὰ *σκῆπτρα δέ*. Οἱ δὲ σχολιογράφοι ἐοίκασιν ἄλλῃ τινὶ γραφῇ ἐντυχεῖν. Φασὶ γὰρ ἀπὸ κοινοῦ νοεῖσθαι τὸ ἔολπα. Οὐδαμοῦ δὲ εἴρηται τὸ ἔολπα.

V. 386. Τὸ δὲ *σχέο μοι*, ἀντὶ τοῦ ἀνάσχου μοι.

Τὸ δὲ *τῷ στόλῳ*, ἀντὶ τοῦ περὶ τούτου τοῦ στόλου.

V. 388. Τὸ δὲ *οὐδέ μεν ἱέμενοι*, ἀντὶ τοῦ οὐδὲ ἐφιέμενοι τῆς σῆς βασιλείας.

---

*) Adde Lexicis. De his formis v. magnum Interpretem ad Thom. Mag. p. 127.

**) Subaud. στιγμήν. Quod ellipsis verae exemplum addi potest libro Bosiano talibus exemplis in h. v. carenti.

V. 395. Τὸ δὲ σφωτέροις σκήπτροις, ἀντὶ τοῦ ἰδίοις.

V. 399. Τὸ δὲ πειρήσαιτο βίην, ἀντὶ τοῦ πεῖραν λάβοι τῆς ἰσχύος τῶν ἡρώων.

V. 400. Τὸ δὲ ὑποβλήδην λαμβάνεται μὲν κυρίως, ἐπειδάν τις διακόψας τὸν τοῦ ἑτέρου λόγον ἀποκρίνηται· ἐνταῦθα δὲ ἐπὶ τοῦ ἀποκρινομένου ἁπλῶς.

V. 406. Ἑλλάδι δὲ κοιρανέοντα τὸν Πελίαν λέγει.

V. 408. Ὀλοὸν δὲ τὸ μέγα καὶ ἀνύποιστον.

V. 410. Τοὺς ταύρους χαλκόποδας εἶναι καὶ Ἀντίμαχος εἴρηκεν ἐν Λυδῇ.

V. 412. Τετραγύιον χώραν ἔφη, ἣν Φερεκύδης πεντηκοντόγυον.

V. 413. Ὁλκὸν δὲ λέγει τὴν ἐγχάραξιν τοῦ ἀρότρου.

V. 416. Τὸ δὲ περισταδὸν, ἀντὶ τοῦ περιεστῶτες καὶ ἐναντιούμενοι.

V. 422. Τὸ δὲ πάρος ἐπὶ τόπου. Κεῖται δὲ καὶ ἐπὶ χρόνου.

V. 427. Ἐέργεις δὲ, ἀντὶ τοῦ συνέχεις καὶ συγκλείεις.

V. 429. Μόρος δὲ ἀρσενικῶς ἡ μοῖρα.

V. 438. Τὸ δὲ μετελθεῖν, ἀντὶ τοῦ εἰς ἀρείονα ἄνδρα μετελθεῖν.

V. 441. Τὸ δὲ ἐπεὶ μεσσηγὺς αἰτίας ἀποδοτικόν *) ἐστι, διάτι κατόπιν ἐκείνων ἐπορεύετο ὁ Ἄργος. Διότι, φησὶν, ἔνευσε τοῖς ἀδελφοῖς αὐτοῦ ἔτι λιπέσθαι καὶ μεῖναι ἐν τῇ οἰκίᾳ.

---

*) Hoc adiectivum Lexicis adde.

V. 442. *Οἴδ' ἤεσαν καὶ ἐξῆλθον, οἱ περὶ Ἰάσωνα δηλαδή.*

V. 445. *Τὸ δὲ σχομένη, ἀντὶ τοῦ ἔχουσα οὖν τὰ ὄμματα ἐπ' αὐτῷ λοξὰ παραθεμένη τὴν λιπαρὰν κάλυπτραν ἐθαύμαζε.*

V. 453. *Τὸ δὲ προπρὸ δ' ἄρ' ὀφθαλμῶν, ἔμφασιν ἔχει διὰ τὴν ἐπαλληλίαν τῶν προθέσεων. Ὥσπερ καὶ τὸ προπροκυλινδούμενος* *).

V. 455. *Ἐν δὲ τῷ οἷα τε ἔειφ', τὸ οἷα θαυμαστικῶς κεῖται.*

V. 464. *Ἐν δὲ τῷ εἴθ' ὅγε πάντων, τὸ εἴτε οὐ πρὸς τὸ φθίσεται, ἀλλὰ πρὸς τὸ προφερέστατος ἀναφέρειν δεῖ, ἵν' ᾖ, τε* **) *ὁ προφερέστατος τῶν ἡρώων φθίσεται, εἴτε ὁ χείρων, ἤγουν ὁ χείριστος. Κεῖται γὰρ τὸ συγκριτικὸν ἀντὶ ὑπερθετικοῦ.*

V. 466. *Ἀκήριος δὲ ὁ ἀπαθής.*

V. 467. *Περσήιδα δὲ τὴν Ἑκάτην λέγει, ὡς τοῦ Περσέως θυγατέρα. Τινὲς μὲν γάρ φασιν, αὐτὴν Διὸς εἶναι παῖδα. Ἐν δὲ τοῖς Ὀρφικοῖς Δήμητρος γενεαλογεῖται·*

Καὶ τότε δὴ Ἑκάτην Δηὼ τέκεν εὐπατέρειαν.

Βακχυλίδης δὲ Νυκτὸς φησὶν αὐτὴν θυγατέρα·

Ἑκάτα δαϊφόρου ***) *Νυκτὸς μεγαλοκόλπου* †) *θύγατερ.*

---

*) Conf. Addend. ad Gregor. Cor. p. 909.

**) Leg. *εἴτε*.

***) Schol. edit. *δᾳδοφόρου*, quod in *δᾳδοφόρος* mutarunt Ruhnkenius ad Hymn. in Cerer. v. 24. Ilgenius ad Homer. Hymn. p. 517. et Iacobsius ad Anthol. Gr. I. 1. p. 390.

†) In *μελανοκόλπου* mutarunt Ilgenius l. c. et Iacobsius l. c. p. 391. De confusione adiectivorum *μέγας* et *μέλας* vocumque cum iis compositarum v. Brunck. ad Apollon. Rh. II. v. 921. 1172.

Μουσαῖος δὲ Ἀστερίας καὶ Διός. Φερεκύδης δὲ Ἀρισταίου τοῦ Παίωνος. Ἀπολλώνιος δὲ Περσέως.

V. 470. Τὸ δὲ ἐπαγέομαι, ἀντὶ τοῦ ἐπιχαίρω.

V. 471. Ἑόλητο δὲ, ἀντὶ τοῦ ἐτετάρακτο καὶ ἐν ἀγωνίᾳ ἦν.

V. 482. Ἀντιβολεῖν δὲ, τὸ συναντᾶν. Καταστρέφει δὲ εἰς τὸ κοινολογήσομαι.

V. 485. Ὦ πέπον, ἀντὶ τοῦ, ὦ γλυκύτατε, προσφιλέστατε. Ἐπεὶ καὶ ὁ πέπων μελίχρους.

V. 494. Διειρομένοισιν, ἐρωτῶσιν, ἢ ἐρευνῶσιν.

V. 497. Ἐφίετο δὲ, ἀντὶ τοῦ ἐνετέλλετο.

V. 510. Ἐντύνεο δὲ, ἀντὶ τοῦ παρασκευάζου.

V. 511. Ἑῇ δὲ, τῇ ἰδίᾳ.

V. 515 — 522. Ἰστέον δὲ, ὅτι ὁ μὲν Ἀπολλώνιος τοὺς τρεῖς μόνους λέγει ὑποστῆναι ζεῦξαι τοὺς βόας· ὁ δὲ τὰ Ναυπακτικὰ ποιήσας πάντας ἀριθμεῖ τοὺς ὑπ' αὐτοῦ φερομένους ἀριστεῖς. Ἔτι δὲ ὁ μὲν Ἀπολλώνιος Ἄργον φησὶν ἐμποδίσαι τοὺς ἥρωας ὑποστῆναι βουλομένους τὸν ἀγῶνα· ἐν δὲ τοῖς Ναυπακτικοῖς Ἴδμων ἀναστὰς Ἰάσωνι κελεύει ὑποστῆναι τὸν ἆθλον.

V. 529. Τὸ δὲ δάεν, ἀντὶ τοῦ ἐδίδαξεν.

V. 530. Νήχυτον δὲ ὕδωρ, τὸ πολύχυτον. Τὸ γὰρ νη καὶ στέρησιν καὶ ἐπίτασιν δηλοῖ. Καὶ ἀχύνετον τὸ πολὺ κατὰ Ἴωνας καὶ Σικελιώτας.

V. 533. Ἰστέον δὲ, ὅτι τὸ παλαιὸν αἱ φαρμακίδες ᾤοντο καὶ σελήνην καὶ ἥλιον καθελεῖν. Διὸ καὶ μέχρι Δημοκρίτου τὰς ἐκλείψεις καθαιρέσεις *) ἐκάλουν. Σωσιφάνης ἐν Μελεάγρῳ·

Schweighaeuser. Animadv. in Athen. T. I. p. 375. et Schneider. in Cur. poster. ad Aristotel. H. An. p. 477.

*) De hoc usu nominis *καθαίρεσις* Lexica tacent. Ceterum de hoc Scholio v. D. Heinsii Lection. Theocrit. p. 318.

Μάγοιο ἐπῳδαῖς πᾶσα Θεσσαλὶς κόρη
δευδὴς σελήνης αἰθέρος καταιβάτις.

V. 541. *Πελειάδα* παρεισάγει, ὅτι, ὡς φησιν Ἀπολλόδωρος ἐν τοῖς Περὶ θεῶν, ἱερὰ Ἀφροδίτης. Διὸ καὶ λάγνη *). Καὶ τὸ ὄνομα δηλοῖ· παρὰ γὰρ τὸ περισσῶς ἐρᾷν λέγεται.

V. 583. *Ἀποφλύειν* δὲ, τὸ ἐκφυσᾷν. Καταστρέφει δὲ εἰς τὸ ἐκπνεύσωσιν **). Ὅθεν καὶ φλυαρός.

V. 584—588. Ἰστέον δὲ, ὅτι ὁ μὲν Ἀπολλώνιος προστάξει Ἑρμοῦ δεχθῆναι τὸν Φρίξον ὑπὸ Αἰήτου φησίν· ὁ δὲ τὸν Αἰγίμιον ποιήσας διὰ δέρας αὐτὸν αὐθαιρέτως φησὶ προσδεχθῆναι. Λέγει δὲ, ὅτι μετὰ τὴν θυσίαν ἁγνίσας τὸ δέρας, οὕτως ἔστειχεν εἰς τοὺς Αἰήτου δόμους τὸ κῶας ἔχων.

Προσκηδὴς δὲ, ὁ εὐμενής.

Ἀντιᾷν δὲ, τὸ ἀπολαύειν.

V. 594. sq. Τὸ δὲ *μείλια τίσειν*, ἀντὶ τοῦ τιμωρίαν ἀποτίσειν *οἱ αὐτῷ*, τῷ Αἰήτῃ, τοὺς Φρίξου παῖδας χωρίς.

V. 596—600. Ὅτι δὲ χρησμὸς ἦν Αἰήτῃ δεδομένος, ὑπὸ τῶν αὐτοῦ ἐκγόνων ἀπολέσθαι, καὶ Ἡρόδωρος ἐν τοῖς Ἀργοναύταις ***) ἱστορεῖ. Τούτου γὰρ ἕνεκα καὶ τὴν ζεῦξιν τῶν ταύρων φησὶν αὐτὸν ἐπινοῆσαι.

Ἀκηδὴς, ὁ ἀφρόντιστος, καὶ ὁ μὲν †) φροντίζων ἕτερον.

---

*) Hoc femininum adde Lexicis: itemque *λαγνικὸς*, quo utitur Clemens Alex. p. 225, 40. Pott.

**) Sic paulo ante ad v. 482. *Καταστρέφει δὲ εἰς τὸ κοινολογήσομαι.* Supra ad I. v. 1334. *Καταστρέφει δὲ εἰς τὸ μὴ καθῆκον μηδὲ νόμιμον.* redit huc, ut valeat —.

***) V. ad II. v. 901.

†) Rursus confusa *μὲν* et *μή*.

Τὸ δὲ σφωϊτέρης, ἀντὶ τοῦ ἰδίας.

V. 602. *Τὸ δὲ πατρὸς ἐφημοσύνῃ, ἀντὶ τοῦ κατὰ τὴν τοῦ Ἡλίου νουθέτησιν.*

V. 610. *Παρηγορεῖν ἐνταῦθα τὸ παρακαλεῖν καὶ φιλοφρονεῖσθαι.*

V. 615. *Ἀμφαδὸν δὲ, τὸ φανερὸν καὶ ἀκουστόν.*

V. 616. *Καταλωφᾷν δὲ, τὸ καταπαύειν ἐνεργητικῶς.*

V. 629. *Ἰθύνειν ἐνταῦθα τὸ δικάζειν.*

V. 641. *Τὸ δὲ ἔμπα, ἀντὶ τοῦ ἔμπης.* *)

V. 663. *Ἐπιστοβέωσι δὲ, ἀντὶ τοῦ χλευάσωσιν, ἢ λοιδορήσωσιν, ἢ μωμήσονται.*

V. 665. *Ἐν δὲ τῷ ἐπιπρομολοῦσα περιττεύει ἡ ἐπὶ πρόθεσις. Ὡς ἐν τῷ ἐπιβουκόλος.*

V. 666. *Ἐπέτις δὲ, ἡ ἀκόλουθος.*

Κουρίζουσα δὲ, ἡ νεάζουσα.

V. 676. *Θευμορίη δὲ νόσος, ἡ ἐκ θεοῦ μεμοιρασμένη* **).

V. 687. *Ἐπεκλονέεσκον, ἀντὶ τοῦ ἐθορύβουν.*

V. 688. *Τὸ δὲ ἄηται τὸ τετάρακται σημαίνει.*

V. 689. *Τὸ δὲ σφὲ ἐκ τοῦ σφέας κατὰ ἀποκοπήν.*

V. 694. *Ἀντιᾷν ἐνταῦθα τὸ παρακαλεῖν καὶ δυσωπεῖν* ***).

---

*) Ad vocem *οἰέανος* v. 646. ipse Ruhnkenius in edit. H. Stephani haec scripsit: „Schol. in marg. *ἠέανος, ἑανὸς. ποικίλον,* „*λεπτὸν, καλὸν, ἱμάτιον γυναικεῖον. καὶ κατὰ τοῦ στερητικοῦ* „*ᾱ ἀέανος. καὶ τροπῇ τοῦ ᾱ εἰς η̄, ἠέανος.*" Nemo non videt, *κατὰ* mutandum esse in *μετά*.

**) Hanc formam iam supra ad I. v. 973. vidimus. Schol. edit. h. l. sine σ̄, *μεμοιραμένη*.

***) *Δυσωπεῖν* hic fere i. q. *παρακαλεῖν*, *rogare*. Hoc sensu verbum ponitur in scriptis Graecorum posteriorum. Citavi aliquot exempla ex Aesopeis in animadversionibus, quibus auxi Heusinge-

V. 700. Συνδρήστειρα *) δὲ, ἡ συνεργός.

rianam Fabularum editionem typis Lipsiensibus repetitam, p. 146. Nunc addere iuvat exquisitam Hemsterhusii notam, absconditam illam in angulo, quo pauci Philologorum nostrorum, quamvis moniti a Ruhnkenio, videntur perreptasse. Sic enim vir summus ad Io. Chrysost. Homil. a Raphelio edit. pag. 48. vs. 8.: „ — Hic au„tem plurimisque aliis in locis Chrysostomus usurpat illud δυσω„πεῖν, quod varie solet a recentioribus adhiberi praeter morem ve„terum, ut monent Phrynich. p. 30. Herodian. p. 92. Harpocr. et „Thom. Mag. in V. Saepe significat non tantum simpliciter *orare* „*et exorare*, sed *supplicando invidiam facere, sic ut prae pudo*„*re quis precibus concedere cogatur*; egregie Gregor. Nyss. T. II. „p. 239. C. Schol. Apollon. Rh. ad III, 694. ἀντιάσειεν exponit, „παρακαλέσειε, δυσωπήσειε· ut Hesych. Καταδυσωπῆσαι, παρα„καλέσαι. Utraque iunguntur ab Heliodoro X. p. 456. quemad„modum δυσωπεῖν et ἐντρέπειν a Chrysostomo et Sexto Emp. „Pyrrh. Hyp. III, 16. p. 161. quanquam paulo diversa potestate: „τοὺς Σκεπτικοὺς ἐντρέπουσι μὲν οἱ λόγοι, δυσωπεῖ δὲ καὶ ἡ „ἐνάργεια. Hinc infra δυσωπητικὰ, quae vim habent exorandi „atque animum ad preces flectendi, et ἀδυσώπητος, *rigidus et qui* „*exorari se non patitur*: Diogenian. C. VI. n. 79. Ephrem. Syr. „p. 21. ὁ κριτὴς ἰσχυρὸς καὶ τὸ δικαστήριον ἀδυσώπητον· ideo „Suidas interpretatur ἀπροσωπόληπτον· sententiae repugnat hoc „vocabulum, pravamque interpretationem peperit apud Ioseph. de „B. I. VI, 2. §. 10. nam quod MSS. praebent εὐδυσώπητον omni„no probandum.“ [Fugit hoc Schneiderum, qui in Lex. v. ἀδυσώπητος vulgatae in Iosepho scripturae adhaeret. Ceterum in Iosepho paulo ante post ἄσημος videtur excidisse relativum ὅς. Idem relativum, ut per eandem causam extritum, non male restituas, Stobaeo auctore, Aeschini Axioch. c. 19. in. (12. in. Boeckh.) ante ἔφη: ubi εἰ δὲ καὶ ἕτερον βούλει λόγον compares cum Homerico, εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι.] „Nonnunquam ponitur pro „*victum aliquem argumentis in ruborem dare*, atque adeo *refuta*„*re*; quae virtus in Sexto Emp. frequens, p. 262. vs. 1. p. 286. vs. „27. p. 353. vs. 30. p. 644. vs. 44. hinc ἀδυσώπητοι ἔλεγχοι, *invi*„*cta documenta*: Cyrill. Hierosol. Catech. p. 275. D. Interpretes „si consulas, adparebit non raro, vim verbi parum illis fuisse per„spectam.“ Δυσωπητικὸς legas etiam in Schol. ad Sophocl. Aiac. v. 525. Lob. Δυσωπικῶς, plane omissum Lexicographis, habet Schol. ad Aristophan. Plut. v. 21. Hoc adverbium arguit, in usu fuisse etiam adiectivum δυσωπικός.

*) Σὺν etiam Schneidero cum δρήστειρα iungendum videtur.

V. 714. *Κόλχων ὅρκον* λέγει τὸν οὐρανὸν καὶ τὴν γῆν· κατ' ἐκείνων γὰρ ὤμνυον.

V. 724. *Ἀνέπτατο δὲ*, ἀντὶ τοῦ ἄνεσιν ἔσχεν αὐτῆς ἡ ψυχὴ ἐν χαρᾷ γενομένης.

V. 742. *Στυγερὸν δέος* κατὰ μετωνυμίαν τὸ φόβου ποιητικόν.

V. 743. Τὸ δὲ *πάρεξ*, ἀντὶ τοῦ χωρίς.

V. 745. *Ἑλίκην* δὲ λέγει τὴν μεγάλην ἄρκτον.

V. 748. Τὸ δὲ *ἀδινὸν*, ἀντὶ τοῦ ἀδινῶς. Λείπει τὸ θρηνοῦσαν.

V. 750. *Μελαινομένη* δὲ νὺξ ἡ σκοτουμένη καὶ ἀσέληνος.

V. 751. Ἐν δὲ τῷ *ἀλλὰ μάλ' οὐ Μήδειαν*, τὸ μὲν *μάλα* περισσεύει. Τὴν δὲ *ἐπὶ* τῷ *λάβε* συναπτέον.

V. 753. Τὸ δὲ *δειδυῖαν* εἰς τὸ Μήδειαν ἀνενεκτέον. Ἔστι δὲ τὸ *δειδυῖαν* ἀπὸ τοῦ δείω, ῥήματος ἀχρήστου, οὗ ὁ μέσος παρακείμενος δέδια καὶ δείδια κατ' ἐπένθεσιν τοῦ ι, οὗ μετοχὴ κατὰ συγκοπὴν δειδὼς, τὸ θηλυκὸν ἡ δειδυῖα.

V. 754. *Νειὸν* δὲ *Ἄρηος*, τὸν ἀρούμενον ὑπὸ τῶν βοῶν τόπον.

Ὁ δὲ *πόθος* ἀντὶ τοῦ ἔρωτος κεῖται. Πόθος μὲν γὰρ ἡ ἐπιζήτησις *)· ἔρως δὲ ὁ ἐπιτεταμένος πόθος. **)

V. 755. Τὸ δὲ *θύειν*, ἀντὶ τοῦ ὁρμᾷν καὶ κινεῖσθαι. Ὅθεν καὶ θυάδες αἱ Βάκχαι.

Non assentior. Verte: *simulque, praetereaque operâ me iuvaturam esse.* Ita σύν τε passim absolute ponitur. V. Euripid. Hercul. fur. v. 787. Musgr. et Epigr. adesp. DCXXXV. v. 3.

*) V. not. ad Dionys. Halic. de Compos. verb. p. 113.

**) Ad v. 752.

V. 758. *Γαυλὸς δὲ ὁ κάδδος* *), ὃ λέγεται βέδουριν **).

V. 759. *Ὠκεῖα δὲ στροφάλιγξ*, ἡ ταχεῖα στροφή.

V. 762. *Σμύχειν δὲ*, τὸ καίειν. Ὅμηρος·

κατασμύξαι πυρὶ νῆας.

V. 765. *Ἐνισκίμψωσι δὲ*, ἀντὶ τοῦ ἐμπέσωσι.

V. 767. *Καταφθίσθαι δὲ καὶ αὐτὴ ἐβούλετο* ὑπὸ τοῦ ἔρωτος. Καὶ ὅρα, ὅπως μὲν ἕλκεται ***) ὑπὸ τοῦ πάθους, κρατεῖται δὲ ὑπὸ τοῦ λογισμοῦ.

V. 769. *Ὀτλεῖν δὲ*, τὸ ὑποφέρειν.

Τὸ δὲ *εὔκηλον*, ἀντὶ τοῦ εὐκήλως, ἤτοι ἡσύχως.

V. 780. Ἐν δὲ τῷ *μῦθον ἐνίψω* περισσὴ ἡ ἐπί.

V. 781. *Ἐπίκλοπος δὲ* ἡ παραλογιστική.

V. 784. Ἐν δὲ τῷ *ἄμμι πέλοιτο* τὸ ἄμμι ἀντὶ τοῦ ἐμοὶ κεῖται.

V. 785. *Ἐπαμείρεται δὲ*, ἀντὶ τοῦ στερηθήσεται.

V. 791. *Ἐπιλλίζουσι δὲ*, ἀντὶ τοῦ καταμωκεύουσι †). Κυρίως δὲ τὸ ἐπικλίνειν τοὺς ὀφθαλμοὺς καταμωκευόμενον.

V. 802—804. *Φωριαμὸν δὲ* τὴν κοιτίδα λέγει νῦν. Σαφὲς δὲ ἐκ τοῦ, *ἐνθεμένη ἐπὶ γούνασιν*. Ἐτυμολογεῖ τὸν φωριαμὸν Ἐρατοσθένης ἐν τῷ Ἑρμῇ·

---

*) Ita passim, duplicato δ. V. not. et add. ad Thom. Mag. p. 479. Eustathius ad Homer. Od. p. 1390, 52. ἡ ἁρπάγη, δι' ἧς ἐκ φρεάτων κάδδους ἀνάγουσιν. *Κάδδιχος* habet Heracleensis Tabula prior p. 174. 176. de quo v. Koen. ad Gregor. p. 292. Lips.

**) Non habet Ducangius.

***) Meliori ordine verborum *ἕλκεται μέν*.

†) Hoc verbum, cuius medium statim sequitur, adde Lexicis: item simplex *μωκεύειν*. Zonaras Lex. T. II. c. 1383. *Μωκεύειν*. *μέμφεσθαι*, ubi v. Editor.

Φωριαμὸν δ' ὀνόμηναν, ὅ μιν κύθε) φώριον ἄγρην.*
ἐκ τοῦ φωριαμὸς κικλήσκεται ἀνθρώποισι.
Ῥαιστήρια δὲ τὰ φθαρτικά.

V. 805. *Τὸ δὲ ἀστεγὲς, ἀντὶ τοῦ πολυστεγῶς **).* *Τὸ γὰρ α ἐπιτατικὸν, ὡς τὸ ἄξυλος ὕλη.*

V. 807. *Ἐν δὲ τῷ τόφρα πάσαιτο, τὸ τόφρα ἀντὶ τοῦ ὄφρα κεῖται. Τὸ δὲ ὄφρα ποτὲ μὲν τὸ ἵνα δηλοῖ, Ὅμηρος·*

Ὄφρα μὴ ἄσπερμος γενεὴ —

Ποτὲ δὲ προηγούμενον ἐστὶν, ἀνταποδοτικὸν ἔχον τὸ τόφρα. Ὅμηρος·

Ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ.
τὸ τῆμος.

V. 836. *Ἐν ποσὶ δὲ ἄχη λέγει τὰ παρόντα.*

V. 837. *Ἀεξήσεσθαι δὲ τὰ αὐξηθησόμενα ὕστερον δεινά.*

V. 846. sq. *Τὸ δὲ κούρην μουνογένειαν γράφεται καὶ Δαῖραν μουνογένειαν. Ἔστι δὲ δάειρα καὶ κατὰ ἀφαίρεσιν τοῦ ε καὶ κρᾶσιν τοῦ α καὶ ι δαῖρα. Ὅτι δὲ Δαῖρα λέγεται ἡ Περσεφόνη, Τιμοσθένης ἐν τῷ Ἐξηγηματικῷ ***) συγκατατίθεται. Καὶ Αἰσχύλος ἐν τοῖς Ψυχαγωγοῖς φησὶ, τὴν Περσεφόνην ἐκδεχόμενος δαιραν.*

---

*) Homer. Od. III. v. 16. *κύθε.* VI. v. 303. *κεκύθωσι.* — De aliis etymis vocis *φωριαμὸς* v. Ios. Scaligeri Coniect. in Varron. p. 55. H. St. et Gregor. Cor. p. 421. cum not. Interpr.

**) Addendum Lexicis dicerem, nisi corrigendum esse videretur *πολυσταγῶς*, quo adverbio Lexica perinde carent. Ceterum conf. Valckenar. ad Theocriti Adoniaz. p. 228.

***) Schol. edit. *ἐξηγητικῷ.* *Ἐξηγηματικὸς* Lexica non habent. De fluctuatione formarum *—ματικος* et *—τικος* v. Bast. ad Gregor. Cor. p. 88.

Ἐ ν ν ύ χ ι ο ν δὲ αὐτὴν λέγει, ἢ ὅτι τῶν χθονίων τόπων βασιλεύει, νύκτα γὰρ τὸν ἀφώτιστον τόπον φησὶν, ἢ ἣν νυκτὸς οὔσης ἱλάσκονται. Εὔλογον γὰρ τὴν τῶν ἐννυχίων τόπων ἄρχουσαν καὶ κατὰ τὴν νυκτὸς ὥραν ἱλάσκεσθαι.

Ἀ ρ ε σ ά μ ε ν ο ς δὲ, ἀντὶ τοῦ φιλοφρονησάμενος.

Τὸ δὲ ἰ κ μ α ί ν ο ι τ ο, ἀντὶ τοῦ ὑγράνειεν, ἢ εὐφράνειεν.

V. 851. Ἀ ν έ σ χ ε δὲ, ἀντὶ τοῦ ἀνεδόθη τὸ φάρμακον.

V. 858. Ἰ κ μ ά δ α δὲ φ η γ ο ῦ τὸν ὀπὸν τῆς φηγοῦ λέγει, ἤτοι τὸ ἐκχεόμενον ὑγρὸν ἀπ᾿ αὐτῆς.

V. 859. Κ ά σ π ι ο ν πέλαγος πλησίον Ὠκεανοῦ. Καὶ ἔθνος παρ᾿ αὐτῷ Κάσπιον, ὅμορον Πέρσαις, ὥς φησιν Ἀρτεμίδωρος ἐν τῇ Ἐπιτομῇ τῶν γεωγραφουμένων. Ἐν γοῦν τῷ Κασπίῳ τούτῳ πελάγει καὶ ἐν τῷ Ὠκεανῷ γίνεσθαι κόλχους *) μεγίστους, οὓς Κασπίους κόχλους φασίν. Ἐν δὲ τοῖς κόχλοις τούτοις φησὶ φύεσθαι τὸ Π ρ ο μ ή θ ε ι ο ν φ ά ρ μ α κ ο ν.

Τερατεύεται δὲ ὁ Ἀπολλώνιος τὰ περὶ τὴν ῥίζαν. Παρ᾿ οὐδενὶ γὰρ τῶν ῥιζοτόμων τὸ τοιοῦτον εὕρηται.

Τὸ δὲ ἄνθος φασὶ τοῦ φαρμάκου παραπλήσιον εἶναι τὴν χροιὰν κ ρ ό κ ῳ Κ ω ρ υ κ ί ῳ. Τὸ δὲ Κωρύκιον χωρίον κατὰ τὴν Κιλικίαν ἐστὶν, ἐν ᾧ κρόκος διάφορος φύεται.

V. 860. sq. Βουλόμενος δὲ τερατεύσασθαι μᾶλλον

*) Etiam in poëtae textu Codex Parisinus habet κόλχῳ, quam scripturae diversitatem cum aliis enotare neglexit Brunckius. Ammonius p. 137. Valck. τὰ γὰρ εἰς χος δισύλλαβα, παρατελεύτου ὄντος τοῦ ο, βαρυτονεῖται. οἷον λόχος, ὄχος, βρόχος, κόγχος, κ ό λ χ ο ς, μόσχος. ut etiam κόλχος in usu fuisse videatur.

περὶ τοῦ φαρμάκου, ἐν ἑπτὰ μὲν φησὶ ποταμοῖς λούσασθαι τὴν Μήδειαν, ἑπτάκις δὲ ἐπικαλέσασθαι τὴν Βριμώ. Λέγει δὲ τὴν Ἑκάτην. Ταύτην γὰρ αἱ φαρμακίδες διαφερόντως τιμῶσιν καὶ ἐπάγονται. Βριμὼ δὲ αὐτὴν λέγουσι διὰ τὸ φοβερὸν καὶ καταπληκτικὸν τῆς δαίμονος. Καὶ φάσματα γὰρ ἐκπέμπει τὰ καλούμενα Ἑκάτεια *), καὶ πολλάκις αὐτὰ ποιεῖ μεταβάλλειν τὸ εἶδος **), διὰ τὸ Ἔμπουσαν λέγεσθαι. Βρόμος γὰρ ὁ τοῦ πυρὸς ψόφος. Λαμπαδοῦχος γὰρ ἡ θεά. Ἢ ἀπὸ τοῦ βρι τοῦ ἐπίτασιν σημαίνοντος, ὡς ἐν τῷ,

βριήπυος ὄβριμος Ἄρης.

Καὶ εἴη ἂν ταύτῃ Βριμὼ ἡ μεγάλην ἔχουσα μῆνιν, οἱονεὶ Βρίμηνίς τις οὖσα.

V. 865. sq. Ἐπεὶ δὲ τὸ φάρμακον ἐκ τοῦ ἰχῶρος τοῦ Προμηθέως ἐβλάστησεν, ὁ δὲ Προμηθεὺς εἷς ἐστι τῶν Τιτάνων, διὰ τοῦτο τὴν ῥίζαν ἔφη Τιτανίδα τοῦ φαρμάκου.

Αὖθις δὲ τερατεύσασθαι βουληθεὶς, συμπάσχειν ἔφη τὸν Προμηθέα ἐπὶ τῇ τομῇ τῆς ῥίζης.

V. 876. Λιαρὸν δὲ ἐνταῦθα μὲν τὸ λαμπρὸν καὶ καθαρόν· παρ' Ὁμήρῳ δὲ τὸ θερμόν.

Παρθένιος δὲ ποταμὸς Παφλαγονίας.

Δοκεῖ δὲ παραγράφειν διὰ τούτων τὸ Ὁμηρικόν·

---

*) Schol. edit. Ἑκαταῖα. Utrumque adiectivum adde Lexicis. Alterum illud habet etiam Pollux VI. 83. et X. 81.

**) Conf. L. Bos. Ellips. p. 312. et 521. Pollux V. 45. Ἑκάβης εἰς κυνὸς μορφὴν μεταβαλούσης. Talia exempla inprimis arguunt, quae ellipsis obtineat in usu verbi μεταβάλλειν significantis *mutari*. In Euripidis Bacchis ante v. 1320. Br. inserendus est versus, quem Bredowius nuper in Codice Paris. Dionysii Periegetae reperit:

δράκων γενήσῃ μεταβαλὼν, δάμαρ τε σή.

V. viri doctissimi Epistolas Parisienses p. 44. sq.

Οἵη δ' Ἄρτεμις εἶσι κατ' οὔρεος ἰοχέαιρα.

V. 881. Ἁμορβάδας *) δὲ τὰς ἀκολούθους φησίν.

V. 890. Ἱεμένη δὲ, ἀντὶ τοῦ ἱεμένως **) καὶ προθύμως.

Ἐν δὲ τῷ, μετὰ δμωῇσιν, ἡ μετὰ ἀντὶ τοῦ ***) πρός· ἵν' ᾖ, πρὸς τὰς δμωάς.

V. 891. Ἐν δὲ τῷ, οὐδ' ἐνόησα, ὁ δὲ ἀντὶ τοῦ γάρ.

V. 899. Τὸ δὲ λεξάμεναι, ἀντὶ τοῦ συλλεξάμεναι. Ἐνίοτε δὲ καὶ ἀντὶ τοῦ ἀνακλινθεῖσαι. Ὅμηρος·

Λέξεται ἐν μέσοισι νομεῦσι.

V. 902. Παρατρέπει δὲ, ἀντὶ τοῦ προτρέπει.

V. 905. Ἐν δὲ τῷ, περὶ βουσὶν ὑπέστη, συνυπακούεται τὸ ἀγωνίσασθαι. Ἡ δὲ περὶ ἀντὶ τῆς ὑπό.

V. 908. Τὸ δὲ εἰς ὠπὴν, ἀντὶ τοῦ εἰς ὄψιν, ἤγουν ἐναντίον ἐμοῦ.

V. 914. sq. Ἐν δὲ τῷ κασιγνήτων †) εἰσήκουσε τὴν Μήδειαν ἠερίαν, ἤγουν κατὰ τὸν ὄρθρον, ἀφικέσθαι εἰς τὸν τῆς Ἑκάτης ναόν.

V. 917. sq. Ἐσθλὸς δὲ, ἀντὶ τοῦ ἀγαθὸς καὶ ἐπιτήδειος ἦν ὁ Μόψος καὶ ἐπιφανέντων καὶ ἀπιόντων τῶν οἰωνῶν εὖ σημαιώσασθαι.

V. 929. Τὰς δὲ κορώνας λακερύζας λέγει, ἤγουν φλυάρους.

---

*) Ita, aspero spiritu. Etiam in Zonarae Lex. c. 143. editum Ἁμορβός. Obiter Lexicis adde verbum ἀμορβεῖν, *sequi*, ex Antimachi fragmento, de quo Heringa in Observat. p. 230. quod fugit Schellenbergium XVI.

**) Accedat Lexicis.

***) Leg. τῆς. Error natus e compendio perperam lecto. V. Bastii Comment. Palaeogr. p. 792.

†) Excidit: λείπει ἡ παρά· ἵν' ᾖ, παρὰ τῶν κασιγνήτων. V. Schol. edit.

Ἐπαυλίζεσθαι δὲ, τὸ διατρίβειν.

V. 932. Ἀκλεὴς δὲ ἡ *) ἄδοξος.

V. 935. Ἐπήλυδες δὲ, οἱ ξένοι καὶ οἱ ἀκόλουθοι.

V. 938. Τὸ δὲ ἴσκεν ἀτεμβομένη, ἀντὶ τοῦ ἔλεγε μεμφομένη τῷ Μόψῳ.

V. 939. Ὀμφὴν δὲ, τὴν φήμην.

Θεήλατον δὲ, τὴν ὑπὸ θεῶν πεμφθεῖσαν.

V. 941. Τὸ δὲ δήεις, ἀντὶ τοῦ εὑρήσεις.

V. 942. Συνέριθος δὲ ἀντὶ τοῦ συνεργὸς καὶ συμπράκτεια **) τῶν σῶν κινδύνων γενήσεται.

V. 946. Τὸ δὲ παρατροπέων, ἀντὶ τοῦ παρατρέπων καὶ παραπείθων.

V. 955. Τὸ δὲ παραθρέξαντα δοάσαι τὸ θέμα ***) ἀντὶ τοῦ παραδραμόντα νομίσειεν, ἢ ἀκούσειεν. Τοῦ γὰρ δοάσαι τὸ θέμα δοάζω, ὃ σημαίνει τὸ νομίζω.

V. 963. Τὸ δὲ θερμὸν ἔρευθος, ἤγουν ἐρύθημα, εἷλε καὶ ἐπέλαβε τὰς παρήϊδας, ἀντὶ τοῦ θερμαὶ ἐγένοντο αἱ παρειαί.

V. 971. Τὸ δὲ ὁμάδησαν καταχρηστικῶς ἐπὶ δένδρων ἔταξε. Κυρίως γὰρ ἐπὶ ἀνθρώπων τάττεται, οἱονεὶ ὁμάνδησαν †).

V. 973. sq. Ἄτην δὲ θευμορίαν φησὶ τὴν κατὰ θεῶν μοῖραν δοθεῖσαν.

V. 976. Δυσαυχέες δὲ, οἱ καυχώμενοι ἀλαζονικῶς ἐν ταῖς ἑτέρων διαβολαῖς.

V. 982. Τερπνοῖς δὲ ἐνταῦθα ἀντὶ τοῦ παραλογιστικοῖς.

---

*) Leg. ἢ.

**) Leg aut συμπράκτειρα, aut cum Schol. edit. συμπράκτρια. Neutrum Lexica habent.

***) τὸ θέμα e sequentibus male huc illatum.

†) Leg. ὁμαύδησαν. V. Etymolog. M. c. 553, 53.

V. 983. Τὸ δὲ φηλώσῃς ἀντὶ τοῦ ἀπατήσῃς κεῖται, ἀπὸ τοῦ φήληκος, τοῦ ἀώρου σύκου.

V. 997 — 1004. Βουλόμενος δὲ ἀναπεῖσαι Μήδειαν συναποπλεῦσαι αὐτῷ, τὸν Ἀριάδνης εἰσάγει ἔρωτα, καὶ τὴν Θησέως σωτηρίαν, καὶ ὡς συναπάροι *) μὲν Θησεῖ εἰς Ἀθήνας, καταστερισθείη δὲ αὐτῇ στέφανος διὰ τὸν πρὸς Θησέα ἔρωτα, ὧν οὐδέν ἐστιν ἀληθές. Κατέλιπε μὲν γὰρ αὐτὴν Θησεὺς ἐν Νάξῳ· πεπαρθένευται **) δὲ ὑπὸ Διοσκούρου ***), καὶ ἔτεκεν αὐτῷ Οἰνοπίονα, Θάλητα, Στάφυλον, Λατραμῦν, Εὐάνθη, Ταυρόπολιν. Ὅτι δὲ οὐ συνεγένετο Θησεὺς Ἀριάδνῃ, οὐδὲ συνεπῆρεν †) αὐτῷ εἰς Ἀθήνας, Ὅμηρος μαρτυρεῖ. Λέγει γοῦν ὁ Ὀδυσσεὺς παρὰ τοῖς Φαίαξι·

Φαῖδραν τε Πρόκνην τε ἴδον καλήν τ' Ἀριάδνην,
κούρην Μίνωος ὀλοόφρονος, ἥν ποτε γῆμεν
Θησεὺς οὐδ' ἀπόνητο ††).

Ὅτι δὲ καὶ ὁ στέφανος ὑπὸ Διονύσου κατηστερίσθη, Ἄρατος φησίν·

Αὐτοῦ κἀκεῖνος στέφανον τὸν ἀγανὸν ἔθηκε,

---

*) Leg. συναπάραι.

**) F. διαπεπαρθένευται. Lucianus T. II. p. 294. τὴν Δανάης παρθένευσιν. Al. διαπαρθένευσιν, quod, cum statim sequatur καὶ Περσέως γέννησιν, (ut in nostro Scholio καὶ ἔτεκεν αὐτῷ —) videtur praeferendum. Idemque, ut opinor, placuit Schneidero: nam ex hoc Luciani loco primus Lexicographorum ascivit compositum διαπαρθένευσις.

***) Notanda confusio vocum Διόνυσος et Διόσκουρος, orta e negligentia librariorum in compendiis explendis.

†) Leg. συναπῆρεν. Vicissim in Herodoto I. c. 18. extr. recte editum συνεπελάφρυνον, ubi al. habent συναπελάφρυνον. Ἀπελαφρύνω unde in Lexica irrepserit, ignoro: videturque, sicubi occurrat, ἐπελαφρύνω corrigendum esse.

††) Schol. edit. ἥν ποτε Θησεὺς Γῆμας οὐδ' ἀπόνητο. utrumque perquam notabili a vulgato poëtae textu discrepantia.

σῆμ' ἔμεναι Διόνυσος ἀποιχομένης Ἀριάδνης.

V. 1007. *Ἐπητία* δὲ, ἡ ἐπιστήμη καὶ φρόνησις. Ὅμηρος·

ἐπητῇ ἀνδρὶ ἔοικας.

V. 1009. *Νεκτάρεον* δὲ τὸ λαρὸν καὶ προσηνὲς, παρὰ τὸ νέκταρ.

V. 1013. sq. Τὸ δὲ *προπρὸ δ' ἀφειδήσασα* γράφεται καὶ *προπρὸ δὲ μειδήσασα*. Ἡ δὲ ἐπαναδίπλωσις τῶν προθέσεων ἐρωτικὴν διάθεσιν δηλοῖ. Τὸ δὲ *ἀφειδήσασα*, ἀντὶ τοῦ ἀφροντιστήσασα, ἤγουν μηκέτι πολυπραγμονήσασα, μηδὲ ἀκριβολογησαμένη ἐξείλετο *) φάρμακον ἐκ τῆς *μίτρας*, ἤγουν τῆς στηθοδεσμίδος. Ταῦτα δὲ ἐπίτασίν τε τοῦ ἔρωτος σημαίνει, καὶ δόσιν ταχυτάτην τοῦ φαρμάκου.

V. 1015. Τὸ δὲ *ἀρύσασα*, ἀντὶ τοῦ ἀντλήσασα, ἀφελομένη, ἐκβαλοῦσα.

V. 1018. *Ἀμαρυγαὶ* δὲ, αἱ οἷον συνεχεῖς **) κινήσεις, ἃς ἐπὶ πυρὸς λέγομεν ἀμαρύσεις ***). Ὅμηρος δὲ,

Μαρμαρυγὰς θηεῖτο ποδῶν,

ἔφη τὴν ἀκατάλληλον †) κίνησιν.

---

*) Leg. *ἐξεῖλε τό.*

**) Pollux Lex. c. 144. *τὴν οἷον γειτνίασιν.* Schol. Ven. ad Homer. Il. XV. v. 676. *τὰ κατὰ πρῷραν καὶ πρύμναν ὡς σανιδώματα.* Pollux VII. 76. *τὸ ὥσπερ κάρυον, — τὸ ὥσπερ ἔριον.* Sic in Herouis Spiritalibus, quamquam ibi particula comparativa non sequitur articulum, *ἔχοντες ἐκ τῶν κάτω μερῶν καθάπερ γλωσσόκομα,* Veter. Mathemat. p. 228. med.

***) Recte si habet, *ἀμάρυσις* Lexicis debebit accedere. Mihi quidem haec forma mira videtur parumque accommodata analogiae, cui aliquanto magis congrueret *ἀμάρυξις.*

†) Schol. edit. *κατεπάλληλον*, unde adiectivum *κατεπάλληλος*, dubiae mihi visum fidei, in Lexica, Scotto praeeunte, intulerunt. Scribendumne in utroque *ἀλλεπάλληλον*?

V. 1020. Ἐν δὲ τῷ τηκομένῃ καὶ τοῖς ἑξῆς ἔοικε τὸ Ὁμηρικὸν παραφράζειν·

Ἰάνθη δ᾽ ὡς εἴ τε περὶ σταχύεσσιν ἐέρση
ληΐου ἀλδήσκοντος.

Τὸ μὲν οὖν τηκόμενον πάντως καταχεῖται. Ὅμηρος·

Αἶψα δ᾽ ἰαίνετο *) κηρὸς, ἐπεὶ κέκλετο μεγάλη ἲς ἠελίοιο.

Οὐ πάντως δὲ ἤτοι ἰαίνεται τοῦτο τήκεται. Ὅθεν Ὅμηρος εἰπὼν ἰάνθη, ἐπήγαγεν ὡσεί τε μεταφορικῶς λέγων, ὅτε ὀρθὸν ἔχουσι τὸν στάχυν καὶ οἷον μετεωριζόμενον, ὡς εἶναι τὸ λεγόμενον ἐμφαντικὸν τῆς τῶν σταχύων ἡδονῆς, καθάπερ ἐμψύχων, ἀντεχομένης τῆς δρόσου τῶν καρπῶν. Οὕτω καὶ τὴν Μενελάου ψυχὴν εἰς τέρψιν μετῆχθαι φησὶ τοῖς τοῦ Ἀντιλόχου λόγοις. Τὸ δὲ τήξει παραβάλλειν τὴν τερπομένην ψυχὴν δοκεῖ μὲν οὐ πιθανόν· ἔνεστι μέντοι καταλλήλως αὐτῷ λαμβάνειν, ἥν τις τὸ τηκόμενον μαλάσσεται πάντως διαχεῖται. Τὸ οὖν τηκομένη ἀντὶ τοῦ μαλαχθεῖσα καὶ διαχυθεῖσα ἡ Μήδεια.

V. 1029. Τὸ δὲ διαμοιρηδὰ, ἀντὶ τοῦ κατ᾽ ἴσας μοίρας, ἢ ζώδια διαιρεῖσθαι τὸν οὐρανὸν, ὡς εἶναι μεσουρανοῦντα τῶν ζωδίων τὰ κατὰ τὴν ἑσπέραν ἀνατέλλοντα.

V. 1032. Περιηγέα δὲ λέγει τὸν περιφερῆ καὶ στρόγγυλον.

V. 1033. Τὸ δὲ σφάζειν, ἀντὶ τοῦ σφάξον ἀρνειὸν, καὶ ἀδαίετον καὶ ἀμέριστον καὶ ἀδιαίρετον θὲς ἐπὶ τὸ πῦρ.

---

*) In marg. τήκετο.

Τὸ δὲ *ὠμοθετῆσαι* ἐνταῦθα, ἀντὶ τοῦ ὠμοῦ ἱεροῦ ἀπάρχεσθαι τῶν μελῶν.

V. 1035. *Μονογενῆ* δὲ τὴν Ἑκάτην καὶ Ἡσίοδος ἔφη, λέγων·

Οὐδ' ὅτι μουνογενὴς ἴσον θεὰ ἔμμορε τιμῆς.

Μουσαῖος δὲ ἱστορεῖ, Δία ἐρασθέντα Ἀστερίας μιγῆναι *), καὶ μιγέντα δοῦναι αὐτὴν τῷ Περσεῖ, ἐξ ἧς τεχθῆναι αὐτῷ τὴν Ἑκάτην.

V. 1040. Τὸ δὲ *κολούσας*, ἀντὶ τοῦ ἀτελῆ καὶ ἄπρακτα ποιήσας ἕκαστα τῶν ἐνεργουμένων. Καὶ Σοφοκλῆς δὲ ἐν Κολχίσι παρεισάγει Μήδειαν νουθετοῦσαν Ἰάσωνα περὶ τοῦ ἄθλου δι' ἀμοιβαίων **).

V. 1057. Τὸ δὲ *στιβαρώτερον*, ἀντὶ τοῦ στιβαροῦ. Τὸ συγκριτικὸν ἀντὶ ***) ἁπλοῦ.

V. 1065. *Ἑοῖο* δὲ, ἀντὶ τοῦ εἶο. Κτητικὴ ἀντὶ τοῦ †) πρωτοτύπου.

V. 1085—1089. Τὴν δὲ Θεσσαλίαν *περίδρομον ὄρεσιν*, ἤγουν περιεχομένην ὑπὸ ὀρῶν φησὶ, καὶ *εὔβοτον*, οἱονεὶ ἐπιτήδειον πρὸς βοσκὴν ††), ἢ καλὰ θρέμματα ἔχουσαν.

---

*) Subaudi *αὐτῇ*. De hac constructione v. Porson. ad Euripid. Med. v. 734. ubi p. 453. ed. Lips. simillimum nostro exemplum citavi ex Apollodoro.

**) Hoc adde iis quae congesta sunt in L. Bosii Ellips. p. 154.: itemque Sophocleum *κακοῖς ἀράσσειν*, et Aristophaneum *κακοῖς καὶ αἰσχροῖς ἐξαράττειν*, de quibus Lobeckius ad Sophocl. Aiac. p. 333.

***) Hic quoque excidit *τοῦ*.

†) Leg. *Ἡ κτητικὴ ἀντὶ τῆς* —.

††) Sic haec vox vulgo scribitur. V. Thomas Mag. p. 628. Valckenar. Diatrib. in Euripid. Fragm. p. 52. A. et Musgrav. ad Euripid. Helen. v. 1351. Sed mihi analogia poscere videtur, ut scribamus *βαρυτόνως*, *βόσκη*: nam est i. q. *βόσκησις*. Obiter Lexicis adde *βοσκήτωρ*, quo nomine utuntur Etymologus M. c. 205, 52.

Ὅτι μὲν οὖν περιέχεται ὄρεσιν, Ἡρόδοτος ἱστορεῖ. Ὅτι δὲ Προμηθέως καὶ Πανδώρας υἱὸς ὁ Δευκαλίων, Ἡσίοδος διηγεῖται ἐν τῷ α̅ τῶν Καταλόγων. καὶ ὅτι Προμηθέως, ἢ Δευκαλίωνος καὶ Πύῤῥας Ἕλλην, ἐξ οὗ οἱ Ἕλληνες ὠνομάσθησαν καὶ ἡ Ἑλλάς. Ὅτι δὲ Δευκαλίων Θεσσαλίας ἐβασιλευσεν, Ἑλλάνικος ἱστορεῖ ἐν τῷ α̅ τῆς Δευκαλιωνίας. Καὶ ὅτι τῶν ι̅β̅ θεῶν ἱδρύσατο ναοὺς ὁ Δευκαλίων, ὁ αὐτὸς ἐν τῷ αὐτῷ συγγράμματι λέγει. Ἔστι δὲ καὶ ἕτερος Δευκαλίων, περὶ οὗ καὶ Ἑλλάνικος ἱστορεῖ. Καὶ τρίτος, ὁ Μίνωος, οὗ μέμνηται Φερεκύδης. Καὶ τέταρτος, ὁ Ἄβαντος, οὗ μέμνηται Ἀρίστιππος ἐν τοῖς Ἀρκαδικοῖς.

Πολλῶν δὲ καὶ ἄλλων εἰσβαλλόντων εἰς τὴν Θεσσαλίαν ποταμῶν, τέσσαρές εἰσιν οἱ μάλιστα δόκιμοι, Πηνειὸς, Ἐνιπεὺς, Πάνισος, Ἀπιδανός. Τούτων δὲ μισγομένων ὁμοῦ, κρατήσας τῶν ἄλλων ὁ Πηνειὸς, μόνος τε εἰς τὴν θάλατταν ἐκβάλλει, καὶ τοὺς ἄλλους ἀνωνύμους ποιεῖ.

V. 1090. Ἡ δὲ Θεσσαλία τὸ παλαιὸν καὶ Αἱμονία καὶ Πυῤῥοδία *) ἐκαλεῖτο, καὶ ἄλλας ὀνομασίας εἶχεν, ὡς ἄλλοι τε λέγουσιν καὶ Ῥιανὸς ἐν τοῖςδε·

Πύῤῥαν δή ποτε τήνγε παλαιότεροι καλέεσκον
Πύῤῥης Δευκαλίωνος ἀπ' ἀρχαίης ἀλόχοιο·
Αἱμονίην δ' ἐξαῦτις **) ἀφ' Αἵμονος, ὅν ῥα Πελασγὸς

---

et 218, 41. et Hesychius T. I. c. 1345. v. Ἐπιβώτορι, e qua glossa illis praeterea accedat ἐφιππαστήρ.

*) V. Heyn. ad Apollodor. p. 1123. edit. prior.

**) Sunt qui vertant *continuo*, *statim*: male illi confundentes cum ἐξαυτῆς, a quo plurimum discrepat. Est enim ubique *rursus, denuo*. Archilochus I. v. 9. ἐξαῦτις δ' ἑτέρους ἐπαμείψεται. III. v. 4. ἐξαῦθις (l. ἐξαῦτις) κτήσομαι οὐ κακίω.

γείνατο φέρτατον υἱόν· ὁ δ' αὖ τέκεν Θεσσαλὸν
Αἵμων,
τοῦ δ' ἀπὸ Θεσσαλίαν λαοὶ μετεφημίξαντο *).

Ἄλλοι δὲ ἀπὸ Θεσσαλοῦ τοῦ Ἡρακλέους τοῦ Φειδιππίδου πατρὸς Θεσσαλίαν κληθῆναι μετὰ τὰ Τρωϊκά. Διαιρεῖται δὲ εἰς τέσσαρα μέρη, εἰς Πελασγιῶτιν, Φθιῶτιν, Ἰωλκίτιν, Θεσσαλιῶτιν. Ταῦτα παρατίθεται Ἀπολλώνιος ἐν νέων καταλόγῳ.

V. 1093. Ἰστέον δὲ, ὅτι Αἶα μὲν ἐστὶ μητρόπολις Κόλχων· Αἰαίη δὲ νῆσος ἐν Φάσιδι, ἐν ᾗ τὸ δέρας ἐκαλεῖτο, ὥς φησι Φερεκύδης, ἧς νῦν Ἀπολλώνιος μέμνηται. Αἰαίη δὲ λέγεται κτητικῶς ἀπὸ τῆς Αἴας, κατὰ πλεονασμὸν τῆς αι διφθόγγου.

V. 1094. sq. Αἰολίδην δὲ τὸν Μινύαν λέγει, οὐχ ὡς ὄντα υἱὸν τοῦ Αἰόλου, ἀλλ' ὡς μητρόθεν ἀπ' ἐκείνου καταγόμενον **). Σισύφου γὰρ τοῦ Αἰόλου παῖ-

*) Hoc compositum Lexicis accedat. Compares Euphorionis in Etymolog. M. c. 181, 31. *τοὔνεκα Μυρμιδόνες μιν Ἀχιλέα φημίξαντο.* Quod Schneiderus e Demosthene citat, *φήμη οὔτις — φημίξωσι,* est Hesiodi *Ἔργ.* extr. (v. 708. sq. Br.), ubi sine controversia unice probandum *φημίξωσι.* Nihil diversitatis scripturae ad h. l. in nupera editione Florentina enotatum esse, summopere miror: tot enim Codices conspirasse ad vulgatam tuendam, fidem paene excedit. Ceterum quod ibidem antecedit, *κούφη μὲν ἀεῖραι Ῥεῖα μάλ',* etiam Italus cum vulgo Scholiastarum, Glossatorum Interpretumque recentiorum perperam intellexit, vertens *a sorger presta.* Compara quae sequuntur, *ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι.* Igitur *ἀεῖραι* h. l. est idem quod *ἀείρασθαι:* beneque egregius ille Guietus vertit *valde facile est eum subire.* De usu activi *ἀείρω* (*αἴρω*) pro medio *ἀείρομαι* (*αἴρομαι*) apud antiquiores scriptores conf. Lobeck. ad Sophocl. Aiac. v. 129. Idem usus, quod etiam in aliis accidisse scimus, rursus vigere incepit apud recentiores: unde factum, ut Grammatici Scholiastaeque medium per actiuum certatim interpretarentur. V. Boissonad. ad Philostr. Her. p. 531.

**) Ad I. v. 134. Ὁ Ναύπλιος οὗτος ἀπὸ τοῦ παλαιοῦ Ναυ-

δες Ἄλμος καὶ Πορφυρίων, Χρυσογόνης δὲ τῆς Ἄλμου καὶ Ποσειδῶνος Μινύας. Ὥστε ἐκ μητρὸς μὲν Αἰολίδης ὁ Μινύας, πατρὸς δὲ Ποσειδῶνος. Τοῦτον οὖν φησιν Ἀπολλώνιος Ὀρχομενὸν κτίσαι ὅμορον τοῖς Καδμείοις.

V. 1100. Τὸ δὲ αἴθε γὰρ ὡς Θησῆϊ, καὶ τὰ ἑξῆς πάνυ προτρεπτικά εἰσι. Καταστοχασάμενος γὰρ Ἰάσων τοῦ τῆς Μηδείας ἔρωτος, διεγείρει πάνυ διὰ τούτων αὐτὴν, ὥστε ὁμολογῆσαι αὐτῷ τὴν ἑαυτῆς προαίρεσιν.

V. 1102. Καταψύχων δὲ, ἀντὶ τοῦ καταμαλάττων.

V. 1104. Ἀδεινὸν δὲ ἐνταῦθα τὸ οἰκτρὸν καὶ λυπηρόν.

V. 1124. Ὅταν δὲ λέγῃ, θεὸν ὡς πορσανέουσι, τὸ πορσαίνειν τὸ τιμᾶν καὶ σέβεσθαι δηλοῖ· οἱονεὶ καθάπερ θεὸν σεβαστὴν σὲ ἡγήσονται.

V. 1128. sq. Ὅταν δὲ αὖ λέγῃ, ἡμέτερον πορσανέεις λέχος, τὸ προΐστασθαι καὶ αὐξάνειν δηλοῖ, δι' οὗ τὴν συμβίωσιν σημαίνει.

V. 1138. Τὸ δὲ ἐδεύετο ἤματος ὥρη, ἀντὶ τοῦ ἐλείπετο ὁ τῆς ἡμέρας καιρός. Δηλονότι πρὸς ἑσπέραν ἤδη ἔκλινεν ἡ ἡμέρα.

Τὸ δὲ κατείβετο θυμὸς ἀκουῇ, ἀντὶ τοῦ ἐτήκετο ἀκούων *) τῶν ῥημάτων τοῦ Ἰάσωνος. **)

πλιον κατάγεται. Ad II. v. 357. Ἀπὸ τοῦ Πέλοπος γὰρ ἔλεγον κατάγεσθαι οἱ Παφλαγόνες. Ad IV. v. 725. ἐκ τοῦ Ἡλίου κατάγεται. Ibid. ad v. 1763. Κατήγετο δὲ ὁ Θήρας ἀπὸ Οἰδίποδος. Opponitur ἀναφέρειν εἴς τινα, ubi vulgo subaudiunt τὸ γένος. V. L. Bosii Ellips. p. 76. s. Simplicius videtur subaudire pronomen reciprocum.

*) Leg. ἀκούουσα.

**) Ad v. 1131.

V. 1145. Τὸ δὲ *ἀβολήσομεν*, ἀντὶ τοῦ συντευξόμεθα.

V. 1150. Τὸ δὲ *περιπλομένας*, ἀντὶ τοῦ περιϊούσας, ἐπειδὴ καὶ πλόος ἡ ὁδὸς λέγεται. Καλλίμαχος·

Ἔγρει ἔχον *) τὸν περίπλοον.

V. 1151. Τὴν ψυχὴν δέ φησι πέτεσθαι ἐν τοῖς νέφεσι μεταχρονίην, διὰ τὸ μὴ ἡνιοχεῖν τὸν νοῦν.

V. 1156. Τὸ δὲ *περὶ παισὶν*, ἀντὶ τοῦ ὑπὲρ τῶν παίδων, ὅμοιον τῷ, περὶ ξανθῷ Μενελάῳ.

V. 1157. *Παλιντροπίαν* δὲ λέγει τὴν παρεπιστροφὴν, καὶ τὴν εἰς τοὔμπαλιν τροπὴν τῆς ψυχῆς. *Ἀμήχανος* οὖν ἦν, φησὶ, τουτέστιν ἐν ἀπόρῳ κατέστη διὰ τὴν μεταβολήν.

V. 1159. *Σφέλας* δὲ λέγει τὸ ὑποπόδιον τοῦ θρόνου.

V. 1169. Τὸ δὲ *οἰόθεν οἶος*, κυρίως μὲν τὸ μόνως **) ἀπὸ μόνου σημαίνει.

νῦν μὲν δὴ σάφα εἶσε καὶ οἰόθεν οἶος.

Νῦν δὲ ἀντὶ τοῦ μόνος ἀπ' ἄλλων κεῖται.

V. 1171. *Κνέφας δὲ νυκτὸς*, ἀντὶ τοῦ νὺξ περιφραστικῶς.

V. 1172. Τὸ δὲ *εὔκηλοι ἐμέλοντο περὶ σφίσιν*, ἀντὶ τοῦ ἥσυχοι ἐφρόντιζον περὶ ἑαυτῶν.

V. 1178. *Ἀόνιον* δέ φησι *δράκοντα* τὸν Βοιωτικόν.

Ὠγυγίας δὲ τὰς Θήβας ἀπὸ Ὠγύγου τοῦ Βοιωτοῦ τοῦ βασιλεύσαντος Θηβῶν. Υἱὸν δὲ Ὠγύγου Κοῤῥίν-

---

*) Ruhnken. ad Callimachi Fragm. p. 537. citat *ἔχει*.

**) Leg. *μόνος*. Schol. ad Hom. Il. VII. v. 226. *Οἰόθεν οἶος*. *Μόνος πρὸς μόνον*. Apollonius Lex. Hom. p. 491. L. B. *οἰόθεν οἶος, ἐκ μόνου μόνος*.

ναν λέγουσι γενέσθαι. Ἀπὸ δὲ Ὠγύγου καὶ πύλαι Ὠγύγιαι Θηβῶν.

V. 1179—1187. Περὶ δὲ Εὐρώπης καὶ τῆς Κάδμου εἰς Θήβας παρουσίας Λυσίμαχος ἐν τῇ συναγωγῇ τῶν Θηβαϊκῶν παραδόξως πως ἱστορεῖ, καὶ πάνυ τι διάφωνα πρὸς τοὺς ἄλλους. Ἑλλάνικος δὲ ἐν ᾱ Φορωνίδος φησὶν, ὅτι Κάδμος ἐξελὼν τοὺς ὄφεως ὀδόντας, ἔσπειρεν αὐτοὺς κατὰ βούλησιν Ἄρεος, καὶ ἐξ αὐτῶν ἔφυσαν ἄνδρες πέντε, Χθόνιος, Πέλωρ, Ἐχίων, Ὑπερήνωρ, Οὐδαῖος. Ἀπολλώνιος δὲ πλείους τοὺς γηγενεῖς λέγει, λέγων·

γηγενῆ εἴσατο λαὸν
Ἄρεος ἀμόωντος ὅσοι ὑπὸ δουρὶ λείποντο.

Καὶ πεφονευκέναι δὲ ἀλλήλους φησίν. Ἐν δὲ τῷ ᾱ τῆς Μουσαίου Τιτανογραφίας λέγεται, ὅτι Κάδμος ἐπορεύετο ἐκ τοῦ Δελφικοῦ χρηστηρίου προκαθηγουμένης αὐτῷ βοός. Ἱππίας δὲ ὁ Δήλιος ἐν Ἐθνῶν ὀνομασίαις ἔθνος φησὶν οὕτω καλεῖσθαι Σπαρτούς *). Ὁμοίως δὲ καὶ Ἀτρόμητος. Φερεκύδης δὲ ἐν ϛ̄ **) φησίν· Ἐπειδὴ Κάδμος ἐν Θήβῃσιν ***) ᾠκίσθη, Ἄρης διδοῖ αὐτῷ καὶ Ἀθηναίη τοῦ ὄφιος τοὺς ἡμίσεις ὀδόντας, τοὺς δὲ ἡμί-

---

*) Supra ad I. v. 578. *μέλος οὕτω παρὰ τοῖς ἀρχαίοις νόμιον καλούμενον.* ad v. 1177. *Ἔστι δὲ καὶ ποταμὸς οὕτω καλούμενος Κίος.* Nonnus ad Gregor. Nazianz. p. 152. Mont. *ἔσχε δὲ καὶ ἡ Σικελία πηγὴν ὕδατος Ἀρέθουσαν οὕτω καλουμένην.* Tzetzes ad Lycophr. p. 575. Lips. *περὶ τὰς Γυρὰς οὕτω καλουμένας πέτρας,* ut nuper recte editum. Idem p. 705. *εἶτα Ἰόνιος οὕτως ἐκλήθη ἀπὸ τῆς Ἰώ* (l. *Ἰοῦς*). p. 708. *Ἕτεροι δὲ Γυμνησίας αὐτὰς οὕτω φασὶ κληθῆναι.* Compares Ciceronis Tuscul. IV, 6. (13.) *quam ita definiunt sine ratione animi elationem.*

**) V. Bastii Epist. Crit. p. 189.

***) V. L. Bosii Ellips. p. 700. Photius Lex. c. 114. *ἐν Ἀθήνῃσι.*

σεις Αἰήτῃ. Καὶ ὁ Κάδμος αὐτοὺς σπείρει εἰς τὴν ἄρουραν, Ἄρεος κελεύσαντος. Καὶ αὐτῷ ἀναφύονται ἄνδρες πολλοὶ ὡπλισμένοι. Καὶ ὁ Κάδμος βάλλει αὐτοὺς λίθοισιν· οἱ δὲ δοκοῦντες ὑπ᾽ ἀλλήλων βάλλεσθαι, κτείνουσί τε ἀλλήλους καὶ θνήσκουσι, πλὴν πέντε ἀνδρῶν, Οὐδαίου, Χθονίου, Πέλωρος, Ἐχίονος, Ὑπερήνορος. Καὶ αὐτοὺς ὁ Κάδμος πολίτας ποιεῖται κατοικήσας *) αὐτοὺς ἐν Θήβαις.

Εἰκότως οὖν ὁ Ἀπολλώνιος τὸν Κάδμον φονέα φησὶ τῶν γηγενῶν.

Φερεκύδης ἐν τῇ δ οὕτως φησίν· Ἀγήνωρ δὲ ὁ Ποσειδῶνος γαμεῖ Δαμνὼ τὴν Βήλου. Καὶ γίνεται αὐτῷ Φοῖνιξ καὶ Ἰσαίη, ἣν ἔσχεν Αἴγυπτος, καὶ Μελίη, ἣν ἔσχε Δαναός. Ἔπειτα ἐνίσχει **) Ἀγήνωρ Ἀργιόπην τὴν Νείλου τοῦ ποταμοῦ, καὶ αὐτῷ γίνεται Κάδμος.

V. 1191. Ἠέλιος μὲν ἄπωθεν. Ἐρεμνὴ λέγεται ἡ σκοτεινὴ, παρὰ τὸ ἔρεβος. Ἐνταῦθα δὲ τὸ ἀφανὲς καὶ ἄγνωστον σκοτεινὸν δοκεῖ. ὁρίζοντα δέ φησι τὴν δύσιν.

V. 1192. Αἰθίοπας δὲ τοὺς πρὸς τῇ δύσει.

Ἄκριας δὲ Αἰθιόπων τὰς ὑπερκειμένας, τὴν διακεκαυμένην ***). Ἔστι δὲ ὁ ὁρίζων κύκλος οὐ τῇ φύσει, ἀλλὰ τῇ ὄψει μόνον ἐπισημαινόμενος.

---

*) Leg. κατοικίσας. Perpetua haec est confusio, cuius exempla, si operae pretium esset, numero longe plurima commemorare possem. Conf. Ammon. p. 77. s. ubi Valckenarius Pherecydis verba citavit.

**) Leg. Ἔπειτεν ἴσχει. Iunctae a librario aut negligente aut ignorante forma adverbii vulgaris et Ionica. V. Hoeschel. ad Phrynich. p. 49. Pauw. et Reiz. praefat. ad Herodot. p. XVI. sq.

***) Subaudi ζώνην et adde hanc ellipsin Catalogo Bosiano. V. Plutarch. de physic. Philosopher. decret. III. c. 14.

V. 1195. sq. Πρὸς τὸ κλίμα δὲ τῆς Ἑλίκης ἀναβλέψαντα τὸν Ἰάσωνα φησὶ σημαιώσασθαι *) τὸν καιρὸν τὸν εἰρημένον ὑπὸ τῆς Μηδείας αὐτῷ.

V. 1202. Ὑπεύδιον δὲ τόπον φησὶ τὸν ἥσυχον καὶ ἔρημον ἀνθρώπων.

Εἰαμενὴ δὲ, ὁ κάθυγρος τόπος.

V. 1206. Ἀδινὴ δὲ εὐνὴ, ἡ οἰκτρὰ καὶ λυπηρὰ διὰ τὴν ἀπόλειψιν.

V. 1210. Μιγάδας δὲ λοιβάδας, τὰς μεμιγμένας καὶ συμμιγεῖς ἔκ τινων.

V. 1213. Κευθμὸς δὲ, ὁ κρύφιος τόπος:

Ὕπατος δὲ, ὁ ὑψηλὸς, ἢ ὁ ἐνδότατος.

V. 1215. Ὅτι δὲ ἡ Ἑκάτη δρυΐνῳ κλάδῳ στέφεται καὶ δράκουσι, καὶ Σοφοκλῆς ἐν Ῥιζοτόμοις παρεισάγει τὸν χρόνον **) λέγοντα·

Ἥλιε δέσποτα καὶ πῦρ ἱερὸν
τῆς ἐνοδίας Ἑκάτης ἔγχος.
τὸ δι' Ὀλύμπου πολλοῦ φέρει
καὶ γῆς καίουσα ***) ἱερὰς τριόδους,
στεφανωσαμένη δρυῒ, καὶ πλείστοις
ὤμῳ σπειρήμασι δρακόντων. †)

V. 1219. Ἐλειονόμοι δὲ Νύμφαι, αἱ ἐν τοῖς ἕλεσιν ἀναστρεφόμεναι.

V. 1220. Ἀμαράντινον δὲ, οἱ μὲν ἔθνος βάρβαρον ὑπὲρ Κόλχων ἐν τῇ ἠπείρῳ ἀπέδωκαν, ὅθεν αἱ τοῦ

---

*) Leg. σημειώσασθαι. Idem vitium supra ad v. 917. vidimus.

**) De confusione vocum χορὸς et χρόνος v. Bastii Comment. Palaeogr. p. 849.

***) Brunckius in Sophocl. Fragm. citat καίνουσ'.

†) V. Valckenar. Diatr. in Euripid. Fragm. p. 167.

Φάσιδος ἐξερεύγονται *) πηγαί· οἱ δὲ, ὄρος Κολχικὸν, ὅθεν ὁ Φάσις κατέρχεται.

V. 1226. Θώρηκα δὲ στάδιον ἔφη πρὸς ἀντιδιαστολὴν τοῦ ἁλυσιδωτοῦ, οἱονεὶ σταδιαῖον, ἀπὸ στάσεως ὠνομασμένον. Οἱ δὲ στάδιον λέγουσι τὸν εὐπαγῆ, ὃν καὶ Καλλίμαχος φησί·

στάδιον ἐμφίηστο χιτῶνα.

V. 1227. Μίμας δὲ ὄνομα Γίγαντος. Φλεγραῖον δὲ αὐτὸν λέγει ἀπὸ Φλέγρας τῆς πλησίον Πελλήνης.

Σφωϊτέραις δὲ χερσὶ, ταῖς ἑαυτοῦ, ταῖς ἰδίαις.

V. 1231. Πολύῤῥινον δὲ σάκος, τὸ πολύβυρσον.

V. 1236. Φαέθων δὲ ὁ Ἄψυρτος ἐκαλεῖτο, ὥς φησι Τιμώναξ ἐν β Σκυθικῶν.

V. 1240. Ἴσθμιον δὲ ἀγῶνα φησὶ τὸν ἐν τῷ Ἰσθμῷ τελούμενον τῆς Κορίνθου, πρότερον μὲν Ποσειδῶνι, ὕστερον δὲ Μελικέρτῃ κατὰ κέλευσιν τοῦ τότε τῆς Κορίνθου βασιλεύσαντος Σισύφου τοῦ Αἰόλου· ὅτε προσβρασθὲν τὸ σῶμα ὡς ἔδει καὶ τῷ ἀγῶνι τῷ Ἰσθμικῷ. Ἐν ᾧ οἱ νικῶντες πάλαι μὲν πίτυϊ ἐστεφανοῦντο, ὕστερον δὲ σελίνῳ ξηρῷ. Μουσαῖος δὲ ἐν τῷ περὶ Ἰσθμίων δύο φησὶν ἀγῶνας τελεῖσθαι ἐν Ἰσθμῷ, τὸν μὲν Ποσειδῶνι, τὸν δὲ Μελικέρτῃ.

V. 1241. Λέρνη δὲ, κρήνη τοῦ Ἄργους ἱερὰ Ποσειδῶνος.

V. 1242. Ὅμηρος·

Ὀγχηστόν θ' ἱερὸν Ποσειδήϊον ἄγλαον ἄλσος.

V. 1243. Ἡ δὲ Καλαύρεια, νῆσος οὖσα πρὸς

---

*) Vulgo de fluminibus in mare effluentibus, cuius usus exempla Scottus collegit: hic rariore usu de fontibus fluminis prorumpentibus.

τῇ Τροιζῆνι, ἱερά ἐστι Ποσειδῶνος, ὥς φησι Φιλοστέφανος. ἡ δὲ Πυθὼ Ποσειδῶνος· ἔπειτα ἀντήλλαξαν.

V. 1244. *Αἱμονίαν δὲ πέτραν* τὴν Θεσσαλίδα πέτραν λέγει. Χωρίον δέ ἐστιν, ἐν ᾧ ἀγὼν ἄγεται *) τῷ Ποσειδῶνι. Ἀπὸ δὲ τοῦ τόπου Πετραῖος ὁ Ποσειδῶν καλεῖται. Πίνδαρος· παῖ Ποσειδῶνος Πετραίου.

Γεραιστὸς δὲ, ἀκρωτήριον Εὐβοίας.

V. 1251. *Ἀαγὲς* δὲ, τὸ ἀκαμπές.

V. 1258. *Χεὶρ δὲ σφριγῶσα*, ἡ ἀκμάζουσα καὶ ῥωμαλέα **) καὶ εὔτονος, καὶ ἐῤῥωμένως κινουμένη, ἢ ἡ δύναμιν ἔχουσα ἰσχυράν. Σφρίγανον δὲ λέγεται τὸ ἰσχυρόν.

V. 1260. *Σκαρθμὸς*, ὁ πούς.

V. 1262. *Ἐπαγείετο* δὲ, ἀντὶ τοῦ ἔχαιρε καὶ ἐγαυρία.

V. 1268. Τὸ δὲ *σχήσεσθαι* τὸ ἀφέξεσθαι σημαίνει.

Τὸ δὲ *μεταπαιφάσσεσθαι* γράφεται καὶ *μεταπαιφάσσουσαν*. Ἑκατέρως δὲ τὸ διαλάμπειν σημαίνει. ***)

V. 1269. *Κληΐδες* δὲ λέγονται τὰ ζυγὰ, ἐφ' ὧν οἱ ἐρέται κάθηνται.

V. 1270. *Ἀρήϊον δὲ πεδίον* τὸ ἀφιερωμένον Ἄρει, ἢ τὸ πλησίον τοῦ ἱεροῦ τοῦ Ἄρεος, ἐν ᾧ καὶ τὸ κῶας ἔκειτο.

---

*) Rarior haec phrasis, paronomasiam quandam continens. Frequentiora talia, quorum tamen eadem est ratio: Herodotus VIII. c. 26. *οἱ δέ σφι ἔλεγον, ὡς Ὀλύμπια ἄγοιεν.* Plutarchus V. Flamin. c. 10. T. II. p. 684. Reisk. *Ἰσθμίων δὲ ἀγομένων* —.

**) Adverbium *ῥωμαλέως* adde Lexicis e Themistio p. 249. D. Hard.

***) Ad v. 1266.

V. 1272. *Βαλβὶς* δὲ γραμμή τις, ῇ ἐπιβαίνουσιν οἱ δρομεῖς. Σημαίνει δὲ καὶ τὴν ἐκκοπὴν τοῦ φρέατος. Τοσοῦτον οὖν, φησὶ, τῆς πόλεως ἀφέστηκεν, ὅσον ἡ νύσσα τῆς βαλβίδος ἤγουν τῆς ἀφετηρίας.

V. 1286. *Χρίμψαι* δὲ τὸ πλησίον γενέσθαι.

V. 1288. *Νήριτον* δὲ τὸ πολὺ καὶ ἀνάριθμον.

V. 1290. *Κευθμὼν* δὲ τὸ κοίλωμα.

Βόαυλον δὲ, ἡ βούστασις.

V. 1291. Κεκαπνίσθαι δὲ οὖν φησι τὴν βούστασιν ἐκ τῆς τοῦ πυρὸς ἀποφορᾶς τοῦ στόματος τῶν ταύρων.

V. 1299. *Εὔρινον* δὲ *χόανον*, τὸ εὔβυρσον *) καὶ καλῶς ἐρινωμένον **), ἢ τὸ εὔπνοον. Διὰ γὰρ τῆς ῥινὸς τὸ πνεῦμα πέμπεται.

V. 1300. *Ἀναμαρμαίρειν* δὲ κυρίως τὸ καίειν. Μετενήνοχε δὲ τὴν φωνὴν ἀπὸ τῆς σφοδροτάτης φυσήσεως ἐνεργούσης ἔξωθεν.

V. 1304. *Αἶθος* δὲ λέγεται τὸ πῦρ καὶ ἡ φλόξ.

V. 1308. *Ὀκλὰξ* δὲ, ἀντὶ τοῦ ἐπὶ τὰ γόνατα. Καὶ ὀκλάζειν ῥῆμα.

V. 1310. Τὸ δὲ *ἔσφηλε γνὺξ*, ἀντὶ τοῦ σφαλῆναι ἐποίησε καὶ ἐπὶ τὰ γόνατα ἤνεγκε.

Βεβολημένον δὲ, τὸν βεβλημένον καὶ πληγέντα.

V. 1313. Τὸ δὲ *ἐλυσθεὶς*, ἀντὶ τοῦ ἐκταθείς.

V. 1317. *Λόφους* δὲ λέγει τοὺς ἱμάντας.

V. 1318. *Κορώνη* δὲ νῦν ὁ κρίκος τοῦ ζυγοῦ.

Θοὴ δὲ, ἡ εἰς ὀξὺ λήγουσα κορώνη.

Τὸ δὲ *ἄρασσεν*, ἀντὶ τοῦ συνήρμοσε.

V. 1320. Τὸ δὲ *χαζέσθην* εἰς τοὺς Τυνδαρίδας

---

*) *Εὔβυρσος* Lexica ignorant.

**) *Ῥινόω* Lexica non magis habent. Schol. edit. perperam *ἐῤῥινημένοις*.

ἀνενεκτέον, οὓς ἀναχωρῆσαι φησὶν εἰς τὴν ναῦν ὑπὸ τῆς τοῦ πυρὸς ῥύμης.

V. 1321. *Θοοὺς δὲ ὀδόντας*, τοὺς ὀξεῖς.

V. 1323. *Ἐργατίνης* δὲ, ὁ ἐργάτης, ἢ ὁ γεωργός.

Ἄκαινα δὲ λέγεται μὲν καὶ τὸ βούκεντρον, λέγεται δὲ καί τι μέτρον γῆς δεκάπουν, Θεσσαλῶν εὕρεμα. Καὶ ποιμενικὴ δέ τις ῥάβδος οὕτω καλεῖται, ὑπὸ Θεσσαλῶν ἢ Πελασγῶν εὑρημένη, περὶ ἧς καὶ Καλλίμαχος οὕτω φησί·

Ἀμφότερον κέντρον τε βοῶν, καὶ κέντρον ἀρούρης.

V. 1331. *Ὀκρυόεσσα* δὲ, ἡ τραχεῖα.

Τὸ δὲ *ἐρείκετο*, ἀντὶ τοῦ ἐσχίζετο.

V. 1345. Τὸ *διεπτοίησεν*, ἀντὶ *) φόβον ἐνέβαλε τοῖς βουσὶν, ὥστε φεύγειν.

V. 1355. Τὸ δὲ *ἔφριξαν*, ἀντὶ τοῦ ἐξωρθοῦντο, καὶ φοβεροὶ ἐγένοντο.

V. 1358. *Ὄλυμπον* δὲ τὸν οὐρανὸν λέγει κατὰ τοὺς νεωτέρους.

V. 1363. *Ἀναλδήσκοντες* δὲ, ἀντὶ τοῦ ἀναδιδόμενοι καὶ αὐξόμενοι.

V. 1365. *Περιηγέα* δὲ, τὸν περιφερῆ.

V. 1366. *Σόλος* δὲ, ὁ δίσκος.

V. 1372. *Τὸν δ' ἕλεν ἀμφασίη.* Οὗτος καὶ οἱ ἑξῆς στίχοι παρ' Εὐμήλου εἰσὶν εἰλημμένοι, παρ' ᾧ Μήδεια πρὸς Ἰάσωνα διαλέγεται. Καὶ Σοφοκλῆς δὲ ἐν Κολχίσιν ἐποίησε τὸν ἄγγελον τοῦ Αἰήτου πυθόμενον περὶ τῶν προειρημένων οὕτως·

Ἦ βλαστὸς οὐκ ἔβλαστεν οὑπιχώριος,
καὶ κάρτα φρίξας εὐλόφῳ σφηνώματι,

---

*) Add. τοῦ. Etiam ante διεπτοίησεν excidit δέ.

χαλκηλάτοις ὅπλοισι μὴ προσεξέδυ. *)

Ταῦτα οὖν ἔοικε παραποιεῖν ὁ Ἀπολλώνιος ἐνταῦθα.

V. 1376. Καταΐκες δὲ, ἀντὶ τοῦ κατὰ συστροφήν.

V. 1377. Τὸ δὲ ἀναπάλλεται γράφεται καὶ ἀπολάμπεται. Ἔοικε δὲ ὁ Ἀπολλώνιος περὶ τῶν διαττόντων καὶ διατρεχόντων ἀστέρων ποιεῖσθαι τὸν λόγον, οἳ διὰ τὴν τῆς φορᾶς ὀξύτητα παραπλήσιόν τι ἔχουσι τῷ Ἰάσωνι ὑποβούλημα **).

V. 1378. sq. Ὁλκὸν δὲ λέγει τὸ ὑπὸ τὴν ὀξύτητα παρασυρόμενον αὐτῶν φέγγος.

Τὰς δὲ τοιαύτας φαντασίας Μουσαῖος ἐκ τοῦ Ὠκεανοῦ φησὶν ἀναφερομένας κατὰ τὸν αἰθέρα σβέννυσθαι. Τοὺς δὲ λεγομένους ὑπὸ τοῦ Μουσαίου ἀστέρας Ἀπολλώνιος πιθανῶς μαρμαρυγὰς εἴρηκε. Τὰς γὰρ γινομένας ἀκαταλήπτους διὰ τὴν ὀξύτητα ἀποστίλψεις μαρμαρυγὰς καλοῦσιν. Ἀπίθανον δὲ δοκεῖ ἀστέρι παρεικάζειν τὸν Ἰάσωνα τοιούτῳ πρὸς ἐπικίνδυνον ἆθλον πορευόμενον, τῷ ἅμα τῷ φανῆναι σβεννυμένῳ. Ἴσως οὖν τῷ πυρόεντι αὐτὸν ὡμοίωκε, περὶ οὗ Περιγενὴς ἐν τοῖς Χαλκιδικοῖς περὶ τῶν μαθημάτων καὶ ἐφυμνεῖ τὸν πυρόεντα, τὸν προσαγορευόμενον ὑπὸ μὲν Ἑλλήνων Ἄρεως, ὑπὸ δὲ Χαλκιδέων ***) Ἡρακλέους. Δυσκίνητον

---

*) V. Valckenar. ad Euripid. Phoeniss. v. 670. et Brunck. ad Sophocl. Fragm. Ceterum ex hoc fragmento non debebat Schneiderus προσέκδυμι asciscere; nam verissime correxerunt μητρὸς ἐξέδυ.

**) Ex h. l. primus Scottus excitavit, quem recentiores Lexicographi secuti sunt. Sublestae fidei Schneidero videtur: iure, ut opinor.

***) *Chalcidenses* Graecis non possunt opponi: possunt *Chaldaei*. Corrig. Χαλδαίων, et paulo ante ἐν τοῖς Χαλδαϊκοῖς. Conf. Fabric. Bibl. Gr. T. IV. p. 285. Harl. Solennis commutatio horum

μὲν οὖν φησι τὸν πυρόεντα· ἐπισυρομένου γὲ μὲν *) αὐτοῦ μαρμαρυγὰς καὶ σπινθῆρας γίνεσθαι.

V. 1384. *Τελλομένους* δὲ, ἀντὶ τοῦ φαινομένους.

V. 1390. *Ὡραίην* δέ φησι τὴν ὥραν, ὡς καὶ τὴν ἀνάγκην ἀναγκαίην. **) Ὅμηρος·

ἀναγκαίη γὰρ ἐπείγει.

Τὸ δὲ ἑξῆς οὕτως· οὐδὲ ἐς ὥραν καὶ τὸν ἐπιτήδειον καιρὸν μίμνη τερσήμεναι ταῖς τοῦ ἡλίου βολῇσιν.

V. 1391. *Ὁλκὸν* δὲ λέγει τὴν αὔλακα.

V. 1395. *Δομὴν* δέ φησι τὴν τοῦ σώματος σύστασιν καὶ χροιάν.

V. 1397. Τὸ δὲ *προύτυψαν*, ἀντὶ τοῦ προῆλθον, ἢ προέσχον ὑπὲρ τῆς γῆς τόσον καὶ ὑπὸ γῆν.

V. 1398. *Πλαδαρὸν* δὲ λέγει τὸ δίυγρον.

V. 1403. *Σημαντῆρα* δὲ, τὸν δεσπότην.

---

nominum. V. Wesseling. ad Herodot. III. c. 155. Ruhnken. ad Vellei. Paterc. II. c. 24. et Müller. ad Scholia Tzetzarum in Lycophron. p. 507. et 509.

*) Schol. edit. melius γε μήν. Noster iam supra ad v. 311. p. 238. Ὅ γε μὲν Ἀπολλώνιος. et ad IV. v. 725. Ἥ γε μὲν Κίρκη. Γὲ μὲν proprium videtur Ionicae dialecti. Lucianus de Syria Dea T. III. p. 474. δοκέω γε μὲν Διονύσῳ σφέας καὶ τάδε ποιέειν. In Herodoto VII. c. 234. pro γε μὴν plures libri dant γε μέν.

**) De his formis v. L. Bosii Ellips. p. 534. sq. 577. 849. et 923. et not. ad Gregor. Cor. p. 393. sq. Has quoque formas videtur metri heroici necessitas an commoditas peperisse.

ΣΧΟΛΙΑ
ΕΙΣ ΤΟ ΤΕΤΑΡΤΟΝ
ΤΩΝ
ΑΠΟΛΛΩΝΙΟΥ
ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

V. 1. *Αὐτὴ νῦν κάματόν γε θεά.* Τὸ τέταρτον τῶν Ἀπολλωνίου Ἀργοναυτικῶν τάδε περιέχει. Οἱ Ἀργοναῦται διαπεράσαντες τὸν Πόντον ἀφίκοντο εἰς τὸν Ἴστρον, καὶ δι' αὐτοῦ κατηνέχθησαν εἰς τὸν Ἀδρίαν, καὶ διεπεραιώθησαν εἰς τὸν καλούμενον Κρόνιον *), ἔνθα ἀναιροῦσιν τὸν Ἄψυρτον δόλῳ. Ἀγανακτοῦντος δὲ τοῦ Διὸς ἐπὶ τούτοις καὶ δυσπνοίᾳ **) θέλοντος ἀνατρέψαι τοὺς Ἀργοναύτας, ἡ Ἥρα ἐπιπέμπει ἀνέμους. Καὶ διὰ τοῦ Ἠριδανοῦ καταφέρονται εἰς τὴν περὶ Σαρδῶ θάλασσαν. Καιθαίρονται δὲ ὑπὸ τῆς Κίρκης, καὶ διαπλέουσι τὰς πλαγκτὰς πέτρας, Θέτιδος μετὰ τῶν ἄλλων Νηρηΐδων προπεμπούσης. Τὰς δὲ Σειρῆνας ἀποπλέουσι, καὶ διασωθέντες εἰς τὴν πάλαι μὲν Δρεπάνην,

---

*) Schol. edit. *εἰς τὸ πάλαι καλούμενον Κρόνιον.* Ad hoc subaud. *πέλαγος:* ad nostrum *πόντον.* Plene *Κρόνιον πόντον* dixit Orpheus Argon. v. 1079. sq.

**) *ventis contrariis:* quem huius vocis usum Lexicographi neglexerunt. Simili sensu Sophocles Antig. v. 588. sq. dixit *δυςπνόοις — πνοαῖς.*

ὕστερον δὲ κληθεῖσαν Κέρκυραν, τοὺς διὰ τῶν Συμπληγάδων διώκοντας αὐτοὺς Κόλχους καταλαμβάνουσιν, οἵτινες παρὰ τοῦ Ἀλκινόου ἐξητοῦντο τὴν Μήδειαν. Ὁ δὲ ἀναβαλλόμενος αὔριον, ἔφη, παρθένον μὲν οὖσαν ἀποπέμψαι τῷ πατρὶ, γυναῖκα δὲ ἀποδόσθαι τῷ ἀνδρί. Γίνεται οὖν ἐκείνῃ τῇ νυκτὶ ὁ γάμος. Ὡς οὖν ἄπρακτοι ἐγένοντο οἱ Κόλχοι, καταμένουσιν ἐν τῇ Σχερίᾳ γῇ δεδοικότες ἐπανελθεῖν εἰς Αἰήτην. Ἀποπλεύσαντες δὲ ἐκεῖθεν οἱ Ἀργοναῦται, κατασύρονται τῆς Λιβύης εἰς Σύρτιν, καὶ τελευτῶσιν ἐκεῖ Κάνθος καὶ Μόψος. Ἀποροῦσι δὲ περὶ σωτηρίας τοῖς Ἀργοναύταις Τρίτων ἐπιφανεὶς, ὅπως διασωθείειν δηλοῖ. Βαστάσαντες οὖν τὴν ναῦν κομίζουσιν εἰς Τριτωνιδα λίμνην. Ειτα γίνονται ἐν Κρήτῃ, ᾗ προσορμισθῆναι κωλύονται ὑπὸ Τάλω, ὃν ἐπῳδαῖς ἠφάνισε Μήδεια. Εἶτα παραγίνονται εἰς Αἴγινον, κἀκεῖθεν διασώζονται εἰς Θεσσαλίαν.

Σχόλια εἰς τὸ δ̄ τῶν Ἀπολλωνίου Ἀργοναυτικῶν.

V. 1—5. Αὐτὴ νῦν κάματόν γε θεά. Αὐτὴ νῦν, ὦ Μοῦσα, φράσον μοι τὸν μόχθον τῆς Μηδείας, καὶ τὰ δήνεα καὶ τὰ βουλεύματα αὐτῆς. Ἔμοιγε γὰρ τῷ ὄντι ὁ νοῦς ὑπὸ ἀμφασίας καὶ ἀπορίας ἔνδον ἑλίσσεται σκεπτομένῳ, ποτερὸν ἐρωτικὸν πάθος βλαβερὸν ὤτρυνεν αὐτὴν φυγεῖν, ἢ εἴποιμ᾽ ἂν ταῦτα, ὅτι φύζαν ἀεικελίην ἐποιήσατο, τουτέστι φυγὴν κακώσεως, φοβηθεῖσα μήπως κακωθῇ ὑπὸ τοῦ πατρὸς, ἢ, ἤγουν ὑφ᾽ ἧς κακώσεως, κατέλιπε τὰ ἔθνη τῶν Κόλχων.

Ἐν μὲν οὖν τῷ ἀμφασίῃ τοῦ ᾱ στέρησιν σημαίνοντος ἐπεντέθη *) τὸ μ̄.

*) Sic etiam Schol. edit. V. supra p. 54.

Τὸ δὲ ἀεικελίην, ἐπιθετικῶς μὲν λέγεται κατὰ τὸ φύζαν, καὶ διὰ τοῦτο ὁμοιοπτότως· μεταλαμβάνειν γε μὴν εἰς προσηγορικὴν γενικὴν αὐτὸ δεῖ, ἵν' ᾖ, φύζαν ἀεικελίης. Οὕτω γὰρ ὁ νοῦς σώζεται.

V. 8. Στυγερὸν δὲ λέγει τὸν ἆθλον, ὅτι στυγνάσαι ἐποίησε τὸν Αἰήτην.

V. 11. Τὸ δὲ ἀλεγεινότατον, ἢ ἀπὸ τοῦ ἀλγεινότατον γέγονε κατ' ἐπένθεσιν τοῦ ε, ἢ ἀπὸ τοῦ ἀλέγειν, τὸ φροντίζειν, παρήχθη ἡ λέξις, ὡς εἶναι ἀλεγεινότατον τὸν πολυφρόντιστον.

V. 12. Κεμὰς δὲ νεβροῦ διαφέρει. Κεμὰς μὲν γὰρ ἡ ἔτι ἐν τῷ σπηλαίῳ κοιμωμένη διὰ σμικρότητα ἔλαφος· νεβρὸς δὲ ὁ ἔτι μείζων καὶ εἰς βορὰν ἐξέρχεσθαι καὶ νέμεσθαι δυνατός.

V. 13. Τάρφεσι δὲ, τοῖς πυκνοῖς.

V. 14. Τὸ δὲ ὀΐσατο ἀπὸ τοῦ οἴω κατὰ διάλυσιν ὀΐω γίνεται. Ἔοικε δὲ καὶ τὸ δοάσασθαι ἀπὸ τοῦ ὀΐσασθαι γίνεσθαι κατὰ πρόσθεσιν τοῦ δ καὶ μεταποίησιν τοῦ ι εἰς α. Οὕτω δὲ προστίθεται τὸ δ καὶ ἐν τῷ δνοφερὸν ὕδωρ· ἀπὸ γὰρ τοῦ νέφους πεποίηται, καὶ ἀπὸ τοῦ ἴψαι. Σοφοκλῆς *) ἐν Ἰξίονι δίψιον φησὶ τὸν βεβλαμμένον. Καὶ Ὅμηρος πολυδίψιον ἐς Ἄργος, τὸ πολλάκις βεβλαμμένον.

V. 16. Ἐπιΐστορας δὲ, ἀντὶ τοῦ συνίστορας, συνειδυίας.

V. 17. Περιβρομέεσκον, ἀντὶ τοῦ ἐνήχουν, ὡς ἐρχομένων τινῶν, καὶ ἀξόντων εἰς τὴν πατρίδα.

V. 18. Λευκανίαν δὲ λέγει τὴν ἀρτηρίαν, δι' ἧς τὸ πνεῦμα ἑλκόμενον φέρεται.

---

*) Leg. — πεποίηται. Καὶ ἀπὸ τοῦ ἴψαι Σ.

Κουρὶξ δὲ, ἀντὶ τοῦ κατὰ κόῤῥης, κατὰ κεφαλῆς. Πολλάκις δὲ προσχρῶνται ἐπὶ τοῦ τίλλειν τὰς τρίχας.

V. 23. *Πτερόεις* δὲ ὁ κοῦφος. Ἐλαφρίσθη *) οὖν, φησὶ, τοῦ προτέρου λογισμοῦ, καὶ μετετράπη τῇ ψυχῇ εἰς ἱλαρότητα.

V. 35. Τὸ δὲ *διειλυσθεῖσα*, ἀντὶ τοῦ λάθρα διεξελθοῦσα καὶ διαφυγοῦσα καὶ διαδράσασα.

V. 36. *Ληϊὰς* δὲ, ἡ δορυάλωτος καὶ αἰχμάλωτος.

V. 38. *Ἀηθέουσα* δὲ, ἀντὶ τοῦ ἀηθὴς οὖσα.

Δύη δέ ἐστιν ἡ κακοπάθεια.

V. 42. *Ἀοιδὰς* δὲ λέγει τὰς διὰ φαρμάκων ἐπῳδάς.

V. 46. *Πέζα* δέ ἐστι τὸ καταλῆγον τοῦ ἐνδύματος, ὃ ἡμεῖς ὦαν καλοῦμεν. Οἱ γὰρ παλαιοὶ ὑπὲρ τοῦ μὴ τρίβεσθαι τὰ ἐνδύματα δέρματα αὐτοῖς κατὰ τὸ ἄκρον προσέῤῥαπτον.

V. 52. *Δυσπαλαίας* δὲ, τὰς χαλεπὰς καὶ κακὰς, ἢ τὰς ἐπὶ κακῷ ἀναδιδομένας ἐκ τῆς γῆς. Πλείονα γὰρ τὰ φθοροποιὰ τῶν χρηστῶν. Ἢ τὰς δυσχερῶς γινομένας.

V. 54. *Τιτανίδα* δὲ τὴν Σελήνην φησὶν, ὅτι ὁ Ἥλιος καὶ ἡ Σελήνη Ὑπερίονος τοῦ Τιτᾶνος καὶ Θείας εἰσὶ παῖδες. Ἡσίοδος·

Θεία δ' Ἠέλιόν τε καὶ λαμπρὰν Σελήνην.

V. 55. *Φοιταλέην* δὲ τὴν ἐμμανῆ φησὶ, καὶ ἐμμανῶς πορευομένην. Φοῖτος γὰρ ἡ μανία λέγεται. Εὐφορίων·

---

*) Hîc etiam augmentum neglectum. Suprà ad II. v. 1. ἐξελάθησαν. ad III. v. 1. ἀναδίδοντο. Schol. ad Callimachi H. in Cerer. v. 7. θεάσατο. Ut paene suspicer, talia non deberi erroribus et negligentiae librariorum, sed imputanda esse Graecitati citeriori.

Φοιταλέος δ' ἀνὰ πᾶσαν ἅδην ἐπάτησε κοθόρνῳ. Καὶ μήποτε διὰ τοῦτο καὶ τὰς ἑταίρας φοιτάδας λέγομεν.

V. 57. sq. Οὐκ ἄρ' ἐγὼ μούνη. Λάτμον, ὄρος Καρίας, ἔνθα ἐστὶν ἄντρον, ἐν ᾧ διέτριβεν Ἐνδυμίων. Καὶ πόλις δὲ ἐκεῖ κληθεῖσα Ἡράκλεια.

Τὸν δὲ Ἐνδυμίωνα Ἡσίοδος μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλύκης εἶναι παῖδα, εἰληφότα παρὰ Διὸς δῶρον, ἐν αὐτῷ ταμίαν εἶναι θανάτου, ὅτε θέλοι ὀλέσθαι *). Καὶ Πείσανδρος δὲ τὰ αὐτά φησὶ, καὶ Ἀκουσίλαος, καὶ Φερεκύδης, καὶ Νίκανδρος ἐν β Αἰτωλικῶν, καὶ Θεόπομπος Ἐποποιοῖς. Ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις λέγεται τὸν Ἐνδυμίωνα ὑπὸ Διὸς ἀνενεχθῆναι εἰς τὸν οὐρανὸν, καὶ ἐρασθέντα Ἥρας παραλογισθῆναι εἰδώλῳ νεφέλης διὰ τὸν ἔρωτα, καὶ ἐμβληθέντα ἐκεῖθεν κατελθεῖν εἰς ᾅδην. Καὶ Ἐπιμενίδης δέ φησι παρὰ θεοῖς διατρίβοντα τὸν Ἐνδυμίωνα ἐρασθῆναι Ἥρας· χαλεπήναντος δὲ τοῦ Διὸς, αἰτήσασθαι διὰ παντὸς **) καθεύδειν. Τινὲς δέ φασι διὰ πολλὴν δικαιοσύνην ἀποθεωθῆναι φασὶν αὐτόν· ἔπειτα πλημμελήσαντά τι αἴ-

---

*) V. Bast. ad Gregor. Cor. p. 85. qui versum Hesiodi sic legendum censet: ἐν δ' αὐτῷ θανάτου ταμίης, ὅτε μέλλοι ὀλέσθαι, notatque: „Verba quidem θέλειν et μέλλειν commutari facile po-„tuerunt." Exempla huius commutationis vide in Mülleri notis ad Tzetzarum Schol. in Lycophron. p. 428. b. et 469. a. Etiam βούλεσθαι et μέλλειν in libris commutata sunt. V. eund. ibid. p. 835. b. Ceterum non vera haec confusio est, profecta a socordia librariorum, cuiusque rationem reddas palaeographicam: sed ipse usus verborum illorum, utpote paene idem significantium, promiscuus fuit. Conf. Reisk. ad Dionem Chrysost. T. I. p. 247.

**) Sive sic scribas, sive coniunctim, ut in Schol. edit., διαπαντὸς, nihil refert. Sed in Hegesippi Epigr. VI. v. 5. non debebant dare, iunctis vocibus, διάπαντα, quod graecum non est.

τῆσαι παρὰ Διὸς ἀεὶ καθεύδειν. Τινὲς δὲ τῷ ὄντι φίλυπνόν τινα γενέσθαι φασὶ τὸν Ἐνδυμίωνα. Ὅθεν καὶ παροιμία, Ἐνδυμίωνος ὕπνος, ἐπὶ τῶν πολὺ κοιμωμένων, ἢ ἀμελῶς τι πραττόντων, ὡς δοκεῖν κοιμᾶσθαι. Φασὶ δὲ αὐτὸν οἱ μὲν Σπαρτιάτην, οἱ δὲ Ἠλεῖον. Ἴβυκος δὲ καὶ βασιλεῦσαι φησὶν αὐτὸν τῆς Ἤλιδος. Μέμνηται αὐτοῦ καὶ Θεόκριτος λέγων·

Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων
Ἐνδυμίων.

*Περὶ δὲ τοῦ τῆς Σελήνης ἔρωτος Σαπφὼ καὶ Νίκανδρος ἐν β' ἀρώπης ἱστοροῦσι. Φασὶ γὰρ κατέρχεσθαι τὴν Σελήνην πρὸς Ἐνδυμίωνα καθεύδοντα αὐτὸν ἐν τῷ Λάτμῳ τῷ ὄρει. Τινὲς δὲ καὶ ἀναιροῦσι τὸν ἐπὶ τῷ τοῦ Ἐνδυμίωνος ὕπνῳ μῦθον. Φιλοκύνηγον γὰρ αὐτὸν ὄντα, τὴν μὲν νύκτα πρὸς τῇ σελήνῃ κυνηγεῖν, διὰ τὸ ἐξιέναι τότε τὰ θηρία ἐπὶ τὰς νομάς· τὰς δὲ ἡμέρας ἀναπαύεσθαι ἐν σπηλαίῳ, ὡς δοκεῖν ἀεὶ κοιμᾶσθαι. Ἄλλοι δὲ ἄλλως *) ἀλληγοροῦσι τὸν μῦθον, λέγοντες, Ἐνδυμίωνα πρῶτον ἐπιχειρῆσαι τῇ περὶ τὰ μετέωρα φιλοσοφίᾳ· παρασχεῖν δὲ αὐτῷ ἀφορμὰς τὴν σελήνην ἔν τε τοῖς φωτισμοῖς καὶ ταῖς κινήσεσι. Τὴν μὲν οὖν νύκτα σχολάζοντα περὶ τὰς τοιαύτας θεωρίας μὴ καθεύδειν, μεθ' ἡμέραν δὲ ἀναπαύεσθαι.*

Διὰ δὲ τὸν μυθευόμενον ἔρωτα τῆς Σελήνης ἐμυθολόγησαν, ὡς αἱ Θετταλαὶ γυναῖκες αἱ φαρμακίδες κατασπῶσι τὴν σελήνην ἐπῳδαῖς. Ἠπατήθησαν δὲ, ὥς φασὶ, καὶ ὑπὸ Ἀγλανίκης τῆς Ἡγήμονος θυγατρός.

---

*) i. e. *Τινὲς δὲ ἄλλως*, quomodo rarius haec sic iunguntur, Paulus Silentiar. LXXIV. v. 73. sqq. *Ἄλλοι λέγουσιν ἄλλην Κρυπτοὺς δόλους ἐλέγχειν· Ἄλλην κ. τ. λ.*

Αὕτη γὰρ ἔμπειρος οὖσα ἀστρολογίας, καὶ τοὺς χρόνους τῶν τῆς σελήνης ἐκλείψεων ἐπισταμένη, ὅτε ἔμελλεν ἐκλείπειν ἡ σελήνη, ἔλεγεν, ὅτι αὐτὴν κατασπᾷ. Δίκην δ' ὅμως ἔδωκεν τοῦ ψευδολογήματος *). *Ἅμα τε γὰρ ἔλεγε τὴν θεὸν κατασπᾷν, καὶ συμφοραῖς περιέπιπτεν ἀποβάλλουσα τινὰ τῶν οἰκείων. Διὸ καὶ παροιμία ἐπὶ τῶν συμφοραῖς κεχρημένων, ὅτι τὴν σελήνην κατασπᾷ. Οὕτω δ' ἐπιστεύετο τὴν σελήνην ἐν ταῖς ἐκλείψεσι καθαίρεσθαι* **), *ὥστε καὶ τοὺς παλαιοὺς τὰς ἐκλείψεις καθαιρέσεις καλεῖν.*

V. 59—61. *Τὸ δὲ ἦ θαμὰ δὴ καὶ τὰ ἑξῆς οὕτω συντακτέον· ὄντως θαμὰ ἐγὼ φοιτῶ εἰς τὸ ἄντρον μνησαμένη τῆς τοῦ Ἐνδυμίωνος φιλότητος, καὶ σεῖο, ὦ κύων, μνησαμένη, ἵνα εὔκηλος φαρμάσσῃς ἐν σκοτίῃ νυκτὶ δολίαισιν ἀοιδαῖς, ἅ σοι φίλα τέτυκται.*

V. 63. *Ἀνιηρὸν δὲ λέγει τὸν ἀθεράπευτον.*

V. 69. *Ἔδαιον δὲ, ἀντὶ τοῦ ἔκαιον καὶ ἀνῆπτον.*

V. 70. *Τὸ δὲ ὄρθια τὸ συντεταμένως καὶ μεγάλως δηλοῖ.*

V. 71. *Τὸ δὲ περαιόθεν ἀπὸ τῆς περαίας γίνεται. Ὅθεν καὶ τὸ πέρας. Δι' ὃ καὶ ἤπειρος λέγεται καταχρηστικῶς πᾶσα γῆ· κυρίως δὲ ἡ εἰς ἄπειρον ἐκβάλλουσα. Φανερὸν δὲ τοῦτο ἐποίησεν Εὐριπίδης εἰπών·*

Ἤπειρον εἰς ἄπειρον ἐσβάλλω χθόνα.

V. 86. *Ἰστέον δὲ, ὅτι ὁ μὲν Ἀπολλώνιος νυκτὰ* ***)

---

*) Accedat Lexicis. Item simile compositum *χρησμολόγημα*, quo utitur Tzetzes in Exegesi ad Homeri Iliad. p. 16, 24. [Ibid. p. 47, 15. legitur *χρησμοδότις*, item omissum in Lexicis.]

**) Leg. *καθαιρεῖσθαι*. Eadem verba confusa in Diodoro Sic. XVII. c. 40. extr.

***) Accentus docet, legendum esse *νυκτός*. V. Bredow. Epist. Par. p. 245.

πεφευγέναι τὴν Μήδειαν φησὶν ἐπὶ τὴν ναῦν, Αἰήτου συνέδριον ἔχοντος Κόλχων περὶ διαφθορᾶς τῶν ἡρώων· ὁ δὲ τὰ Ναυπακτικὰ πεποιηκὼς ὑπὸ Ἀφροδίτης φησὶ τὸν Αἰήτην κατακοιμηθῆναι ἐπιθυμήσαντα συγγενέσθαι τῇ ἑαυτοῦ γυναικὶ Εὐρυλύτῃ, δεδειπνηκότων παρ' αὐτῷ τῶν Κόλχων καὶ κοιμωμένων, διὰ τὸ βούλεσθαι αὐτὸν ἐμπρῆσαι τὴν ναῦν.

Δὴ τότ' ἄρ' Αἰήτῃ πόθον ἔβαλε δῖ' Ἀφροδίτη,
Εὐρυλύτης φιλότητι μιγήμεναι ἧς ἀλόχοιο,
κηδομένη φρεσὶν ᾗσιν, ὅπως μετ' ἄεθλον Ἰήσων
νοστήσῃ οἶκονδε σὺν ἀγχεμάχοις ἑτάροισιν.

Ὁ δὲ Ἴδμων συνῆκε τὸ γεγονὸς, καὶ φησὶ,

Φευγέμεναι μεγάροιο *) θοὴν διὰ νύκτα μέλαιναν.

Τὴν δὲ Μήδειαν τὴν ποδοψοφίαν **) ἀκούσασαν, ἀναστᾶσαν συνεξορμῆσαι αὐτοῖς. Τὰ αὐτὰ δέ φησι καὶ Ἡρόδωρος.

V. 87. Ἔτι δὲ ἰστέον, ὅτι ὁ μὲν Ἀπολλώνιος μετὰ τὸ φυγεῖν τὴν Μήδειαν ἐκ τῶν τοῦ Αἰήτου οἴκων, πεποίηκεν ὑπισχνουμένην δώσειν τὸ κῶας τῷ Ἰάσωνι· ὁ δὲ τὰ Ναυπακτικὰ πεποιηκὼς συνεκφέρειν αὐτὴν τὸ κῶας φησίν. Ἔκειτο γὰρ ἐν τῷ οἴκῳ τοῦ Αἰήτου. Ἡρόδωρος δέ φησι, μετὰ τὴν ἀνάζευξιν τῶν Ἀργοναυτῶν ἀποσταλῆναι τὸν Ἰάσωνα ἐπὶ τὸ κῶας· τὸν δὲ πορευθέντα τόν

---

*) Sic Sophocles Philoct. v. 1044. τῆς νόσου πεφευγέναι. Quam constructionem in poëtica oratione non miror. Miror in Diodori Sic. Eclog. T. II. p. 529, 42. φεύγοντα τῆς πολιορκουμένης πόλεως, ubi ἐκ videtur excidisse.

**) Vox videatur poëtici coloris; ut fortasse fuerit in poëmate: — ποδοψοφίην ἀΐουσα. Tamen etiam in Fabularum Aesopearum Syntagmate Schneideriano legas Fab. CXXXVII. p. 70. βάτραχοι ἀκούσαντες τῆς ποδοψοφίας.

τε δράκοντα φονεῦσαι, καὶ τὸ κῶας ἀπενεγκεῖν πρὸς Αἰήτην· τὸν δὲ δόλῳ καλέσαι αὐτοὺς ἐπὶ δεῖπνον.

V. 89. Ἐπιΐστορας μὲν οὖν φησι τοὺς μάρτυρας.

V. 91. Ὀνοτὴν δὲ λέγει τὴν μεμπτήν.

V. 94. Τὸ δὲ προσπτύξατο, ἀντὶ τοῦ περιέλαβε.

V. 102. Τὸ δὲ παρὲκ νόον Αἰήταο, ἀντὶ τοῦ παρὰ τὴν βουλὴν τοῦ Αἰήτου.

V. 106. Τὸ δὲ ἔμπαλιν ἀΐσσουσα, ἀντὶ τοῦ εἰς τοὐπίσω ὁρμῶσα.

V. 111. Ἄγχαυρον δὲ λέγει τὸν πλησίον τῆς ἡμέρας καιρὸν, οἱονεὶ τὸ καλούμενον λυκόφως. Περὶ γὰρ τὸν τοιοῦτον καιρὸν αἱ αὖραι πνέουσιν. Εἴληπται δὲ καὶ τοῦτο ἐξ Ὁμήρου·

Αὔρη δ' ἐκ ποταμοῖο ψυχρὴ πέλει ἠῶθι πρό.

Κνώσσειν δέ ἐστι τὸ ὑπνώττειν.

V. 115. sq. Εὐνὰς δέ φησι κριοῦ, ὅπου πρῶτον τὸν Φρίξον κομίσας ὁ κριὸς ἀνεπαύσατο.

V. 125. sq. Ἀνιόντος δὲ ἡλίου, ἀντὶ τοῦ ἀνατέλλοντος.

V. 131. Διὰ δὲ τοῦ, ἔκλυον, οἳ καὶ πολλὸν ἑκὰς, χρῆται μὲν ὑπερβολῇ κατὰ ποσότητα, εἴγε ἐπὶ τοσοῦτον ἀκούεσθαι φησὶ τὴν τοῦ δράκοντος φωνήν· θαυμαστὸν δ', ὅπως τοῖς μὲν μακρὰν ἠκούετο, τοῖς δ' ἐγγὺς οὐκ ἠκούετο.

Τιτηνίδα δὲ χώραν λέγει τὴν κληθεῖσαν ἀπό τινος ποταμοῦ Τιτήνου, οὗ μνημονεύει καὶ Ἐρατοσθένης ἐν Γεωγραφίᾳ.

V. 132—135. Ὁ δὲ Λύκος ποταμὸς ἀπὸ Ἀράξου φερόμενος συγκίρναται *) Φάσιδι, καὶ οὕτως ἀπολέσας

*) Schol. edit. συγκιρνᾶται. Ubi optio datur, praetulerim no-

τὸ ἴδιον ὄνομα ἐκδίδωσιν εἰς θάλασσαν. Τὸ δ' αὐτὸ γίνεται καὶ ἐν τοῖς περὶ Θεσσαλίαν *) ποταμοῖς. Ὀνοχῶνος γὰρ καὶ Παμισὸς καὶ Σπερχειὸς, ἐπειδὰν συῤῥεύσωσι, Σπερχειὸς οἱ πάντες καλοῦνται.

Ἀράξης δέ ἐστι ποταμὸς Σκυθίας. Μητρόδωρος δὲ ἐν ᾱ τῶν περὶ Τιγράνην τὸν Θερμώδοντα Ἀράξην φησὶ καλεῖσθαι.

Καυκασίαν δὲ θάλασσαν τὴν Κασπίαν λέγει διὰ τὸ πλησιάζειν τῷ Καυκάσῳ. Βέλτιον δὲ Καυκασίαν νῦν τὸν Εὔξεινον νοεῖν τὸν πλησιάζοντα τῷ Καυκάσῳ. Οὐ γὰρ εἰς τὴν Καυκασίαν **), ἀλλ' εἰς τὸν Εὔξεινον ἐκδίδωσιν ὁ Φάσις.

V. 140. Στροφάλιγγας δὲ φησὶ τὰς τοῦ σφοδροῦ καπνοῦ εἱλύσεις ***), κατὰ ἀναφοράν.

V. 141. Διὰ δὲ τοῦ, ἄλλη δ' αἶψ' ἑτέρῃ ἐπιτέλλεται, τὸ συνεχὲς τῆς ἐπαναφορᾶς δηλοῖ.

V. 142. Εἰλίγγους δὲ λέγει τὰς συστροφὰς τοῦ καπνοῦ.

Ἐπήορος δέ ἐστιν ὁ μετέωρος.

V. 143. Καὶ τὸ ἀπειρεσίας δὲ ὑπερβολικῶς εἴρηκε διαγράφων τὸ τερατῶδες μέγεθος τοῦ δράκοντος.

---

stram formam, quam, in hoc quidem composito, Lexicographos neglexisse miror.

*) Schol. edit. *κατὰ Θεσσαλίαν*, quod idem est. *in Thessalia.* Herodotus I. 24. *περὶ Ἰταλίην.* Interpres Latinus: *circa Italiam.* Melius Larcherus: *en Italie.* Plutarchus V. Thes. c. 6. *περὶ τὴν Ἑλλάδα.* Idem V. Alex. c. 11. *περὶ Θετταλίαν.* c. 47. *περὶ τὴν Ἰνδικήν.* Callistratus p. 899. Olear. *Δαιδάλου — τοῦ περὶ Κρήτην.*

**) Imo *Κασπίαν.*

***) Schol. edit. *εἰλήσεις*, qua forma idem utitur ad I. v. 438. ubi tamen *ψιλῶς* editum *εἰλήσεσιν*, quomodo in Phrynichi Eclog. p. 176, 1. Pauw. Etiam in nostro mox ad v. 144. *εἰλήσεις.*

V. 144. *Ῥυμβόνας* δέ φησι τὰς εἰλήσεις, τὰς πείρας *), τὰς περιδινήσεις. Ὡς καὶ Εὐριπίδης ἐν Πειρίνθῳ· Σὲ τὸν αὐτοφυῆ πάντων θεῶν αἰθέρα ῥύμβῳ, τουτέστι κινήσει. Διὸ καὶ τὸ κινούμενον τροχίσκον **) ὑπὸ τῶν φαρμακίδων ῥόμβον καλοῦσι. Καὶ ἐν Εὐπόλιδι δὲ τὰς περιφερεῖς κινήσεις οὕτως ἐξηγοῦνται· Ὦ ῥύμβοις μαστίξας ἐμέ.

Ἀζαλέαις δὲ, ἀντὶ τοῦ ξηραῖς. Ξηραῖς οὖν, φασὶ ***), *φολίσιν*, ἤγουν λεπίσιν, *ἐπηρεφεῖς* καὶ ἐσκεπασμέναι ἦσαν αἱ ῥυμβόνες.

V. 145. *Εἴσετο* δὲ, ἀντὶ τοῦ ὥρμησε.

V. 147. *Θέλξαι* δὲ τὸ κοιμῆσαι λέγει.

V. 148. *Νυκτίπολον* δὲ λέγει τὴν Ἑκάτην, ὅτι ἐν τῇ νυκτὶ πολεῖται. *Χθονίην* δὲ, ὅτι ὑπὸ γῆν διατρίβει.

Εὐαντέα, τουτέστιν εὐάντητον, εὐεξίλαστον, εὐαπάντητον.

---

*) Leg. *σπείρας*. V. supra ad p. 153. Sic quod habet Schol. edit. ad IV. v. 1396. *πήραν*, mutandum in *σπεῖραν*. V. Heyn. ad Apollodor. p. 428. ed. prior. Similiter Suidas T. I. p. 351. *εὐπείροισι κορύμβοις* male habet pro *εὐσπείροισι*. Aeschylus S. c. Theb. v. 1038. Br. *λύκοι σπάσονται*. Al. *πάσονται*, quod iure posthabuerunt. Hesychius T. II. c. 449. *Λελυκωμένα πρόβατα. τὰ λυκόσπαστα.* ut recte editum pro vitioso *λυκόπαστα*. Infer hinc in Lexica adiectivum *λυκόσπαστος*. Denique Schol. ad Apollon. Rh. I. v. 972. *ἰσόπριος*. Corrig. *ἰσόσπριος*. Idem adiectivum aliam subiit mutationem in Photii Lex. c. 246. ubi corruptum est in *κόσπριος*: qua ipsa corruptione, sed versa vice, in eodem Lexico c. 188. extr. *ἄρκτον* abiit in *ἄριστον*. V. Albert. ad Hesych. T. II. c. 567. n. 2. coll. Bast. ad Gregor. Cor. p. 244. cuius observatio hoc exemplo confirmatur.

**) Scribendum aut, *τὸν κινούμενον τροχίσκον*, aut, ut Schol. edit. habet, *τὸ κινούμενον τροχίσκιον*. *Τροχίσκιον* Lexica ignorant.

***) Leg. *φησί*.

V. 150. Τὸ δὲ οἴμῃ θελγόμενος, ἀντὶ τοῦ ἐπῳδῇ ταπεινούμενος.

Ἄκανθαν δὲ λέγει τὸ τοῦ ὄφεως ὀστοῦν.

V. 155. Περιπτύξαι δὲ, τὸ περιλαβεῖν.

V. 156. Ἰστέον δὲ, ὅτι ἀρκεύθῳ φησὶν ἐπιῤῥαίνουσαν τὴν Μήδειαν τὸ φάρμακον κατακοιμίσαι τὸν δράκοντα ἐπᾴδουσαν, καὶ οὕτω τὸ κῶας ἀνελέσθαι καὶ χωρῆσαι ἐπὶ τὴν ναῦν ἀμφοτέρους, κοιμωμένου τοῦ θηρίου. Τούτοις δὲ συμφωνεῖ καὶ Ἀντίμαχος. Φερεκύδης δέ φησιν ἐν τῷ ζ, φονευθῆναι τὸν δράκοντα ὑπὸ τοῦ Ἰάσωνος.

Ἡ δὲ ἄρκευθος δένδρον ἐστὶν ἀκανθῶδες Ἀπόλλωνος, ὡς ἐν τῷ γ τῶν εἰς Μουσαῖον ἀναφερομένων ἱστορεῖται.

V. 158. Νήριτος δὲ, ἡ πολλή.

V. 161. Πολύπρεμνος δὲ, ἡ πολυστέλεχος.

V. 175. Ἀγρῶσται δὲ λέγονται οἱ κυνηγοί. Πέπτωκε δὲ ἀπὸ τοῦ ἀγρώσσω ῥήματος. Ὅμηρος·

Ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμῃ.

Ἀχαιϊνέα δὲ, ἔλαφος ἡ γενομένη ἐν Ἀχαίᾳ, πόλει Κρητικῇ, ἣ καὶ σπαθιναία καλεῖται. Οἱ δὲ μεγάλα κέρατα ἔχοντες ἔλαφοι κεράσται *) καλοῦνται.

V. 177. Λῆνος δὲ λέγεται τὸ ἔριον. Ὅθεν καὶ λανάριοι **) οἱ τὰ ἔρια κτενίζοντες.

Πολλοὶ μὲν οὖν χρυσοῦν τὸ κῶας εἰρήκασιν, οἷς ἠκολούθησεν Ἀπολλώνιος. Ὁ δὲ Σιμωνίδης ποτὲ μὲν λευκὸν, ποτὲ δὲ πορφυροῦν αὐτὸ λέγει.

---

*) De ἐλάφῳ κεράστῃ nihil, quod miror, Schneiderus. Longus p. 37. Villois. ἔριφον ἤδη κεράστην.

**) Ducangius e Schol. edit. ascivit.

V. 181. Ἀφασσόμενος δὲ, ἀντὶ τοῦ ψηλαφῶν.

V. 182. Νοσφίζεται δὲ, ἀντὶ τοῦ ἀφαιρήσεται.

V. 190. Τὸ δὲ χάζεσθαι τὸ ὑποχωρεῖν σημαίνει. Μηκέτι οὖν, φησὶ, χάζεσθε, ἀλλὰ μεριμνᾶτε δηλαδὴ εἰς τὴν πατρίδα ἐπανελθεῖν. Γράφεται δὲ καὶ μηκέτι φράζεσθε.

V. 191. Χρειὼ δὲ, ἡ χρεία. Ἤγουν *) χρεία, φησὶν, ἧς ἕνεκα τὸν πλοῦν ὑπέστημεν τὸν χαλεπὸν, εὐκόλως ταῖς βουλαῖς τῆς κόρης τετελέσθαι.

V. 200. Πηδὸν κυρίως μὲν τὸ πλατὺ τῆς κώπης· ἐνταῦθα δὲ ἀπὸ μέρους τὴν ὅλην κώπην εἴρηκε. Θεόφραστος δὲ εἶδος ξύλου φησὶ τὸ πηδόν.

V. 200—202. Τοὺς ἡμίσεις δέ φησιν ὁπλισθέντας ἀμύνασθαι τοὺς ἐπιόντας.

Θοὸν δὲ εἶπεν ἀντὶ τοῦ θοῶς, ὄνομα ἀντὶ ἐπιῤῥήματος.

Ἔχμα δὲ βολάων τὰς ἀσπίδας λέγει. Ἔχμα γὰρ τὸ κώλυμα.

V. 213. Περίπυστος δὲ, ὁ περιβόητος.

V. 223. Πεύκην δέ φησι κρατεῖν τὸν Αἰήτην, δηλονότι λαμπάδα, ὡς ἐμπρήσοντα τὴν ναῦν.

Ὁ μὲν οὖν Ἀπολλώνιος ἄπρακτον φησὶν ὑποστρέψαι τὸν Αἰήτην ἡνίοχον τοῦ ἅρματος, ἔχοντα Ἄψυρτον τὸν υἱὸν τῷ πατρὶ παραβεβηκότα. Διονύσιος δὲ ὁ Μιλήσιος καταλαβεῖν αὐτοὺς διώκοντας φησί· καὶ τοὺς μὲν ἀριστέας παραταξαμένους ἀκοντίζειν πεζοὺς, τοὺς

---

*) Leg. ἢ γάρ. Γοῦν et γὰρ non raro confunduntur. V. Hemsterhus. ad Lucian. T. I. p. 480. et ad Aristophan. Plut. p. 63. Wesseling. ad Diodor. Sic. Eclog. T. II. p. 532, 16. et Exc. p. 561, 50. Heindorf. ad Platon. Gorg. p. 251. Boissonad. ad Philostr. Her. p. 647. et 657.

δὲ περὶ τὸν Αἰήτην ἱππεύοντας. Ἔνθα καὶ Ἶφιν φησὶν ἀναιρεθῆναι, τὸν Σθενέλου μὲν υἱὸν, Εὐρισθέως δὲ ἀδελφόν. Καταβαλὼν γὰρ δύο τῶν Αἰήτου ἱππέων, αὐτὸς περιλαμβάνεται ὑπὸ Αἰήτου τῷ βρόχῳ. Μετὰ δὲ ταῦτα τοὺς Κόλχους εἰς φυγὴν τραπῆναι. Φερεκύδης δὲ ἐν τῷ δ τὴν Μήδειαν φησὶν ἆραι τὸν Ἄψυρτον ἐκ τῆς κοίτης μικρὸν ὄντα, Ἰάσωνος εἰπόντος εἰς τοὺς Ἀργοναύτας ἐνεγκεῖν αὐτόν· ὡς δὲ ἐδιώκοντο, σφάξαι τε αὐτὸν τοὺς Ἀργοναύτας καὶ μελίσαντας εἰς τὸν ποταμὸν ἐμβαλεῖν. Σοφοκλῆς δὲ ἐν μὲν Κόλχοισιν ἐν τῷ Αἰήτου οἴκῳ σφαγῆναι φησὶ τὸν Ἄψυρτον· ἐν δὲ τοῖς Σκύθαις οὐχ ὁμομήτριον φησὶ τὸν Ἄψυρτον τῇ Μηδείᾳ· Οὐ γὰρ ἀπὸ μιᾶς, φησὶ, κοίτης ἔβλαστον, ἀλλ' ὁ μὲν Νηρηΐδος τέκνον ἄρτι βλαστάνεσκε, τὴν δ' Εἰδυῖα πρίν ποτε Ὠκεανοῦ κόρη τίκτεν.

V. 225. Τὸ δὲ ὑπεκπρὸ, ἀντὶ τοῦ εἰς τοὔμπροσθεν ὑπέτεμνεν ἡ ναῦς τὸν πόντον.

V. 227. Καταβλώσκοντι δὲ, ἀντὶ τοῦ καθέλκοντι ἢ καταφόρῳ.

V. 246. Ἢ γάρ σφ' ἐξαποβάντας. Διὰ τούτων βούλεται δηλῶσαι, ὅτι Μήδεια θυσίαν προσενεγκεῖν βούλεται τῇ Ἑκάτῃ, ἣν αἱ φαρμακίδες προσφέρειν εἰώθασι. Διὸ ἀπαναίνεται λέγειν ὁ ποιητής. Νύμφις δέ φησι ἐν τῷ ς̄ περὶ Ἡρακλείας, ὅτι Ἑκάτης ἱερόν ἐστιν ἐν Παφλαγονίᾳ, Μηδείας ἱδρυσαμένης.

V. 254. sq. Τοὺς δὲ Ἀργοναύτας Ἡρόδωρος μέν φησι διὰ τῆς αὐτῆς θαλάσσης ἐπανελθεῖν, δι' ἧς καὶ ἐπορεύθησαν εἰς Κόλχους. Ἑκαταῖος δὲ ὁ Μιλήσιος διὰ τοῦ Φάσιδος ἀνελθεῖν φησὶν αὐτοὺς εἰς τὸν Ὠκεανόν· διὰ δὲ τοῦ Ὠκεανοῦ κατελθεῖν εἰς τὸν Νεῖλον· ἐκ δὲ

τοῦ Νείλου εἰς τὴν καθ' ἡμᾶς θάλασσαν. Τοῦτο δέ φησιν Ἀρτεμίδωρος ὁ Ἐφέσιος ψεῦδος εἶναι· τὸν γὰρ Φᾶσιν μὴ συνάπτειν τῷ Ὠκεανῷ, ἀλλ' ἐξ ὀρέων ὑψηλῶν καταφέρεσθαι. Τὰ αὐτὰ δέ φησιν καὶ Ἐρατοσθένης ἐν γ̄ τῶν Γεωγραφικῶν. Τιμάγητος δὲ ἐν τῷ περὶ λιμένων τὸν Ἴστρον φησὶ καταφέρεσθαι ἀπὸ τῶν Κελτικῶν ὀρῶν, ῥέοντα δὲ διὰ τῆς Κελτικῆς εἰσβάλλειν εἰς λίμνην Κελτικήν· ἐκεῖθεν δὲ τὸ ὕδωρ σχίζεσθαι εἰς δύο, καὶ τὸ μὲν εἰς τὴν Κελτικὴν θάλασσαν ἐκβάλλειν, τὸ δὲ εἰς τὸν Εὔξεινον πόντον. Διὰ τούτου οὖν τοῦ στόματος ἀναπλεύσαντας τοὺς Ἀργοναύτας ἀφικέσθαι εἰς Πυρήνην· ἐκεῖθεν διὰ τοῦ ἑτέρου στόματος καὶ *) καταπλεῦσαι εἰς τὴν Κελτικὴν θάλασσαν. Ἡσίοδος δὲ καὶ Πίνδαρος ἐν Πυθιονίκαις καὶ Ἀντίμαχος ἐν Λυδῇ διὰ τοῦ Ὠκεανοῦ φασὶν ἐλθεῖν αὐτοὺς εἰς τὴν Λιβύην· εἶτα βαστάσαντας τὴν Ἀργὼ εἰς τὸ ἡμέτερον ἀφικέσθαι πέλαγος.

V. 261. sqq. Τοὺς δὲ Αἰγυπτίους Κόσμος μὲν ἐν ᾱ Αἰγυπτιακῶν, καὶ Λέων ἐν ᾱ τῶν πρὸς τὴν μητέρα, καὶ Κνωσσὸς ἐν ᾱ τῶν Γεωγραφικῶν τῆς Ἀσίας πάντων ἀρχαιοτάτους εἶναι τοὺς Αἰγυπτίους φησὶ, κτισθῆναι ἐν Αἰγύπτῳ πόλιν τὴν καλουμένην Θήβην. Καὶ Νικάνωρ δὲ τούτοις συμφωνεῖ καὶ Ἀρχέμαχος ἐν ταῖς Μετωνυμίαις. Πρῶτον γοῦν καὶ αὐτοί φασι Θήβην πόλιν ἐν Αἰγύπτῳ κτισθῆναι. Τὰ αὐτὰ δὲ λέγει καὶ Ξεναγόρας ἐν πρώτῳ Χρόνων. Ἡρόδοτος δὲ τοὺς Φρύγας φησὶ προτέρους γεγενῆσθαι. Ψαμμήτιχον γὰρ τούτων ἐν Αἰγύπτῳ βασιλέα βουλόμενον εὑρεῖν, τίνες τῶν ἀνθρώπων προγενέστεροί τε εἰσὶ καὶ γηγενεῖς, δύο βρέφη παραδοῦ-

*) Delè copulam, utpote vitiose natam e sequente κατα.

ναι ποιμένι, παραγγείλαντα μηδένα μηδ᾽ ὁτιοῦν αὐτοῖς φθέγγεσθαι, θηλὴν δὲ μόνον αἰγὸς αὐτοῖς δίδοσθαι.' Ἤδη δὲ δύο ἐτῶν διεληλυθότων, πρώτην φωνὴν ἀφεῖναι τοὺς παῖδας βέκος. Οὕτω δὲ λέγεσθαι παρὰ Φρυξὶ τὸν ἄρτον. Καὶ ταύτῃ γνωσθῆναι, τοὺς Φρύγας προγενεστέρους εἶναι τῶν ἄλλων καὶ γηγενεῖς. Εὔηθες δὲ διὰ τοῦτο προτέρους ὑπολαμβάνειν τοὺς Φρύγας· εἰκὸς γὰρ τοὺς παῖδας ἀκούοντας τῶν αἰγῶν μηκωμένων ὑπὸ τῆς φύσεως συνεργουμένης ἐπὶ τὸ ἔναρθρον ἀποστρέψαι τὴν φωνήν. Καὶ Ἵππων δὲ τό, τε τοῦ Νείλου ὕδωρ γόνιμον εἶναι φησὶ, καὶ τοὺς Αἰγυπτίους ἀρχαιοτάτους ὁμολογεῖ, λέγων πρώτους αὐτοὺς ἄλλων τε στοχάσασθαι φύσεως, καὶ κράσεως ἀέρος ὅπως ἔχει. Ὁ δὲ Ἀπολλώνιος πρὸ τοῦ τὰ ἄστρα φανῆναι φησὶ γεγονέναι. Διὸ τήν τε φύσιν αὐτῶν δοκοῦσι κατανοῆσαι, καὶ ὀνόματα αὐτοῖς θεῖναι, τὰ μὲν ιβ ζώδια θεοὺς βουλαίους προσαγορεύσαντες, τοὺς δὲ πλανήτας ῥαβδοφόρους.

V. 263. Μόνους δέ φησιν ὁ Ἀπολλώνιος τοὺς Ἀρκάδας εἶναι τότε, διὰ τὸ ἀρχαιοτέρους εἶναι τῶν ἄλλων Ἑλλήνων.

Ἀπιδανῆας δὲ τοὺς Ἀρκάδας λέγει, δηλονότι Πελοποννησίους. Οὕτω γὰρ οἱ Πελοποννήσιοι καλοῦνται ἀπὸ Ἄπιδος τοῦ Φορωνέως.

Τὸ δὲ τοὺς Ἀρκάδας ἀρχαίους εἶναι δηλοῦται μάλιστα ἐκ τοῦ προσελήνους αὐτοὺς λέγεσθαι. Εὔδοξός τε ἐν Περιόδῳ οὕτω φησὶ, καὶ Θεόδωρος ἐν κβ, λέγων ὀλίγῳ πρότερον πρὸ τοῦ τὸν Ἡρακλέα πολεμῆσαι τοῖς Γίγασι τὴν σελήνην φανῆναι. Ὁμοίως δὲ τούτοις καὶ Ἀρίστων ὁ Χῖος ἐν ταῖς Θέσεσι, καὶ Διονύσιος ὁ Χαλκιδεὺς ἐν α Κτίσεων λέγουσι. _ καί τι ἔθνος Ἀρκαδικὸν Σεληνί-

τας εἶναι φησί. Μνασέας δὲ προσελήνους αὐτοὺς καλεῖσθαι. Ἀριστοτέλης δὲ ἐν Τεγεατῶν πολιτείᾳ φησὶν, ὅτι βάρβαροι τὴν Ἀρκαδίαν ᾤκησαν, οἵτινες ἐξεβλήθησαν ὑπὸ Ἀρκάδων ἐπιτιθεμένων αὐτοῖς πρὸ τοῦ τὴν σελήνην ἐπιτεῖλαι *)· καὶ οὕτω κληθῆναι προσελήνους. Ἔνιοι δέ φασιν, Ἐνδυμίωνα τὰς περιόδους καὶ τοὺς ἀριθμοὺς εὑρηκέναι τῆς σελήνης· διὰ δὲ τὸ Ἀρκάδα εἶναι, προσαγορευθῆναι ὑπ' αὐτοῦ προσελήνους τοὺς Ἀρκάδας. Οἱ δὲ ὑπὸ Τυφῶνος φασὶν εὑρεθῆναι· Ξεναγόρας δὲ ὑπὸ Ἄτλαντος. Ὁ δὲ Δοῦρις Ἀρκάδας φησὶ κληθῆναι ἀπὸ Ἀρκάδος υἱοῦ Ὀρχομενοῦ· διὸ καὶ Ὀρχομενὸν εἶναι πόλιν ἐν Ἀρκαδίᾳ.

V. 265. sq. *Οὕτω δέ φησιν ὁ Ἀπολλώνιος ἀρχαίαν τὴν Αἴγυπτον, ὥστε καὶ πρὸ Δευκαλίωνος εἶναι.* Τὴν δὲ Θεσσαλίαν, ἣ καὶ Θεσσαλὶς **) ἐκαλεῖτο ἀπὸ Πελασγοῦ τοῦ βασιλεύσαντος ἐν αὐτῇ, ὑπὸ τῶν Δευκαλιδῶν βασιλεύεσθαι Ἑκαταῖός τε φησὶ καὶ Ἡσίοδος.

V. 269. Τρίτωνα δὲ τὸν Νεῖλον φησίν. Οὕτω γὰρ πρότερον ἐκαλεῖτο. Μετωνομάσθη δὲ ὕστερον Νεῖλος ἀπὸ Νείλου τοῦ Κύκλωπος τοῦ Ταντάλου, βασιλεύσαντος τῆς χώρας, ὡς Ἕρμιππος φησίν.

---

*) E Grammaticorum canone de sole et luna dicitur *ἀνατέλλειν*, de ceteris sideribus *ἐπιτέλλειν*. V. Phrynichus Ecl. p. 48. Pauw. Sed ut Scholiastes noster, ita is qui Iliadem parvam scripsit: *Νὺξ μὲν ἔην μεσάτα, λαμπρὰ δ' ἐπέτελλε σελάνα.* (Sic, *Δωρικῶς*, citant ex inedito in Euripidem Scholio Casaubonus ad Dionysii Halic. Antiquit. Rom. p. 10. a. et Scaliger de Emendat. tempor. p. 378. A., aliis Ionicas formas sufficientibus. V. Müller. ad Tzetzarum Schol. in Lycophron. p. 548.) De sole Suidas T. I. p. 856. *Ἐπιτείλας. ἀνατείλας. Νενικηκότας αὐτοὺς ὁ ἥλιος ἐπιτείλας ἴδῃ.* Hoc quidem nemo negaverit, *ἐπιτέλλειν* de sole et luna rarius dici: id quod etiam Grammaticorum glossae arguunt. Vicissim infra ad IV. v. 1629. *ὁ ἕσπερος ἀνατέλλει.*

**) Leg. *Πελασγὶς* s. *Πελασγία*.

Περὶ τῆς ἀναβάσεως τοῦ Νείλου.

Περὶ δὲ τῆς Νείλου ἀναβάσεως *) *διάφοροι αἰτίαι* **) *παρὰ τοῖς παλαιοῖς ἐλέγοντο. Ἀναξαγόρας μὲν γάρ φησι διὰ τῆξιν τῆς χιόνος πληθύειν αὐτὸν, ᾧ καὶ Εὐριπίδης ἕπεται λέγων·*

Εἰλουμένη ***) *δὲ καλλιπάρθενος* †) *ῥοὴ,*
λευκῆς τακείσης χιόνος ὑγραίνει γύην.

Καὶ Σοφοκλῆς δὲ καὶ Αἰσχύλος οὕτως ὑπέλαβον τοῖ κατ᾽ Αἴγυπτον χιονίζεσθαι τόπον, τηκομένης δὲ τῆς χιόνος, εἰς τὸν Νεῖλον ἐκδίδοσθαι. Νικαγόρας δὲ ἀπὸ τῶν ἀντοίκων αὐτὸν ῥεῖν. Δημόκριτος δὲ ὁ φυσικὸς ἀπὸ τοῦ κατὰ τὴν μεσημβρίαν ὑπερκειμένου πελάγους λαμβάνειν φησὶ τὸν Νεῖλον τὴν ἐπίχυσιν· ἀπογλυκαίνεσθαι δὲ τὸ ὕδωρ διὰ τὸ διάστημα καὶ τὸ μῆκος τοῦ πόρου, καὶ ὑπὸ τοῦ καύματος ἀφεψόμενον· διὸ καὶ ἐναντίαν ἔχει τὴν γεῦσιν. Ἀρίστων δὲ ὁ Χῖος, ὅτι χειμῶνος ὑπὸ

---

*) Diodorus Sic. I. c. 34. de Nilo: *τοῦ μὲν ποταμοῦ διὰ τὴν κατ᾽ ἔτος ἀνάβασιν νεαρὰν ἰλὺν ἀεὶ καταχέοντος, κ. τ. λ.* ; Scholiastes editus utitur voce *ἀνάδοσις*, quae h. l. non intelligenda de scaturigine.

**) De phrasi *αἰτία περί τινος* v. Lennep. ad Phalar. p. 263. a. et Boeckh. in Platon. Minoëm p. 155. sq. In hac autem similibusque locutionibus *περὶ* non male vertas *quod attinet ad.* Conf. Heindorf. ad Platon. Gorg. p. 71. Similiter, sed satis insolenter, Diodorus Sic. V. c. 35. *ἐν ταῖς περὶ Ἡρακλέους πράξεσι.*

***) Primam huius vocis litteram elisit ultima antecedentis participii. Talia autem, quale est nostrum *εἰλουμένη δὲ*, velim tirones Criticae coniecturalis diligenter intueantur.

†) *Καλλιπαρθένους ῥοὰς* Euripidis Interpres permire vertit *formosis Nymphis decora flumina*, nisi *Nymphis*, quod tamen non puto, de ipsa aqua intelligi voluit. Aliquanto rectius versum post Herodotum Wesselingii p. 788. *fluenta amoenissima.* Sunt enim nihil aliud quam *ῥοαὶ καθαραὶ, καλαί:* nam *παρθένος* adiective dicitur etiam de aqua. V. Valckenar. ad Euripid. Hippol. p. 271. b. A. et Ruhnken. ad Hymn. in Cerer. v. 99.

γῆν ὁ ἥλιος εἰσπέμπει τῇ γῇ τὸ ὕδωρ, θέρους δὲ ὑπὲρ γῆν γινόμενος οὐκέτι, διὰ τὸ μᾶλλον αὐτὴν θερμαίνεσθαι· διὸ καὶ χαλομένη ἡ γῆ πλεῖον ὕδωρ ἀναδίδωσιν. Ἔφορος δέ φησιν, ἀμόχωστον *) εἶναι τὴν Αἴγυπτον· ῥηγνυμένης δὲ ὑπὸ τοῦ ἡλίου τῆς γῆς, ἀναπηδᾷν τὸ ὕδωρ, καὶ ἐπαύξεσθαι τὸ ῥεῦμα. Θαλῆς δὲ ὁ Μιλήσιος ὑπὸ τῶν ἐτησίων συνελαυνόμενα τὰ νέφη κατὰ τὰ ὄρη τῆς Αἰθιοπίας, αὐτόθι ῥήγνυσθαι· ὅταν δὲ τῶν ποταμῶν ἐξεναντίας συστῶσιν αἱ πνοαὶ, προσπίπτουσαι τῇ θαλάσσῃ ἐκ τῆς ἀποπεμπομένης πλήσμης **) τὰς ὑπερχύσεις ἀναδέχεσθαι τὸν Νεῖλον. Διογένης δὲ ὁ Ἀπολλωνιάτης ὑπὸ τοῦ ἡλίου ἁρπάζεσθαι τὸ ὕδωρ τῆς θαλάσσης φησὶν, ὃ τότε εἰς τὸν Νεῖλον καταφέρεσθαι· οἴεται γὰρ πληροῦσθαι τὸν Νεῖλον ἐν τῷ θέρει, καὶ διὰ τοῦτο τὸν ἥλιον εἰς τοῦτον τὰς ἀπὸ γῆς ἰκμάδας τρέπειν.

V. 271. Τὸ δὲ ἅλις τῷ ἀνασταχύουσι συναπτέον. Πρὸς γὰρ τὸ ὄμβρος οὐκ ἀναφέρειν δεῖ. Ἤδη γὰρ εἴρηται, ὅτι οὐδέποτε ὕει κατὰ τὴν Αἴγυπτον.

V. 272—276. Τὸ δὲ ἔνθεν δή τινα περὶ τοῦ Σεσωγχώσιδος λέγει. Οὗτος γὰρ Αἰγύπτου πάσης βασιλεύσας μετὰ Ὧρον τὸν Ὀσίριδος καὶ Ἴσιδος παῖδα, τήν τε Ἀσίαν ὁρμήσας πᾶσαν κατεστρέψατο, καὶ μέρη πλεῖστα τῆς Εὐρώπης. Ἀκριβέστερον δὲ τὰ περὶ αὐτοῦ Ἡρόδοτος διηγεῖται. Προστίθησι δὲ καὶ τοῦτο, ὡς εἰ μέν τινας τῷ πολέμῳ καταστρέψειε, στήλας ἀνέστη τῆς νίκης σύμβολα· εἰ δέ τινας ἄνευ πολέμου χειρώσαιτο,

---

*) E Schol. edit. corrig. ποταμόχωστον: ne quis de Lexicis novo adiectivo augendis cogitet.

**) Schol. edit. πλήμμης, quomodo libri passim habent pro πλήμης. V. Sylburg. ad Dionys. Hal. Ant. Rom. I. c. 79. Wesseling. ad Diodor. Sic. XIX. c. 13. et Interpretes ad Thom. Mag. p. 719.

γυναικεῖον αἰδοῖον προσετίθει ταῖς στήλαις τῆς σφῶν μαλακίας σημεῖον. Θεόπομπος δὲ ἐν τῷ γ̄ Σέσωστριν αὐτὸν καλεῖ. Περὶ δὲ τοὺς χρόνους, καθ' οὓς ἐγένετο ὁ Σέσωστρις, Ἀπολλώνιος δὲ *) τοῦτο μόνον φησὶ, πολὺς γὰρ ἄδην ἐπενήνοθεν αἰών. Δικαίαρχος δὲ ἐν ᾱ μετὰ τὸν Ὀσίριδος καὶ Ἴσιδος Ὧρον βασιλέα φησὶ γεγονέναι Σέσωστριν· ὥστε γίνεσθαι ἀπὸ μὲν τῆς Σεσώστριδος βασιλείας μέχρι τοῦ Νείλου ἔτη β̄φ̄, ἀπὸ τῆς Νείλου βασιλείας μέχρι τῆς ᾱ Ὀλυμπιάδος ἔτη ῡλ̄ς̄, ὡς εἶναι τὰ πάντα ὁμοῦ ἔτη β̄ϡ̄λ̄ς̄. **) Καὶ νόμους δὲ λέγει Δικαίαρχος αὐτὸν τεθεικέναι, μηδένα ἐκλείπειν ***) τὴν πατρῴαν τέχνην· τοῦτο γὰρ ᾤετο ἀρχὴν εἶναι πλεονεξίας. Καὶ πρῶτον δὲ εὑρηκέναι ἵππον †) ἐπιβαίνειν ἄνθρωπον. Ἄλλοι δὲ ταῦτα εἰς Ὧρον ἀναφέρουσι. Καὶ τοῦτο δέ φησι Δικαίαρχος ἐν β̄ Ἑλληνικοῦ βίου Σεσώστριδι μεμεληκέναι.

Ὅ γε μὴν Ἀπολλώνιος εἰπὼν, τὰ μὲν οὔ ποθι νετάουσιν, ἐπήγαγεν, ἠὲ καὶ οὔ· δηλῶν διὰ τούτου, ὅτι αἱ μὲν τῶν πόλεων παντάπασιν ἐκλελοίπασιν, αἱ δὲ μετωνομάσθησαν, καὶ ἀγνοεῖται, ὑφ' οὗ τυγχάνουσιν ἐκτισμέναι.

V. 277. sq. Τὴν δὲ Αἶαν φησὶ ἀπὸ τῶν Σεσώστριδος χρόνων μένειν ἄθραυστον, καὶ τοὺς ἐκείνων ἀπογόνους

*) Leg. μέν. V. supra p. 106.

**) Heynius adscripsit: „V. Larcher Chronolog. Herodot. T. VII. „p. 367. edit. nov."

***) Larcherus l. c. enotavit καταλείπειν.

†) Larcherus ἵππων, quomodo legitur in Schol. edit.: idque videtur rectius. Xenophon Cyrop. III, 3, 27. ἀναβάντας — ἐφ' ἵππων. Al. perperam ἐφ' ἵππον. Idem Anab. I, 8, 3. ἀναβὰς ἐπὶ τὸν ἵππον. Al. τῶν ἵππων aut τοῦ ἵππου. Posterius praeferam.

τῶν ὑπὸ Σεσώστριδος κατοικισθέντων. Τούτους γὰρ υἱωνοὺς ἔφη καταχρηστικῶς· ὥσπερ Ἡρακλεῖδαι λέγονται οὐ μόνον οἱ παῖδες τούτου, ἀλλὰ καὶ οἱ τούτου ἀπόγονοι.

Ὅτι δὲ Αἰγυπτίων εἰσὶν οἱ Κόλχοι ἀπόγονοι, ὡς φησιν Ἀπολλώνιος, καὶ Σκύμνος ἐν τοῖς περὶ οὐσίας *) λέγει, καὶ Ἡρόδοτος βεβαιοῖ, ὅς γε καὶ τῆς περιτομῆς τῶν αἰδοίων μέμνηται καὶ τῆς τοῦ λίνου ὑφῆς, καὶ νόμοις φησὶν αὐτοὺς χρῆσθαι τοῖς Αἰγυπτίων.

V. 279—281. Γράπτυς δὲ τοὺς νόμους λέγει. Νόμους οὖν φησὶ καὶ στήλας παρ' αὐτοῖς εἶναι, ἐν αἷς γῆς καὶ θαλάσσης εἰσὶν ἀναγραφαί.

Κύρβεις δέ εἰσι στῆλαι, ἐν αἷς νόμοι εἰσὶ γεγραμμένοι, ὥς φησιν ὁ Κωμικός. Ἀπολλόδωρος δὲ, πᾶσαν δημοσίαν γραφὴν καὶ νόμον κύρβεις καλεῖσθαι. Εἰώθεσαν γὰρ οἱ παλαιοὶ λίθους ἱστάντες τὰ δόξαντα γράφειν ἐν αὐτοῖς, οὓς ἀπὸ μὲν τῆς στάσεως στήλας ὠνόμαζον, ἀπὸ δὲ τῆς εἰς ὕψος ἀνατάσεως κύρβεις, οἱονεὶ κορύβεις, καὶ κατὰ συγκοπὴν καὶ τροπῇ τοῦ φ εἰς β κύρβεις. Ὕστερον δὲ καὶ ἐν ξύλοις λελευκωμένοις γράφοντες κύρβεις κᾀκεῖνα ἐκάλεσαν. Οἱ μὲν οὖν κύρβεις φασὶν, ἐν αἷς εἰσὶν ἱεραὶ ἀναγραφαί· ὁ δὲ Ἐρατοσθένης κύρβεις φησὶ καλεῖσθαι τοὺς ἄξονας καλουμένους Ἀθήνησιν, ἐν οἷς νόμοι γεγράφαται **). Οἱ δὲ ἀκριβέστεροι ἄξονας μὲν τετραγώνους λίθους, κύρβεις δὲ τριγώνους. Ἐν ἀμφοτέροις δὲ νόμοι ἦσαν γεγραμμένοι Ἀθήνησιν. Ἐνταῦθα δὲ κύρβιας φησὶ πίνακάς τινας γῆς περίοδον περιέχοντας.

---

*) V. not. ad Gregor. Corinth. p. 532.

**) Forma hac ipse Eratosthenes videtur usus esse: nam Scholiastas sponte ad talia delabi potuisse parum probabile est.

V. 282. *Κέρας δὲ Ὠκεανοῦ τὸν Ἴστρον λέγει.* Τοὺς γὰρ ἀπὸ τοῦ Ὠκεανοῦ περομένους ποταμοὺς πάντας Ὠκεανοῦ κέρατα λέγει.

V. 284. *Τὸ δὲ ἑκὰς ἐτεκμήραντο,* ἀντὶ τοῦ μακρόθεν ἔγνωσαν τὸν ποταμόν.

Τὸν δὲ Ἴστρον ἐκ τῶν ὑπερβορέων φέρεσθαι φησὶ καὶ τῶν Ῥιπαίων ὀρῶν, ἀκολουθήσας Αἰσχύλῳ λέγοντι οὕτως ἐν Προμηθεῖ. γενόμενον δὲ τὸν Ἴστρον ἐν τῷ μεταξὺ Σκυθῶν καὶ Θρακῶν σχίζεσθαι εἰς δύο. καὶ τὸ μὲν τῶν ῥείθρων εἰς τὸν Ἀδριατικὸν ἐκβάλλει κόλπον, τὸ δὲ εἰς τὸν Εὔξεινον πόντον. Ὁ δὲ Σκύμνος ἐν ις̅ τῶν περὶ Εὐρώπης *) μόνον φησὶ τὸν Ἴστρον ἀπὸ ἐρήμων τόπων φέρεσθαι. Ὡσαύτως δέ φησι καὶ Ἐρατοσθένης φέρεσθαι τὸν Ἴστρον ἀπὸ τόπων ἐρήμων, καὶ περιβάλλειν νῆσον Πεύκην.

V. 287. *Ῥιπαῖα δὲ ὄρη ἐν ἀνατολαῖς.* Καλλίμαχος· Ῥιπαίου ἀπ᾽ οὔρεος ἦχον μάλιστα.

Τὸ δὲ μορμύρουσιν, ἀντὶ τοῦ ἠχοῦσιν.

Ἰστέον δὲ, ὅτι οὐδεὶς εἴρηκε τοὺς Ἀργοναύτας διὰ τοῦ Ἴστρου εἰς τὸν Ἀδριατικὸν κόλπον κατελθεῖν πλὴν Τιμαγνήτου, ᾧ ἠκολούθησεν Ἀπολλώνιος. Σκύμνος δὲ διά τε Ναΐδος πεπλευκέναι φησὶν αὐτοὺς, καὶ εἰς τὴν μεγάλην θάλασσαν ἀφικέσθαι. Ἑλκύσαντες γὰρ, φησὶν, αὐτὴν εἰς τὴν ἤπειρον, καὶ ἄραντες ἐπὶ σαυροτήρων ἐκόμισαν μέχρι τῆς καθ᾽ ἡμᾶς θαλάσσης. Οἱ δὲ

*) Scholiastes noster parum favet Holstenio editi scripturam solicitanti. V. Dodwelli Dissertat. de Scymno Chio §. 8. et Bastii Epist. Crit. p. 175. [Quod Dodwellus Holstenio opposuit: „Cur — „τῇ et ἑκκαιδεκάτῃ, et non potius τῷ et ἑκκαιδεκάτῳ?“ hoc quidem argumentum plumbeum est. V. Bastii Comment. Palaeogr. p. 853. et Mülleri not. ad Scholia Tzetz. in Lycophron. p. 707. b. et 1018. b.]

λέγοντες, διὰ τῆς αὐτῆς ἐπανελθεῖν τοὺς Ἀργοναύτας ὁδοῦ, δι' ἧς καὶ ἐπορεύθησαν εἰς Κόλχους, τουτέστι διὰ τῶν Κεανέων, τεκμήριον ποιοῦνται, τούτους μὲν *) εἰς τὸν Ἰόνιον ἀφικομένους διὰ τοῦ Ἴστρου τῶν Κόλχων μὴ εὑρεῖν τοὺς Ἀργοναύτας, τοὺς δὲ διὰ τῶν Συμπληγάδων κατὰ τὴν Κέρκυραν, ὅπου καὶ οἱ Ἀργοναῦται ἦσαν.

V. 291. Τ ρ ι ν ά κ ρ ι ο ν δὲ πέλαγος τὸ Σικελικὸν λέγει. Ἡ γὰρ Σικελία Τρινάκρια ἐκαλεῖτο, διὰ τὸ τρεῖς ἔχειν ἄκρας, Λιλυβαῖον, Πάχυνον, Πέλωρον.

Βουλόμενος δὲ ὁ Ἀπολλώνιος καινότερόν τι περὶ τοῦ Ἴστρου εἰπεῖν, τὸ εἰς τὸν Ἀδρίαν καταφερόμενον ῥεῦμα αὐτοῦ ὑποδιαιρεῖ αὖθις εἰς δύο, καὶ τὸ μὲν εἰς τὸν Ἀδρίαν φησὶ φέρεσθαι, τὸ δὲ εἰς τὸ Τυῤῥηνικὸν πέλαγος, ὅπερ καταχρώμενος **) Τ ρ ι ν ά κ ρ ι ο ν εἶπε.

V. 293. sq. Τὸν δὲ Τρινάκριον πόντον παρακεκλίσθαι φησὶ τῇ κατὰ τὸν Ἀχελῶον Ἑλλάδι, ὅτι ἀντίκειται τὸ Σικελικὸν πέλαγος τῷ Ἀχελώῳ. Λέγεται δὲ Ἀδριατικὸν πέλαγος τὸ Σικελικόν.

V. 295. Α ἴ σ ι ο ν δὲ λέγει τὸ καθῆκον.

V. 296. Ὁ λ κ ὸ ν δέ φησι τὴν διαδρομὴν τοῦ ἀστέρος.

V. 300—302. Τοῦ δὲ μὴ γνάμψαι αὐτοὺς τὴν Κάραμβιν αἴτιον ἀπέδωκε τὸ μένειν τὰς αὐτὰς πνοὰς τῶν ἀνέμων καὶ τὴν οὐρανίαν λαμπηδόνα.

V. 306. sqq. Δύο δὲ στόματα ἔχοντος τοῦ Ἴστρου, ὧν τὸ μὲν Καλὸν λέγουσι στόμα, τὸ δὲ Ἄρηος ἢ Ἄρηκος, διὰ μὲν τοῦ Καλοῦ στόματος εἰσπλεῦσαι τοὺς περὶ τὸν Ἄψυρτον· διὰ δὲ τοῦ Ἄρηος τοὺς Ἀργοναύτας.

V. 308. Ἰ ό ν ι ο ν δὲ τὸν Ἀδρίαν λέγει κατὰ ἀντιμετάδοσιν ***) ὀνόματος. Ἐπεὶ γὰρ συνάπτει ὁ Ἀδρίας

---

*) F. τεκμήριον ποιοῦνται τούτου, τοὺς μὲν —:

) I. e. καταχρηστικῶς. *) Adde Lexicis.

τῷ Ἰονίῳ, διὰ τοῦτο ποτὲ μὲν τὸν Ἀδρίαν Ἰόνιον, ποτὲ δὲ τὸν Ἰόνιον Ἀδρίαν καλοῦσι. Ἰόνιον δὲ λέγεται, ἢ ἀπὸ Ἰόνου ἀνδρὸς Ἰλλυρίου, ἢ ἀπὸ τῆς Ἰοῦς. Πλανηθῆναι γάρ φασιν αὐτὴν καὶ περὶ τὰ μέρη ἐκεῖνα.

V. 310. sq. Τριγλώχινα δέ φησι τὴν Πεύκην νῆσον, διὰ τὸ τρίγωνον εἶναι. Καὶ τὴν μὲν κορυφὴν τοῦ τριγώνου πρὸς τὸ ῥεῦμα οὖσαν τοῦ ποταμοῦ ἀγκῶνα ἐκάλεσαν· τὴν δὲ βάσιν τὴν πρὸς τὴν θάλασσαν εὖρος λέγει.

Φησὶ δὲ καὶ Ἐρατοσθένης ἐν τῷ γ̄ τῶν Γεωγραφικῶν, περὶ Πεύκην νῆσον τρίγωνον δυσὶ στόμασιν ἐκδιδόναι τὸν Ἴστρον εἰς τὴν θάλασσαν· ἴσην δὲ εἶναι τὴν νῆσον ταύτην τῇ Ῥόδῳ· καλεῖσθαι δὲ Πεύκην διὰ τὸ πεύκας πολλὰς ἔχειν.

V. 320. Οἱ δὲ Σκύθαι, καίπερ ὅμοροι ὄντες τοῖς περὶ Εὐρώπην Θραξὶν, ὅμως οὐκ εἰσὶ, φησὶ, μιγάδες αὐτοῖς. Οὐ γὰρ ἔχουσιν ἐπιμιξίας πρὸς ἀλλήλας.

Καὶ Σίγυνοι δὲ ἔθνος Σκυθικόν. Ὅθεν καὶ δόρυ σίγυνον ὁμώνυμον τῷ ἔθνει.

Ὁ δὲ Τίμων ἐν τῷ ᾱ περὶ Σκυθῶν ἔθνη φησὶν εἶναι Σκυθῶν.

V. 321. sq. Λαύριον δὲ πεδίον Σκυθίας. Ἐρημαῖον δέ φησιν αὐτὸ, διὰ τὸ μὴ πάνυ τοι ὑπ᾽ ἀνθρώπων οἰκεῖσθαι.

Σινδοὶ δὲ ἔθνη Σκυθίας, οὗ μέμνηται Ἑλλάνικος ἐν τῷ περὶ ἐθνῶν λέγων· Βόσπορον διαπλεύσαντι Σινδοί. τούτων δὲ ἀνωτέρω Μαιῶται. Σκύθαι.

V. 324. Τὸ δὲ Ἄγγουρον γράφεται καὶ Ἄγγυρον. Ὄρος δέ ἐστι Σκυθίας πλησίον Ἴστρου. Μνημονεύει αὐτοῦ Τιμάγητος ἐν Λιμέσιν.

Ὁ δὲ Καυλιακὸς σκόπελος γράφεται μὲν καὶ Καυκάσιος· ἄποθεν δὲ ὢν τοῦ Ἀγγούρου ὄρους πλησίον ἐστὶ τοῦ Ἴστρου. Μνημονεύει τούτου Πολέμων ἐν Κτίσεσιν Ἰταλικῶν καὶ Σικελικῶν.

V. 325. Περὶ δὴ οὖν τὸν Καυλιακὸν σκόπελον ὄντα ἐν τῷ Λαυρίῳ πεδίῳ, ἔνθα κατοικοῦσιν οἱ Σινδοὶ, διασχίζεσθαι φησὶ τὸν Ἴστρον. Ὅθεν Ἱππῶναξ ἔφη· Σινδικὸν διάσφαγμα.

Τοὺς δὲ Σινδοὺς οἱ μὲν πολλοὶ ὀξύνουσιν· Ἡρωδιανὸς δὲ ἐν τῷ ϛ τῆς καθόλου παροξυτόνως γράφει Σίνδους.

V. 327. Κρόνιον δέ φησι τὸν Ἀδρίαν, διὰ τὸ ἐκεῖ κατῳκηκέναι τὸν Κρόνον.

V. 384. Στρευγόμενος δὲ, ἀντὶ τοῦ καταπονούμενος, στρεβλούμενος.

V. 387. Ἀτροπία δὲ, ἡ κακοτροπία καὶ ἀβουλία.

V. 425. Δίαν δέ φησι τὴν Νάξον. Καλλίμαχος· Ἐν Δίᾳ. τὸ γὰρ παλαιότερον ἔσκεν ὄνομα Νάξῳ.

V. 428. Γλήνη δέ φησι τὰ ποικίλματα.

V. 432. Ἀκροχάλιξ δὲ, ὁ ἄκρως μεθύων, καὶ ἄκρατον πεποκὼς οἶνον καὶ νέκταρ.

V. 433. Μινωΐδα δὲ λέγει τὴν Ἀριάδνην.

V. 470. Βρυσοὶ ἔθνος Ἰλλυρίας.

V. 471. Πρόδομον δέ φησι καταχρηστικῶς τὸν πρόναον.

V. 474. Τὸ δὲ ἐρυθαίνειν τὸ ἐρυθρὸν ποιεῖν σημαίνει.

V. 477. Ἐξάργματα τάμνε θανόντος. Οἱ δόλῳ φονεύσαντες τινὰ τὸ παλαιὸν ἀκρωτηριάσματα τινὰ ἐποίουν τῶν ἀναιρουμένων, καὶ ταῦτα λαβόντες

ἐξήρτων τοῦ τραχήλου αὐτῶν. Καὶ ἐκαλοῦντο τὰ τοιαῦτα ἐξάργματα. Πολλὰ δὲ ἦσαν τὰ τῶν ἀκρωτηριασμάτων ἐξάργματα.

V. 478. Τρὶς δὲ ἀπολείψαντες τοῦ αἵματος αὐτῶν, τρὶς ἀπέπτυον εἰς τὸ στόμα αὐτῶν. Τοῦτο δὲ ἐποίουν εἰς τὸ ἐξιλάσκεσθαι τὴν δολοφονίαν.

V. 481. Ἀψυρτεῖς δὲ ἔθνος ἀπὸ Ἀψύρτου κληθέντες.

V. 505. Ἠλεκτρὶς δὲ νῆσος πλησίον Ἠριδανοῦ.

V. 515. Ἐπωνύμους δὲ τοῦ Ἀψύρτου λέγει τοὺς Ἀψυρτεῖς, οἵτινες ᾤκησαν τὰς νήσους.

V. 518. Ἐγχελεῖς δὲ ἔθνος Ἰλλυρικόν.

V. 524. Ὑλλεῖς δὲ ἔθνος περὶ τὴν Ἰλλυρίαν, ἀπὸ Ὕλλου τοῦ Ἡρακλέους καὶ Μελίτης ὠνομασμένον.

V. 531. Ἱερὴν δὲ τὴν πεῦσιν καὶ τὸν χρησμὸν φησὶ τοῦ Ἀπόλλωνος.

Τοὺς δὲ Ὑλλεῖς φησὶ λαβόντας παρὰ Ἰάσονος τὸν τρίποδα ἕνεκεν τῆς μηνύσεως τῆς ὁδοῦ κρύψαι αὐτὸν ὑπὸ γῆν. Χρησμὸς γὰρ ἦν αὐτοῖς, ἔνθα ἂν διαμείνῃ ὁ τρίπους, ταύτην τὴν πόλιν εἶναι ἀπόρθητον.

V. 534. Τὸ οὖν ὧδε κεύθεται πρὸς τὸν τρίποδα ἀναφέρειν δεῖ.

V. 540. Μάκριν δέ φησι τὴν Σχερίαν. Οὕτω γὰρ πρῶτον ἐκαλεῖτο ἀπὸ Μάκριδος τῆς Διονύσου τροφοῦ.

V. 541. Ἔνθα παραγενόμενόν φησιν Ἡρακλέα, ἵνα τοῦ τῶν παίδων φόνου καθαρθῇ, γεγαμηκέναι Μελίτην τὴν Αἰγαίου τοῦ ποταμοῦ θυγατέρα, καὶ ἐξ αὐτῆς τετοκέναι Ὕλλον.

V. 546—550. Οὗτος οὖν ἀνδρωθεὶς, φησὶν, οὐκ ἤθελε μένειν ἐν τῇ Σχερίᾳ, διὰ τὸ τὸν Ναυσίθοον ἐπ' ὀφρύσι κοιρανεῖν, τουτέστι διὰ τὸ εἶναι ὠφρυωμέ-

νον καὶ ὑπερήφανον. Συλλέξας οὖν τινας τῶν Φαιάκων, εἰς τὴν Κρονίαν θάλασσαν ἀφικόμενος, ἐκεῖ κατῴκησεν.

V. 553. Αὔσονας δὲ λέγει τοὺς Ἰταλοὺς, οὐχ ὅτι κατὰ τὸν καιρὸν τῶν Ἀργοναυτῶν οὕτως ἐκαλοῦντο· ὕστερον γὰρ ἐκλήθησαν Αὔσονες ἀπὸ Αὔσονος υἱοῦ Ὀδυσσέως καὶ Καλυψοῦς· ἀλλ' ὅτι κατὰ τὸν Ἀπολλωνίου καιρὸν οὕτως ἐκαλοῦντο.

Λιγυστίδας δὲ νήσους λέγει τὰς περὶ τὸ Λιγυστικὸν πέλαγος τρεῖς οὔσας, αἵτινες οὕτω καλοῦνται, διὰ τὸ ὑπὸ Λιγύων οἰκεῖσθαι.

V. 554. Στοιχάδες δὲ λέγονται, διὰ τὸ ἐν στίχῳ καὶ τάξει κεῖσθαι.

V. 557. Ἐρωτήσας δὲ τὰς Μούσας διὰ τοῦ, ἀλλὰ θεαὶ, καὶ τῶν ἑξῆς, εἰσάγει αὐτὰς ἀποκρινομένας διὰ τοῦ, αὐτόν που μεγαλωστί.

V. 564. sq. Λιγυρνίδας δὲ νήσους λέγει τὰς ὑπὸ Λιγύρνων οἰκουμένας. Εἰσὶ δὲ τρεῖς, Ἴσσα, Δυσκέλαδος, Πιτυοῦσα, ἣν Πιτύειαν καλεῖ Ὁμήρῳ ἑπόμενος.

V. 566. Μετὰ δὲ τὰς νήσους ταύτας εἰς Κέρκυραν φησὶν ἀφικέσθαι αὐτούς.

V. 576. Τὸ δὲ δόαζον ἀντὶ τοῦ ἐστοχάζοντο κεῖται.

V. 576—580. Τὴν δὲ Ἥραν φησὶ γνοῦσαν τὴν τοῦ Διὸς ὀργὴν ἀνέμους μεγάλους ποιῆσαι, ὡς ἂν ἀποσταῖεν μὲν τῶν τόπων ἐκείνων, ἀφίκωνται δὲ εἰς τὴν Ἠλεκτρίδα νῆσον.

V. 581—588. Τὴν δὲ σπεῖραν φησὶ τῆς Ἀργοῦς, φωνῆεν ἔχουσαν ξύλον, μεταδοῦναι τοῖς Ἀργοναύταις φωνῆς, διασαφοῦσαν αὐτοῖς τὸν τοῦ Διὸς χόλον, καὶ ὡς

δεῖ πορευθῆναι αὐτοὺς εἰς Κίρκην καθαρθησομένους τοῦ Ἀψύρτου φόνου.

V. 591. Τὸ δὲ δήουσιν, ἀντὶ τοῦ εὑρήσουσιν. Ἀεὶ γὰρ ἐπὶ μέλλοντος κεῖται.

V. 604. Τὰς δὲ Ἡλιάδας τινὲς ἔφασαν Νηρηΐδας τὰς θρηνούσας τὸν Ἀπόλλωνα, αἵτινες εἰς αἰγείρους μεταβαλοῦσαι δάκρυον ἀποστάζουσι τὸ καλούμενον ἤλεκτρον.

V. 611—617. Τοὺς Κέλτας δέ φησι ἐπιφημίξαι *), ὡς ἄρα τὰ δάκρυα οὐ τῶν Ἡλιάδων εἰσὶν, ἀλλὰ τοῦ Ἀπόλλωνος, ἅπερ ἔκλαυσεν, ὅτε διὰ τὸν τοῦ Ἀσκληπίου **) θάνατον ἀνιαθεὶς εἰς τοὺς Ὑπερβορέους ἀφίκετο διὰ τὴν τοῦ πατρὸς ἐπιτίμησιν. Οἱ δέ φασι τότε κλαῦσαι, ὅτε διὰ τὸν τῶν Κυκλώπων θάνατον προσετάχθη θητεύειν.

V. 618. Τὸ δὲ κεκλήϊσται, ἀντὶ τοῦ πεφήμισται καὶ ᾄδεται.

V. 625. sq. Τὰ δάκρυα δέ φησι πίπτοντα εἰς τὸν ποταμὸν καὶ μισγόμενα τῷ ὕδατι, οἷον ἐλαίου σταγόνας γίνεσθαι.

Αἱ δὲ στάγες ἀπὸ τῆς στὰξ ἑνικῆς εὐθείας, ἧς ἡ γενικὴ σταγός.

V. 627—634. Ὁ δὲ Ῥοδανὸς ποταμὸς Κελτικῆς συμμισγόμενος τῷ Ἠριδανῷ. Σχιζόμενος γὰρ εἰς τρία,

---

*) Non differt h. l. a simplici, quo Schol. edit. utitur. Pausanias V. c. 1. καθὰ ποιηταί τε ἐπεφήμισαν, καὶ τῶν πολλῶν ἐστιν ἐς αὐτὸν λόγος. Ceterum in tali scriptore satis insolens usus formae verbi Doricae. Habuitne in suo libro Κελτοὶ δ' ἐπεφημίξαντο?

**) Schol. edit. Ἀσκληπιοῦ, ut vulgo scribitur. Nostri ratio Eustathio probatur. V. eum ad Homer. Il. p. 463, 38. Rom.

τῇ μὲν εἰς τὸν Ὠκεανὸν φέρεται, τῇ δὲ εἰς τὸν Ἰόνιον, τῇ δὲ εἰς τὸ Σαρδώνιον πέλαγος.

V. 640. Ἑρκύνειον ὄρος Κελτικῆς, ἢ δρυμός.

V. 647. Ἀδήϊοι δὲ, ἀντὶ τοῦ ἄγνωστοι, ἀζήτητοι, ἀνενόχλητοι.

V. 650. sq. Κούρους δὲ Ζηνὸς τοὺς Διοσκούρους λέγει. Οὗτοι γὰρ ηὔξαντο ὑπὲρ τῶν Ἀργοναυτῶν.

V. 653. Ἐν δὲ τῷ πόρε νῆας, νοεῖται τὸ σώζειν κατὰ ἐλλειπτικὸν τρόπον.

V. 661—666. Ἐξ ὧν δὲ ὁ Ἀπολλώνιος περὶ Τυῤῥηνίαν φησὶν οἰκεῖν τὴν Κίρκην, ἔοικεν ἀποδέχεσθαι τὴν Ὀδυσσέως πλάνην περὶ Ἰταλίαν καὶ Τυῤῥηνίαν γενέσθαι. Εὑρεῖν δέ φησι τοὺς Ἀργοναύτας τὴν Κίρκην ἐν τῇ θαλάσσῃ καθαιρομένην καὶ ἀποτρεπομένην ὀνείρατος ὄψιν. Εδοξε γὰρ νυκτὸς ὁρᾷν τὴν οἰκίαν αἵματι μεμολυσμένην.

V. 694. Δίκην δὲ ἤτοι νόμον εἶναι τοῖς ἀθλίοις ἱκέταις, καθημένους ἐπὶ τῆς ἑστίας μὴ φθέγγεσθαι.

V. 699. Φύξιος μὲν Ζεὺς ὁ βοηθῶν τοῖς φυγάσι, καὶ πρὸς ὃν καταφεύγουσι. Φύξιος δὲ οἶτος ἐνταῦθα ὁ θάνατος, δι' ὃν καταφεύγουσι.

V. 704—707. Λυτήριον δὲ τὸ καθάρσιον λέγει. Ἦν δὲ χοιρίδιον μικρὸν, ὅπερ οἱ ἁγνίζοντες θύσαντες, τῷ αἵματι αὐτοῦ τὰς χεῖρας τοῦ ἁγνιζομένου ἔτεγγον, ἤγουν ἔβρεχον.

V. 708. Ἀγκαλέουσα δὲ, ἀντὶ τοῦ ἀνακαλοῦσα καὶ ἐπικαλουμένη.

V. 709. Παλαμναῖος δὲ λέγεται ὁ φόνον ταῖς ἑαυτοῦ χερσὶν εἰργασμένος. Ἐνταῦθα δὲ παλαμναίας ἱκεσίας λέγει τὰς ὑπὲρ φόνων γενομένας, ὧν τὸν Δία τιμήορον ἤγουν τιμητήν φησι.

V. 712. *Πελάνους δέ φησι πέμματά τινα, ἅπερ ἔκαιεν ἡ Κίρκη ἐπιχαίουσα ὕδωρ κατὰ τὸν νόμον.*

V. 720. *Τὸ δὲ ἐνωπαδὶς τὸ κατ' ὄψιν καὶ ἐξ ἐναντίας σημαίνει. Ἐκείνους τε οὖν εἷσεν, ἤγουν καθίσαι ἐποίησεν ἐπὶ θρόνων, καὶ αὐτὴ ἐναντίον ἐκείνων ἵζεν.*

V. 725—729. *Ἡ γε μὲν Κίρκη, φησὶν, ἵετο ἀεὶ κατανοῆσαι ὀμφὴν, ἤγουν φωνὴν, ἐμφύλιον, ἤτοι ἐγχώριον, τῆς κόρης, μετὰ τὸ νοῆσαι, ὅτι ἐκ τοῦ Ἡλίου κατάγεται. Ἐγνώσθη δὲ ἀπὸ τῶν ὀφθαλμῶν. Ἀφίεσαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῆς ἀπὸ τῶν βλεφάρων οἷον χρυσῆν αἴγλην, ἤγουν ἀκτῖνα, ἀντώπιον καὶ ἐξ ἐναντίας ταῖς μαρμαρυγαῖς καὶ φωτοβολίαις* *).

V. 734. *Τὸ δὲ ὥςε* **) *κασιγνήτης πολυκηδέος, πλάττεται ἡ Μήδεια, ἵνα μικρὸν ἐπισκιάσῃ τὸ ὄνειδος. Φησὶ γοῦν, διὰ τὸ πεισθεῖσαν τῇ ἀδελφῇ Χαλκιόπῃ βοηθῆσαι τῷ Ἰάσωνι φυγεῖν ἐκ τῆς πατρίδος δεδοικυῖαν τὸν πατέρα.*

V. 746. *Ἄϊστον δὲ λέγει τὸν ἀφανῆ καὶ ἄγνωστον.*

V. 747. *Ἐφέστιον δὲ, τὸν ἐπὶ τῇ ἑστίᾳ ὄντα.*

V. 761. *Ὅθι τ' ἄκμονες Ἡφαίστοιο. Ἐν τῇ Λιπάρᾳ καὶ Στρογγύλῃ, ἐκ τῶν Αἰόλου δὲ νήσων αὗται, δοκεῖ ὁ Ἥφαιστος διατρίβειν· διὸ καὶ πυρὸς βρόμον ἀκούεσθαι καὶ ἦχον σφοδρόν. Τὸ δὲ παλαιὸν ἐλέγετο*

---

*) Adde Lexicis.

**) Debebat esse *ὥς τε*. Sed sic solent librarii. Supra p. 130. vidimus *ὥςις* pro *ὥς τις*. V. Bastii Comment. Palaeogr. p. 733. sq. Illud a librariis coniunctum *ὥςε* (*ὥστε*) editores passim retinuerunt, ubi dare debebant *ὥς τε*: quo factum, ut sensus locorum obscuraretur. Dirimendis his particulis locum quendam Hellenicorum Xenophonteorum nuper illustravi, quem hîc citarem, nisi me, quamvis diligenter quaerentem, nunc fugeret.

τὸν βουλόμενον ἀργὸν σίδηρον *) ἀποφέρειν **), καὶ ἐπὶ τὴν αὔριον ἐλθόντα λαμβάνειν, ἢ ξίφος, ἢ εἴτι ἄλλο ἤθελε κατασκευάσαι, καταβαλόντα μισθόν. Ταῦτα φησὶ Πυθίας ἐν γῆς περιόδῳ, λέγων καὶ τὴν θάλασσαν ἐκεῖ ζεῖν.

Αἱ δὲ τοῦ Αἰόλου νῆσοι ἑπτὰ αἵδε· Λιπάρα, Στρογγύλη, Ἱερὰ, Διδύμη, Εὐώνυμος, Ἐρυκώδης, Φοινίκη ***). Ἀγαθοκλῆς δὲ ἐν τοῖς ὑπομνήμασι περὶ τῶν χαλκείων τοῦ Ἡφαίστου λέγων φησὶ, κατὰ Σικελίαν δύο εἶναι νήσους, ὧν ἡ μὲν καλεῖται Ἱερὰ, ἡ δὲ, Στρογγύλη, αἵτινες ἡμέρας καὶ νυκτὸς πῦρ ἀφιᾶσι. καλεῖται δὲ, ἡ μὲν Αἰόλου, ἡ δὲ Ἡφαίστου. ἐν ᾗ ποταμοὺς πυρὸς φασὶν ἀνιέναι.

V. 765. Αἰθρηγενεῖς δὲ τοὺς ἀνέμους φησὶ διὰ τὸ αἴθραν ἤτοι ψύχος ποιεῖν.

Ὅτι δὲ ὁ Αἰόλος †) ἐξουσίαν εἶχε τῶν ἀνέμων, Ὅμηρος φησίν·

Κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων.

Ὅτι δὲ αἴθρα λέγεται τὸ ψύχος, ὁ αὐτὸς ἐδήλωσε ποιητὴς λέγων·

---

*) Ἀργὸς σίδηρος Lexicis accedat, quae tantum ἄργυρον et χρύσὸν ἀργὸν habent.

**) Leg. ἐπιφέρειν. E contrario in Schol. ad Philostrati Her. p. 296. Boiss. corrig. Ἐπιεικὴς ὁ τὸ ἔλαττον τῶν ἀνηκόντων αὐτῷ ἀπο φερόμενος.

***) Leg. Ἐρικώδης, Φοινικώδης. V. supra ad III. v. 42. et Wesseling. ad Diodor. Sic. V. c. 7. Obiter hinc in Lexica infer adiectivum φοινικώδης, idem valens quod φοινικόεις, quemadmodum ἐριχώδης est i. q. ἐρικόεις. Schol. ad Aristophan. Plut. v. 586. p. 186. Hemst. καὶ ἡ Ἐρεικοῦσα (melius Ἐρεικοῦσσα) λέγεται διὰ τὰς ἐν αὐτῇ ἐρείκας.

†) Brunckius h. v. προπαροξυτόνως scripsit. Grammatici iubent παροξύνεσθαι. V. Bast. in Addend. ad Gregor. Cor. p. 864. Add. Müller. ad Tzetz. Schol. in Lycophron. p. 524. b.

Αἴθρῃ καὶ καμάτῳ δεδμημένον.

Καὶ ἡμεῖς δὲ ἐν τῇ συνηθείᾳ ὕπαιθρα φαμὲν τὰ ὑπὸ τῶν ἀνέμων καταπνεόμενα.

V. 786. sq. Πλαγκταὶ δὲ πέτραι ἐν τῷ πορθμῷ εἰσὶν, ὡς Τίμαιος καὶ Πεισίστρατος ὁ Λιπαραῖος φασίν.

Ὑπερβατῶς δὲ ἀναγνωστέον· ἔστι γὰρ διαπερῶντας.

V. 788. Περιβλύειν δὲ, τὸ περικλύζειν κατὰ μίμησιν ἤχου.

Σπιλάδες δὲ αἱ πέτραι ἀπὸ τοῦ συμπεπιλῆσθαι.

V. 807. Φυτήσαις δὲ, ἀντὶ τοῦ φυτεύσαις καὶ βλαστήσαις.

V. 808. Τὸ δὲ σέλας χείρεσιν ἔσχον φησὶν, ἐπειδὴ ἔθος ἦν ταῖς τῶν γαμούντων μητράσι δαδουχεῖν ἐν τοῖς γάμοις. Καὶ Εὐριπίδης ἐν Φοινίσσαις φησίν·

Ἐγὼ δὲ οὔτέ σοι πυρὸς ἀνῆψα φῶς
νόμιμον, ὡς πρέπει μητρὶ μακαρίᾳ.

Ἡ Ἥρα οὖν φησὶ δαδουχῆσαι τῇ Θέτιδι, διὰ τὴν πρὸς αὐτὴν εὔνοιαν μητρὸς ἔργον ἐπιτελουμένη.

V. 813. Νηϊάδας δὲ λέγει τὴν Χαρικλὼ καὶ Φιλύραν, ὑφ᾿ ὧν ἐτράφη ὁ Ἀχιλλεύς· ὧν ἡ μὲν Χαρικλὼ γυνὴ Χείρωνος, ἡ δὲ Φιλύρα μήτηρ.

Λίπτοντα δὲ, ἀντὶ τοῦ ἐπιθυμοῦντα.

V. 815. Τὸ δὲ ἀρήγειν τὸ βοηθεῖν σημαίνει.

Ἰστέον δὲ, ὅτι ὁ μὲν Ἀναξαγόρας ταῖς ἀληθείαις φησὶν ὡς θεὸν τετιμηκέναι τὸν Ἀχιλλέα τοὺς περὶ τὴν Λακωνικὴν οἰκοῦντας· ἔνιοι δέ φασιν, ὅτι οἱ θεοὶ συμπαθήσαντες Θέτιδι ἀπεθανάτισαν *) αὐτόν.

---

*) Sic etiam Schol. edit. Quae scriptura si recte se habet, thema sit oportet ἀποθανατίζω. Atque Lexicon Septemvirale: „Ἀποθανατίζω. — facio immortalem, a morte vindico. —" H. Stephanus Thes. T. I. c. 1567. D. : „In v. l. est etiam ἀποθανατί-

Ὅτι δὲ ὁ Ἀχιλλεὺς μετὰ θάνατον εἰς Ἠλύσιον πεδίον ἀφικόμενος ἔγημε Μήδειαν, Ἴβυκος πρῶτος εἴρηκε. Μεθ' ὃν Σιμωνίδης.

V. 816. Ἰστέον δὲ, ὅτι ὁ μὲν τὸν Αἰγίμιον ποιήσας τὴν Θέτιν φησὶ τοὺς γινομένους ἐκ τοῦ Πηλέως αὐτῇ παῖδας, τοὺς μὲν εἰς λέβητα ἐμβάλλειν ζέοντα, τοὺς δὲ εἰς τὸ πῦρ, βουλομένη μαθεῖν, εἰ ἀθάνατοί εἰσι. Πολλῶν οὖν διαφθαρέντων, ἀγανακτήσαντα τὸν Πηλέα κωλῦσαι ἐμβληθῆναι εἰς τὸν λέβητα τὸν Ἀχιλλέα, καὶ διὰ τοῦτο καταλιπεῖν τὴν Θέτιν αὐτόν. Σοφοκλῆς δὲ Ἀχιλλέως Ἐρασταῖς λοιδορηθεῖσαν φησὶ τὴν Θέτιν ὑπὸ τοῦ Πηλέως καταλιπεῖν αὐτόν.

Στάφυλος δέ φησιν ἐν γ̄ τῶν περὶ Θεσσαλίας, Χείρωνα, σοφὸν ὄντα καὶ ἀστρολογίας ἔμπειρον, βουλόμενον τὸν Πηλέα ἔνδοξον ποιῆσαι, μεταπέμψασθαι τὴν Ἄκτορος θυγατέρα τοῦ Μυρμιδόνος, καὶ λόγον διασπεῖραι, ὅτι μέλλει ὁ Πηλεὺς γαμεῖν τὴν Θέτιν, Διὸς διδόντος αὐτῷ, οἱ δὲ θεοὶ μετὰ ὄμβρου καὶ χειμῶνος ἥξουσιν εἰς τὸν γάμον. Ταῦτα διαφημίσας παρετήρει τὸν χρόνον, ἐν ᾧ ὑδάτων τε ἦν ἐπομβρία μεγάλη, καὶ πνευμάτων πλῆθος ἐξαισίων· καὶ τότε δίδωσι Πηλεῖ τὴν Φιλομήλαν. Ἡ δὲ φήμη ἐκράτησεν, ὅτι τὴν Θέτιν ἔγημεν.

V. 820. Ἀΐκες δὲ λέγονται αἱ ἐν τῷ πολέμῳ ἐφ' ἑκάτερα κινήσεις καὶ ὁρμαί. Ὁ δὲ Ἀπολλώνιος ἐνταῦθα τὰς ἀντιπνοὰς εἴρηκε.

V. 825. sqq. Ἰστέον δὲ, ὅτι τῆς Σικελίας καταντικρὺ κειμένης τῆς Ἰταλίας, ὁ δὲ διὰ μέσου αὐτῶν πορθμὸς διακοσίων ἔστι σταδίων ἀπὸ Σικελίας εἰς Ἰταλίαν.

„ζω —, sed perperam pro — ἀπαθανατίζω.“ Analogia quidem huic composito non videtur repugnasse.

*Κατὰ δὲ τὸ ἄκρον τὸ πρὸς Ἰταλίαν ἀφορῶν, ὃ καλεῖται Πέλωρος, κάτω ἐστὶν ἡ καλουμένη Χάρυβδις. Ἡ δὲ Σκύλλα ἐν τῇ Ἰταλίᾳ ἐστὶ καταντικρὺ τοῦ Πελώρου. Ἔστι δὲ ἡ Σκύλλα ἀκρωτήριον ἐξέχον εἰς θάλασσαν, ὁμοίωμα καὶ πρόσωπον ἔχον γυναικός. Κάτω δὲ τοῦ ἀκρωτηρίου *) πέτραι εἰσὶν ἄγαν μεγάλαι καὶ πολλαὶ, ἔχουσαι κοίλους τόπους καὶ σπήλαια, ἐν οἷς θαλάσσια θηρία μένουσιν. Ὅσα μὲν οὖν τῶν πλοίων ὑπὸ τῶν πετρῶν ἀπωθούμενα διὰ τὸν κλύδωνα εἰς τὴν Χάρυβδιν κατακοντισθῇ **), ἀναῤῥοφοῦνται ὑπ᾽ αὐτῆς, καὶ συγκαταφερόμενα τῇ θαλάσσῃ διαφθείρεται. Ὅσα δ᾽ αὖ ὑπὸ τῆς ἐν Χαρύβδει θαλάσσης ἀπωσθῶσιν εἰς τὰς ἐν τῇ Σκύλλῃ πέτρας ὑφάλους οὔσας καὶ τραχείας, ἐκεῖ συγκατακλᾶται καὶ διαφθείρεται. Ἔπειτα κύνες θαλάσσιοι καὶ ἕτερα θηρία θαλάσσια τῶν πετρῶν ἐξελθόντα βορὰν ποιοῦνται τοὺς ναυαγήσαντας τῶν ἀνθρώπων. Διὸ καὶ ἐμυθολογήθη τοῖς ποιηταῖς, ὡς ἄρα ἡ Σκύλλα ἔχει κύνας ἐξέχοντας τῶν πλευρῶν αὐτῆς καὶ τοῦ στήθους, οἵτινες ἀναιροῦσι τοὺς παραπλέοντας αὐτήν. Τὰ γὰρ ῥηθέντα θηρία κάτωθεν ἐκ τῶν κοιλωμάτων τῶν πετρῶν ἀνιόντα δοκοῦσιν ἐκ τοῦ στήθους τῆς Σκύλλης καὶ τῶν πλευρῶν ἐξέρχεσθαι. Καὶ τὴν ἐν τῇ μονοταύρῳ δὲ κατάβασιν Χάρυβδιν ἤδη τινὲς τῶν ποιητῶν ὠνομάκασιν.*

Ἀκουσίλαος μὲν οὖν Φόρκυνος καὶ Ἑκάτης τὴν Σκύλλαν φησὶ θυγατέρα. Ὅμηρος δὲ οὐχ Ἑκάτης, ἀλ-

---

*) Etiam *ἄνω* passim iungitur genitivo. Philetaerus Athenaei T. I. p. 79. *ἄνω γόνατος ἀμφέξει.* De motu Dionysius Halic. Ant. Rom. I. c. 56. in. *ἄνω θαλάττης ἔθει.* Interpres: *loca mediterranea cursu petere coepit.*

**) *abrepta sunt.* Hunc usum verbi *κατακοντίζειν* Lexica ignorant.

λὰ Κράταιϊν φησὶ τὴν μητέρα τῆς Σκύλλης. Ἀμφοτέροις δὲ Ἀπολλώνιος ἠκολούθησεν. Ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις Φόρβαντος καὶ Ἑκάτης λέγεται θυγάτηρ ἡ Σκύλλα. Στησίχορος δὲ ἐν τῇ Σκύλλῃ Λαμίας εἶναι θυγατέρα φησὶ τὴν Σκύλλαν.

V. 834. Μαλερὸν δέ φησι πῦρ τὰ περὶ τὸν πορθμὸν ἐν τῇ θαλάσσῃ γινόμενα τοῦ πυρὸς ἀναφυσήματα. Γίνονται γὰρ οὕτω μεγάλα, ὥστε καὶ τὴν θάλασσαν θερμαίνεσθαι ὑπ᾽ αὐτῶν, ὥς φησι καὶ Μητρόδωρος ἐν ᾱ περὶ ἱστορίας. Θεόφραστος δὲ ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασι τὸν ἀπὸ τῶν Αἰόλου νήσων φησὶ βρόμον τοῦ πυρὸς καίεσθαι μέχρις ἑνὸς σταδίου, καὶ περὶ τὸ Ταυρομένιον ἀκούεσθαι ψόφον βροντῇ παραπλήσιον.

V. 841. Ὑπηῷοι δὲ κατὰ τὸν καιρὸν τῆς ἠοῦς, ἤγουν ἕωθεν, ὄνομα ἀντὶ ἐπιῤῥήματος.

V. 847. sq. Τὴν δὲ Θέτιν ὠκυτέραν φησὶν ἀμαρύγματος καὶ ἡλίου βολῆς ὑπερβολικῶς. Οὐδεὶς γὰρ οὔτε βολῆς ἀκτῖνος ὑπερβαλέσθαι *) δύναται, οὔτε τῆς καλουμένης ἀμαρυγῆς. Ἔστι δὲ ἀμάρυγμα καὶ ἀμαρυγὴ λαμπηδόνος συνεχοῦς ὅρμησις **).

V. 852. Ὀρεξαμένη ἀντὶ τοῦ ἐπιλαβομένη.

V. 855. Εἴσατο δὲ, ἀντὶ τοῦ ἐφάνη.

V. 859. Ἀντιόωσι δὲ, ἀντὶ τοῦ ἔρχονται.

V. 860. Συνεκδοχικῶς δὲ εἶπε τὸ δι᾽ ἐκ πέτρας. Οὐ γὰρ μία ἦν ἡ πλαγκτή. Διὸ καὶ ἐπήγαγε πληθυν-

---

*) Noster iungit genitivo: editus accusativo. Utraque constructio proba est. Diodorus Sic. XVI. c. 17. πολὺ τῶν Συρακουσίων ταῖς ἀρεταῖς ὑπερεβάλλοντο. Wesselingius: „Maluissem τοὺς Συ„ρακουσίους." Ego non item. E Platone utriusque rationis exempla citavit praestantissimus editor ad Gorgiam p. 97.

**) Adde Lexicis.

τικὸν, αἵτε πλαγκταὶ καλέονται. Εἰ δὲ τὸ πέτρας αἰτιατικὴν πληθυντικὴν ἐκδέξασθαι θέλεις, τότε μὲν τὴν ἐκ περιττὴν ἡγῆ *)· τὸ δὲ διὰ πέτρας ἀντὶ τοῦ διὰ πετρῶν ἐρεῖς.

V. 861. Τὸ δὲ ῥυσέμεναι ἀντὶ τοῦ σώσειεν. Ἐναίσιμος δὲ, ἡ καθήκουσα καὶ πρέπουσα.

V. 864. Ἀπηλεγέως δὲ, ἀντὶ τοῦ ἀναμφιλέκτως.

V. 865. Ἀΐδηλος δὲ, ἡ ἀφανής.

V. 868. Νηπιάχειν δὲ, τὸ νηπιάζειν.

V. 871. Ἀμβροσίαν δέ φησι τὸ ἀμβρόσιον ἔλαιον.

V. 872. Τὸ δὲ ἀλάλκειν τὸ ἐκβάλλειν δηλοῖ.

V. 874. Ἀσπαίρειν δὲ, τὸ ἅλλεσθαι καὶ σαλεύειν.

V. 876. Ἁρπάγδην δὲ λέγει τὸ ἁρπακτικῶς.

V. 880. Ἀμηχανία δὲ, ἡ ἀπορία καὶ λύπη.

V. 884. Ἄεσαν δὲ, ἀντὶ τοῦ ἐκοιμήθησαν.

V. 886. Κατηλυσία δὲ, ἡ κάθοδος καὶ ἐπέλευσις.

V. 887. Κληΐδας δὲ τὰ σανιδώματα λέγει καὶ τὰς καθέδρας τῆς νεώς.

V. 889. Τὸ δὲ ἅρμενα τὰ ἁρμόδια δηλοῖ.

Τὸ δὲ μήρυον τὸ ἐσώρευον ἢ εὐτρέπιζον δηλοῖ. Καὶ τὰ ἄλλα οὖν, φησὶ, τὰ τῷ πόντῳ ἁρμόδια ηὐτρέπιζον κατὰ χρέος καὶ ὡς ἐχρῆν.

V. 890. Ἱμάντας δὲ τῆς κεραίας λέγει, οἷς τὸ ἱστίον προςδέδεται τῇ κεραίᾳ.

V. 891 — 894. Ἀνθεμόεσσαν δὲ νῆσον τὴν τῶν Σειρήνων λέγει, ἀκολουθήσας Ἡσιόδῳ λέγοντι·

Νῆσον ἐς ἀνθεμόεσσαν, ἵνα σφίσι δῶκε Κρονίων.

Ὀνόματα δὲ αὐτῶν Θελξιόπη ἢ Θελξινόη, Μολπὴ, Ἀγλαόφωνος.

---

*) F. ἡγῆ, i. e. ἡγητέον. Conf. Bastii Comment. Palaeogr. p. 839.

V. 900—902. *Ἀεὶ δὲ, φησὶν, αἱ Σειρῆνες ἐκ τῆς εὐόρμου περιωπῆς δεδοκημέναι καὶ ἐκδεχόμεναι τοὺς παραπλέοντας ἀφείλοντο νόστον πολλῶν, φθείροντες* *) *αὐτοὺς τῇ τηκεδόνι. Μένοντες γὰρ ἐκεῖ ἐτήκοντο.*

Τὸ δὲ πορσύνεσκον, ἀντὶ τοῦ ὑπερήτουν καὶ ἐπιμελείας ἠξίουν ἔτι παρθένον οὖσαν τὴν τῆς Δηοῦς θυγατέρα, ἤτοι τὴν Περσεφόνην. **)

V. 907. *Εὐτρόχαλος δὲ, ἡ εὐκόλως καὶ ὁμαλῶς καὶ ἐμμελῶς ῥέουσα.*

Τὸ δὲ κανάχησε τὸ ἦσε καὶ ἐκίνησε δηλοῖ.

V. 909. *Κρεγμὸς δὲ λέγεται ἡ κροῦσις τῆς κιθάρας, ἀπὸ τοῦ κρούειν ἢ κρέκειν.*

V. 917. *Ἔρυξ δὲ πόλις ἐν Σικελίᾳ, ἔνθα τιμᾶται ἡ Ἀφροδίτη. Τινὲς δὲ τὴν Σικελίαν Ἔρυκα φασί.*

V. 921. *Μιξοδίαν δὲ λέγει τὸν τόπον, καθ᾽ ὃν ἦν ἡ Χάρυβδις καὶ ἡ Σκύλλα, διὰ τὸ ἀντικρὺ εἶναι ἀλλήλων.*

V. 923. *Ἄμοτον δὲ, ἀντὶ τοῦ ἀκατάπαυστον.*

V. 926. *Πυριθαλπῆ δὲ πέτραν λέγει τὴν ὑπὸ πυρὸς καιομένην.*

---

*) Leg. *φθείρουσαι*. Haud rarum hoc vitium, cuius causa, nisi fallor, quaerenda est in compendiis participiorum perperam expletis. Tales maculas Ioanni Grammatico Gregorioque Corinthio eluit Fischerus in opere utilissimo Animadversionum ad Weller. T. II. p. 393. et 396. In Homeri loco quem commemorat Dionysius Halic. Ant. Rom. VII. c. 72. T. III. p. 1490., pro *ἔχοντες* Codex Vaticanus, ceteroqui plenus egregiis lectionibus, perperam habet *ἔχουσαι*. In loco Hieroclis, quem ex Hippiatricis p. 58. Schneiderus citavit in Adnotat. ad Aristotel. H. Anim. T. III. p. 668. corrig. *δαδῶν σβεσθεισῶν*.

**) Ad v. 897.

V. 936. *Παραβολάδην* δὲ, ἀντὶ τοῦ παραβεβλημένως *). Οἱονεὶ παραπλέοντες.

V. 937. *Ἐπήτριμοι* δὲ, ἤγουν ἐκ πλαγίου, ἢ ὁμοῦ πρὸς ἀλλήλας νηχόμεναι **) ἑκατέρωθεν. Ἢ ἐπήτριμοι, αἱ ἐπάλληλοι.

V. 940—942. *Αὐτίκα* δὲ, φησὶν, αἱ Νηρηΐδες ἀνασχόμεναι τὰς *πεζὰς*, ἤγουν τὰ ἱμάτια, μέχρι τῶν λευκῶν γονάτων, ὑπεράνω τῶν σπιλάδων καὶ τῆς *ἀγῆς* κλάσεως ***) τοῦ κύματος *ἐῤῥώοντο* καὶ ἐκινοῦντο ἔνθα καὶ ἔνθα διϊστάμεναι ἀπ' ἀλλήλων.

V. 943. *Παρηορίην* δὲ, ἀντὶ τοῦ μετέωρον. Ἐδήλωσε δὲ αὐτὸ διὰ τῆς παραβολῆς. Ἐβάσταζον γὰρ αὐτὴν αἱ Νηρηΐδες ὑπεράνων τῶν πετρῶν πρὸς ἀλλήλας ἀκοντίζουσαι ὥσπερ σφαῖραν.

---

*) Accedat Lexicis una cum vicino παραβεβυσμένως, quo utitur Scholiastes ad Lucian. T. II. p. 322.

**) Activo *νήχειν* utitur Pausanias X, 20, 4. ubi mox fallitur Facius *μακρῷ* habens pro epitheto substantivi *μήκει*. Conf. Dionys. Halic. Ant. Rom. I. c. 2. *μακρῷ δή τινι τὴν Ῥωμαίων ἡγεμονίαν ἁπάσας ὑπερβεβλημένην ὄψεται.*

***) Leg. *καὶ κλάσεως*, *καὶ* posito pro *ἤγουν*. V. Bast. in Bredowii Epistol. Paris. p. 51. Nimirum ultima vocis antecedentis littera particulam elisit. Tetigi nuper in Append. ad Aristophan. Plut. p. 491. In Xenophontis Hist. Gr. III, 1, 27. recte mihi videor dedisse, probatum etiam Wolfio (v. Add. edit. Schneider. p. 119.): *ἐκάλει — τοὺς ταμίας, καὶ φράσας κ. τ. λ.* Eandem ob causam ibid. VII, 1, 32. bene correxerunt: *ἀγγελοῦντα — τῆς τε νίκης τὸ μέγεθος, καὶ ὅτι κ. τ. λ.* Plato qui dicitur Min. c. 5. *ὡς ἴσως καὶ ἀκήκοας.* Cod. Leid. *ὡς ἴσως σὺ ἀκήκοας.* Iunge utrumque: *ὡς ἴσως καὶ σὺ ἀκήκοας.* Conf. Boeckhii praefat. ad Simon. Socrat. Dialog. p. XVI. Cumque perpetua sit commutatio vocum *καὶ* et *κατὰ*, in Xenophontis Conviv. II, 22. videtur scribendum: *ἐκεῖνος κατὰ ταὐτὰ εἰς τὸ ἔμπροσθεν κ. τ. λ.* quod cum *παλαιογραφικῶς* tantopere blandiretur, in ipsum textum inferre nuper ausus sum.

V. 947. *Ἠρήρειντο δὲ*, ἀντὶ τοῦ ἐπλησίαζον καὶ ἡδράζοντο.

V. 957. *Στελεὴν δέ* φησι τὴν λαβήν.

Τυπίδα δὲ, τὴν σφύραν.

V. 957. sq. *Ἐρεισθεὶς δὲ ὁ Ἥφαιστος* τῇ στελεῇ τῆς σφύρας ἑώρα.

V. 961. *Αἶσαν δὲ εἰαρινοῦ εἵματος* φησὶ τὸ διάστημα τῆς εἰαρινῆς ὥρας *). Τοῦτο δέ ἐστι τὸ δωδεκάωρον **).

V. 965. *Τρινακρία δὲ ἡ Σικελία*, κατὰ μὲν Τίμαιον, διὰ τὸ τρεῖς ἔχειν ἄκρας, κατὰ δέ τινας τῶν ἱστορικῶν, ἀπὸ Τρίνακος τοῦ τῆς Σικελίας ἄρξαντος. μύλας ***) δέ φησι, χερόνησον εἶναι ἐν Σικελίᾳ, ἐν ᾗ αἱ τοῦ Ἡλίου βόες ἐνέμοντο.

V. 972. *Χαῖον δέ ἐστιν* ἡ καμπύλη βακτηρία, ᾗ οἱ ποιμένες χρῶνται. Ἀμερίας δὲ ψιλὴν ῥάβδον ἀπέδωκε. Καλλίμαχος·

Ἔπρεπέ τοι προέχουσα κάρης εὐρεῖα καλύπτρη,
ποιμενικὸν πίλημα καὶ ἐν χερσὶ χαῖον ἔχουσα.

Καὶ τὸ παρ' Ἀλκμᾶνι δὲ λεγόμενον ἐρυσίχαιον, τοῦτό ἐστι· σημαίνει γὰρ τὸ τῷ χαίῳ ἐρύοντας, ἢ ποιμαίνοντας.

Πηχύνουσα δὲ, ἀντὶ τοῦ πήχει τῆς χειρὸς προσηρτηκυῖα.

V. 973. *Ὁ δὲ ὀρείχαλκος* εἶδος μέν ἐστι χαλκοῦ,

---

*) Schol. edit. *διάστημα ἡμέρας ἐαρινῆς*. Igitur *ὥρα* hic i. q. *ἡμέρα*. V. H. Stephan. Thes. T. IV. c. 787. F.

**) *spatium duodecim horarum*. Hoc substantivum Lexicis accedat. Item adiectivum *δωδεκάωρος*, quo utitur Secundus Sophista Sentent. p. 82. ed. L. B. (p. 86. Lips. p. 655. s. Amstel.) *δωδεκάωρος διαδρομή*.

***) Sic, initiali parvâ.

ὠνόμασται δὲ ἀπὸ Ὠρείου τινὸς εὑρετοῦ γενομένου. Ἀριστοτέλης δὲ ἐν Τελεταῖς μηδὲ ὑπάρχειν φησὶ τὸ ὄνομα, μηδὲ τὸ τούτου εἶδος. Τὸν γὰρ ὀρείχαλκον, φησὶν, ἔνιοι ὑπολαμβάνουσι λέγεσθαι μὲν, μὴ εἶναι δέ. Τῶν δὲ εἰκῆ διαδιδομένων καὶ τοῦτο. Μνημονεύει δὲ αὐτοῦ καὶ Στησίχορος καὶ Βακχυλίδης, καὶ Ἀριστοφάνης ὁ γραμματικὸς ἐπισημαίνεται. Οἱ δὲ ἀνδριαντοποιοῦ λέγουσιν ὄνομα, ὡς Σωκράτης καὶ Θεόπομπος ἐν λε. Οὕτως οὖν τῇ κωμικῇ λέξει τῇ συμμίκτῳ.

V. 974. Καλάβροπα δὲ οἱονεὶ καλόραβδον. Ἔστι δὲ καλάβροψ ἡ βουκολικὴ ῥάβδος. Ὅμηρος·

καλάβροπα βουκόλος ἀνήρ.

V. 982. Παροιτέρη δὲ, ἀντὶ τοῦ ἔμπροσθεν, ὄνομα ἀντὶ ἐπιῤῥήματος.

V. 983. Ἀμφιλαφῆ δέ φησιν αὐτὴν, δηλονότι εὔλίμενον, ἧς ὁ λιμὴν ἐστιν ἀμφιλαφὴς, διὰ τὸ ἀμφοτέρωθεν ἢ πανταχόθεν ἐπιτηδείως ἔχειν πρὸς ὅρμον, ὃν καὶ Καλλίμαχος ἀμφίδυμον λέγει. Ἱστορεῖ δὲ περὶ τοῦ λιμένος τῶν Φαιάκων καὶ Ἀπολλώνιος ἐν τῷ Περίπλῳ τῆς Εὐρώπης. Τινὲς δὲ τὸ ἀμφιλαφὴς ἀντὶ τοῦ ξυλώδης ἀπέδωκαν· ᾧ οἰκείως ἐπισυνάπτει τὸ πίειρα, δηλονότι λιπαρὰ καὶ εὔγειος.

Τὴν δὲ Κέρκυραν τὸ μὲν παλαιὸν κληθῆναι Δρεπάνην, διὰ τὸ τὴν Δήμητραν ἀγαπήσασαν Μάκρην τὴν τοῦ Διονύσου τροφὸν κατοικῆσαι ἐν τῇ νήσῳ. ἔπειτα δρεπάνην κατὰ τὰ παραθαλάσσια τῆς νήσου μέρη. τῆς δὲ θαλάσσης ἐπικλυζούσης κατὰ μικρόν. ὑφαιρουμένης τῆς γῆς συνέβη ὁμοιωθῆναι τὸν κατ᾽ ἐκεῖνο τὸ μέρος αἰγιαλὸν σχήματι δρεπάνης. Τίμαιος δέ φησι, καὶ τὴν δρεπάνην ἐκεῖ κεκρύφθαι, ᾗ ὁ Κρόνος τὰ τοῦ Οὐρανοῦ

αἰδοῖα ἀπέτεμεν, ᾗ ὁ Ζεὺς τὰ τοῦ Κρόνου. Διὰ ταύτας οὖν τὰς αἰτίας Δρεπάνην ὀνομασθῆναι τὴν νῆσον. Σχερίαν δὲ μετὰ τοῦτο, διότι ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Κερκυραίων πολιτείᾳ, τὴν Δήμητραν φοβηθεῖσαν, μὴ οἱ ἀπὸ τῆς ἠπείρου ῥέοντες ποταμοὶ ἤπειρον τὴν νῆσον ποιήσωσι, δεηθῆναι Ποσειδῶνος ἀποτρέψαι τοὺς ποταμούς. Κατασχεθέντων οὖν αὐτῶν, ἀπὸ τούτου ὀνομασθῆναι τὴν νῆσον Σχερίαν. Μάκριν δὲ ἀπὸ Μάκριδος τῆς Διονύσου τροφοῦ. Κέρκυραν δὲ ἀπὸ Κερκύρας τῆς Ἀσωποῦ θυγατρός.

V. 989. Ὄμπνιον δὲ στάχυν φησὶ τὸν πολὺν καὶ δαψιλῆ. Φιλητᾶς δὲ ἐν ἀτάκτοις γλώσσαις ἀπέδωκε τὸν εὔχυλον καὶ τρόφιμον. Κυρηναίων δέ τινες τὸν πλούσιον καὶ εὐδαίμονα ὄμπνιον στάχυν φασίν. Βέλτιον δὲ ἐκλαμβάνειν τὸν φερέσβιον, ἀπὸ τοῦ ἐμπνέειν, ἔμπνεόν τινα ὄντα καὶ ὄμπνιον.

V. 990. Τὸ δὲ ἐκλήϊσται, ἀντὶ τοῦ πεφήμισται καὶ νενόμισται.

V. 991. sq. Τοὺς δὲ Φαίακας Ἀκουσίλαος μέν φησι ἀπὸ τῆς ἐκτομῆς τοῦ Οὐρανοῦ γενηθῆναι. Ῥανίδας γάρ τινας ἤγουν σταγόνας συνέπεσε *) τότε κατενεχθῆναι κατὰ τῆς γῆς αἵματος, καὶ ἐξ αὐτῶν γενέσθαι τοὺς Φαίακας. Καὶ Ἀλκαῖος δὲ κατὰ τὰ αὐτὰ τῷ Ἀκουσιλάῳ ἀπὸ τῶν τῆς ἐκτομῆς τοῦ Οὐρανοῦ σταγόνων γενέσθαι φησὶ τοὺς Φαίακας. Ἄλλοι δὲ τοὺς Γίγαντας φα-

---

*) *accidit.* Dionysius Halic. Ant. Rom. III. c. 20. *καὶ συνέπεσεν αὐτῷ μὴ διαμαρτεῖν τῆς ἐλπίδος.* In Herodoto passim sequitur *ὥστε.* VIII. c. 15. *συνέπιπτε δὲ, ὥστε ταῖς αὐταῖς ἡμέραις τὰς ναυμαχίας γίνεσθαι κ. τ. λ.* c. 141. *καὶ δὴ συνέπιπτε, ὥστε ὁμοῦ σφέων γίνεσθαι τὴν κατάστασιν.* Quamquam usus huius verbi in Herodoto paullo diversus est: neque enim simpliciter valet *accidit*, sed dicitur de *eventorum quodam quasi concentu.*

σὶν ἀπὸ τῶν τοιούτων γενέσθαι σταγόνων. Ὁ δὲ Ὅμηρος οἰκείους φασὶν εἶναι τοὺς Φαίακας τοῖς θεοῖς διὰ τὴν τοῦ Ποσειδῶνος γένεσιν.

V. 993. sq. Ἡ οὖν Ἀργὼ, φησὶν Ἀπολλώνιος, ἐνισχομένη καμάτοισι, τουτέστι κακοπαθήσασα, ἀφίκετο εἰς τοὺς Φαίακας ταῖς αὔραις βοηθουμένη ἐκ τῆς Θρινακίης ἁλὸς, τουτέστι τοῦ Σικελικοῦ πελάγους.

V. 1001—1003. Τοὺς δὲ Κόλχους φησὶν, οὐ τοὺς διὰ τοῦ Ἴστρου διώξαντας τοὺς ἀριστεῖς, ὧν ἦρχεν Ἄψυρτος· ἐκεῖνοι γὰρ κατέλαβον τοὺς ἥρωας κατὰ τὰς νήσους, αἳ καλοῦνται Βρυγηΐδες· οὐκ ἐκείνους οὖν φησὶν, ἀλλὰ τοὺς διὰ τῶν Κυανέων πλεύσαντας ἀφικέσθαι εἰς Κέρκυραν μετὰ τὸ ἀφικέσθαι τοὺς Ἀργοναύτας.

Μαστῆρας οὖν φησιν αὐτοὺς οἱονεὶ ζητητάς.

V. 1004. Ἔξαιτον δὲ τὸ ἐξαίρετον κατὰ συγκοπήν.

V. 1005. Ἀπροφάτως δὲ, ἀντὶ τοῦ χωρὶς προφάσεως καὶ ἀντιῤῥήσεως.

V. 1015. sq. Ἐν δὲ τῷ ἤνυ καὶ αὐτοὶ ἀνθρώπων γενεὴ, σφόδρα πρὸς συμπάθειαν ἕλκει τὴν Ἀρήτην ἡ Μήδεια. Καὶ γὰρ αἱ διὰ τὸ τῆς αὐτῆς ἡμᾶς εἶναι φύσεως ἀλλήλους ἐλεεῖν χρὴ, καὶ διὰ τὸ ὀξυῤῥεπεῖς εἶναι πρὸς τὰ πάθη.

V. 1019. sq. Ὄμνυσι μὲν κατὰ τοῦ Ἡλίου, ὅτι πρόγονος αὐτῆς· κατὰ δὲ τῆς Ἑκάτης, ὅτι τε προσήκοι *) Κόλχοις, καὶ ὅτι ταῖς φαρμακίσιν οἰκεῖα **). Εὑρετὶς γὰρ τῶν τοιούτων ἡ θεός.

V. 1027. Τελεσφόρον δὲ λέγει τὸ τελοποιόν ***).

*) Bastius Epist. Crit. p. 103. haec citans enotavit προσήκει.
**) Imo οἰκεία.
***) Lexica ignorant.

V. 1031. Ἐν δὲ τῷ ὑμέων ὦ περὶ δὴ μέγα, ἡ περὶ καὶ ἀμφὶ ἐκ παραλλήλου. Ὑμῶν οὖν, φησὶν, ἕνεκα καὶ περὶ τοῖς ὑμετέροις ἄθλοις ἀτύζομαι αὐτή.

V. 1043. Τὴν δὲ ἐν ταῖς ἱκεσίαις γινομένην νέμεσιν εἰς χεῖρας θεῶν ἰέναι φησὶν, ὅτι ὥσπερ ἐνώπιον τῶν θεῶν ἱστάμενοι ἱκετεύομεν. Διὸ καὶ αἰδούμεθα τοὺς ἱκετεύοντας.

V. 1047—1049. Χαλεποὶ δὲ καὶ ἀλεήμονες *) ἐστὲ, ἕνεκεν τῆς ἀτροπίας, ἤγουν διὰ τὸ μὴ ἐντρέπεσθαι ὑμᾶς ὁρῶντάς με δεομένην τῆς Ἀρήτης.

V. 1058. Στρευγόμενοι δὲ, ἀντὶ τοῦ ταλαιπωρούμενοι, καταπονούμενοι, ἢ καὶ προσδιατρίβοντες. Γίνεται δὲ ἀπὸ τοῦ στρὰγξ, στραγγός. Σημαίνει δὲ στρὰγξ τὴν κατὰ μικρὸν πρόεσιν τοῦ ὕδατος, ὥς φησι Δίδυμος. Ἐντεῦθεν καὶ ἡ στραγγουρία, ἀπὸ τοῦ κατὰ στράγγα οὐρεῖν.

V. 1059. Τὸ δὲ κατευκήλησε τὸ κατέπαυσε δηλοῖ, καὶ ἡσυχίαν ἐποίησε.

V. 1062. Κλωστῆρα δὲ λέγει τὸν ἄτρακτον.

V. 1064. Σταλάειν δὲ λέγει τὸ στάζειν, ὅθεν καὶ ὁ σταλαγμὸς παράγεται.

V. 1066. Ἰκμαίνεσθαι δὲ, τὸ ὑγραίνεσθαι. Ἔμφασιν δὲ ἔχει τοῦ πολὺ δάκρυον καταλείβειν.

V. 1072. Τὸ δὲ προσπτύσσετο, ἀντὶ τοῦ ἐλιπάρει καὶ παρεκάλει.

---

*) Leg. ἀνελεήμονες. Lexicon Sangerm. Ms. ap. Ruhnken. ad Hymn. in Cerer. v. 283. Ἀνελήμων καὶ ἀνελεήμων φασίν. Νικόχαρις δὲ ἀνηλεήμων λέγει. Ceterum si Graeci dixerunt et ἀνελεήμων et ἀνηλεήμων, nihil, opinor, obstitit, quo minus dicerent et ἀνελεὴς et ἀνηλεής: quamquam usus loquendi postremo huc inclinavit, ut prior forma posthaberetur. V. Addenda ad Gregor. Cor. p. 880. Itaque non accedam iis, qui ἀνελεὴς indeque ductum adverbium ἀνελεῶς, ubicunque occurrunt, ut voces *nihili* exterminant.

V. 1082. *Τὸ δὲ ἀμπλακίησι γράφεται καὶ ἀτροπίησιν. Ἀμπλακίαν* *) *μὲν οὖν σημαίνει τὴν ἁμαρτίαν· ἡ δὲ ἀτροπία, τὴν κακοβουλίαν.*

Ἀκειωμένη δὲ, ἀντὶ τοῦ θεραπεύουσα καὶ ἰωμένη. Ἡ οὖν Μήδεια, φησὶ, τὸ πρότερον ἁμάρτημα, τὸ δοῦναι τὰ θελκτήρια τῶν βοῶν, ἰάσατο δι' ἑτέρου ἁμαρτήματος, τοῦ φυγεῖν τὴν πατρίδα.

V. 1090. *Οἷα μὲν Ἀντιόπην. Ἀντιόπη Νυκτέως ἦν θυγάτηρ, ἣν ὁ Ζεὺς ὁμοιωθεὶς Σατύρῳ φθείρει. Καὶ φεύγουσα τὰς τοῦ Νυκτέως ἀπειλὰς καταφεύγει εἰς Σικυῶνα πρὸς Ἐπωπέα· καὶ τεκοῦσα Ζῆθον καὶ Ἀμφίονα, ἐκτίθεται ἐν Κιθαιρῶνι παρά τινι βουκόλῳ. Νυκτεὺς μὲν οὖν διὰ τὴν τόλμαν τῆς παιδὸς λυπηθεὶς τελευτᾷ, δεηθεὶς τοῦ ἀδελφοῦ Λύκου μὴ περιϊδεῖν τὴν παῖδα, ἀλλ' ἑλεῖν ἀπελθόντα Σικυῶνι. Στρατεύει οὖν Λύκος εἰς Σικυῶνα· καὶ τόν τε Ἐπωπέα ἀποκτείνει, καὶ τὴν Ἀντιόπην ληφθεῖσαν αἰχμάλωτον παραδίδωσι Δίρκῃ τῇ ἑαυτοῦ γυναικὶ φυλάττειν. Ἡ δὲ αὖθις φυγοῦσα καὶ ληφθεῖσα παραδίδοται τοῖς ἑαυτῆς παισὶ Ἀμφίονι καὶ Ζήθῳ. Τότε δὴ ὁ βουκόλος ὁ τροφεὺς διηγεῖται αὐτοῖς πᾶν τὸ γεγονός. Καὶ μαθόντες παρ' αὐτοῦ, ὅτι μήτηρ ἔστιν αὐτῶν ἡ Ἀντιόπη, αὐτὴν μὲν σώζουσι, τὴν δὲ Δίρκην δήσαντες ἐκ ταύρου ἀγρίου διαφθείρουσιν. Ἔπειτα μεταπέμπονται Λύκον ὡς παραδώσοντες αὐτῷ Ἀντιόπην. Ἐπεὶ δὲ ἀφίκετο, ἔμελλον φονεύειν αὐτόν. Ἑρμῆς δὲ φανεὶς, ἐκείνους μὲν ἐκώλυσε τοῦ φόνου, Λύκῳ δὲ προσέταξε παραχωρῆσαι τῆς βασιλείας αὐτοῖς.*

V. 1091. *Ἰδὲ καὶ Δανάη. Φερεκύδης ἐν ιβ φησὶν, Ἀκρίσιον γήμαντα Εὐρυδίκην τὴν Λακεδαίμονος,*

---

*) Leg. *Ἀμπλακία.*

τεκεῖν ἐξ αὐτῆς Δανάην. Χρωμένου δὲ αὐτῷ τῷ Ἀπόλλωνι περὶ ἄῤῥενος παιδὸς, ἔχρησεν ὁ θεὸς ἐν Πυθοῖ *), ὡς ἄρα αὐτῷ μὲν οὐκ ἔσεται ἄῤῥεν παιδίον· τὴν θυγατέρα δὲ ἔφη τέξεσθαι παῖδα ἄῤῥενα· τοῦτον δ' αἴτιον ἔσεσθαι Ἀκρισίῳ θανάτου. Ὡς δὲ ἐπανῆκεν εἰς Ἄργος Ἀκρίσιος, θάλαμον ποιήσας χαλκοῦν ἐν τῇ αὐλῇ τῆς οἰκίας κατὰ γῆς, εἰσάγει εἰς αὐτὸν Δανάην μετὰ τῆς τροφοῦ ἑαυτῆς, φυλάσσων αὐτὴν, ὅπως μὴ παῖς ἐξ αὐτῆς γένηται. Ζεὺς δὲ αὐτῆς ἐρασθεὶς, χρυσῷ παραπλήσιος γενόμενος, ἐῤῥύη ἐκ τῆς ὀροφῆς τοῦ θαλάμου εἰς αὐτήν. Ὡς δὲ ὑπεδέξατο ἡ Δανάη τὸν χρυσὸν εἰς τοὺς κόλπους, ὁ Ζεὺς ἐκφήνας ἑαυτὸν, μίσγεται τῇ παιδί. Καὶ συλλαβοῦσα τίκτει Περσέα, καὶ τρέφει αὐτὸν μετὰ τῆς τροφοῦ κρύφα Ἀκρισίου. Ὡς δὲ τριετὴς ἢ καὶ τετραετὴς ἐγένετο ὁ παῖς, ἤκουσε τῆς φωνῆς αὐτοῦ παίζοντος ἐν τῷ θαλάμῳ Ἀκρίσιος. Καὶ μεταπεμψάμενος τήν τε Δανάην καὶ τὴν τροφὸν αὐτῆς τῶν θεραπόντων, τὴν μὲν τροφὸν εὐθὺς ἀναιρεῖ, Δανάην δὲ μετὰ τοῦ παιδὸς καταγαγὼν εἰς τὸν ὑπὸ τὸ ἕρκιον τοῦ Διὸς βωμὸν, μόνον ἐρωτᾷ αὐτὴν, πόθεν εἴη ὁ τεχθεὶς αὐτῇ παῖς. Φαμένης δὲ ἐκ Διὸς, μὴ πεισθεὶς ὁ Ἀκρίσιος, ἐμβάλλει αὐτὴν εἰς λάρνακα μετὰ τοῦ παιδὸς, καὶ κατακλείσας

---

*) Sic, cum praepositione *ἐν*, Suidas T. III. p. 691. Grammaticusque in Cod. Vatic. ad Nestoris Larandensis Epigr. III. Ipse Apollonius Rhod. I. v. 536. *ἐνὶ Πυθοῖ.* Compares *ἐν Ἰσθμοῖ*, de quo v. ad Gregor. Cor. p. 369. Ceterum nollem Lexicographi plane neglexissent alteram formam, *Πυθών.* Ammonius p. 121. Valcken. *Πυθὼν θηλυκῶς καὶ ὀξυτόνως, ὁ τόπος.* Simonides LXV. (LXXI.) v. 3. sq.:

Ὀλυμπίᾳ δὶς, ἐν δὲ Πυθῶνι τρία,
δύω δ' ἐν Ἰσθμοῖ, πεντεκαίδεκα Νεμέᾳ.

ut versus scribendi videntur. *Πυθῶνάδε* habet Pindarus Olymp. IX. v. 18.

κατεπόντωσεν ῥίψας εἰς θάλασσαν. Φερομένη δὲ ἡ λάρναξ ὑπὸ τῆς θαλάσσης ἀφικνεῖται εἰς Σέριφον. Δίκτυς δὲ ὁ Πειρισθένους δικτύῳ ἁλιεύων ἐξέλκει τὴν λάρνακα. Ὡς δὲ, δεηθείσης τῆς Δανάης, ἠνοίχθη ἡ λάρναξ, μαθὼν ὁ Δίκτυς, τίνες εἰσὶν, ἄγει αὐτοὺς εἰς τὴν οἰκίαν καὶ τρέφει καθάπερ συγγενεῖς. Ἦσαν γὰρ Δίκτυς καὶ Πολυδέκτης Ἀνδροθόης τῆς Περικάστορος καὶ Περισθένους τοῦ Δαμάστορος τοῦ Ναυπλίου τοῦ Ποσειδῶνος καὶ Ἀμυμόνης, ὥς φησι Φερεκύδης ἐν τῇ ᾱ. Προστίθησι δὲ Φερεκύδης ἐν τοῖς ἑξῆς καὶ τὰ περὶ τοῦ θανάτου τοῦ Ἀκρισίου. Μετὰ γὰρ τὸ ἀπολιθωθῆναι, φησὶ, Πολυδέκτην καὶ τοὺς σὺν αὐτῷ ἐν Σερίφῳ ἐκ τῆς Γοργόνος κεφαλῆς, Δίκτυν μὲν Περσεὺς ἐν Σερίφῳ καταλείπει βασιλέα τῶν λελειμμένων Σεριφίων, αὐτὸς δὲ ἀποπλεῖ εἰς Ἄργος μετὰ τῶν Κυκλώπων καὶ Δανάης καὶ Ἀνδρομέδης. Ὡς δὲ οὐχ εὗρεν Ἀκρίσιον ἀφικόμενος εἰς Ἄργος, ἦν γὰρ διὰ τὸν Περσέως φόβον προαπελθὼν εἰς Λαρίσσαν τὴν Πελασγικὴν, τὴν μὲν Δανάην ἀφίησι παρὰ τῇ μητρὶ αὐτῆς Εὐρυδίκῃ, καὶ σὺν αὐτῇ Ἀνδρομέδαν καὶ τοὺς Κύκλωπας· ὁ δὲ ἀφικνεῖται εἰς Ἄργος *), καὶ εὑρὼν Ἀκρίσιον ἀναγνωρίζει τε αὐτὸν καὶ πείθει, ὥστε **) σὺν αὐτῷ ἐπελθεῖν εἰς Ἄργος. Ὡς δὲ ἔμελλον ἤδη ἀπιέναι, ἀγῶνος νέων ἐν Λαρίσσῃ τελουμένου, ἀποδύεται ***) καὶ ὁ Περσεὺς εἰς τὸν ἀγῶνα, καὶ λαβὼν τὸν δίσκον δισκεύει. Τὸ γὰρ πένταθλον οὔπω ἦν, ἀλλ'

*) Leg. *Λάρισσαν.*

**) Rarior constructio, *πείθω ὥστε* —. Schol. edit., ut vulgo solent: *καὶ σὺν αὐτῷ ἕπεσθαι εἰς Ἄργος πείθει.* — Mox corrig. *ἀπελθεῖν.*

***) Suidas T. II. p. 45. *ἐπὶ τῶν ἀποδύντων μὲν πρὸς τὸ πρᾶγμα.* ubi humani quid accidit Kustero non attendenti vim aoristi alterius reciprocam.

ἰδίᾳ ἓν ἕκαστον τῶν ἄθλων ἦθλουν. Ὁ γοῦν δίσκος τροχαλισθεὶς *) ἐπὶ τὸν τοῦ Ἀκρισίου πόδα, τιτρώσκει αὐτόν. Καμὼν δὲ ἐκ τούτου ἀποθνήσκει. Καὶ κατατίθενται **) αὐτὸν Λαρισσαῖοί τε καὶ Περσεὺς πρόσθεν τῆς πόλεως. Καὶ αὐτῷ μὲν ἡρῷον οἱ ἐπιχώριοι ἐδείμαντο· Περσεὺς δὲ ἀνεχώρησεν εἰς Ἄργος.

V. 1092—1095. Τοῦ δὲ Ἐχέτου ὁ μὲν Ὅμηρος ὡς κακίστου γενομένου μέμνηται. Ἀρήτη δὲ περὶ αὐτοῦ λέγει ὡς κατ' αὐτὴν τοῦ πράγματος γεγονότος. Φησὶ γοῦν· νέον γε μὲν οὐκ ἀπὸ τηλοῦ.

Ἐν δὲ τῷ ὀρφναίῃ ἐνὶ χαλκὸν, ἐπιθετέον τὸ ὀρφναίῃ τῷ καλειῷ ***), ἵν' ᾖ ἐν ὀρναίῃ καλειῇ.

Τὸ δὲ χαλκὸν ἀλιτρεύοντα γράφεται καὶ χαλκὸν ἀλιτεύοντα.

Ὁ δὲ περὶ τὸν Ἔχετον μῦθος κεῖται ἐν τῷ ἐπιγραφομένῳ Λυσίππου Ἠπειρώτου Ἀσεβῶν καταλόγῳ.

V. 1100. Τὸ δὲ ἀτίσαι τὸ ἀτιμάσαι καὶ παραβῆναι σημαίνει.

V. 1125. Ὑλλικὸς δὲ λιμὴν ἀπὸ Ὕλλου υἱοῦ Μελίτης καὶ Ἡρακλέους.

V. 1131. Ἠγαθέον δὲ ἄντρον τὸ μέγα καὶ καλὸν, ἐν ᾧ ἡ Μάκρις ἔθρεψε τὸν Διόνυσον. Ἐκαλεῖτο δὲ τὸ ἄντρον διθυρίτης †) διὰ τὸ ἔχειν δύο θύρας. Καὶ

---

*) *cum rotatus incidisset.* Hoc verbum Lexica ignorant. Item haec eiusdem familiae: *Τροχαστικός*. Habet Moeris p. 187. *Τροχώδης*. Habet Apollonius Lex. Homer. p. 596. Vill.

**) *reponunt, sepeliunt.* Rarior hic usus verbi *κατατίθεσθαι*.

***) i. e. *τὸ ὀρφναίῃ ἐπίθετον ἡγητέον τοῦ καλιῇ*. V. supra ad p. 128.

†) In Lexica non male inferetur.

διὰ τοῦτο φασὶν καὶ τὸν Διόνυσον κληθῆναι διθύραμβον· βῆναι γὰρ αὐτὸν δι' ἀμφοτέρων τῶν θυρῶν.

V. 1134—1138. Διὰ τοῦτο δέ φησι τὴν Ἥραν ἐκβαλεῖν τῆς Εὐβοίας τὴν Μάκριν, διὰ τὸ δέξασθαι παρὰ τοῦ Ἑρμοῦ τὸν Διόνυσον καὶ θρέψαι. Ἡ δὲ Εὔβοια ἦν ἱερὰ τῇ Ἥρᾳ.

V. 1141. Ἰστέον δὲ, ὅτι οὗτος μὲν τὸν γάμον τοῦ Ἰάσωνος καὶ τῆς Μηδείας γενέσθαι φησὶν ἐν τῷ τῆς Μάκριδος ἄντρῳ· Φιλητᾶς δὲ ἐν τῇ λέφῳ, ἐν τῇ τοῦ Ἀλκιόνου οἰκίᾳ.

V. 1147. sq. Αἰδεῖσθαι δέ φησι τὰς Νύμφας ἅψασθαι τοῦ δέρους διὰ τὸ μέλλειν γίνεσθαι τὴν μίξιν αὐτῷ *).

Οἱ μὲν οὖν ἄλλοι σχεδὸν ἅπαντες χρυσοῦν ἱστοροῦσι τὸ δέρος. Ἀκουσίλαος δὲ ἐν τῷ περὶ γενεαλογιῶν πορφυρευθῆναι **) φησὶν ὑπὸ θαλάσσης.

V. 1149. Αἴγαιος δὲ ποταμὸς Κερκύρας. Τούτου θυγάτηρ Μελίτη, ᾗ συγγενόμενος Ἡρακλῆς ἔτεκε τὸν Ὕλλον, ἀφ' οὗ Ὑλλεῖς, ἔθνος Ἰλλυρικὸν, καὶ Ὑλλικὸς λιμὴν παρὰ Φαίαξι. Πάντασις ***) δέ φησιν, Ἡρακλέα νοσήσαντα ἐν Λυδίᾳ τυχεῖν σωτηρίας †) ὑπὸ

---

*) F. ἐν αὐτῷ.

**) *purpura tinctum esse.* Hanc verbi illius significationem non erat cur Schneiderus omitteret. Etiam in Philostrato p. 31. Olear., cum sequatur ἁλουργὸν, de tinctura malim intelligere, quam cum Wesselingio Observat. p. 33. de venatione.

***) En novum exemplum commutationis litterarum $\bar{\tau}$ et $\bar{\upsilon}$. V. Koen. ad Gregor. Cor. p. 351. Lips. et Valckenar. Adnotat. Crit. in N. F. p. 336.

†) Schol. edit. ἰάσεως, posita vulgari voce pro exquisitiore Nostri. Hunc usum nominis σωτηρία Lexicographi nostri non curarunt: neque alium, iam H. Stephano commemoratum exemplisque aliquot illustratum, quo dicitur de reditu. Plutarchus Mor. T. I. p. 971. Oxon. ἀπογνοὺς τὰν ἐς Σπάρταν σωτηρίαν.

Ὕλλου τοῦ ποταμοῦ· ἔστι δὲ Λυδίας· καὶ διὰ τοῦτο ἀμφοτέρους τοὺς υἱοὺς αὐτοῦ Ὕλλους κληθῆναι.

V. 1150. *Μελιτήϊον* δὲ ὄρος Κερκύρας.

V. 1153. sq. Τὸ δὲ ἄντρον, φησὶ, τῆς Μάκριδος, Μηδείας μέχρι καὶ νῦν καλεῖται.

Ἰστέον δὲ, ὅτι Τιμαίου λέγοντος, ἐν Κερκύρᾳ τοὺς γάμους ἀχθῆναι, Διονύσιος ὁ Μιλήσιος ἐν β̄ τῶν Ἀργοναυτικῶν ἐν Βυζαντίῳ φησὶ γενέσθαι. Ἀντίμαχος δὲ ἐν τῇ Λυδῇ, ἐν Κόλχοις πλησίον τοῦ ποταμοῦ μιγῆναι φησὶν αὐτῇ.

V. 1160. *Προμολὰς* δέ φησι τοὺς ἐκτὸς τοῦ ἄντρου τόπους.

V. 1167. Τὸ δὲ *παρμέμβλωκε* τὸ πάρεστι σημαίνει.

V. 1175. *Μακριδίαν* δέ φησι τὴν καταντικρὺ τῆς Κερκύρας χερόνησον. Ἴσως διὰ τὸ τοὺς Εὐβοεῖς κατοικῆσαι ἐκεῖ μετὰ τὴν τῆς Ἰλίου ἅλωσιν. Τὴν δὲ Εὔβοιαν Μάκριν ἐκάλουν τὸ πρότερον. Ὅτι δὲ χερόνησος ἐστὶ, καὶ Ἀπολλωνίδης ἐν τῷ Περίπλῳ τῆς Εὐρώπης φησί.

Χέρνησον δὲ τὴν χερόνησον εἶπε κατὰ συγκοπήν.

V. 1187. *Ἀμφιφορεῖς* λέγονται κατὰ Θεόπομπον, οὓς οἱ ἄλλοι μετρητάς φασι. Λυσανίας δέ φησιν, ὅτι τὸν ἀμφιφορέα οἱ Ἀττικοὶ ἀμφορέα καλοῦσι.

V. 1188. *Λιγνὺς* δὲ ἡ καπνώδης ἀναφορὰ, ἢ τὸ τοῦ πυρὸς ἄκρον. Ἄμεινον δὲ τὸ πρῶτον.

V. 1191. *Ἀγλαΐην* δὲ λέγει, ἃ τῇ συνηθείᾳ καλοῦμεν ἐγκόσμια *).

---

*) Schol. edit. κόσμια, quomodo etiam in Nostro corrigam: ut ἐγ natum videatur ex ultimis litteris verbi antecedentis. Ceterum

V. 1193. *Εἶδος δὲ μορφῆς διαφέρει.* Κυρίως γὰρ τὸ μὲν *εἶδος* ἐπὶ προσώπου, ὥσπερ καὶ Ἀπολλώνιος ἔταξεν· ἡ δὲ *μορφὴ* ἐπὶ τοῦ σχήματος·

Μορφὴν ἀμείψας ἐκ θεοῦ βροτησίαν.

V. 1194. *Εὔκρεκτος* δέ ἐστιν ἡ εὔηχα κιθάρα.

V. 1210. *Συνήμονας,* τοὺς συνήθεις καὶ ἑταίρους, ἀπὸ τοῦ συνῆσθαι *).

V. 1212. *Εἰσόκε Βακχιάδαι.* Βακχίας ἐγένετο υἱὸς Διονύσου, διέτριβε δὲ ἐν Κορίνθῳ. Οἱ δὲ ἀπ' ἐκείνου τὸ γένος ἔχοντες εὐγενέστατοι τῶν ἐν Κορίνθῳ ἐνομίζοντο καὶ ἐτιμῶντο. Ἐξεβλήθησαν δὲ τῆς Κορίνθου διὰ τὸν Ἀκταιῶνος θάνατον. Ἡ δὲ αἰτία ἐστὶν ἥδε. Μέλισσος εὐεργετήσας Κορινθίους, μέλλοντας ὑπὸ Φείδωνος τοῦ Ἀργείων βασιλέως διαφθείρεσθαι ἐῤῥύσατο. τιμῆς ἠξίωται παρ' αὐτῆς. Καί ποτε τῶν Βακχιαδῶν νυκτὸς ἐπελθόντων εἰς τὴν τοῦ Μελίσσου οἰκίαν, καὶ βουλομένων ἀποσπᾶσαι Ἀκταίωνα τὸν παῖδα, ἀνθισταμένων τῶν γονέων, συνέβη διασπασθῆναι τὸν Ἀκταίωνα. Ἤδη δὲ Ἰσθμίων ἄγεσθαι μελλόντων, στὰς ἐπὶ τοῦ βωμοῦ ὁ Μέλισσος πολλὰ κατηράσατο τοῖς Κορινθίοις, ἐὰν μὴ τὴν τοῦ παιδὸς ἐκδικήσωσι θάνατον. Ταῦτα εἰπὼν εἰς τὸν ὑποκείμενον κρημνὸν ἑαυτὸν ἔβαλλεν. Οἱ δὲ Κορίνθιοι εὐλαβούμενοι ἀνεκδίκητον καταλιπεῖν τὸν τοῦ Ἀκταίωνος θάνατον, ἅμα καὶ τοῦ θεοῦ κελεύσαντος,

---

κόσμιον, Schneidero visum fidei dubiae, mihi passim occurrit. Agathias Epigr. XXXI. v. 6. *ταῦτα τὰ τοῦ κάλλευς κόσμια καὶ μανίης.* Diodorus Sic. Eclog. T. II. p. 512, 26. *τὰ τῶν γυναικῶν κόσμια.* Idem Excerpt. T. II. p. 616, 36. *τὰ τῆς ἀρχῆς ἀνακτησάμενος κόσμια.* Ammonius p. 149. Valck. *τὸ ἄκροις βραχίοσι περιτιθέμενον κόσμιον.* Denique legas in Schol. ad Homer. Odyss. XVIII. v. 297.

*) Hoc verbum adde Lexicis.

ἐξέβαλλον τοὺς Βακχιάδας. Χερσικράτης δὲ, εἷς τῶν Βακχιαδῶν, κτίζει Κέρκυραν, ἐκβαλὼν τοὺς ἐνοικοῦντας Κόλχους. Οἱ δὲ ἐκβληθέντες εἰς τὴν ἤπειρον ᾤκησαν.

Ἐφύρα ἡ Κόρινθος ἀπὸ Ἐφύρας τῆς Ἐπιμηθέως θυγατρός. Σιμωνίδης δέ φησιν ἀπὸ Ἐφύρας τῆς Ὠκεανοῦ καὶ Τηθύος, γυναικὸς δὲ Ἐπιμηθέως.

V. 1215. Τοὺς δὲ Νεσταίους Σκύλαξ ἔθνος Ἰλλυρικὸν φησίν. Ἐρατοσθένης δὲ ἐν γ̄ Γεωγραφουμένων, Μετὰ Ἰλλυρικοὺς, φησὶ, Νεσταῖοι, καθ᾽ οὓς Φάρος νῆσος, Φαρίων ἀποικία.

V. 1216. Ἀλλὰ ταῦτα μὲν, φησὶν Ἀπολλώνιος, ἐγένοντο στείχοντος ἄδην αἰῶνος, ἀντὶ τοῦ μετὰ πολὺν χρόνον. Τιμαῖος γάρ φησι, μετὰ ἔτη ἑξακόσια τῶν Τρωϊκῶν Χερσικράτην, ἕνα τῶν Βακχιαδῶν, εἴτε ἐκπεσόντα τῆς Κορίνθου, εἴτε καὶ ἑκόντα ἀπελθόντα, διὰ τὸ ἠτιμῶσθαι, ᾠκηκέναι τὴν νῆσον. Οἵ γε μὴν Κόλχοι ἐκβληθέντες εἰς τὴν ἀντιπέραν νῆσον ἀφίκοντο, καὶ μετὰ ταῦτα εἰς τὰ Κεραύνια ὄρη, εἴς τε τοὺς Ἄβαντας καὶ Νεσταίους καὶ Ὠρικὸν ᾠκίσθησαν.

V. 1217—1219. Ἰστέον δὲ, ὅτι Τιμώναξ ἐν ᾱ Σικελικῶν Ἰάσωνα φησὶν ἐν Κόλχοις Μήδειαν γῆμαι, Αἰήτου αὐτῷ ἐγγυήσαντος. Δείκνυνται δὲ, φησὶ, παρὰ τὸν παράπλουν ἔνδον τοῦ Πόντου κῆποι τινὲς Ἰασώνειοι καλούμενοι, καθ᾽ οὓς τὰς ἀποβάσεις φασὶν αὐτὸν ποιήσασθαι, καὶ κατὰ τὴν Αἶαν γυμνάσια καὶ δίσκοι, καὶ Μηδείας θάλαμος, καθ᾽ ὃν ἐνυμφεύθη ποτὲ, καὶ πρὸς τῇ πόλει ἱερὸν ἱδρυμένον Ἰάσωνος, καὶ πρὸς τούτοις ἱερὰ πολλά. Τιμαῖος δὲ ἐν Κερκύρᾳ λέγων γενέσθαι τοὺς γάμους καὶ περὶ τῆς θυσίας ἱστορεῖ, ἔτι καὶ νῦν λέγων ἄγεσθαι αὐτὴν κατ᾽ ἐνιαυτὸν, Μηδείας

πρῶτον θυσάσης ἐν τῷ τοῦ Ἀπόλλωνος ἱερῷ. Καὶ βωμοὺς δέ φησι μνημεῖα τῶν γάμων ἱδρύσασθαι, σύνεγγυς μὲν τῆς θαλάσσης, οὐ μακρὰν δὲ τῆς πόλεως. Ὀνομάζουσι δὲ τὸν μὲν, Νυμφῶν, τὸν δὲ, Νηρηΐδων. Ὅ γε μὴν Ἀπολλώνιος τὸν μέν φησι Νυμφῶν εἶναι τῶν βωμῶν, τὸν δὲ, Μοιρῶν.

Θύη δὲ ἐπέτεια λέγει τὰς ἐνιαυσίους θυσίας.

Νομίης δὲ ἱερὸν Ἀπόλλωνος ἡ Μήδεια ἱδρύσατο, ὅτι κατὰ νόμον ἐγένετο ἡ κρίσις τοῦ Ἀλκινόου.

V. 1235. Σύρτεις δὲ δύο εἰσὶν ἐν Λιβύῃ. Εἰσὶ δὲ πηλώδεις. Γίνονται δὲ καὶ ἀμπώτεις εἰς αὐτὰς, ὡς καὶ ἐν τῷ Ὠκεανῷ εἰσὶ τόποι, ἐν οἷς κατασύρονται οἱ πλέοντες καὶ ἀπόλλυνται.

V. 1237. Τέναγος δὲ λέγεται ὁ πηλώδης τόπος.

Μνιόεντα δὲ τὰ σύμφυτα.

V. 1238. Κωφὴ δὲ, ἡ ἀοίκητος, διὰ τὸ πηλώδης εἶναι.

V. 1239. Ἠέρι δὲ, ἤτοι ἀορασίᾳ, ἤτοι πολλῷ *). Πᾶν γὰρ τὸ πολὺ καὶ δαψιλὲς ἠερόεν λέγεται.

V. 1247. Ἀρδμὸς δὲ, ὁ ποτισμός.

V. 1248. Πάτος δὲ, ὁ περίπατος.

V. 1258. Διωλύγιος δὲ, ἤτοι ἡ σκοτεινὴ, ἢ ἡ ἐπὶ πολὺ διήκουσα.

---

*) Ex usu solenni debebat esse: ἤτοι ἀορασίᾳ, ἢ πολλῷ. Ἤτοι — ἤτοι — qui posuerit, praeter hunc Scholiastam scio neminem. Lobeckius ad Sophocl. Aiac. p. 245.: „nisi plane memoria fallit, „non ἢ — ἤτοι, sed ἤτοι — ἢ dicitur." et in Addend. p. 443.: „nunquam ἢ — ἤτοι." Legerat vir egregius, sed non meminerat, Pindaricum Nem. VI. 8. sq. ἢ μέγαν νόον, ἤτοι φύσιν. Quod respiciens Thomas Mag. p. 427. sic praecipit: σημείωσαι δὲ, ὡς καταρχὰς μὲν τὸ ἤτοι τίθεται ἀεὶ, ὕστερον δὲ τὸ ἤ, οὕτω γὰρ φαμέν· ἤτοι τόδε, ἢ τόδε. ἑτέρως δὲ οὐκ ἄν ποτε εὕροις, πλὴν ἐν Πινδάρῳ ἅπαξ, διὰ τὴν ἀνάγκην τοῦ μέτρου.

V. 1260. Ἰθυντὴρ δὲ, ὁ κυβερνήτης.

V. 1264. Τέναγος δὲ, ὡς εἴρηται, ἢ ὁ πηλώδης τόπος, ἢ τὸ πηλῶδες ὕδωρ. Κυρίως δὲ γῆ ἐπιπόλαιον ὕδωρ ἔχουσα.

V. 1279. Ἐπαχνώθη δὲ, ἀντὶ τοῦ ἐπάγη, ἐλυπήθη. Εἴληπται δὲ μεταφορικῶς ἀπὸ τῆς πάχνης.

V. 1284. Αὐτόματα δέ φησι τὰ ξόανα ἱδροῦν, ὅτι, ὅταν μέλλῃ τι λυπηρὸν συμβαίνειν, εἴωθε τὰ εἴδωλα ἱδροῦν. Ὥσπερ καὶ ἐν Θήβαις συνέβη, ὅτε ὁ ἐν Χαιρονείᾳ πόλεμος συνεκροτεῖτο Φιλίππῳ πρὸς Θηβαίους.

V. 1285. Μύκας *) δὲ λέγει τοὺς ἤχους, τὰς μυκήσεις. Ὅταν γοῦν ἤτοι ἐν τοῖς ναοῖς φαντασία γένηται. ἢ ἤχων, ἢ περὶ τὰ ἀγάλματα, τότε κακὸν σημαίνεται.

V. 1297. Τὸ δὲ θυγατρὶ τῷ Αἰήταο σύναπτε, ἵν' ᾖ, ἐπὶ νόσφι δὲ καὶ χωρὶς αἱ κοῦραι ἀθρόαι παρεστενάχοντο τῇ θυγατρὶ τοῦ Αἰήτου.

V. 1299. Χηραμὸς δὲ, ἡ κατάδυσις.

Ἀπτῆνες, οἱ μὴ δυνάμενοι πέτεσθαι.

V. 1300. Πακτωλὸς δὲ Λυδίας ποταμὸς, ὁ νῦν Χρυσοῤῥόας λεγόμενος.

V. 1304. Ἰάλεμον δὲ τὸν θρῆνον λέγει. Εἴρηται δὲ ἀπὸ Ἰαλέμου τοῦ Μούσης παιδός.

V. 1305. Τὸ δὲ ἐλίασθεν ἀντὶ τοῦ ἀπέθανον ἐνταῦθα.

V. 1309. Ἡρῷσσαι δὲ προπερισπωμένως γράφει Ἡρωδιανὸς ἐν τῷ $\overline{\iota\alpha}$, λέγων ἀπὸ τοῦ ἡρωΐσσαι κατὰ

*) Sic, *βαρυτόνως*: quam *τόνωσιν* videtur analogia commendare. Eandem probavit Koenius ad Gregor. Cor. p. 51. Lips. Altera, quam editus poëtae textus habet, placuit Valckenario Animadvers. ad Ammon. p. 154. et Toupio Emendat. T. II. p. 477.

συναλοιφὴν γεγονέναι. Ἔστι γὰρ τοῦ ἥρως τὸ θηλυκὸν ἡρώϊσσαι. Τινὲς δὲ ἡρῷσσαι ἐξέβαλον ἀντὶ τοῦ πρωΐναί *).

Τιμήοροι δὲ αἱ ἔκδικοι καὶ ἔφοροι **) τῆς Λιβύης, ἢ αἱ ἐν τῇ Λιβύῃ τιμώμεναι ἡρωΐναι.

V. 1310. Ἰστέον δὲ, ὅτι πρῶτος Στησίχορος σὺν ὅπλοις ἔφη ἐκ τῆς Διὸς κεφαλῆς ἀναπηδῆσαι τὴν Ἀθηνᾶν.

V. 1311. Τρίτων δὲ, πόλις***) Λιβύης. Ἔστι δὲ καὶ Βοιωτίας. Παρὰ θατέρῳ δὲ τούτων δοκεῖ γεγενῆσθαι ἡ Ἀθηνᾶ. Διὸ καὶ Τριτογένεια λέγεται. Τινὲς δὲ οὕτω καλεῖσθαι φασὶν διὰ τὸ τρεῖν, ὅ ἐστι φοβεῖσθαι, ἐμποιεῖν τοῖς ἐναντιουμένοις.

V. 1312. Ἔθερον δὲ, ἀντὶ τοῦ ἐθέρμαινον καὶ ἔκαιον.

V. 1314. Πέπλος δὲ κυρίως ἐπὶ γυναικῶν.

---

*) Etiam Schol. edit. ἢ ἀντὶ τοῦ πρωΐνάς. Corrigendum videtur ἡρωΐναι. V. Bastii Comment. Palaeogr. p. 715.

**) Ἡ ἔφορος Lexica nostra ignorant: non ignorat, qui tot illis ignota novit, Thesaurus Stephani. Aelianus Fragm. p. 1041. Gronov. Νεμέσεως Ἐφόρου. Schol. ad Aristophan. Plut. v. 64. ἡ γὰρ Δημήτηρ τῆς γῆς ἔφορος.

***) Ita etiam Schol. edit. Nata haec scriptura e compendio perperam expleto: nam corrigendum ποταμός. Πόλις et ποταμὸς confusa etiam in Stephano Byzant. v. Διζηρός. Obiter Lexicis adde ποταμώδης. Photius Bibl. c. 169, 37. Rothom. ἔστι δὲ καλλιεπὴς τὴν φράσιν, εἰ περιέλοι τις αὐτοῦ τῶν λόγων τὸ ἀλεκτρυονῶδες, καὶ ἐλαφωδέστερον, καὶ συωδέστερον, καὶ δὴ καὶ (sic bene marg.) τοὺς ἱερακώδεις, καὶ κορακώδεις, καὶ πιθηκώδεις, καὶ τὸ ποταμῶδες δάκρυον, καὶ τὰ ὅμοια· τούτοις γὰρ καὶ τὴν ἄλλην τῶν ὀνομάτων περιλυμαίνεται καὶ διανοθεύει εὐγένειαν. e quo loco in Lexica praeterea infer eiusdemmodi adiectiva, qualia Eunapius videtur perdite amasse, ἀλεκτρυονώδης, ἐλαφώδης et ἱερακώδης: item verba, περιλυμαίνεσθαι et διανοθεύειν.

V. 1315. *Παλιμπετὲς* δὲ, ἀντὶ τοῦ παλικάμπὲς καὶ εἰς τοὐπίσω.

V. 1317. Τὸ δὲ *ἀτύζω* ἀπὸ τῆς ἄτης γίνεται. Ἔστι γὰρ ἀπ' αὐτῆς ῥῆμα ἀτῶ. Ἀπὸ τούτου ἀτύω, ὡς ἀπὸ τοῦ ὄλλω ὀλλῶ καὶ ὀλλύω. Εἶτα τοῦ ζ περισσεύσαντος γίνεται ἀτύζω, ὥσπερ καὶ ἀπὸ τοῦ ἀτίω ἀτίζω.

V. 1318. *Ἀμηχανία* δὲ, ἡ ἀπορία.

V. 1322. *Οἰοπόλοι* δὲ αἱ Νύμφαι *) περὶ τὰς ὄϊς πολοῦσαι.

Χθονίας δὲ αὐτὰς λέγει διὰ τὸ θυγατέρας εἶναι τῆς Λιβύης. Εἰσὶ δὲ αἱ ἐπιμελίδες, ἢ χθονίαι ἀντὶ τοῦ γηγενεῖς.

Αὐδήεσσαι δὲ, ἀντὶ τοῦ εἰς λόγον ἀνθρώποις ἐρχόμεναι.

Περὶ δὲ τῶν Νυμφῶν τούτων καὶ Καλλίμαχος λέγει:

Δέσποιναι Λιβύης ἡρωΐδες, αἳ Νασαμώνων
αὖλιν καὶ δολιχὰς θῖνας ἐπιβλέπετε,
μητέρα μοὶ ζώουσαν ὀφέλλετε.

V. 1327. *Σφετέρη* δὲ εἶπεν ἀντὶ τοῦ ὑμετέρη. Λέγει δὲ τὴν ναῦν. Φέρει γὰρ αὐτοὺς ἐν τῷ κήτει **), ὡς ἡ μήτηρ ἐν τῇ γαστρί.

V. 1333. *Ἵλατε* δὲ, ἀντὶ τοῦ ἱλάσθητε.

Ἐρημονόμους δὲ αὐτὰς λέγει ὡς διατριβούσας ἐν τῇ ἐρήμῳ.

V. 1339. Τὸ δὲ *ὠρύεται* ἀντὶ τοῦ βοᾷ κεῖται. Ἔστι δὲ τῆς τῶν λεόντων φωνῆς.

V. 1342. *Βουπελάται*, οἱ βουκόλοι. Εἴρηται,

---

*) Post h. v. videtur excidisse articulus *αἱ*.

**) Leg. *κύτει*: „quae voces crebro sibi mutuis insidiis invicem „nocent." Sic Hemsterhusius ad Lucian. T. I. p. 321. b. V. Wesseling. ad Diodor. Sic. III. c. 16.

ἤτοι τοῦ π περισσεύσαντος, βουλάται γάρ εἰσιν, ἢ παρὰ τὸ πέλας τῶν βοῶν εἶναι, ὃ καὶ βέλτιον.

V. 1348. Στέρφος δέ ἐστι τὸ δέρμα. Ὅθεν καὶ τὸ στερφῶσαι. Ἴβυκος δὲ στερφωτῆρα στρατὸν εἴρηκε τὸν ἔχοντα δέρματα. Διὸ καὶ πὰρ' Αἰσχύλῳ ἀξιοῦσι γράφειν μελανοστέρφων γένος, ἀλλ' οὐ μελανοστέρνων· οὐ γὰρ μόνον τὰ στέρνα μέλανα ἔχουσιν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα. Καὶ τὸ κεράμιον δὲ στέρφος λέγουσιν.

V. 1366. Ἀμφιλαφὴς δὲ, ὁ ποικίλος, ἢ μέλας. Ἢ ἀμφοτέρωθεν ταῖς θριξὶ στεγαζόμενος.

V. 1367. Νήχυτος δὲ, ἡ πολύχυτος.

V. 1380. Ἐπήβολος δὲ, ἡ ἐπιβάλλουσα καὶ ἐπιτυχής.

V. 1381. Μουσάων δέ φησιν εἶναι τὸν μῦθον τοῦτον, ὅτι πέπλασται. Ἑαυτὸν δέ φησιν ὑποφήτην τῶν Μουσῶν, ὅτι ἐμπέπνευσται ὑπ' αὐτῶν διηγήσασθαι.

V. 1384. Θῖνας δέ φησι τοὺς τῆς ψάμμου σωρούς.

V. 1396. sq. Ὧι ἐνὶ Λάδων. Τὸν δράκοντα Λάδωνα ἐκάλουν. Τοῦτον δὲ Πείσανδρος μὲν ὑπείληφεν ἐκ τῆς γῆς γεγενῆσθαι· Ἡσίοδος δὲ ἐκ Τυφῶνος. Ἀγροίτας δὲ ἐν τρίτῳ Λιβυκῶν, μὴ μῆλα, ἀλλὰ πρόβατα φησὶν εἶναι, ὀνομασθῆναι δὲ χρυσῷ *), ἔχειν δὲ ποιμένα ἄγριον, ὃν διὰ τὸ ἀνήμερον δράκοντα ἐκάλουν. Φερεκύ-

---

*) Leg. χρυσᾶ. De confusione litterarum α et ω v. Bastii Comment. Palaeogr. p. 748. sq. Sic in Dial. Platon. Eryx. c 22. (c. 15. Boeckh.) confusa παρῆν et πρώην, ubi fortasse scribendum: εἴ γ' ὁ μὲν Πρόδικος — ἐδόκει ἄρ' οὕτως. Schol. ad Aristophan. Acharn. v. 503. χωρὶς τῶν συμμάχων. Kusterus ad h. l. p. 121. b.: „Sic rescribendum non dubitavi, pro χάριν τῶν συμμάχων, „quod priores Editt. nullo sensu habent.“ E contrario in Tzetz. Schol. ad Lycophron. p. 250. Lips. ὧν χωρὶς ἐποποιοὶ λέγονται mutandum in ὧν χάριν ἐπ. λέγ.

δης δὲ ἐν ῑ τῆς Ἥρας φησὶ γαμουμένης τῷ Διῒ τὴν γῆν ἀναδεδωκέναι ἐν τῷ ὠκεανῷ μῆλα χρυσᾶ, ἢ μηλέας χρυσοῦν καρπὸν φερούσας, φυλάττειν δὲ αὐτὰ δράκοντα τὸν Τυφῶνος καὶ Ἐχίδνης, ἔχοντα κεφαλὰς ἑκατὸν καὶ φωνὰς παντοίας. Ἔτι δέ φησιν, ὅτι αἱ Νύμφαι αἱ Διὸς καὶ Θέμιδος, οἰκοῦσαι ἐν σπηλαίῳ παρὰ τὸν Ἠριδανὸν, ὑπέθεντο Ἡρακλεῖ ἀποροῦντι μαθεῖν παρὰ Νηρέως, ποῦ ἂν εἴη τὰ χρυσᾶ μῆλα. Ὡς δὲ συνελήφθη ὁ Νηρεὺς ὑπὸ Ἡρακλέους βίᾳ, πρῶτον μὲν μετεμορφοῦτο εἰς ὕδωρ καὶ πῦρ, τὸ δὲ τελευταῖον εἰς τὴν παλαιὰν καταστὰς μορφὴν ἐδήλωσε περὶ τῶν μήλων. Πορευόμενος δὲ ἐπὶ τὰ μῆλα ὁ Ἡρακλῆς, πρῶτον μὲν ἀφικνεῖται εἰς Ταρτησόν· ἐκεῖθεν δ' εἰς Λιβύην ἀφικόμενος, ἀναιρεῖ Ἀνταῖον τὸν Ποσειδῶνος, ὑβριστὴν ὄντα. Εἶτα ἀφικνεῖται ἐπὶ Νεῖλον εἰς Μέμφιν παρὰ Βούσιριν τὸν Ποσειδῶνος· καὶ αὐτόν τε ἀναιρεῖ καὶ τὸν παῖδα Ἰφιδάμαντα, καὶ τὸν κήρυκα Χάλβην καὶ τοὺς ὀπάονας παρὰ τῷ βωμῷ τοῦ Διὸς, ἔνθα ἐξενοκτόνει. Εἰς Θήβας δ' ἐκεῖθεν πορευθεὶς, καὶ διὰ τῶν ὀρῶν εἰς τὴν ἔξω Λιβύην, πολλὰ κατὰ τὴν ἔρημον θηρία τοξεύων ἀναιρεῖ· καθήρας δὲ τὴν Λιβύην ἀφικνεῖται εἰς τὴν ἔξω κειμένην θάλασσαν. Καὶ λαβὼν δέπας *) χρυσοῦν παρὰ Ἡλίου, ἀφικνεῖται ἐν αὐτῷ εἰς Πέργην, πλέων διά τε γῆς καὶ θαλάσσης καὶ τοῦ ὠκεανοῦ. Ἐπελθὼν δὲ εἰς Προμηθέα καὶ ὀφθεὶς ὑπ' αὐτοῦ, οἰκτείρει ἱκετεύοντα, καὶ τὸν ἀετὸν, ὅς αὐτοῦ τὸ ἧπαρ ἤσθιεν, ἀποκτείνει τοξεύσας προσπετώμενον **) τῷ Προμηθεῖ. Ἀντὶ δὲ

*) i. e. *navigium*. Conf. Porson. ad Euripid. Med. p. 408. b. ed. Lips. alter.

**) *Προσπετᾶσθαι* Lexica nostra ignorant. De forma hac contracta in simplici verbo compositisque v. Wesseling. ad Diodor.

τῆς δωρεᾶς ταύτης Προμηθεὺς ὑποτίθεται αὐτῷ παρὰ τὸν Ἄτλαντα *) κελεύειν αὐτὸν ἐνέγκεῖν αὐτῷ τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων, αὐτὸν δὲ ἀντ' ἐκείνου βαστάζειν τὸν οὐρανὸν, ἕως ἂν ὁ Ἄτλας ἐκ τῶν Ἑσπερίδων ἐπανέλθῃ ἐνεγκὼν τὰ μῆλα. Ἡρακλῆς δὲ ἀκούσας πορεύεται εἰς Ἄτλαντα, καὶ κελεύει αὐτὸν ἐνεγκεῖν αὐτῷ τρία μῆλα παρὰ τῶν Ἑσπερίδων, διηγησάμενος αὐτῷ τὸν ἆθλον· αὐτὸς δὲ ἔφη ἀντ' αὐτοῦ βαστάζειν τὸν οὐρανὸν, ἕως ἂν ἐπανέλθῃ. Ὁ δὲ Ἄτλας ἐπιθεὶς ἐπὶ τῶν ὤμων τοῦ Ἡρακλέους τὸν οὐρανὸν, πορεύεται ἐπὶ τὰ μῆλα. Ὡς δὲ ἐπανῆκε φέρων τὰ μῆλα, αὐτὰ μὲν ἔφη αὐτὸς ἀποίσειν Εὐρισθεῖ, τὸν δὲ οὐρανὸν ἀντ' αὐτοῦ βαστάζειν τὸν Ἡρακλέα. Ἡρακλῆς δ' αὖ δόλῳ ἀνταπέθηκεν αὐτὸν τῷ Ἄτλαντι κατὰ τὴν τοῦ Προμηθέως ὑποθήκην. Κελεύει γὰρ, ὥσπερ ἐκεῖνος ὑπέθετο, τὸν Ἄτλαντα δέξασθαι αὐτόν. Ὁ δὲ Ἄτλας βαλὼν τὰ μῆλα κατὰ γῆς, ὑποδέχεται τὸν οὐρανόν. Ὁ δὲ Ἡρακλῆς χαίρειν εἰπὼν τῷ Ἄτλαντι, λαβὼν τὰ μῆλα, ἐπάνεισί τε εἰς Μηκύνας καὶ δείκνυσιν αὐτὰ τῷ Εὐρισθεῖ.

V. 1399. Τὰς δὲ Ἑσπερίδας ἢ ἀπὸ τοῦ τῇ ἑσπέρᾳ φαίνεσθαι οὕτω καλεῖσθαι, ἢ ἀπὸ τοῦ ἐν τῇ ἑσπέρᾳ οἰκεῖν. Φόρκου δὲ καὶ Κητοῦς ἦσαν θυγατέρες. Ἀπὸ μιᾶς δὲ τούτων ὠνόμασται ἡ νῆσος, ἣν ᾤκει Γηρυονεὺς, ἔχων κύνα Ὄρθρον **), ἀδελφὸν Κερβέρου, ὃν ἀπέκτει-

Sic. IV. c. 77. extr. πετώμενος legitur in Dionysio Halic. Ant. Rom. I. c. 86. extr. ubi v. Sylburg. πετωμένα in Mesomedis Aenigm. in Sphing. v. 1. πετασθῆναι in Schol. infra ad v. 1515.

*) Videtur excidisse ἐλθόντα.

**) Schol. edit. Ὄρθον. Eadem fluctuatio librorum in Hesiodi Theogon. v. 293. 309. et 327. Sic confusa ὄρθιος et ὄρθριος. V. Brunck. ad Aristophan. Av. v. 489. et Iacobs. ad Antholog. I. 1. p. 428.

νεν Ἡρακλῆς. Τινὲς δὲ Ἄτλαντος λέγουσιν εἶναι τὸν κύνα.

V. 1401. *Στύπος δὲ, τὸ στέλεχος.*

V. 1404. *Χόλος δὲ, ἡ χολή. Ὅμηρος·*

χόλῳ ἄρα σ᾽ ἔτρεφε μήτηρ.

V. 1405. *Πυθομένοις δὲ, ἀντὶ τοῦ σηπομένοις. Ἐντεῦθεν καὶ τὸ πύον, ὥς φησι Μύκλος, ὅπέρ ἐστιν αἷμα σεσηπός. Καὶ ἡ Πυθὼ ἐντεῦθεν παρῆκται κατά τινας· ἢ ἀπὸ τοῦ πευστικῶς *) ἔχειν τοὺς εἰς αὐτὴν ἐρχομένους· ἢ ἀπὸ κόρης Πυθικῆς, Πυθίδος μὲν καλουμένης, θυγατρὸς δὲ Δελφοῦ.*

V. 1409. *Διὰ δὲ τοῦ ἐσσυμένως ἐγένοντο δείκνυσιν, ὅτι εὐθὺς ἀφανεῖς ἐγένοντο.*

V. 1412. *Οὐρανίας δὲ αὐτὰς λέγει, ὅτι τῶν Νυμφῶν αἱ μὲν οὐράνιαι ἐκαλοῦντο, αἱ δὲ ἐπίγειοι, αἱ δὲ ἐπιποτάμιοι, αἱ δὲ λημνιάδες **), αἱ δὲ θαλάσσιαι. Καὶ καθόλου εἰς πολλὰ διῄρουν τὸ τῶν Νυμφῶν ὄνομα, ὥσπερ φησὶ Μνησίμαχος ὁ Φασιλήτης ἐν Διακόσμῳ.*

V. 1415. *Ἐνωπαδὶς δὲ, ἀντὶ τοῦ κατ᾽ ὄψιν καὶ φανερῶς.*

V. 1418. *Λωφήσομεν δὲ, ἀντὶ τοῦ παύσομεν. Κυρίως δὲ λωφῆσαι, τὸ βάρος ἀπὸ τοῦ τραχήλου βαλέσθαι. Λόφος γὰρ ὁ τράχηλος.*

V. 1421. *Εἰλαπίνας τὰς θυσίας λέγει.*

V. 1422. *Ἀδινῇ δέ φησιν ὄπα τὴν ἀσθενῆ διὰ τὴν δίψαν.*

V. 1433. *Κύντατος δὲ ὁ χείριστος καὶ ἔσχατος.*

---

*) Adde Lexicis. *Πευστικῶς ἔχειν, consulere velle.* Conf. Pierson. ad Moer. p. 15. a.

**) *Λιμνιὰς* Lexica ignorant.

V. 1442. Τὸ δὲ παίφασσεν, ἀντὶ τοῦ ἐψηλάφα, ἢ ἀντὶ τοῦ ἐνθουσιωδῶς ἐφέρετο.

V. 1452. Χηραμὸν δὲ τὴν κατάδυσιν τῶν μυρμήκων λέγει.

V. 1453. Τοὺς δὲ μύρμηκας γειομόρους εἶπε, διὰ τὸ περὶ τὴν γῆν κακοπαθεῖν.

V. 1454. Λιβάδα δὲ λέγει τὴν σταγόνα. Ἡ εὐθεῖα λὶψ ἀρσενικῶς *). Ὁ δὲ λὶψ τὸν ἀπὸ Ἀφρικῆς πνέοντα ἄνεμον σημαίνει.

V. 1460. Δήοιμεν δὲ, ἀντὶ τοῦ εὕροιμεν.

V. 1463. Τὸ δὲ ἐπηλίνδητο ἐκεκάλυπτο σημαίνει.

V. 1470. Ὁ δὲ Πολύφημος ὅτι καταλειφθεὶς ἐν Μυσίᾳ πόλιν ἔκτισε Κίον, ἀπὸ τοῦ παραῤῥέοντος ποταμοῦ Κίου οὕτως ὀνομασθεῖσαν, Χάρης φησὶν ἐν ᾱ Χρονικῶν. Ὅτι δὲ καὶ μαχόμενος πρὸς Χάλυβας ἐτελεύτησε, Νυμφόδωρος λέγει.

V. 1471. Τὸ δὲ οὗ ἕθεν, ἀντὶ τοῦ ἑαυτοῦ.

V. 1487. Ὁ δὲ αὐλείτης παρῆκται μὲν παρὰ τὴν αὖλιν, σημαίνει δὲ τὸν ἀγροῖκον, ἢ τὸν νομέα.

V. 1490. Λυκωρίοιο δὲ, ἀντὶ τοῦ Δελφικοῦ. Οἱ γὰρ Δελφοὶ πρότερον Λυκωρεῖς ἐκαλοῦντο ἀπό τινος κώμης Λυκωρείας.

V. 1492. Κῦμα δὲ τὸ κύημα κατὰ συγκοπήν.

Ἀλέξανδρος δὲ ἐν ᾱ Κρητικῶν τῇ Κακαλλίδι φησὶ συνελθεῖν τὸν Ἑρμῆν καὶ τὸν Ἀπόλλωνα, καὶ ἐκ μὲν Ἀπόλλωνος γενέσθαι Νάξον, ἐκ δὲ Ἑρμοῦ Κύδωνα, ἀφ' οὗ Κυδωνία πόλις καλεῖται ἐν Κρήτῃ. Τὸν δὲ Κακαλλίδος υἱὸν Ἀμφίθεμιν καὶ Γαράμαντα φησὶ κληθῆναι.

*) Imo θηλυκῶς.

Οἱ μὲν οὖν ἀπ' αὐτοῦ τὸ ἔθνος τοὺς Γαράμαντας καλεῖσθαι φασίν· οἰκοῦσι δὲ οὗτοι τὴν Λιβύην· οἱ δὲ ἀπὸ τοῦ ἔθνους αὐτόν. Εὐσεβεῖς δὲ οἱ Γαράμαντες, καὶ ναοὶ ἐν αὐτοῖς ἵδρυνται, ὡς ἄλλοι τε καὶ Γαράμας ἱστορεῖ.

V. 1515. Γοργόνος ἀρτίτομον. Περσέως παρὰ Δίκτυϊ διάγοντες, καὶ ἡβήσαντος ἤδη, Πολυδέκτης ὁμομήτριος Δίκτυος, βασιλεὺς ὢν Σερίφου, ἰδὼν Δανάην, ἠράσθη αὐτῆς, ἠπόρει δὲ συγγενέσθαι αὐτῇ. Ποιήσας δὲ ἄριστον, καλεῖ ἄλλους τε πολλοὺς ἐπὶ τούτῳ καὶ Περσέα αὐτόν. Παραγενόμενος δὲ ὁ Περσεὺς πυνθάνεται τοῦ Πολυδέκτου, ἐπὶ τίνι εἴη ὁ ἔρανος εὐωχεῖσθαι. Τοῦ δὲ Πολυδέκτου εἰπόντος ἐπὶ ἵππῳ, ὁ Περσεὺς ἐπὶ τῇ τῆς Γοργόνος ἔφη κεφαλῇ. Τῇ δὲ ἑξῆς ἡμέρᾳ ἕκαστος τῶν ἐρανιστῶν τὸν ἵππον ἐκόμιζε, καὶ δὴ καὶ Περσεύς. Πολυδέκτης δὲ οὐκ ἐδέχετο, εἰπὼν ὅτι οὐχ ἵππον ὑποσχέσθαι δώσειν αὐτὸν, ἀλλὰ τὴν Γοργόνος κεφαλήν· καὶ ἐὰν μὴ κομίσῃ, ἔφη λήψεσθαι Δανάην τὴν ἑαυτοῦ μητέρα. Περσεὺς δὲ ἀνιαθεὶς καὶ ἀμηχανῶν ὅ, τι δράσει, ἀπέρχεται εἰς τὸ ἔσχατον τῆς νήσου. Ἑρμῆς δὲ ἐντυχὼν αὐτῷ, πυνθάνεται παρ' αὐτοῦ τὴν αἰτίαν τῆς λύπης. Ὁ δὲ εἰπὼν θαῤῥεῖν, πρῶτον μὲν ἡγεῖται αὐτῷ παρὰ τὰς τοῦ Φόρκου γραίας, Πεφριδὼ καὶ Ἐντὼ καὶ Ἰαινώ. Καὶ Ἀθηνᾶς φρασάσης ἀφαιρεῖται αὐτῶν τὸν ἕνα ὀφθαλμὸν καὶ ὀδόντα, ὃν ἐκ διαδοχῆς ἀλλήλαις ὤρεγον. Αἱ δὲ βοῶσαι ἱκετεύουσι ζητοῦσαι τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα· ἕνα γὰρ ὀφθαλμὸν καὶ ἕνα ὀδόντα ἔχουσαι αἱ τρεῖς ἐκ διαδοχῆς ἐχρῶντο. Περσεὺς δὲ ὑπισχνεῖται ἀποδώσειν, ἐὰν ἐκεῖναι ὑποδείξωσιν αὐτῷ τὰς Νύμφας, αἵτινες ἔχουσι τὰ ὑπόπτερα πέδιλα καὶ τὴν ἄϊδος κυνέην καὶ τὴν κίβησιν. Ὡς δὲ ὑπέδειξαν,

ἐκείναις μὲν ἀπέδωκε τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα· σὺν Ἑρμῇ δὲ εἰς τὰς Νύμφας πορευθεὶς εἰς τὰς Νύμφας, λαμβάνει παρ᾽ αὐτῶν τὰ πέδιλα καὶ τὴν κυνῆν καὶ τὴν κίβησιν. Καὶ ὑποδεσμεῖται *) μὲν τὰ πέδιλα, περιβάλλεται δὲ κατὰ τοὺς ὤμους τὴν κίβησιν, περιτίθησι δὲ τῇ κεφαλῇ τὴν κυνῆν. Καὶ δὴ ὑπόπτερος ἀφικνεῖται εἰς τὸν Ὠκεανὸν καὶ τὰς Γοργόνας, συμπαρεπομένων αὐτῷ Ἑρμοῦ καὶ Ἀθηνᾶς· καταλαμβάνει δὲ τὰς Γοργόνας κοιμωμένας. Ὑποτίθενται δὲ αὐτῷ Ἀθηνᾶ τε καὶ Ἑρμῆς, ὅπως χρὴ τὴν κεφαλὴν τῆς Γοργόνος ἐκτεμεῖν **), ἀπεστραμμένον δὴ κάτοπτρον ***) ἔχοντα, ὅπερ ἔλαβε παρὰ τῆς Ἀθηνᾶς. Δεικνύουσι δὲ αὐτῷ ἐν τῷ κατόπτρῳ τὴν Μέδουσαν, ἥτις μόνη τῶν Γοργόνων ἦν θνητή. Πλησιάσας οὖν αὐταῖς ἀπεστραμμένος, ἵνα μὴ ἀπολιθωθῇ ἰδὼν αὐτὰς, καὶ ἐν τῷ κατόπτρῳ ὁρῶν τὴν Μέδουσαν κατ᾽ ἀνάκλασιν, τῇ ἅρπῃ κατατομεῖ †) αὐτὴν, καὶ θεὶς τὴν κεφαλὴν εἰς τὴν κίβησιν, φεύγει. Αἱ δὲ βοῶσι ††) καὶ διώκουσαι, διὰ τὸ μὴ ὁρᾶν, οὐχ οἷαί τε ἐγένοντο καταλαβεῖν. Περσεὺς δὲ ἀφικόμενος εἰς Σέριφον, ἔρχεται παρὰ Πολυδέκτην, καὶ κελεύει αὐτὸν συναθροῖσαι τὸν λαὸν, ἵνα δείξῃ αὐτοῖς τὴν τῆς

*) Rarus huius verbi usus.

**) Schol. edit. *ἀποτεμεῖν*. *Ἐκτέμνειν* de *ἀποκεφαλισμῷ* satis infrequens est.

***) F. *ἀπεστρ. δηλονότι καὶ κάτοπτρ.* De confusione vocum *δὴ* et *δηλονότι* v. Bastii Comment. Palaeogr. p. 725. De copula elisa per sequens *κατ* Wesselingius ad Diodor. Sic. XVII. c. 92. extr.: „Mox *ἡσυχῇ καὶ κατ᾽ ὀλίγον* fuisse olim videtur, copula a sequen„ti voce absorpta, quo mendi genere nihil tritius esse solet. Ex„empla si desideres, Io. B. Coteler. T. II. Mon. Graec. p. 589. in„spice."

†) Leg. *καρατομεῖ*. Eodem vitio mox legitur *κατατομήσαντα*.

††) F. *βοῶσαι*.

Γοργόνος κεφαλὴν, εἰδὼς ὅτι ἀπολιθωθήσεσθαι ἔμελλον. Ὡς δὲ Πολυδέκτης συναθροίσας τὸν λαὸν ἐκέλευε δεικνύναι, ὁ Περσεὺς ἀποστραφεὶς τὴν κεφαλὴν τῆς κιβήσεως δείκνυσιν. Οἱ δ' εὐθὺς λίθοι ἐγένοντο. Ἀθηνᾶ δὲ λαβοῦσα παρὰ Περσέως τὴν Γοργόνος κεφαλὴν, ἐντίθησιν εἰς τὴν ἑαυτῆς αἰγίδα. Τὰ δὲ πέδιλα καὶ τὴν κυνῆν καὶ τὴν κίβησιν-ἀποδίδωσιν ὁ Περσεὺς ταῖς Νύμφαις. Ταῦτα ἱστορεῖ Φερεκύδης ἐν τῇ β̄. Ἄλλοι δέ φασι, τὸν Περσέα κατατομήσαντα τὴν Γοργόνα πετασθῆναι ἐπανερχόμενον διὰ τῆς Λιβύης. Ἐκ δὲ τῶν κατενεχθεισῶν σταγόνων τοῦ αἵματος θηρία ἀνέφυσαν πολλὰ καὶ δεινά. Καὶ διὰ τοῦτο τὴν Λιβύην πολύθηρον εἶπεν, ὥς φησι καὶ Ἀλέξανδρος.

V. 1523. Τὸ δὲ ὑπέρβιον ἀντὶ τοῦ ὑπερβίως *) καὶ χαλεπῶς κεῖται, ὄνομα ἀντὶ ἐπιῤῥήματος. Γράφεται δὲ καὶ, ἐπεὶ οὔ μιν ὑπέρβιον ἕλκος ἔτειρεν.

V. 1532. Λαχαίνειν δέ ἐστι τὸ σκάπτειν.

V. 1533. Ἡ δὲ μάκελλα τὴν δίκελλαν σημαίνει.

V. 1536. Εὖ δὲ κτερέων ἴσχοντα φησὶν ἀντὶ τοῦ λαβόντα κτέρεα.

Χυτὴν δὲ γαῖαν λέγει Ὁμηρικῶς τὴν ἐπὶ τοῖς νεκροῖς χεομένην.

V. 1537. Πρόσειν δέ ἐστι τὸ φυσᾷν.

V. 1543. Ὁ δὲ ῥοῖζος τὸν συριγμὸν ἐνταῦθα δηλοῖ.

V. 1544. Σπινθάριγγες δὲ, οἱ σπινθῆρες καὶ λαμπηδόνες.

V. 1545. Ῥωχμὸς δὲ, ἡ τῆς γῆς ῥῆξις.

---

*) Hoc adverbio Lexica carent.

V. 1549. *Μείλια δὲ*, τὰ δυνάμενα μειλίξεσθαι *) δῶρα, ἤγουν τὰ ἱλαστήρια.

V. 1551. sq. Τὴν δὲ *Τρίτωνος* ἐπιφάνειαν καὶ Πίνδαρος ἐν Πυθιονίκαις ἐν τῇ εἰς Ἀρκεσίλαον ᾠδῇ λέγει. Ἔστι δὲ παρὰ τοῖς γεγραφόσι τὰ περὶ Κύπρου καὶ Λιβύης.

V. 1558. *Ἐπιΐστορα* δὲ ἐνταῦθα μὲν τὸν κριτὴν καὶ ἐπιμελετὴν καὶ ἐπίσκοπον λέγει. Ὅταν δ' οὖν **) Ὅμηρος λέγει·

Ἴστορα δ' Ἀτρείδην Ἀγαμέμνονα —

τὸν μάρτυρα καὶ συνθηκοφύλακα σημαίνει.

V. 1561. *Εὐρύπυλος* δὲ υἱὸς μέν ἐστι Ποσειδῶνος καὶ Κελαινοῦς τῆς Ἄτλαντος, βασιλεὺς δὲ Κυρήνης. Φύλαρχος δὲ ἐν τῷ ζ Εὔρυτον αὐτὸν καλεῖ, καὶ ἀδελφὸν αὐτοῦ ἀναγράφει Λυκάονα. Ἀκέσανδρος δὲ ἐν τῷ α περὶ Κυρήνης τῆς Ὑψέως, μετ' αὐτὸν φησὶ βασιλεῦσαι Κυρήνην τὴν Ὑψέως. Μνημονεύει τοῦ Εὐρυπύλου καὶ Καλλίμαχος λέγων·

βοῶν σίνιν Εὐρυπύλοιο

περὶ Κυρήνης ποιούμενος τὸν λόγον.

Τὸ δὲ *θηροτρόφῳ* γράφεται καὶ *μηλοτρόφῳ*.

V. 1562. Τὸ δὲ *πρόφρων ὑπερέσχεθεν*, ἀντὶ τοῦ προφρόνως ἐδέξατο. Εἰκότως δὲ τὸν Εὔφημον διὰ τὴν οἰκειότητα τὸν βῶλον ***) παρεισάγει δεξάμενον.

---

*) Leg. μειλίξασθαι. Neque enim utar hoc loco ad Thomam refellendum.

**) Leg. δ' αὖ. V. Porson. ad Euripid. Med. v. 305. et Schneider. ad Xenophont. Anab. II, 4, 6.

***) Cum mox sequatur τὴν βῶλον, etiam hic sic scribendum. Conf. Schol. infra ad v. 1734. et 1756. Alioqui τὸν βῶλον non foret repudiandum.

*Εὐρύπυλός τε γὰρ υἱὸς Ποσειδῶνος, οὗτινος *) τὴν χώραν ἀφίκοντο, καὶ Εὔφημος ὡσαύτως υἱὸς Ποσειδῶνος καὶ Εὐρώπης τῆς Τιτυοῦ. Καὶ Πίνδαρος δὲ τὸν Εὔφημον φησὶ δέξασθαι τὴν βῶλον.*

V. 1563. *Τὸ δὲ παραβλήδην ἀλλαχοῦ τὸ ἐξ ἀντιβολῆς, ἢ παραλογιστικῶς, ἐνταῦθα δὲ τὸ ἐξ ἀποκρίσεως σημαίνει.*

V. 1564. *Τὸ δὲ Ἀτθίδα σημαίνει τὴν Ἄπιδα. Ἄπις γάρ ἐστι νῆσος πρὸ τῆς Κρήτης κειμένη.*

Μινώϊον δὲ πέλαγος τὸ πρὸ τῆς Κρήτης, ἢ ὅτι τὰ τοῦ Μίνωος βασίλεια ἦν ἐν τῇ Κρήτῃ, ἢ ὅτι θαλασσοκρατήσας ὁ Μίνως ὑφ᾽ αὑτὸν τὰς νήσους ἐποίησε. Σύνορα δὲ τὸ Κρητικὸν καὶ θαλάσσιον πέλαγος.

V. 1569. *Εἰπὼν δὲ χεῦμα δι᾽ ἠπείρου ἄδηλον ἐποίησε τὸ πότερον κατὰ τὸ κοινὸν ἤπειρον λέγει τὴν γῆν, ἢ διότι πᾶσα ἡ οἰκουμένη εἰς τρεῖς ἠπείρους διῄρηται, Ἀσίαν, Εὐρώπην καὶ Λιβύην. Τὴν δὲ Αἴγυπτον οἱ μὲν τῆς Ἀσίας εἶναι φασὶν, οἱ δὲ τῆς Λιβύης.*

V. 1571. *Ἄποθεν δέ φησιν ἀπὸ διαστήματος.*

V. 1573. *Διήλυσις δὲ, ἡ διεξέλευσις καὶ ἔξοδος* **).

V. 1575. *Τὸ δὲ φρίσσουσιν, ἀντὶ τοῦ εἰς ὕψος αἴρονται.*

V. 1581. *Τὸ δὲ περιῤῥήδην τὸ κατὰ περιφέρειαν δηλοῖ.*

V. 1589. *Τὸ δὲ εἴσατο, τὸ ὥρμησεν.*

V. 1599. *Ἁλοσύδναι δὲ λέγονται παρὰ τὸ εἰς τὴν ἅλα δύνειν, ὅ ἐστιν ὁρμᾷν, οἱονεὶ θαλάσσιαι.*

V. 1608. *Ὀδακτάζοντι δὲ ἀντὶ τοῦ δάκνοντι.*

---

*) Excidit *ἐς* s. *εἰς*.

**) Copula videtur elisisse primam syllabam vocis sequentis: nam scribendum, ut opinor, *διέξοδος*.

V. 1609. Ὁλκήϊον δέ ἐστι τὸ κάτω τοῦ πλοίου ξύλον τὸ πρὸς τῇ τρόπιδι, οὗ ἕλκεται ἡ ναῦς· ὃ καὶ πήγνυται ἢ πήσσεται πρῶτον ἐπὶ γῆς κατασκευαζομένου τοῦ πλοίου.

V. 1613. Δικραίρα δὲ, ἤγουν διπλῆ. Τοιαύτη γὰρ ἡ τοῦ Τρίτωνος οὐρὰ διῃρημένη εἰς δύο.

V. 1614—1616. Ἔτεμνε τὸ ἄκρον τοῦ ὕδατος ταῖς ἀκάνθαις, αἵτινες κάτωθεν τοῖς κέντροις τοῖς σκαμβοῖς ἐδιχάζοντο, ὅμοιαι οὖσαι τοῖς τῆς σελήνης κέρασιν, ἅτινα ἡμικύκλια *) εἰσί. Τοιοῦτον δὲ σχῆμα ἔχει καὶ τὰ ἄκρα τῆς οὐρᾶς τῶν ἰχθύων, ἡμικυκλικὸν **) δηλονότι.

Ὁλκαίαν δὲ λέγει τὴν τοῦ κητοῦς ***) οὐράν. Κυρίως δὲ ὁλκαία ἡ τοῦ λέοντος οὐρὰ, παρὰ τὸ δι' αὐτῆς εἰς ἀλκὴν ἕλκεσθαι. Ὅμηρος·

---

*) Habemus hîc adiectivum ἡμικύκλιος, quod a Lexicographis nostris commemoratur quidem, sed nullius scriptoris loco firmatur. Heliodorus p. 340. Cor. πρὸς ἑλιγμὸν ἡμικύκλον ἐκτραπέν. Genuinum hoc videtur Schneidero in Lex. Gr. T. II. p. 704. a.: mihi mutandum in ἡμικύκλιον. Etiam in Photii Lex. c. 256. substantivum ἡμίκυκλον multum vereor ne mutari oporteat in ἡμικύκλιον. Obiter adde Lexicis ἡμικυκλοειδῶς, quo utitur Tzetzes ad Hesiod. p. 109. a. Heins.: ut dubitandum non sit, etiam ἡμικυκλοειδὴς in usu fuisse.

**) Lexica ignorant.

***) Sic, non κήτους, etiam paulo post ad v. 1619.: ut, si recte habet hic accentus, etiam κητὼ in usu fuisse dicendum sit; quamquam huic formae repugnat genus articuli τοῦ, qui esse debebat τῆς. Certe nomen proprium Κητὼ scriptoribus Graecis usitatum fuit, neque aliunde, quam a κητώ, derivari potest adiectivum κητῶος. Sic ab Ἀργὼ descendit Ἀργῶος, a Λητὼ, Λητῶος, a Σαπφὼ, Σαπφῶος (omissum illud Lexicographis ac Posidippo restitutum etiam a Valckenario in Callimacheis p. 3.); quibus adiectivis cur iota vulgo subscribatur, si quis me docuerit, ei δίδακτρον debebo. Obiter Lexicis adde κητοφάγος ex Orac. Sibyll. ap. Pausan. X. c. 12.

Οὐρὴ μὲν πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν μαστίεται.

Καλλίμαχος δὲ κακῶς ἐπὶ τῶν μηρῶν τέθεικεν· Ὁλκαίας ἀφάσσων. *) Ἢ παρὰ τὸ ἀλκεῖν, τὸ βοηθεῖν, ἢ **) εἰς ἀλκὴν παρορμῶσα. Ὥσπερ καὶ οὐρὰ παρὰ τὸ οὐρεῖν ***), τὸ φυλάττειν. Ἢ παρὰ τὸ ὀρίνειν, τὸ διεγείρειν. Διεγείρει γὰρ ἑαυτὰ τὰ ζῶα τῇ οὐρᾷ, ὡς λέων, ταῦρος, κύων, καὶ τὰ λοιπά. Κυρίως μὲν οὖν ἡ τοῦ λέοντος οὐρὰ ὁλκαία λέγεται· ἐν δὲ τῷ κωμικῷ λεξικῷ οὐ μόνον ἡ τοῦ λέοντος οὐρὰ ὁλκαία λέγεται, ἀλλὰ καὶ τοῦ ἵππου, καὶ τοῦ βοὸς, καὶ τῶν ἐμφερῶν, ὅσα ὥσπερ ἀλεξητηρίῳ τῇ οὐρᾷ χρῆται.

V. 1619. Τέρας δὲ λέγει τὸν Τρίτωνα, ἐπεὶ τὸ μὲν ἀνδρὸς ἔχει, τὸ δὲ κητοῦς.

V. 1620. Ἀργῷος δὲ λιμὴν ἐν Τριτώνιδι τῇ λίμνῃ.

V. 1629. sq. Αὔλιον δὲ ἀστέρα τὸν ἕσπερον λέγει. Λέγεται δὲ οὕτως ἢ παρὰ τὸ αὐλίζεσθαι, ὅ ἐστι κοιμᾶσθαι, ἢ παρὰ τὸ ἐν ταῖς αὐλαῖς διατρίβειν κατ' ἐκείνην τὴν ὥραν, ὅτε ὁ ἕσπερος ἀνατέλλει.

V. 1633. Ἐπεῤῥώοντο δὲ ἐλάτῃσιν, ἀντὶ τοῦ ἐῤῥωμένως ἤλαυνον †).

V. 1636. Κάρπαθος δὲ νῆσος πλησίον τῆς Κῶ, ἧς καὶ Ὅμηρος ἐν νεῶν καταλόγῳ μνημονεύει·

Οἳ δ' ἄρα Νίσυρόν τ' εἶχον Κάρπαθόν τε Θάσον τε,
καὶ Κῶν Εὐρυπύλοιο πόλιν.

Οἱ δὲ πλησίον Κρήτης εἶναι φασὶν αὐτήν.

---

*) Conf. Ruhnken. ad Callimachi Fragm. p. 547. sq.

**) Leg. ἤ.

***) Hoc οὐρεῖν Lexica omiserunt.

†) *remigabant.* Conf. Gesner. ad Orph. v. 223.

V. 1638. *Τάλως* δὲ ἦν μὲν τοῦ γένους ἐκείνου τοῦ χαλκοῦ· ὅλος δὲ χαλκοῦς ὢν σύριγγα εἶχεν ἐπὶ τοῦ σφυροῦ ὑμένι περιεχομένην. Σύριγξ δέ ἐστιν ἡ περόνη. Ῥαγείσης οὖν τῆς σύριγγος, εἵμαρτο ἁλῶναι αὐτοῦ. Τοῦτο δὲ καὶ Σοφοκλῆς φησὶν ἐν Τάλῳ.

V. 1640. *Ἐπιωγὴ* δὲ λέγεται ἡ σκέπη, παρὰ τὸ τοὺς ἀνέμους ἄγνυσθαι ἐν αὐτῇ.

V. 1659. *Ὑπ' ἐκ βελέων*, ἤγουν ἐκ τῶν πετρῶν. Καὶ Ὅμηρος γὰρ τὴν ὑπὸ τοῦ Κύκλωπος ῥιφθεῖσαν πέτραν βέλος εἴρηκε. Καὶ πᾶν δὲ τὸ πεμπόμενον βέλος λέγεται.

V. 1661. *Ἀνωΐστως* δὲ, ἀντὶ τοῦ ἀγνώστως *), ἢ ἐξαίφνης.

V. 1667. *Ἐπὶ ζωοῖσι* δὲ, φησὶν, *ἄγονται*, ἀντὶ τοῦ, διὰ τῶν φαρμάκων τοῖς ζῶσιν ἐπάγονται.

V. 1672. *Δίκηλα* δὲ, τὰ εἴδωλα.

V. 1673. *Ἄηται* δὲ, ἀντὶ τοῦ φέρεται ἢ κινεῖται.

V. 1677. *Βρίμη* δέ ἐστιν ἡ ἰσχύς. Παρὰ τὸ $\overline{\text{βρι}}$ πέπτωκε τὸ βρίθω, καὶ ὄνομα Βρίσων, καὶ ῥηματικὸν ὄνομα βρίμη. Τὰ γὰρ εἰς $\overline{\text{μη}}$ λήγοντα ὀνόματα παραλήγοντα φωνήεντα **) βαρύνεται, οἷον κρήμη ***), φήμη, κνήμη, βρίμη· σύμφωνον δὲ πρὸ τοῦ $\overline{\mu}$ ἔχοντα ὀξύνεται, οἷον γραμμή. Ἐκβεβλήσθω †) τὸ τιμή.

V. 1679. *Στόνυξ* δέ ἐστι κυρίως τὸ ἄκρον τοῦ δόρατος, καταχρηστικῶς δὲ πᾶν τὸ εἰς ὀξὺ λῆγον.

V. 1693. *Σαλμωνὶς* δὲ καὶ Σαλμώνιον ἀκρωτήριον Κρήτης.

---

*) Adde Lexicis. **) Leg. *φωνήεντι*.

***) De confusione litterarum $\bar{\mu}$ et $\bar{\nu}$ v. Porson. ad Euripid. Hecub. v. 373. et Bastii Comment. Palaeogr. p. 725. 726.

†) *excipiatur.*

V. 1695. *Κατουλὰς νὺξ*, ἡ σκοτεινὴ, παρὰ τὸ ὀλοόν. Σοφοκλῆς ἐν Ναυπάκτῳ· Νυκτὶ κατουλάδι.

V. 1698. *Μυχάτων δὲ*, ἀντὶ τοῦ ἐσχάτων.

V. 1700. *Ἠείδειν*, ἀντὶ τοῦ ἠείδεον.

V. 1707. *Μελάντιοι* δέ εἰσι δύο σκόπελοι πρὸς τῇ Θήρᾳ, καλούμενοι οὕτως ἀπὸ Μέλαντος τοῦ κατασχόντος τὴν χώραν ἐκείνην.

Ἀρίηκος δὲ, ὁ λίαν ἐπήκοος.

V. 1711. sq. *Βαιὴ* δέ ἐστι *νῆσος* τῶν Σποράδων πλησίον Θήρας, ἥτις Ἀνάφη ἐκλήθη.

Καὶ *Ἵππουρις* δὲ νῆσος πλησίον Θήρας. Μέμνηται αὐτῆς Τιμοσθένης καὶ Πυθαίνετος ἐν ᾱ περὶ Αἰγίνης.

V. 1725. *Ἐπεστομέεσκον**) δὲ, ἀντὶ τοῦ ἔπεσιν ἐλοιδοροῦντο καὶ ὕβριζον.

V. 1732. sq. Τὸν Εὔφημον δέ φησιν ἐξιλάσασθαι τὸν Ἑρμῆν, διὰ τὸ θεάσασθαι ὄνειρον. Τῷ γὰρ Ἑρμῇ τὰ ὀνείρατα ἀνατιθέασιν. Οὗτος γὰρ ὁ θεὸς ἔφορος τῶν ὀνείρων.

V. 1734. *Δαιμονίαν* δὲ *βώλακα* φησὶ τὸν **) τοῦ Τρίτωνος. Τοῦτον γὰρ δαίμονα εἶπεν.

Ἐπιμάστιος δέ φησιν ἐπὶ τῶν μαστῶν.

---

*) De confusione litterarum β̄ et μ̄ v. Bastii Comment. Palaeogr. p. 708. Ioannes Chrysost. T. X. p. 435. extr. *μέμυκε γὰρ ἔτι.* Montefalconius: „*μέμυκε.* Mss. *βέβυκε.* Error ortus ex similitudi-„ne literarum β̄ et μ̄ in manuscriptis aevi cuiusdam, ut videre pos-„sis in Palaeographia nostra p. 336.“ Photius Lex. c. 364. extr. *Ῥυτὰ, — ἐκτεταμένως παρ' ἥβην λεγόμενα.* Corrigendum, ut habet Harpocration p. 160. Gron., *ἐκτ. παρ' ἡμῖν λεγ.* Sic autem in Photii Lexico consulto editum, non errore typothetae excusum: quo crimine operas Lipsienses, in talibus quidem ab omni delicto immunes, nollem nunc toties exagitari.

**) Leg. *τὴν.*

V. 1748. *Πεμπάζειν δέ ἐστι τὸ ἀναλογίζεσθαι.*

V. 1750. sqq. *Ὁ δὲ Εὔφημος ᾤκει μὲν τὴν Λακωνικὴν κατὰ τὸν αἰγιαλόν· εἷς δὲ τῶν ἀπογόνων αὐτοῦ Σήσαμος εἰς Θήραν ἀπῴκησε* *). *Σησάμου δὲ ἦν ἀπόγονος Ἀριστοτέλης, ὅστις τῆς εἰς Κυρήνην ἀποικίας ἡγήσατο. Ἱστορεῖται δὲ ταῦτα παρὰ Τιμάνδρῳ ἐν Πυθιονίκαις· ἐπιμελέστερον δὲ παρὰ Θεοχρήστῳ ἐν ᾱ Λιβυκῶν, καὶ παρὰ Ἀκεσάνδρῳ ἐν ᾱ περὶ Κυρήνης.*

V. 1756. sqq. *Τὴν δὲ Θήραν ὁ Ἀπολλώνιος ἐκ τῆς ῥιφείσης εἰς τὴν θάλασσαν βώλου ἀναπεφυκέναι τε φησὶν ἐν τῇ θαλάττῃ, καὶ γενέσθαι ἐν αὐξήσει. Πίνδαρος μὲν οὖν τακῆναι φησὶ τὴν βῶλον, καὶ περὶ τὴν καλουμένην Θήραν νῆσον διαῤῥυῆναι, ἀμελησάντων τῶν θεραπόντων· ὁ δὲ Ἀπολλώνιος ἑκουσίως φησὶ τὸν Εὔφημον τὸν* **) *βῶλον εἰς τὴν θάλασσαν ῥίψαι συμβουλίᾳ Ἰάσωνος.*

---

*) De *ἀποικεῖν εἰς* — v. Ind. Graecit. ad Gregor. Cor. p. 961. a. Schol. edit. *ἀπῴκισε Θήραν,* quod idem est. Pausanias II. c. 30, 8. *Ἁλικαρνασσὸν ἐν τῇ Καρίᾳ καὶ Μύνδον ἀπῴκισαν.* Lucianus T. II. p. 33. *ἀπῴκισαν δ' αὐτὴν Ἐδεσσαῖοι.* In Epigr. adesp. CCCVIII. v. 6. e Plan. et Cod. Vatic. revocandum *ἀπῳκίσαμεν.* *Ἀποικίζειν* est *colonis frequentare: ἐποικίζειν, aedificare iuxta,* sensuque speciali, quem Lexicographi neglexerunt, *condere urbem, quae viciniam hostilis observet, dataque occasione aggrediatur.* Pausanias IV. c. 28. in. *Μεσσήνης τε ἠνείχοντο ἐποικιζομένης.* Ibid. c. 26, 5. sine cunctatione edi debebat: *ἀξιόμαχον πόλιν ἐποικίσαι Λακεδαιμονίοις.* Compares *ἐπιτειχίζειν*, de quo v. Wyttenbach. Animadvers. in Iulian. p. 143. Lips. nostraque Iulianea p. VII. [Add. e Dionys. Hal. Ant. Rom. III. c. 43. *ἐπιτείχισμα κατὰ τῆς πόλεως.*] Illuc revertor. Appianus T. II. p. 363. *περὶ τῶν ἐξιόντων ἐπὶ τὰς ἀποικίας.* Schweighaeuserus: „*ἐποι-* „*κίας* Edd. et MSS. Correxi cum Musgravio." Laudo factum: vellemque vir egregius etiam p. 888. *ἐποικίσεως* mutasset in *ἀποικίσεως.* Sed in Xenophontis Cyrop. VI, 2, 10. *ἐποικοῦντας* mutem aut in *ἐνοικοῦντας*, aut cum Guelferbytano Codice in *κατοικοῦντας.*

**) Leg. *τήν.*

V. 1763. Τὴν δὲ Θήραν, Καλλίστην πρῶτον ὀνομαζομένην, ἀλλάξαι φησὶ τὸ ὄνομα καὶ ὀνομασθῆναι Θήραν ἀπὸ Θήρα τοῦ ἡγησαμένου τῆς εἰς τὴν νῆσον ἀποικίας ἐκ Σπάρτης. Κατήγετο δὲ ὁ Θήρας ἀπὸ Οἰδίποδος. Ἦν γὰρ υἱὸς Αὐτεσίωνος τοῦ Τισαμενοῦ τοῦ Θερσάνδρου τοῦ Πολυνείκους τοῦ Οἰδίποδος. Συνηκολούθησαν δὲ εἰς τὴν ἀποικίαν τῷ Θήρᾳ καὶ Λήμνιοι ἐκβληθέντες ὑπὸ Τυῤῥηνῶν ἐκ τῆς Λήμνου.

V. 1765. Ἀπτερέως δέ φησιν ἀντὶ τοῦ τάχιστα.

V. 1767. Ὑδρεῖαν δὲ λέγει τὴν ὕδρευσιν.

V. 1768. Τὸ δὲ φθαίη, ἀντὶ τοῦ προφθάσοι, δηλονότι πρῶτος λάβοι, ἢ ὑδρεύσοι.

V. 1778. Ἐριωλαὶ δὲ λέγονται αἱ τῶν μεγάλων ἀνέμων καταιγίδες καὶ συστροφαί.

Ἆθλον δέ φησι τὸν πόνον καὶ τὴν ταλαιπωρίαν.*)

V. 1779. Ἡ δὲ Αὖλις πόλις Βοιωτίας καταντικρὺ τῆς Εὐβοίας κειμένη.

V. 1780. Ὀπούντια δὲ ἄστη τὰ τῶν Λοκρῶν λέγει, ἀπὸ Ὀποῦντος τοῦ Διὸς καὶ Πρωτογενείας, οὗ πόλις ἐπώνυμος Λωκρικὴ, ἡ τοῦ Πατρόκλου πατρίς. καὶ ποταμὸς δὲ Ὀποῦς κατά τινας ῥέων διὰ τῆς Λοκρίδος.

V. 1781. Παγασηΐδας δὲ ἀκτὰς λέγει τὰς τῶν Παγασῶν. Παγασαὶ πόλις Μαγνησίας.

Ὅθεν οὖν ἀνήχθησαν τὴν ἀρχὴν οἱ ἥρωες εἰς Σκυθίαν ἐπὶ τὸ δέρος ἀποπλεύσαντες, ἐκεῖσε ὥσπερ διά τινος κύκλου κατήχθησαν ἐπανελθόντες.

---

*) Ad v. 1776.

SCHOLIA EDITA

IN

APOLLONIVM RHODIVM

REPETITA

EX EDITIONE

HENRICI STEPHANI.

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ

ΤΩΝ

ΑΠΟΛΛΩΝΙΟΥ

ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

V. 1. *Ἀρχόμενος.* Ἀπὸ περιεκτικοῦ ῥήματος ἡ μετοχὴ ἐσχημάτισται. Περιεκτικὰ δέ ἐστιν ὅσα δρᾶσιν καὶ πάθος ἐμφαίνουσιν· οἷον Βιάζομαι, Δωροῦμαι, Σφαγιάζομαι. Οὕτω καὶ τὸ Ἄρχομαι. Τὸ μέν τι σημαίνει, ἀπὸ σοῦ τὴν ἀρχὴν ποιοῦμαι (ἔθος γὰρ ἀπὸ θεῶν προοιμιάζεσθαι·

Ἐκ Διὸς ἀρχώμεσθα)

τὸ δέ τι σημαίνει, ἐξουσιαζόμενος ὑπὸ σοῦ, οἷον ἐνθουσιῶν. Παραπλησίως γὰρ τοῖς μαινομένοις οἱ ποιηταὶ ἐνθουσιῶσιν. Ἔνιοι δὲ καὶ ἀντὶ τοῦ ἀρξάμενος κεῖσθαι φασὶ τὸ ἀρχόμενος. Ὁ οὖν λόγος, Ἀρξάμενος ἀπὸ σοῦ, εἰς μνήμην ἄξω τὰ ἔνδοξα τῶν Ἀργοναυτικῶν ἔργα.

V. 4. *Ἀργώ.* Ὁ μὲν Ἀπολλώνιος καλεῖ τὴν Ἀργὼ ἀπὸ Ἄργου τοῦ κατασκευάσαντος· Φερεκύδης δὲ ἀπὸ Ἄργου τοῦ Φρίξου υἱοῦ. Ταύτην δέ φασι πρώτην ναῦν γενέσθαι μακράν. Ἄλλοι δὲ λέγουσι, Δαναὸν διωκόμενον ὑπὸ Αἰγύπτου, πρῶτον κατασκευάσαι· ὅθεν καὶ Δαναῒς ἐκλήθη.

Ἔϋζυγον, ἤγουν εὐκάθεδρον.

V. 5. Τοίην γὰρ Πελίης. Τὸ τοίην τίθεται καὶ ἀνταποδοτικῶς καθ᾽ ὁμοίωσιν πρὸς τὰς παραβολάς·

Οἵη γὰρ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.

καὶ ἀναφορικῶς·

Ἀλλὰ καὶ ὥς τοίη περ ἐοῦσα.

Νῦν δὲ δύναται μὲν ἐπὶ θαυμασμοῦ κεῖσθαι τοῦ κατὰ ἀναίρεσιν λόγου· δύναται δὲ καὶ κατὰ ἀναφορὰν πρὸς τὰ ἐπιφερόμενα.

V. 9. Ἄναυρον λέγει τὸν χείμαῤῥον. Οἱ γὰρ ἐξ ὑετῶν συνιστάμενοι ποταμοὶ οὕτω καλοῦνται.

V. 11. Προχοῇσι. Τῶν ποταμῶν οἱ συμβάλλοντες τόποι τῇ θαλάσσῃ, προχοαὶ λέγονται. Ὡς Ὅμηρος·

Ὡς δ᾽ ὅτ᾽ ἐπὶ προχοῇσι.

V. 14. Ἥρης δὲ Πελασγίδος. Ὁμηρικῶς τὴν Ἥραν Πελασγίδα εἶπεν, ἐκ τῆς Θεσσαλικῆς χώρας. Πελασγοὶ γὰρ ἐλέγοντο οἱ τὴν Φθιωτικὴν κατῴκουν, ὥς φησιν Ὅμηρος·

Νῦν δ᾽ αὖ τοὺς ὅσσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον.

ἀφορίζων αὐτὸ τῆς Πελοποννήσου, ἣν Ἀχαϊκὸν Ἄργος καλεῖ.

V. 23. Πρῶτά νυν Ὀρφῆος. Ἡρόδωρος δύο εἶναι Ὀρφεῖς φησίν· ὧν τὸν ἕτερον συμπλεῦσαι τοῖς Ἀργοναύταις. Φερεκύδης ἐν τῇ ϛ, Φιλάμμωνα φησὶ καὶ οὐκ Ὀρφέα συμπεπλευκέναι· εἶναι δὲ Ὀρφέα, κατὰ μὲν Ἀσκληπιάδην, Ἀπόλλωνος καὶ Καλλιόπης· κατὰ δὲ ἐνίους, Οἰάγρου καὶ Πολυμνίας. Ζητεῖται δὲ, διὰ τί Ὀρφεὺς ἀσθενὴς ὢν συνέπλει τοῖς ἥρωσιν. Ὅτι μάντις

ὢν ὁ Χείρων, ἔχρησε μὴ δύνασθαι τὰς Σειρῆνας παρελθεῖν αὐτοὺς Ὀρφέως μὴ συμπλέοντος. Οὕτως Ἡρόδωρος.

V. 25. *Πιμπληΐδος.* Πιμπλιὰς χωρίον κατὰ Πιερίαν. Οἱ δὲ, ὄρος Θράκης. Οἱ δὲ, κρήνην καὶ κώμην τῆς Πιερίας.

V. 27. *Θέλξαι.* Ἀπατῆσαι καὶ τέρψαι. Τάσσεται δὲ ἡ λέξις ἐπὶ τῆς μετὰ βλάβης ἀπάτης. Νῦν δὲ ὑπερβολικῶς κεῖται.

Ἀοιδάων δὲ ἐνοπῇ, τῇ τῶν ᾠδῶν εὐρυθμίᾳ. Οὐκ εὖ δέ· ἡ γὰρ ἐνοπὴ καὶ ἐπὶ θορύβου τίθεται.

V. 29. *Θρηϊκίης ζώνης.* Ζώνη ἐστὶν ὀρεινὸς τόπος οὕτω καλούμενος· καὶ πόλις ὁμώνυμος, ὥς φησι Νίκανδρος.

V. 30. *Ἑξείης στιχόωσιν.* Στοιχηδὸν εἰσὶ καὶ ἑξῆς πυκναί.

V. 31. *Πιερίηθεν.* Πιερία ὄρος Θράκης, ἐν ᾧ διέτριβεν Ὀρφεύς. Φησὶ δὲ Ἡρόδωρος, ὅτι παρῄνεσεν ὁ Χείρων τῷ Ἰάσονι, ὅπως τὸν Ὀρφέα σὺν τοῖς Ἀργοναύταις παραλάβῃ.

V. 36. *Ἀπιδανοῖο.* Ἀπιδανὸς καὶ Ἐνιπεὺς, ἀμφότεροι Θεσσαλίας ποταμοί. Τὸ δὲ Φυλλεῖον, ὄρος Μακεδονίας. Ἡ δὲ Πιρεσία, χώρα, ἢ πόλις· ἧς ἐγγὺς ἦν τὸ Φυλλεῖον.

V. 40. *Λάρισσαν δ' ἐπὶ τοῖσι.* Λάρισσαν τὴν Θεσσαλικὴν λέγει, ἣν ἔκτισεν Ἀκρίσιος· ἥτις ὠνομάσθη ἀπὸ Λαρίσσης τῆς Πελασγοῦ, ὥς φησιν Ἑλλάνικος. Εἰσὶ δὲ Λάρισσαι τρεῖς· ἀρχαιοτάτη μὲν, ἡ Ἀργειῶτις ἐστὶν αὐτὴ ἡ ἀκρόπολις· δευτέρα δὲ, ἡ ἐν τῷ Πελασγικῷ τῆς Θεσσαλίας, ἣν Ὅμηρος Ἄργισσον φησὶ, πλησίον τῆς Γυρτώνης, ἧς νῦν ὁ Ἀπολλώνιος μέμνη-

ται. Ἔστι δὲ καὶ περὶ Τροίαν, ἧς Ὅμηρος μνημονεύει, Φῦλα Πελασγῶν.

Τὸν δὲ Πολύφημον, Ἐλάτου παῖδα εἶπεν Ἀπολλώνιος· Ἰσοκράτης δὲ καὶ Εὐφορίων, Ποσειδῶνος.

V. 41. Οἱ δὲ Λαπίθαι ἀπὸ Λαπίθου τοῦ Ἀπόλλωνος καὶ Στίλβης νύμφης ὠνομάσθησαν.

V. 45. Οὐδὲ μὲν Ἴφικλος. Ἴφικλος υἱὸς ἦν Φυλάκου καὶ Κλυμένης τῆς Μινύου. Τοῦτον Ἡσίοδος ἐπὶ πυρίνων ἀθέρων τρέχειν φησὶ, Δημάρατος δὲ ἐπὶ τῆς θαλάσσης. Ἐπισημαίνεσθαι δ' ἄξιον, ὡς οὔτε Ἡσίοδος οὔτε Φερεκύδης φησὶ συμπεπλευκέναι τοῖς Ἀργοναύταις Ἴφικλον.

Τὸ δὲ Οὐ δηρὸν, ἀντὶ τοῦ τάχιστα, ὁ τρόπος ἀντίφρασις.

V. 46. sq. Ἰστέον δὲ ὅτι Φερεκύδης μὲν συμφωνεῖ Ἀπολλωνίῳ, λέγοντι Ἀλκιμέδην μητέρα εἶναι Ἰάσονος, τὴν Φυλάκου θυγατέρα· Ἡρόδωρος δὲ Πολυφήμην φησὶν εἶναι τὴν Ἰάσονος μητέρα, θυγατέρα δὲ Αὐτολύκου. Ἄνδρων δὲ ἐν τῇ ἐπιτομῇ τῶν συγγενειῶν, Θεογνήτην τὴν Λαοδίκου μητέρα Ἰάσονος γεγονέναι φησίν.

Κασιγνήτην γὰρ ὄπυιεν. Διὰ τοῦ παρεπομένου τὸ προηγούμενον δηλοῖ, τὸ ἐγεγαμήκει. ἤτοι ἀπὸ τῶν ὠπῶν ἐσχηματισμένης τῆς λέξεως, ὅ ἐστιν ὀφθαλμῶν· ὁ ὄπτων καὶ ἐπιτηρῶν· ἢ ἀπὸ τῆς ὀπὸς τῆς φωνῆς, διὰ τὰς τῶν ἀνδρῶν πρὸς τὰς γυναῖκας ὁμιλίας· ἀφ' οὗ καὶ ὄαροι αἱ γυναῖκες.

V. 49. Οὐδὲ Φεραῖς Ἄδμητος. Αἱ Φεραὶ ὠνομάσθησαν ἀπὸ Φέρητος τοῦ Κρηθέως, τοῦ Ἀδμήτου πατρός.

Εὐῤῥήνεσσι δὲ, ἀντὶ τοῦ πολυπροβάτοις.

V. 50. *Τὸ δὲ Χαλκωδόνιον*, ὄρος ὑπεράνω Φερῶν.

V. 51. *Οὐδ' Ἀλόπῃ μίμνον*. Θεσσαλίας πόλις, ἢ Μαγνησίας.

Πολυλήϊοι δὲ, ἤτοι ἀπὸ τοῦ λήϊου, τοῦ σιτοφόρου πεδίου· ἢ ἀπὸ τῆς λείας· ὅπερ βέλτιον. Ἐπιφέρει γὰρ, *Δεδαῶτε δόλους*. Ἱστοροῦνται δὲ ἄϋπνοι καὶ δεινοὶ καὶ φερέπονοι.

V. 54. *Αἰθαλίδης*. Κύριον, πατρωνυμικοῦ τύπον ἔχον.

Ἀμφρύσοιο. Γράφεται καὶ διὰ τοῦ β, ὡς Διονύσιος. Ἔστι δὲ ποταμὸς Θεσσαλίας. Προπαροξύνεται δὲ, ὡς ἐν τῇ η̄ τῆς καθόλου.

V. 57. *Γυρτῶνα Κόρωνος*. Ἣν Ὅμηρος φησὶ Γυρτώνην. Ἔστι δὲ πόλις Θεσσαλίας, ἢ Περαιβίας. Ὠνομάσθη δὲ ἀπὸ Γυρτώνης τῆς Φλεγύου. Ὁ δὲ Κόρωνος, υἱός ἐστι Καινέως. Μυθολογοῦσι δὲ τὸν Καινέα πρότερον γεγονέναι γυναῖκα, εἶτα Ποσειδῶνος αὐτῇ πλησιάσαντος, μεταβληθῆναι εἰς ἄνδρα. Τοῦτο γὰρ ᾔτησε καὶ ἀτρωσίαν. Ἤρισε δὲ καὶ Ἀπόλλωνι, καὶ ἐνικήθη. Οὗτος ἐκέλευε τοὺς παριόντας ὀμνύναι τὸ δόρυ αὐτοῦ. Ἔνθεν ἡ παροιμία, τὸ Καινέως δόρυ. Τινὲς δέ φασι, Καινέα συμπλεῦσαι τοῖς Ἀργοναύταις, οὐ Κόρωνον. Ὁ δὲ Ἀπολλώνιος παρὰ Πινδάρου εἴληφε, λέγοντος, Ὁ δὲ χλωρῆς ἐλάτῃσι τυπεὶς ᾤχετο Καινεὺς, σχίσας ὀρθῷ ποδὶ γᾶν. Τοῦτο δὲ αὐτῷ συνέβη διὰ τὸ μήτε θύειν τοῖς θεοῖς, μήτε εὔχεσθαι, ἀλλὰ τῷ ἑαυτοῦ δόρατι. Διὸ Ζεὺς ἐφορμᾷ αὐτῷ τοὺς Κενταύρους, οἵτινες κατὰ γῆν αὐτὸν ὠθοῦσιν.

V. 65. *Μόψος Τιταρήσιος.* Ἀμπύκου υἱὸς ὁ Μόψος, τοῦ Τιτάρωνος, μητρὸς δὲ Χλωρίδος.

V. 67. sq. *Ἄγχι δὲ λίμνης Ξυνιάδος.* Ξυνιὰς λίμνη τῆς Θεσσαλίας. Τινὲς δὲ πόλιν παρακειμένην τῇ Βοιβηΐδι λίμνῃ. Ἀπὸ δὲ τῆς πόλεως εἴρηκε Ξυνιάδα, ἐπειδὴ πλησίον αὐτῆς ἐστὶν ἡ πόλις. Οἱ δέ φασι Ξυνιάδα εἰρῆσθαι διὰ τὸ ξυνὸν εἶναι τὸ κοινόν· ταύτην δὲ, κοινὴν εἶναι Θεσσαλίας καὶ Βοιωτίας.

Κτιμένην Δολοπηΐδα. Κτιμένη πόλις τῆς Θεσσαλίας. Δολοπηΐδα δὲ τὴν Θεσσαλίαν εἶπε. Δόλοπες γὰρ ἔθνος Θεσσαλίας. Ὅμηρος·

Ναῖον δ' ἐσχατιὴν Φθίης, Δολόπεσσιν ἀνάσσων.

V. 69. *Ἐξ Ὀπόεντος.* Ὀποῦς πόλις τῆς Λοκρίδος, ἀπὸ Ὀπόεντος τοῦ Ἠλείου. Ὅμηρος·

Οἳ Κῦνον τ' ἐνέμοντ' Ὀπόεντά τε Καλλίαρόν τε.

Μενοιτίου δὲ καὶ Σθενέλης Πάτροκλος.

V. 71. *Καὶ ἀλκήεις Ἐριβώτης.* Ἰσχυρός. Παραγώγως δὲ ἐσχημάτισται παρὰ τὴν ἀλκὴν, ὡς φωνήεις παρὰ τὴν φωνήν. Ἡρόδωρος ἐν τοῖς Ἀργοναυτικοῖς τοῦτον Εὐρυβάτην καλεῖ, καί φησιν αὐτὸν Τελέοντος υἱόν, Ἄκτορος δὲ υἱοὶ, Μενοίτιος καὶ Ἶρος. Τούτων δὲ υἱοὶ, Μενοιτίου μὲν, Πάτροκλος, Ἴρου δὲ, Εὐρυτίων.

V. 75. *Καὶ ἐπαΐξαι.* Ἀντὶ τοῦ ἐπιδιῶξαι. Περιττὸν μὲν τὸ *μετόπισθεν.* Λείπει δὲ ὁ καί· ἵν' ᾖ, καὶ ὅτε κλίνωσι φάλαγγας, εἰς φυγὴν τρέψειαν.

V. 77. *Κάνθος κίε.* Τὸν Κάνθον καὶ ὁ Κλέων καταλέγει. Ἔστι δὲ Κανήθου υἱὸς, ἀφ' οὗ ὄρος ἐν Βοιωτίᾳ. Ὁ δὲ ἦν Ἄβαντος παῖς, ἀφ' οὗ οἱ Εὔβοεῖς Ἄβαντες.

V. 81. *Δηωθῆναι.* Κοινότερον νῦν δηωθῆναι τὸ φθαρῆναι. Ἑξῆς δὲ ὁ ποιητὴς, ὡς δυσφορῶν ἐπὶ τῇ

ἀπωλείᾳ τῶν ἡρώων, ἐπιφωνεῖ, Ὡς οὐκ ἀνθρώποισι κακ.

V. 82. Ὡς οὐκ ἀνθρώποισιν. Ὁ δὲ νοῦς, Οὐδέν ἐστι μέγιστον κακὸν οὗ ἄνθρωπος ἀποτυγχάνει. Ἔδει οὖν διὰ τοῦ α, ἀπαυρεῖν. Ἢ ὅτι οὐδὲν κακὸν μέγιστον ὃ μὴ ἀνθρώποις εὐχερὲς ἐπαυρεῖν, ὅ ἐστιν ἐπιτυχεῖν.

V. 85. Δύσιές τε καὶ ἀντολαί. Τοσοῦτον φησὶ κεχωρισμένους τῆς τῶν Κόλχων χώρας, ὅσον τῶν ἀνατολῶν αἱ δύσιες ἀφεστήκασιν. Ἐπεὶ ἡ μὲν Λιβύη πρὸς δύσιν, ἡ δὲ Κολχὶς πρὸς ἀνατολήν.

V. 87. Οἰχαλίης ἐπίουροι. Οἱ τῆς Ἀντιόπης παῖδες. Οἰχαλίαν δὲ οἱ μὲν νεώτεροι ἐν Εὐβοίᾳ φασὶν εἶναι, Ὅμηρος δὲ ἐν τῷ Πελασγικῷ Ἄργει καταλέγει·

Οἵ τ' ἔχον Οἰχαλίην, πόλιν Εὐρύτου Οἰχαλιῆος.

Οἱ δὲ ὁμώνυμον φασίν.

V. 90. Τὸ δὲ, Οὐ μὲν, ἀντὶ τοῦ οὐ μήν.

V. 91. Οὐδ' ὁμόθεν. Οὐδ' ἐκ τοῦ αὐτοῦ τόπου. Διῳκίσθησαν γὰρ διὰ τὸν Φώκου φόνον· καὶ ὁ μὲν ἐν Σαλαμῖνι κατῴκησεν, ἣν ἔφη νῆσον Ἀτθίδα· ὁ δὲ ἐν Φθίᾳ, ὁ Πηλεύς.

V. 95. Τοῖς δ' ἔπι Κεκροπίηθεν. Ἀντὶ τοῦ, σὺν τούτοις ἀπὸ τῆς Ἀττικῆς. Κεκροπία γὰρ λέγεται ἡ Ἀττικὴ, ἀπὸ Κέκροπος τοῦ βασιλεύσαντος.

V. 96. Ἕτερος δέ ἐστιν ὁ Τελέων οὗτος, ὁ Βούτου πατὴρ, παρὰ τὸν πρότερον εἰρημένον τοῦ Ἐριβώτου πατέρα.

Ἐϋμελίης δὲ, ὁ πολεμικὸς, ἀπὸ τῆς μελίας.

V. 97. Ἄλκων. Ἄλκωνα τὸν Φαλήρου πατέρα Πρόξενός φησιν υἱὸν Ἐρεχθέως. Φυγεῖν δὲ αὐτὸν λέγει ἀπὸ τῆς Ἀττικῆς μετὰ τῆς θυγατρὸς Χαλκιόπης εἰς Εὔ-

βοιαν· ἐξαιτοῦντος δὲ τοῦ πατρὸς οὐκ ἐκδοῦναι τοὺς Χαλκιδέας.

V. 99. Τὸ δὲ Τηλύγετον, ἐνταῦθα οὐ τὸν μονογενῆ (πρόσκειται γὰρ, καὶ μοῦνον ἐόντα) ἀλλὰ καταγηράσαντι αὐτῷ γενόμενον. Οἱ γὰρ τοιοῦτοι τῶν παίδων εἰσὶ προσφιλεῖς.

V. 101. Θησέα δ' ὅς πέρι πάντας. Θησεὺς καὶ Πειρίθους, ὁ μὲν, ἐκ Διὸς, ὁ δὲ, ἐκ Ποσειδῶνος· οἷς ἐφαμίλλους ἐποιοῦντο τὰς πράξεις. Καὶ ὁ μὲν Θησεὺς τῆς Ἑλένης ἐρασθεὶς, ἔσχεν συμπράττοντα αὐτῷ τὸν Πειρίθουν· ὁ δὲ Πειρίθους τὴν Περσεφόνην ἁρπάσαι βουληθεὶς, ἀναγκαίως εἶχε τὸν Θησέα ἑπόμενον. Καὶ δὴ διὰ Ταινάρου εἰς ᾅδου κατελθόντες, καὶ ἐπί τινος πέτρας καθεσθέντες, αὖθις ἀναστῆναι οὐ δεδύνηνται. Ἡρακλῆς δὲ ὕστερον κατελθὼν ἐπὶ τὸν Κέρβερον, τὸν μὲν Θησέα ἀπέσωσεν, ὡς μὴ ἑκοντὶ κατελθόντα· τὸν δὲ Πειρίθουν εἴασεν, ἐπειδὴ προαιρέσει ἰδίᾳ κατῆλθεν. Ἐπεστράτευσαν δὲ κατὰ τῆς Τροιζῆνος οἱ Διόσκουροι διὰ τὴν ἀδελφὴν, Θησέως ὄντος ἐν ᾅδου· καὶ πορθήσαντες, ἔλαβον αἰχμάλωτον Αἴθραν τὴν Θησέως μητέρα.

V. 102. Ταιναρίην. Φερεκύδης ἐν τῇ θ φησὶν, ὅτι Ἔλατος ὁ Ἰκάρου γαμεῖ Ἐριμήδαν τὴν Δαμασίκλου. Τούτου δὲ γίνεται Ταίναρος· ἀφ' οὗ Ταίναρον καλεῖται ἡ πόλις, καὶ ἡ ἄκρα, καὶ ὁ λιμήν.

V. 103. Κεινὴν ὁδόν. Γράφεται καὶ κείνην. Κεινὴν μὲν, ἤγουν κενὴν καὶ ματαίαν· κείνην δὲ, ἀναφορικῶς.

Τὴν δὲ ἀνδρίαν ἑκατέρου τῶν ἡρώων διασαφῶν ὁ Ἀπολλώνιος, φησὶν, ὅτι εἴπερ συνέπλευσαν ἀμφότεροι τοῖς Ἀργοναύταις, ἔπαυσαν ἂν αὐτοὺς μεγάλων μόχθων. Τίθησι δὲ καὶ τὴν αἰτίαν τοῦ μὴ συμπλεῦσαι αὐτούς.

V. 106. *Προδαῆναι.* Προμαθεῖν. Ἀρίστου γὰρ αὕτη τέχνη κυβερνήτου. Ὁ δὲ λόγος, Ἀγαθὸς μὲν καὶ ἡμέρας τῷ ἡλίῳ, νυκτὸς δὲ πρός τινα τῶν ἀστέρων τὸν καιρὸν τοῦ πλοῦ τεκμήρασθαι.

V. 109. *Τριτωνίς.* Τρίτωνες τρεῖς, Βοιωτίας, Θεσσαλίας, Λιβύης· ἐν δὲ τῷ κατὰ Λιβύην ἐτέχθη ἡ Ἀθηνᾶ.

V. 115. *Ἀραιθυρέηθεν ἵκανεν.* Πόλις Πελοποννήσου ἡ Ἀραιθυρέα, ἐν ὁρίοις τῆς Σικυῶνος κειμένη· ἡ νῦν ὀνομαζομένη Φλιοῦσα, ἀπὸ Φλιοῦντος τοῦ Διονύσου καὶ Χθονοφύλης. Καὶ αὐτὸς δὲ Διόνυσος Φλυοῦς ὠνομάζετο, ἀπὸ τοῦ φλύειν τὸν οἶνον, ὅ ἐστιν εὐθηνεῖν.

V. 117. *Ἀσωποῖο.* Ἀσωπὸς ποταμὸς Θηβῶν, ἔχων τὰς πηγὰς ἐν Ἀραιθυρέᾳ. Ἐκεραυνώθη δὲ ὑπὸ Διὸς διώκων αὐτὸν, διὰ τὸ ἡρπακέναι τὴν θυγατέρα αὐτοῦ Αἴγιναν, ὡς καὶ Καλλίμαχος φησίν.

V. 118. *Ἀργόθεν αὖ Ταλαός.* Ἀμυθάονος, τοῦ Κρηθέως, τοῦ Αἰόλου, τοῦ Ἕλληνος, τοῦ Διὸς καὶ Δορίππης, γίνεται Μελάμπους, ὥς φησι Δηριχίδας. Κληθῆναι δὲ αὐτὸν οὕτως διὰ τὸ τεκοῦσαν τὴν μητέρα ἐκθεῖναι αὐτὸν εἰς σύνδενδρον τόπον· τοὺς δὲ πόδας μελανθῆναι τῷ ἡλίῳ, ἀσκίους ὄντας. Ἐν δὲ ταῖς καλουμέναις μεγάλαις Ἠοίαις λέγεται, ὡς ἄρα Μελάμπους ἀποδημῶν κατέλυσε παρὰ Πολυφάτῃ· θύοντος δ' ἐκείνου δράκων ἀνερπίσας κατέφαγε τὸν θεράποντα. Ἀναιρεθεὶς δὲ ἐτάφη ὑπὸ Μελάμποδος. Τὰ δὲ ἔκγονα αὐτοῦ ἐκτραφέντα, καὶ περιλείχοντα τὰ ὦτα τοῦ Μελάμποδος, ἐνέπνευσαν αὐτῷ τὴν μαντικήν. Φωραθέντα δ' ἐπὶ κλωπείᾳ τῶν βοῶν Ἰφίκλου τοῦ Φυλάκου, καὶ συλληφθέντα ὑπ' αὐτοῦ τὸν Μελάμπουν. ἐπειδὴ γὰρ τὸ στέγος ἔμελλεν ὅσον οὔπω πεσεῖσθαι τῆς οἰκίας, κατα-

νενοηκότα ὑπὸ μαντικῆς, ἐν δεσμωτηρίῳ κατεχόμενον, εἰπεῖν τῇ θεραπαίνῃ. Ὁ δὲ Ἴφικλος, μαθὼν τὸ πρόῤῥημα, αὐτός τε ἀπαλλάττεται τοῦ δεινοῦ, καὶ Μελάμποδα αἰδεσθεὶς ἀπέλυσεν, ἐπιδοὺς αὐτῷ καὶ τὰς βοῦς, ἃς ἀφίκετο κλέψαι.

V. 122. Οὐδὲ βίην. Ὁ ἑξῆς λόγος οὕτως· ἐπειδὴ ἤκουσε πλεῖν τοὺς Ἀργοναύτας ὁ Ἡρακλῆς, νεωστὶ διεληλυθὼς τὸ Ἄργος, καθ' ἣν ὁδὸν ἐκόμιζε τὸν κάπρον ζῶντα ἐκ τοῦ Ἐρυμάνθου ὄρους, ὅπου κατὰ τὰς βήσσας ἐνέμετο Λαμπείας τε καὶ Ἐρυμάνθου, ἦλθεν ὡς Ἰάσονα. Λάμπεια, ὄρος Ἀρκαδίας, ἀφ' οὗ καὶ ποταμὸς ῥεῖ Ἐρύμανθος.

V. 125. Νεῖον ἀπ' Ἀρκαδίης. Προπερισπωμένως ἀντὶ τοῦ νεωστί· ὀξυτόνως δὲ, τὴν γῆν.

Λυγκήϊον. Ἀπὸ Λυγκέως τοῦ βασιλεύσαντος Ἄργους. Ἐὰν δὲ Λυρκήϊον, ἀπὸ ὄρους Ἀργείου ἀκουστέον, ἀφ' οὗ ὁ Ἴναχος καταφέρεται ποταμός.

V. 127. Τῖφος. Τίφος ὁ κάθυγρος τόπος.

V. 128. sq. Περὶ δὲ τοῦ κάπρου καὶ Ἡρόδωρος φησὶν, ὅτι ἐπὶ τὰς πύλας τῶν Μυκηνῶν κομίσας αὐτὸν ἀπέθετο.

Ἰλλόμενον δὲ, δεδεμένον.

Διὰ δὲ τοῦ ἀπεθήκατο τοῦ βαστάζοντος ἐπιδείκνυται ἡ δύναμις, ὅτι εὐχερῶς.

V. 131. Ὕλας. Ἡρακλέους ἐρώμενος, υἱὸς Θεοδάμαντος τοῦ Δρύοπος. Οὕτω Μνασέας. Ἑλλάνικος δὲ Θειομένητα Θειοδάμαντος καλεῖ.

V. 132. Φύλακος. Ἰωνικῶς ὁ φύλακος ἀπὸ τοῦ φύλαξ, ὥσπερ καὶ τὸ μάρτυρος. Ὀξυτονητέον τὴν πρώτην. Ἡρωδιανὸς δὲ τὴν τελευταίαν ὀξύνει.

Φορεὺς δὲ, ὁ φέρων.

V. 134. *Ναύπλιος.* Ἀπόγονος τοῦ Ἀρχαίου, τοῦ Ποσειδῶνος υἱοῦ καὶ Ἀμυμώνης τῆς Δαναοῦ.

V. 136. *Προίτου* δὲ λέγει, τοῦ Βελλεροφόντου ἐχθροῦ.

V. 139. *Ἴδμων δ' ὑστάτιος.* Χαμαιλέων φησὶ, τὸν Θέστορα Ἴδμονα παρὰ τοῖς ἀρχαίοις καλεῖσθαι διὰ ἐμπειρίαν. Ἄλλοι φασὶ καὶ Θέστορα συμπλεῦσαι τοῖς Ἀργοναύταις· Δηΐοχος δὲ καὶ Ἀμφιάραον. Ὁ δὲ Ἴδμων, ὡς ἱστορεῖ Φερεκύδης, παῖς ἦν Ἀστερίας τῆς Κορώνου καὶ Ἀπόλλωνος· οὗ, καὶ Λαοθόης, Θέστωρ· τοῦ δὲ Κάλχας. Ἀναιρεῖται δὲ Ἴδμων ἐν Μαριανδυνίᾳ ὑπὸ κάπρου. Οὗτος δὲ Ἄβαντος φησὶ νομισθῆναι τὸν Ἴδμονα. Συμματυρεῖ δὲ αὐτῷ καὶ Ἡρόδωρος.

V. 143. *Αἰολίδῃσιν.* Αἰόλου γὰρ τοῦ Ἕλληνος Κρηθεὺς καὶ Ἀθάμας. Κρηθέως δὲ Αἴσων. Αἴσονος δὲ ὁ Ἰάσων. Ἄβας δὲ Μελάμποδος ἦν τοῦ Ἀμυθάονος, τοῦ Κρηθέως, τοῦ Αἰόλου.

V. 146. *Αἰτωλίς.* Εἰκότως Αἰτωλὶς ἡ Λήδα, ἐπεὶ Αἰτωλὸς ὁ Θέσπιος. Καὶ εἴρηκεν ἀπὸ τῆς χώρας, ὡς εἴτις τὸν Συρακούσιον, Σικελόν. Ὁ δὲ Ἴβυκος Πλευρωνίαν φησὶν, Ἑλλάνικος δὲ Καλυδωνίαν. Ἦν δὲ Θεσπίου θυγάτηρ τοῦ βασιλέως τῆς Αἰτωλίας, Ἄρεως υἱοῦ καὶ Ἀνδροδίκης. Γλαύκου δὲ αὐτὴν τοῦ Σισύφου, ἐκ πατρὸς, ἐν Κορινθιακοῖς λέγει Εὔμηλος καὶ Παντειδυίας μητρὸς, ἱστορῶν ὅτι τῶν ἵππων ἀπολομένων, ἦλθεν εἰς Λακεδαίμονα ὁ Γλαῦκος, καὶ ἐκεῖ ἐμίγη Παντειδυίᾳ, ἣν ὕστερον γήμασθαι Θεσπίῳ. Τὴν δὲ Λήδαν, οὖσαν Γλαύκου, κληθῆναι Θεσπίου. Αἰτωλὶς δὲ, ἤτοι διὰ τὴν χώραν, ἢ ἀπὸ Αἰτωλοῦ τοῦ ἥρωος. Φερεκύδης δ' ἐν τῇ β, ἐκ Λαοφόντης τῆς Πλευρῶνος Λήδαν καὶ Ἀλθαίαν Θεσπίῳ γενέσθαι φησίν. Ὅτι δὲ Γλαύκου ἐστὶ

θυγάτηρ καὶ Ἀλθαίας, αἰνίττεται, λέγων, Τοὺς τίκε θυγάτηρ Γλαύκῳ μάκαιρα. Φασὶ τὸν μὲν Πολυδεύκη, Διός· τὸν δὲ Κάστορα, Τυνδάρεω.

V. 149. *Τηλυγέτους* δὲ νῦν ἀντὶ τοῦ ἀγαπητούς. Ὅμηρος δὲ τοὺς ἐν γήρᾳ γενομένους.

V. 151. sq. *Ἀρήνηθεν ἔβαν οἱ Ἀφαρητιάδαι.* Φερεκύδης τὴν μητέρα τῶν περὶ Ἴδαν, Ἀρήνην φησὶν, ἀφ᾽ ἧς ἡ πόλις· Πείσανδρος, Πολυδώραν· Θεόκριτος, Λαοκόωσαν. Οὗτοι δὲ συνήκμαζον τοῖς Διοσκούροις.

Ἀρήνη δὲ, πόλις Πελοποννήσου, πλησίον Πύλου. Καὶ Ὅμηρος·

Οἳ δὲ Πύλον τ᾽ ἐνέμοντο καὶ Ἀρήνην ἐρατεινήν.

Πύλος δὲ αὕτη ἡ Νέστορος, ἣ καὶ ἀμμώδης.

V. 156. *Σὺν δὲ Περικλύμενος.* Νηλεὺς ἔσχε παῖδας, ἐκ μὲν Χλωρίδος, Νέστορα, Περικλύμενον, Χρόμιον· ἐκ δὲ διαφόρων γυναικῶν, Ταῦρον, Ἀστέριον, Λυκάωνα, Δηΐμαχον, Εὐρύβιον, Ἐπιλέοντα, Φράσιν, Ἀντιμένη. Ὡς δὲ Ἀσκληπιάδης φησὶ, καὶ Ἀλάστορα. Καὶ ὁ ποιητής·

Δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν.

Ὅτι Νηλέως παῖς Περικλύμενος, δῆλον. Φησὶ γὰρ ὁ ποιητής·

Νέστορά τε, Χρόμιόν τε, Περικλύμενόν τ᾽ ἀγέρωχον.

Τοῦτον δὲ ὡς ἔγγονον αὐτοῦ ὁ Ποσειδῶν (Νηλεὺς γὰρ Ποσειδῶνος) ἄλλοις τε ἐκόσμησε, καὶ ἐχαρίσατο αὐτῷ εἰς πάντα μεταβάλλεσθαι. Ὡς καὶ ὁ Εὐφορίων·

Ὅς ῥά τε πᾶσιν ἔϊκτο, θαλάσσιος ἠΰτε Πρωτεύς.

Ἀναιρεῖ δὲ αὐτὸν Ἡρακλῆς εἰς μυῖαν μεταβληθέντα ἐν τῷ πρὸς Πυλίους πολέμῳ, κατὰ συμβουλὴν Ἀθηνᾶς τῷ ῥοπάλῳ πλήξας ἐμπαγέντα, ὥσπερ μέλισσαν τῷ κέντρῳ.

Ἡσίοδος δὲ μεταβληθέντα εἴς τινα τῶν συνήθων μορφῶν ἐπικαθεσθῆναι τῷ ὀμφαλῷ τοῦ ζυγοῦ τῶν Ἡρακλέους ἵππων, βουλόμενον εἰς μάχην καταστῆναι τῷ ἥρωϊ. Τὸν δὲ Ἡρακλέα καιρίως αὐτὸν κατατοξεῦσαι, τῆς Ἀθηνᾶς ὑποδειξάσης. Φησὶ δὲ οὕτως·

— Περικλύμενόν τ' ἀγέρωχον,
ὄλβιον, ᾧ πόρε δῶρα Ποσειδάων ἐνοσίχθων
παντοῖ'. ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσι φάνεσκεν
αἰετὸς, ἄλλοτε δ' αὖτε πελέσκετο, θαῦμα ἰδέσθαι,
μύρμηξ, ἄλλοτε δ' αὖτε μελισσέων ἀγλαὰ φῦλα,
ἄλλοτε δεινὸς ὄφις καὶ ἀμείλιχος. εἶχε δὲ δῶρα
παντοῖ', οὐκ ὀνομαστὰ, τά μιν καὶ ἔπειτα δόλωσεν
βουλῇ Ἀθηναίης.

V. 162. Οἳ Τεγέην. Τεγέα πόλις Ἀρκαδίας.

Κλῆρον δὲ, τὴν βασιλείαν τοῦ Ἀφείδαντος. Ὁ γὰρ Ἀλεὸς ἱστορεῖται Ἀφείδαντος υἱὸς εἶναι τοῦ Ἀρκάδος. Ἀφείδας δὲ ὁ Ἀρκάδος ἀρχαῖος ἥρως ἐβασίλευσε Τεγέας· ἀφ' οὗ καὶ ἡ χώρα Ἀρκαδία.

Δύο δέ εἰσι Κηφεῖς· ὁ μὲν, Ἀλεοῦ, οὗ μνημονεύει Ἀπολλώνιος· ὁ δὲ ἕτερος, οὗ μνημονεύει Ἑλλάνικος ἐν τῷ περὶ Ἀρκαδίας.

V. 164. Ἀγκαῖος. Λυκούργου καὶ Ἀντινόης Ἀγκαῖος καὶ Ἐπίοχος. Τιμᾶται δὲ παρ' Ἀρκάσιν, ὥς φησιν Ἀριστομένης. Μνημονεύει καὶ Ὅμηρος τούτου τοῦ Λυκούργου·

— τὸν Λυκόοργος ὑποφθὰς
δουρὶ μέσον περόνησε.

Καὶ ἄγεται μωλεία ἑορτὴ παρ' Ἀρκάσιν, ἐπειδὴ Λυκοῦργος λοχήσας κατὰ τὴν μάχην εἷλεν Ἐρευθαλίωνα. Μῶλος δὲ ἡ μάχη.

V. 168. Βῆ δ' ὅγε Μαιναλίης. Μαίναλον, ὄρος Ἀρκαδίας καὶ πόλις, ἀπὸ Μαινάλου τοῦ Ἀρκάδος, οὗ πατὴρ Λυκάων.

V. 170. Καλιῇ δὲ, ἀντὶ τοῦ οἰκίᾳ. Κυρίως δὲ ἡ ἐκ κάλων κατεσκευασμένη. Κάλα δὲ τὰ ξύλα. Ξυλίναις γὰρ ἐχρῶντο τὸ παλαιὸν οἰκίαις, λίθων μηδέπω ἐπινοηθέντων.

V. 172. Βῆ δὲ καὶ Αὐγείης. Οὗτος λόγῳ μὲν ἦν Ἡλίου, τῇ δὲ ἀληθείᾳ Φόρβαντος, ἐκ τῆς Νηλέως Ὑρμίνης. Οἱ δέ φασιν ἀπὸ τῆς Νυκτέως. Οἱ δὲ αὐτὴν Ἐπόχου θυγατέρα φασίν. Ἐδόκουν δὲ ἀκτῖνες ἀπολάμπειν αὐτοῦ τῶν ὀφθαλμῶν. Τούτου τῶν βοσκημάτων ὁ Ἡρακλῆς τὴν κόπρον ἐκάθηρεν.

V. 176. Ἀστέριος δέ. Ἀστέριον τὸν Ἀστερίωνα λέγει, ἀπὸ Ὑπερασίου βασιλέως τῆς Ἀχαΐας. Καὶ πόλις Ὑπερασία. Ὅμηρος·

Οἵ θ' Ὑπερασίην.

V. 177. Πελλήνης. Ἡ Ἀχαϊκὴ Πελλήνη διὰ τοῦ ε· ἡ δὲ ἑτέρα, ἡ τῆς Ἀρκαδίας, διὰ τοῦ α γράφεται Παλλήνη. Ἀχαΐς δὲ, μέρος τῆς Θεσσαλίας, ἧς ἡ Πελλήνη.

V. 179. Ταίναρον. Ἀκρωτήριον τῆς Λακωνικῆς, ἀπὸ Ταινάρου τοῦ Ποσειδῶνος.

V. 181. Εὐρώπη Τιτυοῖο. Τοῦ Ἐλάρης παιδός. Οὗτος δὲ ἐν ᾅδου τετιμώρηται, διὰ τὸ ἐν Πυθῶνι στελλομένην κατασχεῖν τὴν Λητώ. Ὡς καὶ Ὅμηρος· Τιτυὸν Γαίης υἱόν. Ὁ δὲ Εὐφορίων Ἀρτέμιδος φησὶν αὐτὸν ἧφθαι, καὶ διὰ τοῦτο τιμωρεῖσθαι.

V. 184. Διερῇ. Διερὴ κυρίως ἡ ἐκ Διὸς γινομένη κάθυγρος γῆ. Ἐξ οὗ καὶ διαινω τὸ βρέχω. Εἴληπται παρὰ τὸ Ὁμηρικόν·

Αἱ δ' ὅτε δὴ σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν, καὶ τὰ ἑξῆς.

V. 185. *Καὶ δ' ἄλλω δύο παῖδε.* Ὁ μὲν Ἀγκαῖος, υἱὸς, (Ἀστυπαλαίας γὰρ ἦν τῆς Φοίνικος καὶ Ποσειδῶνος) Ἐργῖνος δὲ, ἀπόγονος. Κλυμένου γὰρ ἦν τοῦ Πρέσβωνος, καὶ Βουζίγης τῆς Λύκου.

V. 186. *Ὁ δὲ Μίλητος,* ἀφ' οὗ καὶ ἡ πόλις Μίλητος, Εὐξαντίου τοῦ Μίκωνος ἦν. Οἱ δέ φασιν αὐτὸν Ἀπόλλωνος καὶ Ἀρείας τῆς Κλεόχου. Ἐκλήθη δὲ Μίλητος, ὅτι ἐκρύβη ὑπὸ τῆς μητρὸς ἐν μίλακι. Οἱ δέ φασιν ὑπὸ Σαρπηδόνος τοῦ Διὸς Μίλητον κτισθῆναι, ὀνομασθεῖσαν ἀπὸ τῆς ἐν Κρήτῃ. Ὀνομασθῆναι δὲ αὐτὴν πρῶτον λέγουσι Πιτυοῦσσαν, οἱ δὲ Ἀστερίαν, εἶτα Ἀνακτόριον, εἶτα Μίλητον. Καὶ Ἀριστόκριτος φησὶν, ὅτι Ἀρεία θυγάτηρ ἐγένετο Κλεόχου, ἧς καὶ Ἀπόλλωνος γενέσθαι βρέφος, καὶ τοῦτο ἐκτεθῆναι εἰς μίλακα. Τὸν δὲ Κλέοχον ἀνελέσθαι, καὶ ὀνομάσαι ἀπὸ τῆς μίλακος Μίλητον. Τοῦτον δὲ ἀνδρωθέντα, καὶ φθονούμενον ὑπὸ τοῦ Μίνωος, ἀναχωρῆσαι εἰς τὴν Σάμον· ἀφ' οὗ καὶ τόπος ἐστὶ Μίλητος· καὶ ἀπὸ τῆς Σάμου μεταβὰς εἰς τὴν Καρίαν, ἔκτισε πόλιν, Μίλητον ἀφ' ἑαυτοῦ καλέσας.

V. 187. *Ὁ δ' Ἰμβρασίης.* Τὴν Σάμον φησίν. Ἴμβρασος γὰρ ποταμὸς Σάμου, ὃς μετεκλήθη Παρθένιος, διὰ τὸ ἐκεῖ παρθένον οὖσαν τετράφθαι τὴν Ἥραν. Καὶ Καλλίμαχος μέμνηται. Ὁ δὲ Ταῤῥαῖος οὕτως, Παρθενία δὲ ἡ Σάμος ἀπὸ Παρθενίας τῆς Σάμου γυναικὸς ὠνομάσθη.

V. 188. *Παρθενίης Ἀγκαῖος.* Ἀριστοτέλης φησὶ περὶ Ἀγκαίου, ὅτι φιλογέωργος ὢν, καὶ φυτεύων ἀμπελῶνα, βαρὺς ἐπέκειτο τοῖς οἰκέταις. Εἷς δὲ τῶν οἰκε-

τῶν ἔφη μὴ μεταλήψεσθαι τὸν δεσπότην τοῦ καρποῦ. Ὁ δὲ Ἀγκαῖος, ἐπειδὴ ὁ καρπὸς ἐφθάκει, χαίρων ἐτρύγα, καὶ τὸν οἰκέτην ἐκέλευσε κεράσαι αὐτῷ. Μέλλων δὲ τὴν κύλικα προσφέρειν τῷ στόματι, ὑπεμίμνησκεν αὐτὸν τοῦ λόγου. Ὁ δὲ ἔφη, Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. Τούτων ἔτι λεγομένων, ἧκέ τις ἀγγέλλων, ὡς ὑπερμεγέθης σῦς λυμαίνεται τὸν ὄρχατον. Ὁ δὲ Ἀγκαῖος, ἀποβαλὼν τὴν πόσιν, ἐπὶ τὸν σῦν ὥρμησε· καὶ πληγεὶς ὑπ' αὐτοῦ ἐτελεύτησεν. Ὅθεν ἡ παροιμία ἐπὶ τῶν παρὰ προσδοκίαν τὶ πραττόντων. Καὶ Φερεκύδης ἐν τῇ η̄ φησὶ τὸν Ἀγκαῖον ὑπὸ τοῦ Καλυδωνίου συὸς πληγέντα τὸν μηρὸν ἀποθανεῖν.

V. 193. Ἀλλά ἑ θῆσσα. Θῆσσα ἡ δούλη. Ἀθηναῖοι δὲ καὶ τὰς πενιχρὰς γυναῖκας θήσσας λέγουσιν· ἀπὸ τοῦ θητεύειν ἐπὶ μισθῷ, διὰ τὸ ἐνδεεῖς εἶναι τῶν ἐπιτηδείων. Καὶ ὥσπερ τῷ Κρὴς παράκειται τὸ Κρῆσσα, οὕτω καὶ τῷ θὴς, θῆσσα.

V. 201. Ἴφικλος. Ἀλθαία καὶ Ἴφικλος ἀδελφοὶ ἐκ Δηϊδαμείας τῆς Περιήρους.

V. 202. Ὠλενίοιο. Ὤλενοι τῆς Ἀχαΐας δύο. Ὅμηρος·

Οἳ Πλευρῶν' ἐνέμοντο καὶ Ὤλενον.

V. 204. Σιφλός. ἀντὶ τοῦ κεκακωμένος. Οἱ δὲ τὸν κακόποδα καὶ ἐπιμωμητὸν ἀπέδοσαν. Σίφλος δὲ ὁ μῶμος.

V. 207. Ἐκ δ' ἄρα Φωκήων. Οἱ Φωκεῖς ἐκλήθησαν ἀπὸ Φώκου τοῦ Αἰακοῦ.

Τὸν δὲ Ἴφιταν γενεαλογοῦσι Ναυβόλου καὶ Περινείκης τῆς Ἱππομάχου.

V. 209. Ἡ δὲ Πυθὼ, πόλις Φωκίδος, ἔνθα τὰ

μαντεῖον· ἀπὸ τοῦ πυνθάνεσθαι τῶν μαντείων οὕτω κληθεῖσα, ἢ ἀπὸ τοῦ ἐκεῖ σεσῆφθαι τὸν δράκοντα.

V. 211. Ζήτης αὖ Κάλαΐς τε. Τούτους ἐκ διαφόρων τόπων συμπλεῦσαι τοῖς Ἀργοναύταις φασίν. Οἱ μὲν γὰρ ἐκ Θρᾴκης, ὡς Ἀπολλώνιος· Ἡρόδωρος δὲ, ἐκ Δαυλίδος· Δοῦρις δὲ, ἐξ Ὑπερβορέων. Καταλέγει δὲ τούτους καὶ Ἀντίμαχος. Φανόδικος δὲ ἐν α Δηλιακῶν ἐξ Ὑπερβορέων αὐτοὺς ἐλθεῖν ἐπὶ τὸν πλοῦν.

V. 212. Τὴν δὲ Ὠρίθυιαν Σιμωνίδης ἀπὸ Βριλισσοῦ φησὶν ἁρπαγεῖσαν, ἐπὶ τὴν Σαρπηδονίαν πέτραν τῆς Θρᾴκης ἐνεχθῆναι. Ἔστι γὰρ καὶ τῆς Κιλικίας ὁμώνυμος, ὡς Καλλισθένης. Στησίχορος δὲ ἐν τῇ Γυριονίδι, καὶ νῆσον τινὰ ἐν τῷ Ἀτλαντικῷ πελάγει Σαρπηδονίαν φησί. Περὶ δὲ τῆς Θρακίας Σαρπηδονίας πέτρας, ὅτι πρὸς τῷ Αἵμῳ ὄρει ἐστὶ, Φερεκύδης φησὶ, περὶ τῆς ἁρπαγῆς ἱστορῶν τῆς Ὠριθυίας. Χοιρίλος δὲ ἁρπασθῆναι φησὶν αὐτὴν ἄνθη ἀμέλγουσαν ὑπὸ τὰς τοῦ Κηφισσοῦ πηγάς. Ἡσαγόρας δὲ ἐν τοῖς Μεγαρικοῖς τὸν τὴν Ὠρίθυιαν ἁρπάσαντα Βορέαν, υἱὸν Στρυμόνος φησὶν, οὐχὶ δὲ τὸν ἄνεμον. Ἡ δὲ Ὠρίθυια, Ἐρεχθέως θυγάτηρ, ἣν ἐξ Ἀττικῆς ἁρπάσας ὁ Βορέας ἤγαγεν εἰς Θρᾴκην, κἀκεῖσε συνελθὼν ἔτεκε Ζήτην καὶ Κάλαϊν, ὡς Σιμωνίδης ἐν τῇ ναυμαχίᾳ. Φινεὺς δὲ Κλεοπάτραν τὴν Ὠριθυίας πρώτην ἔγημεν. Μετὰ ταῦτα δὲ Ἰδαίαν τὴν Δαρδάνου· ἥτις ἀπεχθῶς ἔχουσα πρὸς τοὺς προγόνους, λέγω δὴ τοὺς ἀπὸ Κλεοπάτρας υἱοὺς, ἐπειρᾶτο τυφλῶσαι αὐτούς. Οἱ δὲ, ὅτι ὁ πατὴρ ἐτύφλωσεν αὐτοὺς, διαβαλλούσης τῆς μητρυιᾶς πρὸς αὐτόν. Κέκροπος δὲ, Κρέουσα, Ὠρίθυια, Πρόκρις. Ὠριθυίας δὲ καὶ Βορέου, Χιόνη, Χθονία, Κλεοπάτρα, Ζήτης καὶ Κάλαϊς.

Ὁ δὲ Βορέας ἰδὼν Ὠρίθυιαν παίζουσαν ἐν τῷ Ἰλισσῷ, ἠράσθη αὐτῆς· ἐξ ἧς οὗτοι.

V. 214. Κεκροπίηθεν. Ἡ ἀκρόπολις τῆς Ἀττικῆς Κεκροπία ἐκαλεῖτο τοπρότερον.

V. 216. Σαρπηδονίην ὅθι. Πόλις τῆς Ἀττικῆς ἀπὸ Σαρπήδοντος τοῦ τῆς Θράκης βασιλέως, ἀδελφοῦ Πόλτυος. Τὰ δὲ ἐφεξῆς προσέθηκεν, ἐπεὶ καὶ ἑτέρα ἐστὶ Σαρπηδονία πέτρα τῆς Κιλικίας.

V. 218. Λυγαίοις. Σκοτεινοῖς, κατὰ μετωνυμίαν. Λύγος γὰρ τὸ σκότος, ἀπὸ τοῦ λύγου τοῦ φυτοῦ, ὅπέρ ἐστι πυκνὸν καὶ δασύ.

V. 219. Ἐπ' ἀκροτάτοισι ποδῶν. Τοῖς σφυροῖς, ἢ τοῖς ἀστραγάλοις.

Ἐρεμνὰς δὲ, ἤτοι κατὰ συγκοπὴν ἐρεβενάς. τοῦτ' ἔστι καταπληκτικάς. Σκοτεινὰς κυρίως, ἐξ οὗ μελαίνας.

V. 221. Φολίδεσσι. Ταῖς στίξεσι, τοῖς ποικίλμασι τῶν πτερῶν.

V. 222. Κράατος ἐξ ὑπάτοιο. Ἄκρας κεφαλῆς. Ὁ δὲ λόγος, Ἔσειον ἐρεμνὰς πτέρυγας κινούμενοι, καταπληκτικὰς τοῦ ἰδέσθαι.

V. 224. Οὐδὲ μὲν οὐδ' αὐτοῖο πάϊς. Ἄκαστος Πελίου υἱὸς ἔγημεν Κρηθηΐδα, ἢ, ὥς τινες, Ἱππολύτην. Ἡ δὲ, Πηλέως ἐρασθεῖσα, αὐτὴ, ὡς ἀπετύγχανε δεομένη, προλαβοῦσα τὸν Πηλέα τῷ ἀνδρὶ κατηγόρει, ὡς πειραθέντα αὐτῆς. Ὁ δὲ, ἐξαγαγὼν τὸν Πηλέα ὡς ἐπὶ θήραν εἰς τὸ Πήλιον, κατέλιπεν αὐτὸν ἄοπλον ἐν τῷ Πηλίῳ, ἵνα ὑπὸ θηρίων διαφθαρῇ. Ἐπιστὰς δὲ ὁ Ἑρμῆς, ἢ, ὥς τινες, Χείρων, ἔδωκεν αὐτῷ ἡφαιστότευκτον μάχαιραν, ᾗ τά τε ἐπιόντα τυγχάνων τῶν θηρίων ἀνήρει, καὶ εἰς τὴν πόλιν ἐπανελθὼν, τήν τε Ἀκάστου γυναῖκα, καὶ αὐτὸν, ὥς φασι τινὲς, ἀνεῖλε τὸν Ἄκαστον.

Εἰ δὲ ἐπὶ κίνδυνον αὐτοὺς ἔπεμπεν ὁ Πελίας, διὰ τί ὁ υἱὸς αὐτοῦ ἐξήρχετο; Καὶ οὗτος μέν φησιν, ἄκοντος τοῦ πατρός· Δημάγητος δὲ, ὅτι ἐκέλευσεν ὁ Πελίας τὴν Ἀργὼ ἀραιοῖς γόμφοις παγῆναι, ἵνα ταχέως ἀπολέσῃ αὐτούς· ὁ δὲ Ἄργος τοὐναντίον πεποίηκεν. Τὸ δὴ πιστὸν ἔχων παρὰ τοῦ τέκτονος ὁ Ἄκαστος ἐπέβη. Διὰ τοῦτο ὁ ποιητὴς φησὶν Ἀθηνᾶς ὑποθημοσύνῃσι γενέσθαι αὐτήν.

V. 226. *Ἄργος τε θεᾶς. Διὰ τὸ τὴν Ἀργὼ κατασκευάσαι Ἀθηνᾶς προνοίᾳ.*

V. 230. *Ἐπεὶ Μινύαο θυγατρῶν. Ὁ γὰρ Μινύας πολλὰς εἶχεν θυγατέρας. Καὶ γὰρ ὁ Ἰάσων Ἀλκιμέδης ἐστὶ τῆς Κλυμένης, τῆς Μινύου θυγατρός. Στησίχορος Ἐτεοκλυμένης φησίν. Φερεκύδης δὲ, Ἀλκιμέδης τῆς Φυλάκου. Ἡσιόνης δὲ τῆς Δαναοῦ καὶ Διὸς γίνεται Ὀρχομενός· ἀφ' οὗ καὶ ἡ πόλις Ὀρχομενὸς καλεῖται. Ὀρχομενοῦ δὲ καὶ Ἑρμίππης τῆς Βοιωτοῦ γίνεται Μινύας ἐπίκλησιν, φύσει δὲ Ποσειδῶνος, ὃς οἰκεῖ ἐν Ὀρχομενῷ· ἀφ' οὗ ὁ λαὸς Μινύαι ἐκλήθησαν. Ἐκ δὲ Μινύου καὶ Κλυτοδώρας γίνεται Πρέσβων καὶ Περικλυμένη καὶ Ἐτεοκλυμένη. Ἐκ δὲ Φανοσύρας τῆς Παίονος καὶ Μινύου πάλιν Ὀρχομενὸς καὶ Διοχθώνδης καὶ Ἀθάμας. Ὁ δὲ Σκήψιος Δημήτριος φησὶ τοὺς περὶ τὴν Ἰωλκὸν οἰκοῦντας Μινύας προσαγορεύεσθαι.*

V. 238. *Παγασαί. Ἀκρωτήριον Μαγνησίας. Ὠνομάσθη δὲ ἀπὸ τοῦ ἐκεῖ πεπῆχθαι τὴν Ἀργώ. Ὁ δὲ Σκήψιος, ἀπὸ τοῦ πηγαῖς περιῤῥέεσθαι τοὺς τόπους. Ἔστι δὲ καὶ Παγασαίου Ἀπόλλωνος ἱερόν.*

V. 240. *Ἀστέρες ὣς νεφέεσσι. Πρὸς τὸ γένος καὶ τὴν τύχην καὶ τὴν ἀνδρίαν ἀπιδὼν, ἀστέρας μὲν τοὺς ἥρωας φησὶ, νεφέλας δὲ, τὸν δημοτικὸν ὄχλον.*

V. 242. *Πόθι τόσσον ὅμιλον.* Οὐχ ὑγιῶς τὸ πόθι. Ἔστι γὰρ τῆς ἐν τόπῳ σχέσεως δηλωτικόν.

V. 243. *Τὰ δὲ, ἔκτοθι βάλλει,* ἀντὶ τοῦ ἀποστέλλει.

Παναχαιΐδα δὲ τὴν Θεσσαλίαν φησὶν, ὅτι αὕτη πρώτη ἐκλήθη Ἀχαΐα, ἀπὸ Ἀχαιοῦ τοῦ Ξούθου.

V. 244. *Πυρὶ δηώσειαν.* Συμφλέξειαν. Ἢ πολεμήσειαν, καταστρέψειαν.

Δόμους δὲ, τὴν χώραν, τὴν γῆν, συνεκδοχικῶς.

V. 246. *Ἀλλ' οὐ φυκτὰ κέλευθα.* Ἀλλ' οὐκ ἐκφεύξιμος αὐτοῖς ἡ ὁδός· κατ' ἀνάγκην γάρ ἐστιν· οὐδὲ ἄπρακτος ὁ ἆθλος· ἀνύσουσι γὰρ ῥᾳδίως. Οἷον εὐκατορθώτως. Ἢ, οὐ φυκτὰ καὶ οὐκ εὔπλοα, διὰ τοὺς ἐν μέσῳ κινδύνους.

Πόνος δ' ἄπρηκτος ἰοῦσιν. Ἤγουν ἐν τῷ πλῷ ὁ κίνδυνος. Ἢ κατὰ κοινοῦ τὸ, οὐ· ἵνα ᾖ, ἀλλ' οὐ φυκτὰ κέλευθα, οὐδὲ ὁ πόνος ἄπρακτος· πρὸς τὸ, Αὐτῆμαρ δὲ δόμους ὀλοῷ πυρὶ δηώσειαν Αἰήτεω, ὅτε μή σφιν ἑκὼν δέρας ἐγγυαλίξῃ. Οἱ δὲ οὕτως, ἄπρηκτος, δύσπρακτος, δυσεργὴς, δυσκατόρθωτος.

V. 249. *Νόστοιο τέλος θυμηδές.* Θυμῆρες. Καὶ τοῦτο ὡς πρὸς γυναικείαν φύσιν. Ἄγαν θαυμαστῶς πρὸς τὰς φύσεις καὶ τοὺς λόγους ἀμφοτέρων ἀνέπλασεν. Τοῖς μὲν γὰρ ἀνδράσιν, ἐπεὶ θρασυτέρα ἡ φύσις, ἄνυσιν καὶ τέλος τῶν μελλόντων εἰσάγει· ταῖς δὲ γυναιξὶν, ἐπεὶ ἀσθενέστεραι, εὐχὰς καὶ ἱκεσίας ποιεῖ. Τοιαῦται γὰρ ἐπὶ τῶν μεγάλων καὶ φοβερῶν πραγμάτων αἱ γυναῖκες.

V. 251. *Δειλὴ Ἀλκιμέδη.* Ἐπίπονε. Ὁ δὲ νοῦς, εἰ καὶ ὀψὲ, ὅμως δ' οὖν ἦλθε καὶ σοὶ κακὸν, Ἀλκιμέδη (λείπει δὲ ἡ διὰ πρόθεσις) καὶ οὐ διετέλεσας λαμπρῶς τὸν βίον αὐχοῦσα ἐπὶ τοιούτῳ υἱῷ.

V. 253. Ἠτέ οἱ ἦεν. Πρὸ τοῦ τὸν ἆθλον ἐπιστῆναι.

V. 255. Κακῶν δὲ, ἤτοι τῶν ἰδίων, ἢ τῶν μελλόντων ἐπιτελεῖσθαι τοῖς Ἀργοναύταις.

V. 256. Ὡς ὄφελεν καὶ Φρίξον. Λέγεται γὰρ, ὅτι τῆς Ἕλλης καταπεσούσης ἀγωνιῶντι τῷ Φρίξῳ κατὰ Διὸς βούλησιν ἐφθέγξατο θαρσύνων αὐτὸν ὁ κριὸς, διασώσειν αὐτὸν εἰς τὴν Σκυθίαν. Τοῦτο δὲ αὐτῇ τῇ Ἀλκιμέδῃ ἔμελλε κακὸν γενέσθαι, τοῦ υἱοῦ ἐκεῖσε στελλομένου. Ὅτι δὲ ἐλάλησεν ὁ κριὸς, καὶ Ἑκαταῖος φησίν. Ἔνιοι δέ φασιν, αὐτὸν ἐπὶ κριοπρώρου σκάφους πλεῦσαι. Διονύσιος δὲ ἐν β. Κριὸν φησὶ Φρίξου τροφέα γενέσθαι, καὶ συμπεπλευκέναι αὐτῷ εἰς Κόλχους. Διὸ καὶ μεμύθευται τὰ περὶ τῆς τοῦ κριοῦ θυσίας αὐτόθι.

V. 260. Ἐπὶ προμολῇσι. Τῇ ἐξόδῳ τῶν ἀριστέων. Ἀπὸ τοῦ εἰς τοὔμπροσθεν μολεῖν. Ἐντεῦθεν καὶ τὰς πρώτας προβάσεις τῶν ὀρῶν προμολὰς λέγουσι.

V. 262. Βεβολημένη. Λύπῃ βλαβεῖσα, ἢ δυςθυμοῦσα.

Ὀξὺ δ' ἑκάστην. Μετενήνεκται ἀπὸ τῶν κατὰ τὴν ἁφήν. Ὡς παρ' Ὁμήρῳ·

Ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξύ.

V. 263. Ἄχος δέ ἐστι σύγχυσις ψυχῆς, λύπη ἐπιτεταμένη. Σαφὲς δὲ ἐκ τοῦ λέγειν τὸν ποιητήν·

Ἡ δ' ἀχεῖ οὗ παιδὸς ἀπέφθιτο.

V. 264. Ἐντυπὰς ἐν λεχέεσσιν. Ἄγαν περιεσφιγμένος, ὡς πάντα τὰ μέλη ἐκτυποῦσθαι ἐκ τῆς σφίγξεως. Ὅμηρος·

Ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος.

Ἐντυπὰς δὲ λέγεται καὶ ὁ περιβεβλημένος κατὰ τῆς

ὄψεως, οὕτως ὡς καὶ τὸν τύπον διὰ τοῦ ἱματίου θεωρεῖσθαι.

V. 267. *Κατηφέες.* Κατάστυγνοι διὰ τὴν λύπην.

Τὸ δὲ *ἠείροντο*, παθητικὸν ἀντὶ ἐνεργητικοῦ κεῖται τοῦ ἤειρον.

V. 268. *Ἐπεχεύατο.* Ἀντὶ τοῦ ἐπέθηκεν, ἐπέβαλεν.

V. 269. *Ἀδινώτερον ἠΰτε κούρη.* Ὅμοιον τὸ σχῆμα τῷ,

— μελάντερον ἠΰτε πίσσα.

Τὸ γὰρ συγκριτικὸν ἔλαβεν ἀντὶ τοῦ ἀπολελυμένου.

Ἠΰτε κούρη. Ἀκαταλλήλως τὴν παραβολὴν τέθεικεν. Ὑποτίθεται γὰρ γραῦν μὲν τὸν Ἰάσονα, κόρην δὲ τὴν μητέρα. Ἔδει δὲ, φησὶ, κατὰ τὸ ἐναντίον ταῦτα τάξαι. Ἀλλ' ἐροῦμεν, ὅτι προσφόρως ὑπόκειται ὁ Ἰάσων, οὐ κατὰ τὴν ἡλικίαν, ἀλλὰ κατὰ τὴν γηροκομίαν τῇ μητρί. Καὶ γὰρ ἡ γραῦς τὴν κόρην ἀνατρέφει, ὡς ἡ μήτηρ, πρός τε τὸ ἀφερέπονον, διὰ τὴν ἡλικίαν (καὶ γὰρ τὸ γῆρας καὶ ἡ βραχεῖα ἡλικία παρεοίκασι)· καὶ πρὸς τὸ χρήζειν τῆς τρεφούσης. Μητρυιὰ δὲ ὥσπερ ἀπηνὴς ἐπικειμένη ἐστὶν ὁ Πελίας.

V. 271. Τὸ δὲ *κηδεμονῆες* κατὰ πλεονασμὸν, ἀπὸ τοῦ κηδεμόνες. Οὕτω δὲ λέγονται οἱ κατὰ γάμον οἰκεῖοι, οἱ κηδεσταὶ καὶ κηδόμενοι.

Ἧι οὐκ εἰσίν. Τοῦτο καὶ πρὸς τὴν Ἀλκιμέδην, ᾗ οὐκ εἰσὶν ἄλλοι παῖδες.

V. 272. *Βίοτον βαρύν.* Λείπει τὸ οὖσα. Ὑπὸ μητρυιὰν οὖσα, κακὴν ζωὴν διάγει. Τίθεται γὰρ τὸ βίοτος καὶ ἐπὶ τῆς ζωῆς, ὡς νῦν, καὶ ἐπὶ τοῦ πλούτου.

Τὸ δὲ *ἠγηλάζει*, καὶ ἠγηλάσκει, κατὰ τοῦ αὐτοῦ πράγματος κεῖται. Δηλοῖ δὲ τὸ ἐπὶ τῷ αὐτῷ τόπῳ

διατρίβειν καὶ ἐνέχεσθαι, καὶ ἐν τῷ αὐτῷ ἀναστρέφεσθαι. Ἐπὶ γὰρ τῶν μυιῶν φησὶν Ὅμηρος·

Αἵ τε κατὰ σταθμὸν ποιμνήϊον ἠλάσκουσι.

καί·

— — ὅπη κεῖνος ἐμὸν μένος ἠλασκάζει.

V. 275. Ἐκφλύξαι. Ἀντὶ τοῦ εἰπεῖν. Φλύζειν δὲ κυρίως τοὺς λέβητας φαμὲν καιομένους, ἀναβάλλειν τῇ θερμότητι τὸ ὕδωρ.

Περισπᾶται δὲ τὸ ὀρεχθεῖν, ὡς ποιεῖν. Ἔστι δὲ μύκημα φωνῆς ἀνάρθρου. Ὅμηρος·

— πολλοὶ μὲν βόες ὀρέχθεον.

Δεῖ δὲ μᾶλλον ἀκούεσθαι ἐπὶ τοῦ στένειν, ἀλλὰ καὶ ἐπὶ τοῦ τραχύνεσθαι. Ὅμηρος·

— — — ἐν ἄλγεσι θυμὸν ὀρέχθων.

Ἔοικε δὲ τὸ μὲν περισπώμενον εἶναι διὰ τοῦ ο· τὸ δὲ βαρύτονον, διὰ τοῦ ε, ἐρέχθω.

V. 284. Ἀχαιϊάδεσσιν. Ταῖς Θεσσαλαῖς, ἀπὸ Ἀχαιοῦ τοῦ Φθίου. Ὅμηρος·

Μυρμιδόνες δὲ καλεῦντο, καὶ Ἕλληνες, καὶ Ἀχαιοί.

V. 285. Δμωὶς ὅπως. Ἐν τῇ προεκδόσει οὕτως ἔχει·

Δμωὶς ὅπως κεν ἑοῖσι βιώσομαι ἐν μεγάροισιν.

Καὶ τὸ ἑξῆς οὕτως, ὀϊζυρὴ ἀχέεσσι δυσάμμορος. Εὕρηται δὲ καὶ οὕτως·

Σεῖο πόθῳ φίλε κοῦρε δυσάμμορος· ᾧ ἔπι μούνῳ.

Ἐπὶ ἄῤῥενος δεῖ νοεῖν. Εἶχε γὰρ καὶ ἀδελφὴν Ἰάσων Ἱππολύτην, ὡς φησὶν Ἴβυκος.

V. 288. Μίτρην πρῶτον ἔλυσα. Λύουσι γὰρ τὰς ζώνας αἱ πρώτως τίκτουσαι, καὶ ἀνατιθέασιν Ἀρτέμιδι. Ὅθεν καὶ λυσιζώνης Ἀρτέμιδος ἱερὸν ἐν Ἀθήναις.

V. 292. *Κινύρετο.* Ἐθρήνει. Κυρίως δὲ κινύρεσθαι ἐστὶν ἐπὶ βοός. Καὶ εἴρηται παρὰ τὸ κινεῖν τὴν οὐρὰν ἐν τῷ μυκᾶσθαι. Καὶ Ἀπίων δὲ εὑρὼν τὴν ἐτυμολογίαν παρὰ Ἀπολλοδώρῳ ταύτην, ὅτι ταῦρος λέγεται παρὰ τὸ τείνειν τὴν οὐρὰν, μετέθηκε τὴν εὕρεσιν τῆς ἐτυμολογίας.

V. 293. *Ἐπισταδόν.* Ἐφεστηκυῖαι.

V. 296. *Ὧδε λίην.* Πάνυ τετηρημένως. Ἀδύνατον γὰρ μητέρα εἰς τοσοῦτον κίνδυνον ἐξιόντος τοῦ παιδὸς μὴ κλαίειν.

Ἐπεὶ οὐ μέν. Πρὸς τὸ παρ' Ὁμήρῳ,

Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.

V. 297. *Ἀλλ' ἔτι κεν.* Πρὸς τὸ Ὁμηρικὸν καὶ τοῦτο,

— — πρὶν καὶ κακὸν ἄλλο πάθησθα.

Ἄροιο. Λάβῃς. Ὅθεν καὶ τὸν Ἄρη τινὲς ἐτυμολογοῦσιν, ἀπὸ τοῦ λαμβάνειν, καὶ ὠφελεῖσθαι ἐν πολέμῳ. Ὁ δὲ λόγος, ἐπὶ κακῷ κακὸν ἀποίσῃς.

V. 299. *Ἀνιάζουσά περ.* Ὁ *περ* σύνδεσμος τίθεται πολλάκις ἀντὶ τοῦ γε, καὶ δή.

Μηδ' οὕτως ἀγαθός περ ἐών.

Οὕτως Ἀρίσταρχος ἀπέδωκεν. Ἐν γὰρ τῷ, — ἀγαθός περ ἐὼν, τὸν περ μεταλαμβάνει εἰς τὸν δή. Καὶ ἐνταῦθα γοῦν τὸν περ μεταλαμβάνει εἰς τὸν δή. ἀγαθὸς δὴ ὤν. καὶ, — φυγόντι περ αἰπὺν ὄλεθρον. φυγόντι δή. Ἢ τὸ ἑξῆς οὕτως, τῶν μοῖραν κατὰ θυμὸν ἀνιάζουσα, ὅμως τλῆθι φέρειν.

V. 302. *Ἔχρη.* Ἀντὶ τοῦ ἐχρησμώδησε περὶ τῆς ναυτιλίας.

Ἀτὰρ μετέπειτά γ'. Ἐπὶ δὲ τοῖς προειρημέ-

νοις, τῇ τε Ἀθηνᾷ καὶ ταῖς θεοπροπίαις ἔτι θάρσει, καὶ ἐπὶ τῇ τῶν ἀριστέων ἀρωγῇ, τοῦτ᾽ ἔστι βοηθείᾳ.

V. 303. Ἀλλὰ σὺ μέν. Παρὰ τὸ Ὁμηρικὸν,

Ἀλλ᾽ εἰς οἶκον ἰοῦσα.

V. 304. Μηδ᾽ ὄρνις. Πάλιν τὸ Ὁμηρικὸν,

— μηδέ μοι αὐτὴ
ὄρνις ἀεικελίη.

V. 305. Κεῖσε δ᾽ ὁμαρτήσουσιν. Τὸ κεῖσε, εἰς τὴν Κολχίδα, ἢ εἰς τὸν λιμένα. Τὸ δὲ ὁμαρτεῖν, ἐνταῦθα μὲν τὸ ἀκολουθεῖν, ἀλλαχοῦ δὲ καὶ τὸ ὁμοῦ τυχεῖν.

Ἔται δὲ ἀντὶ τοῦ ἑταῖροι. Οὐκ ἔστι δὲ συνώνυμος ἡ λέξις, κατὰ ἀποκοπὴν δὲ ἐξενήνεκται. Πρῶτος δὲ Ὅμηρος κέχρηται, λέγων,

— κασίγνητοί τε ἔται τε.

Διὸ καὶ κατὰ τὸ πλεῖστον ἐκ πλήρους ἐκφέρεται·

Οὐ γάρ μοι πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι.

V. 306. Προτέρωσε. Ἀντὶ τοῦ εἰς τοὔμπροσθεν. Ὅμηρος·

Οὐδ᾽ ἄρα μοι προτέρω νῆες κίον.

V. 307. Οἷος δ᾽ ἐκ νηοῖο. Οἰκεία ἡ παραβολή. Ὅ, τε γὰρ Ἰάσων νέος, καὶ ὁ Ἀπόλλων νέος.

V. 308. Δῆλον ἀν᾽ ἠγαθέην. Δῆλος μία τῶν Κυκλάδων νήσων, ἱερὰ Ἀπόλλωνος· ἡ πρὶν μὲν Δῆλος, ὕστερον δὲ Ἀστερία, διὰ τὸ σχῆμα· πάλιν δὲ Ὀρτυγία, ἀπὸ τῆς ἀδελφῆς τῆς Λητοῦς.

Ἠὲ Κλάρον. Κλάρος πόλις πλησίον Κολοφῶνος, ἱερὰ Ἀπόλλωνος. Καὶ χρηστήριον τοῦ θεοῦ ἀπὸ Μαντοῦς τῆς Τειρεσίου θυγατρὸς καθιδρυμένον, ἢ ἀπὸ Κλάρου τινὸς ἥρωος, ὡς Θεόπομπος. Νέαρχος δέ φησιν, ὅτι κατὰ κλῆρον ὁ Ἀπόλλων ἔλαχε τὴν πόλιν, καὶ ἀπὸ

τοῦ κλήρου οὕτως αὐτὴν ὠνομάσθαι. Οἱ δὲ τὴν Θηβαΐδα γεγραφότες φασὶν, ὅτι ὑπὸ τῶν Ἐπιγόνων ἀκροθίνιον ἀνετέθη Μαντὼ ἡ Τειρεσίου θυγάτηρ εἰς Δελφοὺς πεμφθεῖσα· καὶ κατὰ χρησμὸν Ἀπόλλωνος ἐξερχομένη περιέπεσε Ῥακίῳ τῷ Λέβητος υἱῷ, Μηκυναίῳ *) τὸ γένος· καὶ γημαμένη αὐτῷ (τοῦτο γὰρ περιεῖχε τὸ λόγιον, γαμεῖσθαι ᾧ ἂν συναντήσειεν) συναπῆλθεν ἐκείνῳ εἰς Κολοφῶνα. Κἀκεῖ δυσθυμήσασα, ἐδάκρυσε διὰ τὴν τῆς πατρίδος πόρθησιν. Διόπερ ὠνομάσθη Κλάρος, ἀπὸ τῶν δακρύων. Συγγενὲς γὰρ τῷ λ τὸ ρ· ὡς ὑδρηλοὶ, ἀντὶ τοῦ ὑδρηροί. Λέγεται δὲ καὶ κρήνην ἀναβλύσαι ἀπὸ τῶν δακρύων Μαντοῦς κατὰ Κλάρον, καὶ μαντεῖον ἐκεῖ Ἀπόλλωνος αὐτὴν καταστῆσαι. Οἱ δὲ Κλάρον φασὶ κληθῆναι διὰ τὸ κληρώσασθαι ἐκεῖ Ποσειδῶνα καὶ Ἄρην. Ὁ δὲ Ῥάκιος οὕτως ὠνομάζετο διὰ τὴν πενιχρότητα καὶ κακοειμονίαν.

V. 311. Κεκλομένων ἄμυδις. Πάντων ὁμοῦ κελευομένων καὶ ἐπευφημούντων.

Τῷ δὲ ξύμβλητο. Τοῦτο ξύμβολον ἀγαθὸν, ὅτι τε γεραιὰ καὶ ὅτι ἱέρεια ἡ Ἰφιάς.

V. 313. Οὐδ᾽ ἔτι φάσθαι. Προσληπτέον τὸν καί. Ὅμως δὲ καὶ λαλῆσαι προθυμουμένη, οὐκ ἔφθασε. Τὸ γὰρ ἔμπης νῦν ἀντὶ τοῦ ὅμως.

V. 319. Δειδέχατ᾽. Ἐδεξιοῦντο, ἢ προσεδέχοντο.

V. 322. Καταβλώσκοντας. Κατερχομένους. Καταμολίσκοντας. Τὸ β ἀντὶ τοῦ μ. Συγγενὲς γὰρ τὸ β τῷ μ. Ὅθεν καὶ ὁ ψωμὸς, βλωμὸς, ἀπὸ τοῦ βλώσκειν

*) Schol. Paris. *Μυκηναίῳ*. Vicissim Schol. Paris. ad IV. v. 1396. p. 327. habent *Μηκύνας*, ubi edita Scholia servarunt genuinum *Μυκήνας*. Sic in Plethone MS. legas *Μηκῦναι*, ubi debebat esse *Μυκῆναι*. V. Bredowii Epist. Paris. p. 97.

διὰ τοῦ λαιμοῦ, ὅ ἐστι κατέρχεσθαι. Καὶ πίτυν βλωθρὴν Ὅμηρος, τὴν ἄχρι τοῦ αἰθέρος μολίσκουσαν.

V. 324. Δέρμα δ' ὁ μέν. Σύνηθες τοῖς ἥρωσι τὸ δερματοφορεῖν.

V. 401. Ἐϋστείρης. Εὐτρόπιδος.

Οἰήϊα δὲ, τὰ πηδάλια, οἷον οἰήσια, ἐπειδὴ οἰήσεως χρεία τῷ κυβερνήτῃ. Οἱ δὲ γλωσσογράφοι τοὺς οἴακας.

V. 403. Νήεον αὐτόθι. Ὠικοδόμουν, κατεσκεύαζον. Ἀπὸ τῆς τῶν λίθων συνθέσεως, ἥ ἐστι νήησις. Ἢ ἐσώρευον. Ἔνθεν καὶ νηδύς· καὶ ναῦς, ἐν ᾗ σωρεύεται ὁ φόρτος.

Ἐπακτίου. Ἐπάκτιος, ὁ ἐν τῇ ἀκτῇ τιμώμενος.

V. 406. Τείως δ' αὖτ' ἀγέληθεν. Ἐν τοσούτῳ ἐν ὅσῳ ταῦτα ἐποίουν.

Ἡ δὲ πρὸ πρόθεσις νῦν ἐστὶ τόπου δηλωτική· ἀντὶ τοῦ, εἰς τοὔμπροσθεν. Ὡς τὸ,

Ἐκ δ' ἄγαγε προφόωσδε.

V. 407. Δύω βόε. Εἰκότως ἐπὶ δυσὶ προσηγορίαις, Ἀκτίου Ἐμβασίου τε, δύο βοῦς ἄγουσιν.

V. 408. Κουρότεροι. Ἐπεὶ ἴσως ἀεὶ νέος ὁ θεὸς, καὶ οἱ τῶν ἑταίρων νεώτεροι τὴν θυσίαν ἐπιτελοῦσιν. Καὶ Ὅμηρος, ἐπὶ τῆς τῶν νέων θυσίας,

Κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο.

Ἤτοι οὖν συγκριτικῶς ἐστὶν, ἢ πρωτοτύπως.

V. 409. Χέρνιβα. Χέρνιβας μὲν οἷς τὰς χεῖρας νίπτουσιν· οὐλοχύτας δὲ οἱ μὲν τὰ κανὰ, ἐπεὶ δι' αὐτῶν φέρεται τὰ πρὸς θυσίαν· οἱ δὲ τὰς κριθὰς, ἐπειδὴ οὐλὰς ἐνέβαλλον τοῖς βωμοῖς.

V. 411. Αἰσονίδα. Αἰσονὶς πόλις τῆς Μαγνησίας, ἀπὸ τοῦ πατρὸς Ἰάσονος, ὡς καὶ Πίνδαρος φησὶ καὶ Φερεκύδης.

V. 413. Ἄνυσιν καὶ πείραθ' ὁδοῖο. Ἄνυσιν, τὴν ἐνέργειαν, ἢ τὴν ταχυτῆτα. Ὅμηρος·

Οὐκ ἀνύω φθονέουσα.

Πείραθ' ὁδοῦ, αὐτὸν τὸν πλοῦν καὶ τὸ πέρας τῆς ὁδοῦ.

V. 414. Ἐπαίτιος. Διὰ τὸ χρησμωδῆσαι τῷ Πελίᾳ. Ῥητορικῶς δὲ, ὥσπερ αἰτίῳ γενομένῳ τοῦ πλοῦ τῷ θεῷ, καὶ τὸ πᾶν πρᾶγμα ἀνατίθησιν, ὥσπερ οἰκεῖον.

V. 416. Ἑλλάδα. Ἑλλάδα οἱ μὲν τὴν Φθίαν φασὶ συνωνύμως· ἡμεῖς δὲ χώραν ὑπολαμβάνομεν εἶναι Ἑλλάδα, οὐ μέντοι γε τὴν αὐτὴν τῇ Φθίᾳ. Ἐνταῦθα δὲ καὶ ὅλην τὴν Ἑλλάδα.

V. 419. Ὀρτυγίην. Περὶ τῆς Ὀρτυγίας Φανόδικος ἐν τοῖς Δηλιακοῖς ἱστόρηκεν· καὶ Νίκανδρος ἐν τρίτῃ Αἰτωλικῶν, ἐκ τῆς ἐν Αἰτωλίᾳ Ὀρτυγίας φησὶ τὴν Δῆλον ὀνομασθῆναι, γράφων τάδε·

Οἱ δ' ἐξ Ὀρτυγίης Τιτηνίδος ὁρμηθέντες.

Οἱ μὲν, τὴν Ἔφεσον· οἱ δὲ, τὴν πρότερον Δῆλον καλουμένην· ἄλλοι δὲ, τὴν ὁμοτέρμονα Σικελίας νῆσον. ὅθεν Ὀρτυγίαι πᾶσαι βοῶνται. Καὶ ἡ Δῆλος οὖν οὐχ, ὡς μεμύθευται, ἀπὸ τῆς Ἀστερίας μεταμορφώσεως τῆς Λητοῦς ἀδελφῆς, ἀλλὰ καθὸ πᾶσαι αἱ Ὀρτυγίαι ἀποικίαι εἰσὶ τῆς κατ' Αἰτωλίαν Ὀρτυγίας.

V. 421. Ἐπίβαθρα. Ἐπιβατήρια.

Χάριν δὲ, μισθὸν νυνὶ, ὑπὲρ τοῦ ἐπιβῆναι νῦν πρῶτον τῆς νεώς.

Προτεθείμεθα. Ἀντὶ τοῦ ποιοῦμεν. Θεῖναι γὰρ τὸ ποιῆσαι.

V. 425. Προχύτας. Οἱ μὲν τὰς κριθὰς, οἱ δὲ τὸ ὕδωρ, ὃ εἰώθασιν ἐμβάλλειν εἰς τὸ οὖς τοῦ ἱερείου, ἐπὶ τοῦ ἐπινεύειν τὸ ἱερεῖον. Λείπει δὲ ἡ σύν.

V. 426. Τὸ ζώσασθαι, ἀντὶ τοῦ ἀναθεῖναι, ἢ ἑτοιμασθῆναι. Σημαίνει δὲ καὶ τὸ ὁπλίσασθαι.

V. 430. Χαλκείῳ πελέκει. Ἀπολλώνιος φησὶν ἐν πρώτῳ τῶν ὑπομνημάτων τὸν σίδηρον ὑπὸ τῶν ἀρχαίων χαλκὸν λέγεσθαι· ἀγνοῶν ὅτι μηδέπω εὑρεθέντος σιδήρου, χαλκῷ ἐχρῶντο. Ὡς καὶ Ἡσίοδος φησί·

Χαλκῷ δ' εἰργάζοντο, μέλας δ' οὐκ ἔσκε σίδηρος.

V. 431. Περιῤῥηδὴς κεράεσσιν. Ἐπὶ πρόσωπον μεθ' ὁρμῆς κατενεχθείς. ἐπιῤῥαγεὶς εἰς τοὔμπροσθεν, ἢ ἐπενεχθείς. Ὡς καὶ παρὰ τῷ ποιητῇ,

περιῤῥηδὴς δὲ τραπέζῃ

κάππεσεν·

ὁ Εὐρύμαχος. ἀντὶ τοῦ περιφερόμενος. Τὸ κατὰ κύκλον πεσεῖν, οὕτω λέγεται. Νῦν δὲ, ἀντὶ τοῦ ἐπενεχθεὶς εἰς τὸ ἔμπροσθεν.

V. 434. Δημῷ. Τῷ ἐπίπλῳ ἐνειλοῦσι τὰ ἱερεῖα, ἵνα εὐκαέστατα ὦσι.

V. 436. Θηεύμενος. Τὸ θηεῖσθαι Ὅμηρος ἐπὶ τοῦ θαυμάζειν τίθησιν, θηήσαντες ἔλαφον. Ὁ δὲ Ἀπολλώνιος ἐπὶ τοῦ βλέπειν.

V. 438. Πορφυρέαις. Πορφυριζούσαις. Ταῖς τοῦ πυρὸς καμπαῖς καὶ εἰλήσεσιν οἷον πορφυριζούσαις. Ἐναργὴς δὲ ἡ φράσις.

Ἑλίκεσσιν. Ταῖς τοῦ καπνοῦ συστροφαῖς.

V. 441. Κῶας ἄγοντας. Ἔδει ἄγουσιν εἰπεῖν, πρὸς τὸ ὑμῖν. Καὶ ὁ ποιητὴς δὲ,

Αἰεί τοι φίλον ἐστὶν, ἐμεῦ ἄπο νόσφιν ἐόντα.

V. 444. Ἀσίδος. Ἡ Ἀσία ὠνομάσθη ἀπὸ Ἀσίας τῆς Προμηθέως μητρὸς καὶ Ἄτλαντος. Οἱ δὲ ἀπὸ τοῦ πολλὴν ἄσιν ἔχειν.

V. 445. Ὧδε κακοῖς δεδαώς. Οὐκ ἐν τοῖς κα-

θόλου, ἀλλ' ἐν τοῖς ἐμοῖς βλαβεροῖς. Ὑπερβατὸν δέ ἐστι, καὶ πλεονάζει ὁ καὶ σύνδεσμος. Λείπει δὲ ἡ ἐξ πρόθεσις. Καὶ ἐνήλλακται γενικὴ ἀντὶ δοτικῆς. Ἔστι δὲ καὶ τὸ ῥῆμα συντελικὸν, ἀντὶ τοῦ ἐξῆλθον. Ὁ δὲ λόγος οὗτος, ἔμπροσθεν ἐκ κακῶν οἰωνῶν ἐγνωκὼς τὸν ἐμαυτοῦ μόρον, ἐξῆλθον ἐκ τῆς πατρίδος, ἵνα ὑμῖν συμπλεύσας κλέος ἀπενέγκωμαι.

V. 446. Ὄφρ' ἐπιβαίην. Ὑπερβατόν ἐστι. Τὸ δὲ ἑξῆς, ὄφρ' ἐπιβαίην νηὸς, ἐπιβάντι δὲ τῆς νηὸς ἡ εὐδοξία τοῖς οἴκοις λίποιτο.

V. 450. Σταθερόν. Ἀντὶ τοῦ καυματηρὸν καὶ θερμόν. Λέγει δὲ τὴν μεσημβρίαν, ἐκ τοῦ συμβαίνοντος· ἐπειδὴ μεσουρανήσας ὁ ἥλιος θερμαίνει πάντα, διὰ τὸ πανταχόθεν ἐπίσης ἀπέχειν τῶν ὑποκειμένων. Ἢ διὰ τὸ ἑστηκέναι. Ἧττον γὰρ δοκεῖ τότε κινεῖσθαι ὁ ἥλιος.

V. 454. Πολιοῦ. Διὰ τὸ λευκαίνεσθαι ὑπὸ τῶν κυμάτων κλυζόμενον.

Φυλλάδα δὲ, τὴν στιβάδα τῶν φύλλων.

V. 456. Λαρόν. Παρὰ τὸ λίαν ἀρηρός. Ἢ παρὰ τὸ λῶ τὸ θέλω πεποίηται. Ἡσίοδος δέ φησι λαροῖς ποσὶ, τοῖς κατ' ὄψιν ἡδέσιν.

V. 459. Ἑψιόωνται. Παρὰ τὴν ἑψίαν, ἥ ἐστι διὰ λόγων παιδιὰ, οἷον ἐπεσία τὶς οὖσα, παρὰ τὸ ἔπος. Διὸ καὶ ψιλοῦται. Ὅτε δὲ δασύνεται, ἀντὶ τοῦ ἀκολουθοῦσιν.

Ἄατος. Ἡ ἄγαν βλαπτική. Τὸ γὰρ α τὸ πρῶτον, ἐπίτασίς ἐστιν. Ὡς ἀχανὲς καὶ ἀτενές.

V. 461. Πορφύρεσκεν. Ἀντὶ τοῦ κατὰ βάθους ἐνεθυμεῖτο. Πορφύρα γὰρ, εἶδος ἰχθύος ἐν βάθει τῆς

θαλάσσης εὑρισκόμενον. Ἐμερίμνα γοῦν καὶ τὸν τῆς γῆς καὶ τὸν θαλάσσης κίνδυνον.

V. 468. Ζεὺς τόσον. Περὶ τοῦ Κύκλωπος Ὅμηρος·

Οὐδ' ἂν ἐγὼ Διὸς ἔχθος ἀλευάμενος πεφιδοίμην.

Διὰ τούτων αὐτοῦ ἡ ὑπερηφανία δηλοῦται. Καὶ Ὅμηρος δὲ ἀσεβῆ αὐτὸν λέγει·

— καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον.

V. 471. Τοῖόν μ' Ἀρήνηθεν. Ἀρήνη πόλις Πελοποννήσου· νῦν δὲ Ἱεράνα λέγεται, ὥς φησι Πείσανδρος.

Φησὶ δὲ ὑπερηφάνως, ὡς οὐ φέρεις με σύμπλουν, ἀλλὰ βοηθόν.

V. 473. Χαλίκρητον. Τὸν ἄκρατον, τὸν χαλῶντα τὰς φρένας. Ἀθηναῖοι δὲ τὸν ἄκρατον χάλιν λέγουσιν. Αἰσχύλος δὲ καὶ τὰς Βάκχας χαλιμίας φησὶ λέγεσθαι.

V. 475. Ἴδμων δέ. Οἰκείως τὸν Ἴδμονα, ὡς μάντιν ὄντα, ποιεῖ ἐναντιούμενον τῷ Ἴδᾳ ἐχθρῷ ὄντι Ἀπόλλωνι.

V. 478. Οἰδάνει. Ἐπαίρει, μετεωρίζει, θρασύνει, ἐνεργητικῶς. Ἡ δὲ μεταφορὰ ἀπὸ τῆς θαλάσσης, ὅταν ἄρξηται μετεωρίζεσθαι.

V. 481. Ἐπιφλύειν μακάρεσσι. Τὸ ἐπιφλύειν ἀντὶ τοῦ φλυαρεῖν καὶ λοιδορεῖν.

V. 482. Ἀλωϊάδας. Τὴν περὶ τούτων ἱστορίαν καὶ Ὅμηρος οἶδεν. Ἐρατοσθένης δὲ γηγενεῖς αὐτοὺς φησί· διὰ δὲ τὸ ἀνατετράφθαι ὑπὸ τῆς Ἀλωέως γυναικὸς, μυθευθῆναι, ὡς Ἀλωέως εἰσὶν υἱοί. Ἡσίοδος δὲ Ἀλωέως καὶ Ἰφιμεδείας κατ' ἐπίκλησιν· ταῖς δὲ ἀληθείαις, Ποσειδῶνος καὶ Ἰφιμεδείας αὐτούς. Καὶ Ἄλον πό-

λιν Αἰτωλίας ὑπὸ τοῦ πατρὸς αὐτῶν ἐκτίσθαι· ἧς Ὅμηρος μνημονευει,

— οἵ τ' Ἄλον εἶχον.

V. 485. Ἐκ δὲ γέλασσεν. Καὶ τοῦτο κουφότητος σημεῖον· εἴγε καὶ Ἰσοκράτης φησὶ, Μήτε γέλωτα προπετῆ στέργε.

V. 486. Κερτομίοισιν. Εἰρωνευτικοῖς, τὸ κέαρ τέμνειν καὶ λυπεῖν δυναμένοις.

Ἐπιλλίζων δὲ τοῖς ὀφθαλμοῖς, ἐπιμωκώμενος. Ἔπιλλοι γὰρ οἱ στραβοί.

V. 487. Ἄγρει νῦν. Δι' ἀμφοτέρων ἐπισκώπτει τὸν Ἴδμονα· πρῶτον μὲν, ὡς ἀτεχνῆ μάντιν· δεύτερον δὲ, ὡς μέγα φρονοῦντα ἐπὶ Ἀπόλλωνι τῷ πατρὶ, ὡς μέγα δυναμένῳ τοὺς αὐθάδεις καθαιρεῖν. Τουτο δὲ μετὰ ἀπειλῆς δρᾷ λοιδορῶν.

V. 491. Χρειώ. Δηλοῖ καὶ τὸ κατὰ χρείαν καὶ μοῖραν λεγόμενον, καὶ τὸ μέλλον.

Μεταμώλιον δὲ, μεταμελείας ἄξιον. Γράφεται δὲ καὶ μεταμώνιον· ὅ ἐστι μάταιον, μετὰ ἀνέμων φερόμενον. Ἀπὸ γενικῆς πληθυντικῆς γίνεται κτητικὸς τύπος εἰς ος, τῷ ι παραληγόμενος· οἷον Ἄμμων, Ἀμμώνιος· Ἀνέμων, Ἀνεμώνιος.

V. 492. Χώετ' ἐνιπτάζων. Ἐχολοῦτο καὶ ὠργίζετο κακολογῶν καὶ μεμφόμενος.

V. 495. Λαιῇ. Κατ' εὐφημισμὸν, τῇ ἀριστερᾷ.

Πείραζεν δὲ, ἀντὶ τοῦ ἥρμοττεν.

Περιττὴ δὲ ἡ ἀνά. Τὸ γὰρ ἑξῆς, καὶ Ὀρφεὺς δέ. Εἰ μὴ ὅτι ἐκ τῆς ἀνὰ τὸ ἀναστὰς λέγει· ἀναστὰς δὲ καὶ ὁ Ὀρφεύς.

Ὅρα δὲ τὸ τῆς μουσικῆς χρήσιμον, εἴγε τὰς στάσεις καὶ τὰς φιλονεικίας καταπαύει.

V. 496. *Ἤειδεν δ' ὡς γαῖα.* Τὴν πρώτην σύγχυσιν τῶν στοιχείων ᾄδειν βούλεται, ὡς ἔκ τινος φιλονεικίας τὸ ἴδιον ἕκαστον μετέσχεν, καὶ τάξιν ἔλαβεν. Οἰκεία δὲ καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἡ ᾠδή· ὅτι πρέπον ἐστὶ τῆς μάχης παύσασθαι, καὶ εἰς τὴν οἰκείαν διάθεσιν ἐπανιέναι.

V. 498. *Νείκεος ἐξ ὀλοοῖο.* Ἐμπεδοκλῆς φησὶν, ὅτι συγκεχυμένων ἁπάντων τοπρότερον, νεῖκος καὶ φιλία παραπεμφθέντα τὴν διάκρισιν ἐποιήσαντο· χωρὶς δὲ τούτων οὐδὲν δύναται γενέσθαι. Ὧι ἕπεται, ὡς εἰκὸς, μηδὲ ἀπολωλέναι. Ὁ δὲ Θαλῆς ἀρχὴν ὑπεστήσατο πάντων τὸ ὕδωρ, λαβὼν παρὰ τοῦ ποιητοῦ λέγοντος,

Ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε.

Καὶ Ζήνων δὲ τὸ παρ' Ἡσιόδου χάος, ὕδωρ εἶναι φησίν· οὗ συνιζάνοντος, ἰλὺν γίνεσθαι· ἧς πηγνυμένης, ἡ γῆ στερεμνιοῦται. Τρίτον δὲ ἔρωτα γεγονέναι καθ' Ἡσίοδον, ἵνα τὸ πῦρ παραστήσῃ· πυρωδέστερον γὰρ πάθος ἔρως. Ἀναξαγόρας δὲ μύδρον εἰπὼν τὸν ἥλιον, φησὶν, ἐξ οὗ τὰ πάντα γίνεται. Διὸ καὶ Εὐριπίδης γνώριμος αὐτῷ γεγονὼς χρυσέαν βῶλον τὸν ἥλιον εἶπε. Τὴν δὲ σελήνην ὁ αὐτὸς Ἀναξαγόρας χώραν πλατεῖαν ἀποφαίνεται, ἐν ᾗ δοκεῖ ὁ Νεμαῖος λέων πεπτωκέναι.

V. 509. *Δικταῖον.* Τὸ Κρητικὸν, ἔνθα ἀνετράφη ὁ Ζεὺς, ὡς καὶ Καλλίμαχος ἱστορεῖ.

Οὔρεα. Δοῦρις φησὶ τοὺς ὑπὸ τῶν Γιγάντων κατενεχθέντας λίθους, τοὺς μὲν εἰς τὴν θάλασσαν πεσόντας, γενέσθαι νήσους· τοὺς δὲ εἰς τὴν γῆν, ὄρη. *)

V. 513. *Τοὶ δ' ἄμοτον.* Ἀντὶ τοῦ ἀμότως καὶ ἀκορέστως. Ὁ δὲ νοῦς, Λήξαντος δὲ τῆς ᾠδῆς, ἀπλήρω-

*) Ad v. 501.

ται αὐτῆς ὄντες ἔτι, προετετάκεισαν τὰς κεφαλὰς, ἀνατετακότες τὰ ὦτα, καὶ ἠρεμοῦντες ἐν ἡσυχίᾳ· τοιαύτῃ ἡδονῇ συνείχοντο.

V. 515. Κηληθμῷ. Ἐν δὲ τῇ προεκδόσει μετὰ τοῦτο γέγραπται·

Ἦμος δὲ τριτάτη φάνη ἠὼς, τῇ δ' ἐπὶ νύκτα
βουθύσιον Ἑκάτοιο κατ' αὐτόθι δαινυμένοισι
τῆμος ἄρ' ἐκδιόθεν πνοιὴ πέσεν. ὦρτο δὲ Τῖφυς
κεκλόμενος βαίνειν ἐπὶ σέλμασι. τοὶ δ' ἀΐοντες.

Ἑξῆς δὲ τῶν ἐκκειμένων,

σμερδαλέον δὲ λιμήν.

V. 516. Οὐδ' ἐπιδὴν μετέπειτα. Οὕτως ἀναστρεπτέον τὴν φράσιν, Ἔπειτα οὐκ ἐπιδὴν οὐδὲ μετὰ χρόνον κεράσαντες, ἀντὶ τοῦ, εὐθέως καὶ μετ' ὀλίγον.

V. 517. Ἧι θέμις. Ὅτι ἔθος ἦν τοῖς παλαιοῖς κρατῆρα κιρνᾶν, ὅτε μέλλοιεν καθεύδειν, καὶ τὰς γλώσσας τῶν ἱερείων ἐπιθύειν τῷ Ἑρμῇ, καὶ ἐπισπένδειν οἶνον. Καὶ ἴσως φυσικῶς. Ἐπεὶ γὰρ Ἑρμῆς λόγος εἶναι παραδέδοται, ὄργανον δὲ αὐτοῦ ἡ γλῶσσα, ἥτις ὕπνου ἐπιπεσόντος ἠρεμεῖ, εἰκότως τῷ Ἑρμῇ αὐτὴν θύουσιν. Καὶ Ὅμηρος·

Γλώσσας δ' ἐν πυρὶ βάλλον.

Διρηχίδας δὲ ἐν τοῖς Μεγαρικοῖς ἱστορεῖ, ὅτι Ἀλκάθους ὁ Πέλοπος διὰ τὸν Χρυσίππου φόνον φυγαδευθεὶς ἐκ Μεγάρων, ἀπήρχετο κατοικήσων εἰς ἑτέραν πόλιν. Καὶ δὴ περιπεσὼν λέοντι λυμαινομένῳ τὰ Μέγαρα (ἐφ' ὃν καὶ ἕτεροι ἦσαν ἀπεσταλμένοι ὑπὸ τοῦ βασιλέως τῶν Μεγάρων) καταγωνίζεται τοῦτον· καὶ τὴν γλῶτταν αὐτοῦ εἰς πήραν θέμενος, ἐπανῆλθεν αὖθις εἰς τὰ Μέγαρα. Καὶ ἀπαγγελλόντων τῶν ἀπεσταλμένων ἐπὶ τὴν θήραν, ὅτι αὐτοί εἰσιν οἱ κατηγωνισμένοι τὸ θηρίον,

προσκομίσας τὴν πήραν, ἤλεγξεν αὐτούς. Διόπερ θύσας τοῖς θεοῖς ὁ βασιλεὺς, τὸ τελευταῖον τὴν γλῶσσαν ἐπέθηκεν τοῖς βωμοῖς· καὶ ἀπὸ τότε ἔθος τοῦτο διέμεινεν Μεγαρεῦσι. Φιλόχορος δὲ ἐν τῷ περὶ θυσιῶν φησὶν, ὅτι τὸ κάλλιστον τοῦ σώματος καὶ πρωτεῦόν ἐστι. Καὶ Ὅμηρος·

Ἀλλ' ἄγε τάμνετε γλώσσας.

ἀντὶ τοῦ παύετε τοὺς λόγους.

V. 526. Ἐν γάρ οἱ δόρυ. Πιθανῶς ἐκ τῆς Δωδωνίδος φησὶ δρυὸς τὸ ξύλον εἶναι ἐν τῇ Ἀργοῖ τὸ φωνῆεν, ἐπεὶ καὶ αὐτὴ ἐφθέγγετο, ὥς φησιν Ὅμηρος·

— — ὄφρα θεοῖο

ἐκ δρυὸς ὑψικόμοιο βουλὴν ἐπακούσοι.

V. 528. Οἱ δ' ἀνὰ σέλματα. Τὰς τῶν ἐρετῶν καθέδρας, τὰ σελιδώματα. Καθόλου δὲ τὸ πλατὺ ξύλον σέλμα λέγεται καὶ σελίδωμα. Ὅθεν καὶ τὰς σελίδας τῶν ῥαψῳδιῶν διὰ τὸ πλάτος φαμέν.

V. 533. Ποσσὶν ὑπεκλύσθη. Καὶ αὐτῷ ἐπικαθεσθέντι κάτωθεν παρὰ τοῖς ποσὶ μᾶλλον ἐπεκλύσθη ἡ τρόπις τῆς νεὼς, καὶ ἐν βάθει τῆς θαλάσσης ἐγένετο, τῷ βάρει τοῦ ἥρωος.

V. 537. Ἤ που ἐν Ὀρτυγίῃ. Ἐν τῇ Δήλῳ. Τὸ δὲ ἑξῆς οὕτως, Καθάπερ ἠΐθεοι ἐν Δελφοῖς, ἢ ἐν Δήλῳ, ἢ ἐν Ἰσμηνῷ περὶ τὸν βωμὸν τοῦ Ἀπόλλωνος χορὸν στήσαντες, πρὸς τὸ τῆς κιθάρας μέλος ἡρμοσμένως κροτοῦσιν τοῖς ποσίν· οὕτω καὶ οὗτοι, τῇ τοῦ Ὀρφέως κιθάρᾳ κηλούμενοι, σφοδρότερον πρὸς τὴν κωπηλασίαν ᾔεσαν. Τὸ δὲ ἑξῆς, ὁμαρτῇ ῥήσσωσιν. Ἡ δὲ ὑπὸ πρόθεσις παρῆκται ὡς παρ' Ὁμήρῳ,

— — — ὑπαὶ πόδα νείατον Ἴδης.

Ἰσμηνοῖο. Ἰσμηνὸς, ποταμὸς Βοιωτίας· ἀφ᾽ οὗ, Ἰσμήνίου Ἀπόλλωνος ἱερόν.

V. 542. Κήκιεν ἅλμη. Ἀνεδίδοτο καὶ ἀνεπήδα ἑκατέρωθεν τῆς νεὼς ἡ θάλασσα.

V. 543. Μορμύρουσα. Δεινῶς ταρασσομένη καὶ κινουμένη φοβερῶς. Ἐν δὲ τῇ προεκδόσει,

Μορμύρουσα τυπῇσιν ἐρισθενέων μένει ἀνδρῶν.

V. 545. Τεύχεα. Εἰς κόσμον τῆς νεὼς εἰώθασιν ὅπλα περιτιθέναι.

Μακραὶ δ᾽ αἰέν. Ὁ νοῦς, ἐλευκαίνετο δὲ τὸ ὕδωρ, καθάπερ ἀτραπὸς διὰ χλοηφοροῦντος πεδίου. Ἢ ἄλλως, ὡς δήλη ἐστὶν ἡ ὁδὸς πεδίου μεταξὺ χλοηφόρου, οὕτω καὶ ὁ τύπος τῆς νεὼς ἐφαίνετο.

V. 547. Πάντες δ᾽ οὐρανόθεν. Διὰ τούτου ἐβεβαιώσατο καὶ τοὺς θεοὺς σκοπεῖν καὶ θαυμάζειν τὸν πλοῦν. Οὐ γὰρ ἁπλῶς τινὲς ναῦται ἦσαν, ἀλλ᾽ ἡμίθεοι.

V. 551. Τὸ δὲ νῆα ὑπὸ Ἀθηνᾶς εἰργασμένην, πρὸς πᾶν θαῦμα κεῖται.

Ἰτωνίδος. Γράφεται καὶ Τριτωνίδος. Ἰτωνίας δὲ Ἀθηνᾶς ἐστὶν ἱερὸν ἐν Κορωνείᾳ τῆς Βοιωτίας. Ὁ μέντοι Ἀπολλώνιος οὐκ ἂν λέγοι τὴν Ἀθηνᾶν ἐπὶ κατασκευῇ τῆς Ἀργοῦς ἀπὸ τῆς ἐν Ἰτωνίᾳ κλήσεως, μᾶλλον δὲ ἀπὸ Θεσσαλικῆς Ἰτωνίας, περὶ ἧς Ἑκαταῖος μὲν ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν λέγει· Ἀρμενίδας δὲ ἐν τοῖς Θηβαϊκοῖς, Ἀμφικτύονος υἱὸν Ἴτωνον ἐν Θεσσαλίᾳ γεννηθῆναι, ἀφ᾽ οὗ Ἴτων πόλις, καὶ Ἰτωνὶς Ἀθηνᾶ. Μέμνηται καὶ Ἀλέξανδρος ἐν πρώτῳ Καρικῶν ὑπομνημάτων.

V. 554. Πολιῇ δ᾽ ἐπὶ κύματος ἀγῇ. Τῷ αἰγιαλῷ, ἔνθα τὰ κύματα περιάγνυται.

Σουΐδας ἐν Θεσσαλικοῖς φησὶν Ἰξίονος υἱὸν εἶναι Χείρωνα, ὥσπερ καὶ τοὺς λοιποὺς τῶν Κενταύρων. Ὁ

δὲ τὴν Γιγαντομαχίαν ποιήσας, φησὶν ὅτι ὁ Κρόνος μεταμορφωθεὶς εἰς ἵππον ἐμίγη Φιλύρᾳ τῇ Ὠκεανοῦ· διόπερ καὶ ἱπποκένταυρος ἐγεννήθη ὁ Χείρων. Τούτου δὲ γυνὴ Χαρικλώ. Εἰκότως δὲ παρεισήνεγκεν εἰκόνα τοῦ Χείρωνος, καὶ ὅτι φιλάνθρωπος, καὶ ὅτι δικαιότατος Κενταύρων· καὶ διὰ τὴν οἰκειότητα τὴν εἰς τὸν Ἰάσονα. Παρ' αὐτοῦ γὰρ ἔμαθε τὴν ἰατρικήν. Ὅθεν καὶ Ἰάσων ἐκλήθη, παρὰ τὴν ἴασιν.

V. 558. Πηλείδην Ἀχιλῆα. Ἠκολούθησεν Ἀπολλώνιος τοῖς μεθ' Ὅμηρον ποιηταῖς, ὑπὸ Χείρωνος λέγων τὸν Ἀχιλλέα τραφῆναι. Ὅμηρος δὲ οὐδὲν τοιοῦτον λέγει. Διαπεφωνήκασι δὲ καὶ περὶ τῆς αὐτοῦ μητρός. Ἐκεῖνος γὰρ πανταχοῦ Θέτιδος αὐτὸν ἀποφαίνεται. Λυσίμαχος ὁ Ἀλεξανδρεὺς ἐν τῷ δευτέρῳ τῶν Νόστων κατὰ λέξιν λέγων. * Σουΐδας γὰρ καὶ Ἀριστοτέλης οἱ περὶ Εὐβοίας πεπραγματευμένοι, καὶ ὁ τοὺς Φρυγίους λόγους γράψας, καὶ Δαΐμαχος καὶ Διονύσιος ὁ Χαλκιδεὺς, οὐ τὴν περὶ Ἀχιλλέως διεσπαρμένην ἀφῆκαν ἡμῖν ἐπὶ χώρας δόξαν· ἀλλὰ τοὐναντίον οἱ μὲν ἐκ Θέτιδος αὐτὸν νομίζουσι γεγονέναι τῆς Χείρωνος, Δηΐμαχος δὲ ἐκ Φιλομήλης τῆς Ἄκτορος. Ἄλλοι δ' ἄλλως περὶ αὐτοῦ ἀποφαίνονται.

V. 563. Μεσόδμη. Ἡ ἱστοδόκη, ὅπου τίθεται ὁ ἱστὸς, καὶ κλίνεται.

V. 564. Προτόνους δὲ, τὰ ἐξ ἑκατέρου μέρους τοῦ ἱστοῦ ἐπὶ τὴν πρώραν καὶ τὴν πρύμναν ἐκτεινόμενα σχοινία.

V. 565. Ἠλακάτη δὲ λέγεται τὸ λεπτότατον καὶ ἀκρότατον μέρος τοῦ ἱστοῦ, κατὰ Ἐρατοσθένην, ὑπὲρ ὃ ἐστὶ τὸ καρχήσιον.

V. 566. Ἰκρίον δὲ, οἱ μὲν μέρος τοῦ ἱστοῦ λέγου-

σι· βέλτιον δὲ νοεῖν ἰκρίον τὴν καλουμένην κεραίαν, ἧς τὰ ἄκρα, ἀκρότερα λέγονται. Λέγεται δὲ ἰκρία καὶ τὰ σανιδώματα, οἷς οἱ πάσσαλοι πρόσκεινται.

V. 567. Περόνας δὲ τοὺς πασσάλους τοὺς ἐπὶ τῶν σανιδωμάτων, ἢ τοὺς καλουμένους τροχοὺς, οἷς τὰ σχοινία δεσμεύουσι.

Κάλωας δὲ τὰ σχοινία, νῦν μὲν οἷς ὁ ἱστὸς ἰσχυρὸς ποιεῖται ἀφ᾽ ἑκατέρου τοῦ πλευροῦ τῆς νεώς· καὶ καθόλου δὲ πᾶν σχοινίον κάλως λέγεται. Διὸ καὶ διαιροῦντες αὐτοὺς, οἷς μὲν κατάγεται τὸ ἱστίον, μεσουρίας λέγουσιν· οἷς δὲ ἰσχυροποιεῖται ὁ ἱστὸς ἐξ ἑκατέρου μέρους ἐπὶ τὴν πρώραν, προτόνους· τοὺς δὲ κατὰ τὰς γωνίας, πόδας· ἐφεξῆς δὲ τούτων πρόποδας· μεθ᾽ οὓς εἰσὶν οἱ καλούμενοι τέρθριοι· εἶτα οὓς λέγουσι μέσους.

Διακριδὸν δὲ, ἀντὶ τοῦ διωρισμένως καὶ ἐκτεταγμένως.

Ὅταν οὖν λέγῃ ἐπὶ τὴν ἠλακάτην ἐρύσαι τὰ λίνα, τοῦτο φησὶν, ὅτι μέχρι τοῦ ἀκροτάτου μέρους τοῦ ἱστοῦ ἀνείλκυσαν τὰ ἱστία.

Ἰστέον ὅτι Ἐρατοσθένης ἐν τῷ Ἀρχιτεκτονικῷ, μέρη ταῦτα φησὶν ἱστοῦ, Πτέρνη, Θωράκιον, Ἠλακάτη, Καρχήσιον, Κεραία, Ἰκρίον.

V. 568. Τίσαιον δὲ, ἀκρωτήριον Θεσσαλίας. Οἱ δὲ, Θεσπρωτίας.

V. 569. Εὐθήμονι. Εὖ διατεθειμένῃ, εὐρύθμῳ, εὐποιήτῳ. Θεῖναι γὰρ τὸ ποιῆσαι.

V. 571. Τὴν Ἄρτεμιν ὑμνεῖ διὰ τὸ τὸν τόπον ἱερὸν αὐτῆς εἶναι.

V. 574. Ἄπλετοι. Ἀπροσπέλαστοι, μεγάλοι.

Διασκαίροντες καὶ διανηχόμενοι.

Διὰ δὲ τοῦ ἄμμιγα τὸ τοῦ μέλους θελκτικὸν ση-

μαίνει. Οἷον οἱ μηκέτι ἑαυτοὺς βλάπτοντες, ἀλλὰ μεθ' ἡσυχίας ἑπόμενοι.

V. 578. Νόμιον μέλος. Ποιμενικὸν, παρὰ τοὺς νομέας. Ἢ νόμιον μέλος, ὕμνος παρὰ τοῖς ἀρχαίοις οὕτω λεγόμενος.

V. 580. Ἠερίη πολυλήϊος. Ἡ Θεσσαλία, παρὰ τὸ μέλαιναν εἶναι τὴν γῆν *). Οὕτω γὰρ καὶ τὴν Αἴγυπτον ἠερίαν φασίν. Ἢ ἠερία ἀντὶ τοῦ πρωΐα, ἀπὸ τοῦ ἦρι.

Πελασγῶν. Τῶν Θεσσαλῶν, ἀπὸ Πελασγοῦ τοῦ Ἰνάχου. Ἢ ἀπὸ Πελασγῶν, ἔθνους βαρβαρικοῦ, οἰκήσαντος τὴν Θεσσαλίαν καὶ τὸ Ἄργος. Ἢ ἀπὸ Πελασγοῦ τοῦ Ποσειδῶνος υἱοῦ καὶ Λαρίσσης. Στάφυλος δὲ ὁ Ναυκρατίτης Πελασγὸν φησὶν Ἀργεῖον τὸ γένος, μετοικῆσαι δὲ εἰς Θεσσαλίαν, καὶ ἀπ' αὐτοῦ Πελασγίαν τὴν Θεσσαλίαν κληθῆναι. Ὅτι δὲ καὶ αὐτοὶ οἱ Ἀργεῖοι ἐκαλοῦντο Πελασγοὶ, Σοφοκλῆς ἐν Ἰνάχῳ φησί. Καὶ οἱ Τυρσηνοὶ δὲ, Πελασγοί.

V. 581. Ἐρίπνας. Ἀποῤῥῶγας κολώνας, σπήλαια κρημνώδη. Λέγουσι δὲ οὕτω καὶ τὰς οἰκίας, ἀπὸ τοῦ ἐρηρεῖσθαι. Ἐρίπνη δὲ λέγεται ἐπὶ τοῦ ἀκρωτηρίου, παρὰ τὸ ἄγαν πνέεσθαι.

---

*) Stephanica habet τὴν εἶναι γῆν, manifesto errore typothetae: nam sic articulum a nomine ne Scholiastis quidem divellere licuit. Quod a me moneri, si quis miretur, meminerit, quae in hac litterarum Graecarum luce sit Archilochus Criticorum ausa perpessus. Chariton p. 95, 15. δύσελπιν δέ με τῆς πεποίηκε δίκης τὸ προοίμιον. Nihil notavit Dorvillius, fortasse quod vitium tam manifestum esse crederet, ut ne tironem quidem posset fallere. Vere Lipsiensis editor p. 126.: „Apertum, scribi debere πεποίηκε τῆς δί- „κης —." Sed Callimacheo Fragm. Bentl. CXVIII. v. 2. οἵ φασι τεκόντες quid faciam, ignorare me fateor. Sanum esse non puto.

V. 582. Σηπιάς. Ἀκρωτήριον ἐν Ἰωλκῷ, οὕτω καλούμενον διὰ τὸ τὴν Θέτιν ἐνταῦθα εἰς σηπίαν μεταβληθῆναι, διωκομένην ὑπὸ Πηλέως.

V. 583. Εἰναλίη Σκίαθος. Ἡ παραθαλασσία. Νῆσος γὰρ ἡ Σκίαθος τῆς Θεσσαλίας, ἐγγὺς Εὐβοίας· ἧς καὶ Σιμωνίδης μέμνηται.

V. 584. Πειρεσιαὶ δὲ, πόλις Μαγνησίας· Μάγνησα δὲ, πόλις τῇ χώρᾳ ὁμώνυμος, ἄγαν εὔδιος καὶ παραθαλάσσιος.

Μάγνησα. Τὴν Μαγνησίαν λέγει τὴν κατὰ Θεσσαλίαν. Ἔστι γὰρ καὶ ἑτέρα Μαγνησία περὶ Ἔφεσον, ἐκτισμένη ὑπὸ Λευκίππου τοῦ Καρὸς, μετοικήσαντος ἐκεῖ σὺν Μάγνησι τοῖς ἐκ Κρήτης.

Μάγνησά θ' ὑπεύδιος. Ὁ νοῦς, οὐ τραχεῖά τις οὐδὲ πετρώδης, ἀλλ' ὁμαλή τις καὶ εὔδιος.

V. 587. Καί μιν κυδαίνοντες. Τὸν Δόλοπα. Ὁ δὲ Δόλοψ, Ἑρμοῦ υἱὸς, ὃς ἐν Μαγνήσῃ τῇ πόλει ἀπώλετο, καὶ αὐτόθι τάφον παρὰ τῷ αἰγιαλῷ ἔσχεν, ὡς Κλέων ἐν πρώτῳ τῶν Ἀργοναυτικῶν. Τοῖς μὲν οὖν κατοιχομένοις ὡς περὶ ἡλίου δυσμὰς ἐναγίζουσι, τοῖς δὲ Οὐρανίδαις ὑπὸ τὴν ἕω, ἀνατέλλοντος τοῦ ἡλίου.

Ἔντομα δὲ τὰ σφάγια, κυρίως τὰ τοῖς νεκροῖς ἐναγιζόμενα, διὰ τὸ ἐν τῇ γῇ αὐτῶν ἀποτέμνεσθαι τὰς κεφαλάς. Οὕτω γὰρ θύουσι τοῖς χθονιοις· τοῖς δὲ οὐρανίοις ἄνω ἀναστρέφοντες τὸν τράχηλον σφάζουσιν. Ὅμηρος·

Αὖ ἔρυσαν μὲν πρῶτα.

Ἄλλοι δὲ ἔντομα, φασὶν, τοῖς τεθνεῶσιν ἐνάγιζον, ὡς ἄγονα τοῖς ἀγόνοις· τοῖς δὲ οὐρανίοις θεοῖς ἔνορχα ἔθυον.

V. 588. *Λείπει δὲ ἡ παρὰ πρόθεσις· ἵν᾽ ᾖ, ἔθυον τῷ Δόλοπι παρὰ τῷ οἴδματι τῆς θαλάσσης.*

V. 589. *Ἐλινύεσκον.* *Περὶ τὸ αὐτὸ διέτριβον.* *Ἢ ἐστρεύγοντο, ἐμποδιζόμενοι τῆς ὁδοῦ.*

V. 592. *Μελίβοιαν.* *Πόλιν Θεσσαλίας.*

V. 594. *Ὁμόλην.* *Ὁμόλη ὄρος Θεσσαλίας οὕτω καλούμενον, ἢ πόλις Θράκης.*

V. 595. *Οὐδ᾽ ἔτι δηρόν.* *Ὁ λόγος, οὐκ ἔμελλον μετὰ πολὺ παρέρχεσθαι τὰ ῥεύματα τοῦ ποταμοῦ.*

V. 596. *Τὸ δὲ ὑπεκβαλεῖν, τὸ ἀμεῖψαι τὰ ῥεῖθρα τοῦ Ἀμύρου ποταμοῦ σημαίνει.*

V. 597. *Εὐρυμένας δὲ φάραγγας, τὰς εἰς τὸ πλάτος ἀνεῳγμένας.*

Ἀμύροιο ῥέεθρα. *Ἄμυρος Θεσσαλίας ποταμὸς ἐκρέων, μετὰ τὴν Μελίβοιαν κείμενος· προσαγορευόμενος ἀπὸ Ἀμύρου τοῦ υἱοῦ Ποσειδῶνος. Ἔστι δὲ καὶ πόλις αὐτόθι.*

V. 598. *Ὄσσης.* *Ὄσσα ὄρος πρὸς τῷ τέλει τῆς Θεσσαλίας, μεθ᾽ ὃ διαδέχεται ἡ Μακεδονία.*

V. 599. *Κλίτεα δὲ, τὰς ἀνακλίσεις τῶν ὀρῶν καὶ βάσεις.*

Παλλήνη δὲ, ὄρος Θράκης καὶ πόλις, ὅθεν ἦν Πρωτεύς.

Κανάστρα δὲ ἀκρωτήριον τῆς Παλλήνης.

Ὄλυμποι δέ εἰσιν ἕξ· Μακεδονίας, Θεσσαλίας (ἐν ᾧ καὶ Ὀλύμπια φησὶν Ἀπολλόδωρος ἄγεσθαι), Μυσίας, Κιλικίας, Ἤλιδος, Ἀρκαδίας.

V. 601. *Ἄθω.* *Ἄθως ὄρως Θράκης ὑψηλότατον. Ἡ δὲ διάνοια, ἅμα δὲ τῇ ἡμέρᾳ ὁ Ἄθως αὐτοῖς ἀνεφάνη, ἀπέχων τῆς Λήμνου τοσοῦτον, ὅσον ἂν ναῦς πλέουσα ἀπὸ ἠοῦς μέχρι μεσημβρίας πλοῦν διανύσῃ. Καὶ τοσοῦ-*

τον, φησὶν, ἀπέχουσαν τὴν Λῆμνον ὅμως σκιάζει διὰ τὸ ὕψος παρακλίναντος τοῦ ἡλίου. Οὐ μόνον δὲ, ἀλλὰ καὶ μέχρι Μυρίνης. Πόλις δέ ἐστιν ἡ Μυρίνη πρὸς τῷ τέλει τῆς Λήμνου. Δίπολις γάρ ἐστιν ἡ Λῆμνος· ἔχει γὰρ Ἡφαιστίαν καὶ Μυρίνην. Ἐκλήθη δὲ ἀπὸ Μυρίνης τῆς Θόαντος γυναικὸς, Κρηθέως δὲ θυγατρός.

V. 604. Καὶ ἐσάχρι. Περιττὸς ὁ καὶ σύνδεσμος.

V. 608. Σιντηΐδα. Ἐπιθετικῶς Σιντηῒς ἡ Λῆμνος. Τυρσηνοὶ γὰρ αὐτὴν πρῶτοι ᾤκησαν, βλαπτικώτατοι ὄντες. Ἢ τὴν ὑπὸ τῶν βαρβάρων οἰκισθεῖσαν. Καὶ Ὅμηρος·

Ὤιχετο δ' ἐς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους.

Ἑλλάνικος δέ φησι Σίντιας ὀνομασθῆναι τοὺς Λημνίους, διὰ τὸ πρώτους ὅπλα ποιῆσαι πολεμικὰ πρὸς τὸ σίνεσθαι τοὺς πλησίον καὶ βλάπτειν.

V. 609. Ἔνθ' ἄμυδις. Αἱ Λήμνιαι γυναῖκες ἐπιπολὺ τῶν τῆς Ἀφροδίτης τιμῶν κατολιγωρήσασαι, καθ' ἑαυτῶν τὴν θεὸν ἐκίνησαν. Πάσαις γὰρ δυσοσμίαν ἐνέβαλεν, ὡς μηκέτι αὐτὰς τοῖς ἀνδράσιν ἀρέσκειν. Τῶν δὲ πρὸς Θρᾶκας ἐχόντων πόλεμον, καὶ πολλάκις ἐκεῖθεν αἰχμαλώτους λαμβανόντων, καὶ ἀποστρεφομένων τὰς γνησίας γαμετὰς, κατὰ τὴν τῆς θεοῦ ὀργὴν, ἐψηφίσαντο αἱ γυναῖκες νύκτωρ τοὺς ἄνδρας ἀνελεῖν. Καὶ οὐ μόνον τοῦτο ἐποίησαν, ἀλλὰ καὶ τὰς αἰχμαλώτους ἀνεῖλον. Δείσασαι δὲ, μὴ οἱ παῖδες ἀνδρωθέντες τιμωρήσωνται αὐτὰς, πᾶν ὁμοῦ τὸ ἄρσεν γένος ἀνεῖλον.

V. 613. Ἀντιπέρηθεν. Ἐξεναντίας. Οὕτω γὰρ κεῖται ἡ Θράκη τῆς Λήμνου.

Ληΐδας, τὰς αἰχμαλώτους.

V. 615. Ἄτισσαν. Οὐκ ἐτίμησαν.

Ἰστέον δὲ, ὅτι τῶν ἄλλων ἱστορούντων, ὅτι κατὰ

χόλον τῆς Ἀφροδίτης αἱ Λημνιάδες δύσοσμοι ἐγένοντο, Μυρτίλος ἐν πρώτῳ Λεσβικῶν διαφέρεται, καί φησι τὴν Μήδειαν παραπλέουσαν, διὰ ζηλοτυπίαν ῥίψαι εἰς τὴν Λῆμνον φάρμακον, καὶ δυσοσμίαν γενέσθαι ταῖς γυναιξίν· εἶναί τε μέχρι τοῦ νῦν κατ᾽ ἐνιαυτὸν ἡμέραν τινὰ, ἐν ᾗ διὰ τὴν δυσωδίαν ἀποστρέφονται τὰς γυναῖκας ἄνδρες τε καὶ υἱεῖς.

V. 620. *Οἴη δ᾽ ἐκ πασέων.* Εἰκότως ἡ Ὑψιπύλη οὐκ ἀπέκτεινε τὸν πατέρα· πρῶτον μὲν, διότι πατὴρ ἔδωκε τὴν ὀφειλομένην τῷ Θόαντι σωτηρίαν· δεύτερον δὲ, διὰ τὴν ἡλικίαν· καὶ ὅτι οὐκ αἴτιος ἦν αὐτὸς οὐδὲ συνεργὸς τῆς τῶν ἄλλων Λημνιάδων ἀσελγείας.

V. 623. *Ἐς Οἰνοίην ἐρύσαντο.* Εἴληφε τὴν ἱστορίαν παρὰ Θεολύτου.

V. 624. *Σίκινος* δέ ἐστι νῆσός τις πρὸ τῆς Εὐβοίας, τὸ πρότερον Οἰνοίη καλουμένη, διὰ τὸ εἶναι αὐτὴν ἀμπελόφυτον. Μνημονεύει δὲ τῆς μετονομασίας Ξεναγόρας, λέγων ὅτι μετωνομάσθη ἀπὸ Σικίνου υἱοῦ Θόαντος καὶ Νηΐδος νύμφης. Ὅτι δὲ ἐνθάδε Θόας ἐσώθη, καὶ Κλέων ὁ Κουριεὺς ἱστορεῖ, καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς, δεικνὺς ὅτι παρὰ Κλέωνος τὰ πάντα μετήνεγκεν Ἀπολλώνιος.

V. 625. *Ἐπακτῆρες.* Ἀντὶ τοῦ ἁλιεῖς. Ἐπὶ νήσου κυνηγοὺς οὐ δεῖ λέγειν.

V. 627. *Ταῖσι δὲ βουκολίαι τε.* Λοιπὸν γὰρ διὰ τὸ ἀνδρῶν πολὺν χρόνον στερίσκεσθαι τὴν νῆσον, ἡ πεῖρα αὐτὰς καὶ εἰς ἀνδρεῖον μετέβαλεν βίον καὶ ἐπιτήδευμα.

V. 631. *Ἦ θαμὰ δὴ πάπταινον.* Ὁ ἦ σύνδεσμος ἰσοδυναμεῖ τῷ δή. Ὥστε κεῖσθαι τὸν δὴ σύνδεσμον, ὡς παρ᾽ Ὁμήρῳ,

Ἢ δὴ λοίγια,
ἐκ παραλλήλου.

V. 633. Τῷ καὶ ὅτ'. Ἔλεγον γὰρ αὐτοὺς ὡς εἰς πόλεμον ἐλήλυθον.

V. 634. Μυρίνης. Μυρίνη πόλις τῆς Λήμνου, ἧς καὶ ἀνωτέρω μέμνηται.

V. 636. Θυάσιν ὠμοβόροις. Μαινάσιν. Ἔνθεν καὶ τὴν Σεμέλην Θυώνην καλοῦσιν, ἐπειδὴ Αἰσχύλος ἔγκυον αὐτὴν παρεισήγαγεν οὖσαν καὶ ἐνθεαζομένην· ὁμοίως δὲ καὶ τὰς ἐφαπτομένας τῆς γαστρὸς αὐτῆς ἐνθεαζομένας. Ἄλλως. Μαινάσι, βάκχαις. καὶ ὡς Σεμέλη, Θυώνη, παρὰ τὸ θύειν καὶ ὁρμᾶν. μαινομέναις.

Τὸ δὲ ὠμοβόροις, ὅτι πολλάκις τῇ μανίᾳ κατασχεθεῖσαι καὶ ὠμοσπάρακτα ἐσθίουσιν, ὡς καὶ Εὐριπίδης ἐν Βάκχαις φησίν.

V. 637. Θοαντιάς. Δύο τύποι εἰσὶ τῶν θηλυκῶν πατρωνυμικῶν. Ὁ μὲν εἰς $\overline{\alpha\varsigma}$, οἷον Πελιάς· ὁ δὲ εἰς $\overline{\iota\varsigma}$, οἷον Πελοπίς. Καὶ ταῦτα δὲ εἰς $\overline{\alpha\varsigma}$ μεταβάλλει τὴν τελευταίαν, παρεντιθεμένου τοῦ ι, ἵνα μὴ εἴη κακόφωνα.

V. 640. Τείως δ' αὖτ'. Ἐν τοσούτῳ ἐν ὅσῳ αὗται ὡπλίζοντο. Ἐπεκτέταται δὲ τὸ τέως, κείμενον ἀντὶ τοῦ ἕως. ἕως δή.

V. 643. Σφωϊτέροιο. Ἀκαίρως τῷ δυϊκῷ ἐχρήσατο ἀντὶ ἑνικοῦ.

V. 645. Ἀπροφάτους. Ἀπροσφωνήτους. Ἀπροφασίστους.

Ἐπιδέδρομε λήθη. Ὅτι λέγονται οἱ τεθνηκότες λήθην τῶν γεγονότων αὐτοῖς ἐν τῇ ζωῇ λαμβάνειν. Οὗτος οὖν (φησὶ) καὶ τεθνηκὼς εἰς λήθην οὐκ ἔπεσεν· καὶ μετεμψυχωθεὶς, κατὰ τὸν τῶν φιλοσόφων λόγον,

ᾔδει τίς ἦν, διὰ τὰς τοῦ Ἑρμοῦ βουλάς. Φερεκύδης δέ φησιν, ὅτι δῶρον εἶχε παρὰ τοῦ Ἑρμοῦ ὁ Αἰθαλίδης, τὸ τὴν ψυχὴν αὐτοῦ ποτὲ μὲν εἰς ᾅδου, ποτὲ δὲ ἐν τοῖς ὑπὲρ τὴν γῆν τόποις εἶναι. Φασὶ δὲ τοῦτον τὸν Αἰθαλίδην οἱ Πυθαγορικοὶ, τῆς ψυχῆς οὔσης ἀφθάρτου, κατὰ μὲν τοὺς Τρωϊκοὺς χρόνους ἀναβιώσαντα, Εὔφορβον εἶναι τὸν Πάνθου· ἔπειτα ἐκ τούτου Πύῤῥον τὸν Κρῆτα· εἶτα Ἠλεῖον τινὰ, οὗ τὸ ὄνομα ἀγνοεῖται· μετὰ ταῦτα αὐτὸν τὸν Πυθαγόραν. Πυθαγόρας δὲ, ἐν τῷ μεταλλοιοῦσθαι τὰς ψυχὰς καὶ παρεισδύνειν εἰς ἕτερα σώματα, φησὶν ὅτι γένοιτο μὲν πρῶτον Αἰθαλίδης, εἶτα Εὔφορβος Τρὼς, εἶτα Ἑρμοῦ υἱὸς καὶ Σαμίας ἑταίρας, καὶ Πυθαγόρας. τὴν δὲ μνήμην αὐτῷ παρέπεσθαι τῷ κεχαρίσθαι Ἑρμῆν τῷ Αἰθαλίδῃ υἱῷ ὄντι.

V. 646. Μεμόρηται. Κατὰ ἔκθλιψιν τοῦ ι. Ἔστι γὰρ μεμοίραται, ἀντὶ τοῦ κεκλήρωται.

V. 647. Αἰθαλίδης δὲ, κήρυξ τῶν Ἀργοναυτῶν ἑτερήμερος, ὥς φησιν· ὥστε μίαν μὲν ὑπὸ τὸν ᾅδην, μίαν δὲ ὑπὸ τὴν ἡμέραν διάγειν.

V. 650. Μειλίξατο. Παρεκάλεσεν. Ἔπεισε τῷ λόγῳ, συνετὸς ὤν. Καὶ γέγονε παρὰ τὸ Ὁμηρικὸν,

Ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ.

V. 651. Ἤματος ἀνυμένοιο. Τῆς ἡμέρας ἐπὶ δύσιν ἀνυμένης.

V. 652. Πείσματα. Τὰ τῆς πρώρας σχοινία. Ὁ δὲ λόγος, καίτοι τῇ πνοῇ οὔσῃ τῇ Βορέου ἐπιτηδείᾳ τοῖς Ἀργοναύταις πρὸς τὸν πλοῦν, ὅμως οὐκ ἔλυσαν τὰ σχοινία.

V. 659. Λαρόν. Ἡδὺν, ἀπολαυστικόν. Παρὰ τὸ λῶ πεποίηται, ὃ σημαίνει τὸ θέλω.

Ἤϊα δὲ νῦν, ἐφόδια, βρώματα.

V. 660. *Μηδ᾽ ἄμμε.* Δῶμεν αὐτοῖς χρείας, ἵνα ἐκτὸς τῶν πύργων μένωσιν ἀπρόσοδοι πρὸς ἡμᾶς· μήπως διὰ τὴν τῶν ἐπιτηδείων ἀνάγκην καὶ χρείαν, εἰσιόντες εἰς τὴν πόλιν, ἀκριβῶς τὰ καθ᾽ ἡμᾶς μάθωσιν.

V. 664. *Ἡμετέρη μέν νυν.* Κατ᾽ ἔγκλισιν τὸ νυν ἀναγνωστέον. Οὐ γὰρ δηλοῖ χρόνον, ἀλλ᾽ ἴσον ἐστὶ τῷ δή. Ἐκτατέον δὲ διὰ τὸ μέτρον.

V. 665. *Υμέων δ᾽ εἴτις.* Παρὰ τὸ Ὁμηρικὸν,

Νῦν δ᾽ εἴη ὃς τῆσδέ γ᾽ ἀμείνονα μῆτιν ἐνισπῃ.

V. 669. *Ῥικνοῖσι.* Ῥυσοῖς. Ἡ δὲ λέξις παρὰ Καλλιμάχῳ·

Ναὶ μὰ τὸ ῥικνὸν σῦφαρ ἐμόν.

Διασκευάζει δὲ Ὁμηρικῶς τὴν γραῦν οὕτως,

Ὅς δὴ γήραϊ κυφὸς ἔην.

V. 672. *Ἐπιχνοάουσαι.* Ὡς χνοῦν ἔχουσαι τὰς λευκὰς φυομένας τρίχας.

V. 674. *Μόλις.* Κακῶς διὰ τοῦ λ. Ἔδει γὰρ διὰ τοῦ γ, μόγις, παρὰ τὸν μόγον.

V. 677. *Ἐπαυρέσθαι.* Ἐὰν μὲν παροξυτόνως, ἔσται ἀόριστος, ἀντὶ τοῦ ἀπολαῦσαι· ἐὰν δὲ προπαροξυτόνως, παρατατικὸς, ἀντὶ τοῦ ἀπολαύειν.

V. 681. *Ἄλλα δ᾽ ὀπίσσω.* Πολλὰ δὲ κακὰ χείρονα μάχης καὶ πολέμου ἔσται.

V. 684. *Ἄγονοι.* Ἄσπερμοι, διὰ τὸ ἀνδρὶ μὴ συνεῖναι.

Διὰ δὲ τοῦ ἐπιθέτου τοῦ γήρως τὸν λόγον ἐπιπλεῖον ἐκάκωσε, στυγερὸν γῆρας εἰπών.

V. 685. *Βώσεσθε.* Ἀντὶ τοῦ βιώσεσθε. Ὁ δὲ νοῦς, Αἱ δὲ νεώτεραι πῶς βιώσεσθε καὶ ζήσεσθε, ὅταν γηράσητε; τῶν μὲν παλαιοτέρων παρελθουσῶν, ὑμῶν

δὲ λοιπὸν μὴ δυναμένων ἐργάζεσθαι; ἢ αὐτόματοι οἱ βόες ἀροτριάσουσι καὶ θερίσουσι τοῦ ἔτους περιερχομένου, μηδενὸς ἀνθρώπου ἐπικειμένου τῷ ἔργῳ;

V. 688. *Καὶ πρόκα.* Εὐθέως. Γράφεται καὶ *περιτελλομένου ἔτεος.*

V. 689. *Ἡ μὲν ἐγών.* Ἐν ἤθει λέγει ταῦτα.

Εἰ καὶ πεφρίκασσιν. Οἷον φοβοῦνται ἐπ' ἐμὲ αἱ Κῆρες ἐλθεῖν, νῦν ὅμως ἀποθανοῦμαι. Λέγει δὲ τῷ ὑπεργεγηρακέναι.

V. 692. *Αὕτως ἦ θέμις.* Οὕτως ὡς προσῆκον ἐστίν.

V. 694. *Ἐπήβολος.* Ἐπιτυχὴς καὶ κυρία ἐπὶ τύχῃ τῶν κακῶν. Ἡ ἀντὶ τοῦ δεσπόζουσα καὶ συμφέρουσα.

V. 695. *Ληΐδα.* Καταχρηστικῶς τὰ χρήματα· κυρίως δὲ τὰ ἐκ λαφυραγωγίας.

V. 696. *Ἄστυ.* Ἐτυμολογεῖ Εὔμολπος τὴν λέξιν, ἄστυ λέγων παρὰ τὸ ἵστασθαι. Ἐπὶ μετεώρου γὰρ κεῖνται αἱ πόλεις.

V. 700. *Ἧδε μενοινή.* Ἀντὶ τοῦ βουλή. Ἀστείως δὲ, ἐπεὶ αὐτῇ ἤρεσε τὰ λεχθέντα, ἵνα μὴ ὥσπερ ἀκολασίαν κατηγορῆται, τὴν κοινὴν πασῶν ἐπικαλεῖται μαρτυρίαν.

V. 701. *Μετὰ νῆα καὶ ἄγγελον.* Ἀντὶ τοῦ ἐπὶ τὴν ναῦν. Περιττὸς δὲ ὁ *καὶ* σύνδεσμος.

V. 703. *Ὄρσο μοι Ἰφινόη.* Τὸ ἑξῆς, Ὄρσο μοι Ἰφινόη τοῦδ' ἀνέρος ἀντιόωσα, ὅστις στόλου ἡγεμονεύει, ἡμέτερόνδε μολεῖν.

Τὸ δὲ *ἀντιόωσα*, ἀντὶ τοῦ ἀντιάσουσα, οἷον ἀξιώσουσα, τουτέστι δεησομένη.

V. 704. *Στόλος* δέ ἐστιν ἐπὶ πρᾶξιν τινὰ πορευόμενον πλῆθος, εἴτε ἐπὶ νεῶν, εἴτε καὶ πεζῇ. Καὶ σχε-

δὸν ἐπὶ πάσης ὁρμῆς καὶ μείζονος παρασκευῆς. Ἐνταῦθα δὲ στόλον τὸ τῆς μιᾶς νηὸς πλῆθος εἶπε. Προστίθησι, Παλαμήδης, οὕτω δὲ λέγεται καὶ ἡ εἰς ὀξὺ ἀπόληξις.

V. 707. Εὐμενέοντας. Τοῦτο ὡς πρὸς οὓ ἐδεδοίκεισαν, μὴ ἄρα πολέμιοι ἦσαν.

V. 712. Κούρη τοί μ᾽ ἐφέηκε. Διὰ τοῦ κόρη τὸν τῶν Ἀργοναυτῶν φόβον ἀποκρούεται (καὶ γὰρ αὐτοὶ ἐδεδοίκεισαν, ἑωρακότες αὐτὰς καθωπλισμένας) καὶ ἀποτρέπεται. Παρθένος γὰρ ἡ καλέσασα.

Τὸ δὲ Θοαντιὰς ἀντὶ τοῦ Θόαντος.

V. 718. Εἴσαντο. Ἀντὶ τοῦ διενοήθησαν, ὑπέλαβον.

V. 719. Τηλυγέτην δὲ νῦν ἀκουστέον μόνον. Ὁ γὰρ νοῦς, διενοήθησαν δὲ μονογενῆ Θόαντι τὴν Ὑψιπύλην γεγενημένην, τὴν βασιλείαν τοῦ πατρὸς εἰληφέναι.

V. 721. Ἰτωνίδος. Ἐν Θεσσαλίᾳ θεὰ Ἰτωνὶς τιμᾶται, καὶ ἐν Κορωνείᾳ πόλει τῆς Βοιωτίας, ἀπὸ Ἰτώνου τοῦ ἱερέως.

Ἀστείως δὲ, οὐ πολεμικῇ σκευῇ χρώμενον ἐξάγει, ἀλλ᾽ ἐσθῆτι κοσμούμενον. Πρῶτον μὲν, ὅτι ἀπόλεμον αὐτὸν ἐκάλει· ἔπειτα, ὅτι καὶ γυναικῶν μόνον ἡ πόλις, αἳ μάλιστα τοῖς τοιούτοις χαίρουσι. Καὶ ὁ Μένανδρος· Εὐκαταφρόνητος τῇ στολῇ εἴσειμι, καὶ ταῦτα εἰς γυναῖκας. Ἤδη δὲ καὶ διὰ τῆς δωρησαμένης θεοῦ τὸ τῆς χλανίδος κάλλος ἐσήμαινεν.

V. 723. Δρυόχους. Ἐν οἷς καταπήγνυται ἡ τρόπις ξύλοις, ταῦτα οὕτως καλοῦσιν. Ὅμηρος·

Ἵστασχ᾽ ἑξείης, δρυόχους ὥς, δώδεκα πάντας.

Δρύοχοι οὖν τὰ ἐγκοίλια τῆς νεώς.

V. 724. *Κανόνας* δὲ τὰς στάθμας, αἷς τὰ ξύλα καὶ τοὺς τοίχους οἱ τέκτονες ἐξισάζουσι.

Δάε δὲ, ἐδίδαξεν ἡ θεός.

V. 725. *Τῆς μὲν ῥηΐτερον.* Ἐν τῇ προεκδόσει, τῷ Τῆς μὲν ῥηΐτερόν κεν, ἑξῆς ἐστιν, Ἄκρα δὲ πορφυρέη. οἱ δὲ μεταξὺ δύο οὐκ εἰσίν.

V. 726. *Ἔρευθος.* Ἐρύθημα. Ἔστι δὲ καὶ βοτάνης εἶδος ἐρυθρὸν, ᾗ τὰ ἔρια βάπτουσιν.

V. 727. *Ἐρευθήεσσα* δὲ, ἀντὶ τοῦ πυῤῥὰ, ὑπέρυθρος. Καὶ ἔστι παρὰ τὸ Σαπφικόν·

Παντοδαπαῖς μεμιγμένα χροιαῖσιν.

V. 730. *Κύκλωπες.* Οὗτοι οἱ κατασκευάσαντες τῷ Διῒ τὸν κεραυνόν. Καὶ Ἡσίοδος·

Οἳ Ζηνὶ βροντὴν ἔδοσαν, τεῦξάν τε κεραυνόν.

Ἐπ' ἀφθίτῳ. Ἐπὶ θείῳ καὶ θαυμαστῷ καὶ ἀθανάτῳ ἔργῳ.

V. 731. *Ὅς τόσον.* Ἤτοι ἐπὶ ποσότητος τόσον, ἢ ἐπὶ θαύματος τοσοῦτον, ἀντὶ τοῦ μεγάλως.

V. 732. *Μιῆς δ' ἔτι δεύετο.* Ὅτι ἦν ἡμιτελὴς παρὰ μίαν ἀκτῖνα κεραυνός. Αἰνίττεται δὲ, ὅτι τὸ κατασκεύασμα ἀληθῶς εἶχε τὸν κεραυνὸν, καὶ ὀλίγῳ ἐλαττούμενον τῆς ἀληθοῦς λαμπηδόνος. Οὐ γὰρ οἷόν τε ἦν τεχνίτην ἐν ποικίλματι ὁμοίαν τὴν λαμπηδόνα ποιῆσαι τῆς ἀληθοῦς.

V. 734. *Μαλεροῖο.* Οἱ νεώτεροι, τοῦ λαμπροῦ· οἱ δὲ, τοῦ μαραντικοῦ.

V. 735. *Ἀντιόπης.* Δύο Ἀντιόπαι ἐγένοντο· ἡ μὲν, Νυκτέως, ἡ δὲ, Ἀσωποῦ (περὶ ἧς νῦν Ἀπολλώνιος), ἧς καὶ Διὸς, Ἀμφίων καὶ Ζῆθος, οἳ καὶ τὰς Θήβας ἐτείχισαν, ὡς καὶ Ὅμηρος φησίν·

Οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο.

Φερεκύδης δὲ καὶ τὴν αἰτίαν παραδίδωσι τῆς οἰκοδομῆς, διότι Φλεγύας πολεμίους ὄντας εὐλαβοῦντο βασιλεύοντι Κάδμῳ.

V. 737. Κεῖτο πέλας. Ἀστείως, ὡς πρὸς τὴν ἕδραν τῆς πόλεως τῶν τειχῶν καὶ τὴν στάσιν, τὸ κεῖτο ἔταξεν.

V. 738. Ἐπωμαδὸν ἠέρταζεν. Κατὰ τοὺς ὤμους ἐβάσταζεν, ἐπὶ τῶν ὤμων ἦρεν.

V. 739. Διὰ δὲ τοῦ ἐοικὼς ἐκόλασε τὸν λόγον, διὰ τὸ ἐν γραφῇ εἶναι. Οὐ γὰρ ἀληθῶς ἐκακοπάθει ἐν τῇ γραφῇ.

V. 740. Ἐπί οἱ. Ἐπ' αὐτῷ τῷ Ζήθῳ ἑπόμενος.

V. 741. Τὸ δὲ δὶς τόσση, ἀντὶ τοῦ διπλασίων τοῦ Ἀμφίονος ἐπηκολούθει πέτρα.

Ὅτι δὲ ἠκολούθησαν τῇ Ἀμφίονος λύρᾳ οἱ λίθοι αὐτόματοι, ἱστορεῖ καὶ Ἀντιμενίδας ἐν πρώτῳ. Τὴν δὲ λύραν δοθῆναι Ἀμφίονι ὑπὸ Μουσῶν φησί· Διοσκορίδης δὲ, ὑπὸ Ἀπόλλωνος· καὶ Φερεκύδης δὲ ἐν τῇ δεκάτῃ ἱστορίᾳ, ὑπὸ Μουσῶν.

Δὶς τόσση δὲ, διπλῆ ὡς πρὸς ἣν ἐβάσταζεν ὁ Ζῆθος. Διὰ δὲ τούτου οὐδὲν ἕτερον δηλοῖ ἢ τὴν τῆς μουσικῆς καὶ τὴν τῆς εὐπαιδευσίας ἀρετὴν, ὡς πρὸς τὴν ἄλογον ἀνδρίαν· παραινῶν ὅτι ὁ μὲν, ὡς σφόδρα ἰσχυρὸς, ὀλίγον, καίτοι κακοπαθῶν, ἔφερεν, ὁ δὲ μέγιστον τῇ εὐπαιδευσίᾳ φέρειν ἠδύνατο.

V. 743. Θοὸν δὲ, τὸ εὐκίνητον καὶ εὐμετάφορον· ἀπὸ τοῦ θοάζειν, ὅ ἐστι ταχύνειν.

Ὀχμάζουσα. Κατέχουσα, βαστάζουσα. Καίτοι μὴ οὖσα πολεμικὴ, ἀλλ' ὡς ἐραστῇ χαριζομένη τῷ Ἄρει. Κυρίως δέ ἐστιν ὀχμάσαι, τὸ ἵππον ὑπὸ χαλινὸν ἀγα-

γεῖν, ἢ ὑπὸ ὄχημα. Σημαίνει καὶ τὸ ἐν μάχῃ κρατῆσαι, ἀπὸ τῆς αἰχμῆς.

V. 746. *Δίκηλον.* Κυρίως τὸ τῷ Διῒ ἐοικὸς ἄγαλμα· καταχρηστικῶς δὲ καὶ πᾶν ὁμοίωμα, ὡς καὶ νῦν. Καὶ δικηλίτας δὲ, τοὺς σκωπτικοὺς, τοὺς ἐν τῷ σκώπτειν ἄλλόν τινα μιμουμένους. Ἐν δὲ τῇ ἀσπίδι, φησὶ, χαλκῇ οὔσῃ ἐφαίνετο αὐτῇ μορφὴ ὁμοία. Βουλόμενος δὲ δεῖξαι, ὅτι ἀντανακλάσεις ἐγίνοντο τινὲς ἐν τῇ ἀσπίδι, φησὶν, ὅτι γυμνωθέντος τοῦ ὤμου τῆς Ἀφροδίτης μέχρι τοῦ μαζοῦ εἰς τὸ ἐναντίον τῆς ἀσπίδος τὸ ὁμοίωμα τῆς Ἀφροδίτης ἐφαίνετο, διὰ τὸ λείαν εἶναι τὴν ἀσπίδα.

V. 747. *Ἐν δὲ βοῶν.* Ἡ Τάφος νῆσος ἐστὶ μία τῶν Ἐχινάδων, ἣν ᾤκησαν Τηλεβόαι, οἱ πρότεροι τὴν Ἀκαρνανίαν οἰκοῦντες, ἄνδρες ληστρικώτατοι τὸν τρόπον. Καὶ εἰς Ἄργος ἐπελθόντες τὰς τοῦ Ἠλεκτρύωνος βόας ἀπήλασαν τοῦ πατρὸς Ἀλκμήνης. Γενομένης δὲ μάχης, καὶ ὁ Ἠλεκτρύων καὶ οἱ τούτου παῖδες ἀνῃρέθησαν. Διὸ Ἀλκμήνη μετέστη, καὶ ἀνεκήρυξεν τὸν ἑαυτῆς γάμον τῷ τιμωρησομένῳ τὸν πατρῷον φόνον. Τιμωρησάμενος δὲ Ἀμφιτρύων ἔγημεν. Ἡ ἱστορία σαφῶς παρ' Ἡσιόδῳ. Περὶ δὲ τῆς μάχης Ἡρόδωρος ἱστορεῖ, ὅτι Περσέως καὶ Ἀνδρομέδας τέσσαρες παῖδες ἐγένοντο, Ἀλκαῖος, Σθένελος, Μήστωρ, Ἠλεκτρύων, καὶ κοινὴν ἔσχον τὴν βασιλείαν μετὰ τὸν Περσέως θάνατον. Μήστορος δὲ θυγάτηρ Ἱπποθόη, ἧς καὶ Ποσειδῶνος Πτερέλας. Τοῦ δὲ, Τηλεβόας καὶ Τάφος. Ὡς δέ τινες, Πτερέλα τοῦ Τηλεβόου ἐγένοντο παῖδες οἱ καλούμενοι Τηλεβόαι. Ἐλθόντες δὲ ἀπήτουν Ἠλεκτρύωνα τὰ τῆς μάμμης ἑαυτῶν τῆς μητρὸς Ἱπποθόης. Ἀντιστάντες δὲ αὐτοῖς οἱ Ἠλεκτρυωνίδαι ἀνῃρέθησαν ὑπ'

αὐτῶν. Πτερέλα παῖδες Τηλεβόας καὶ Τάφος· ἀφ' ὧν ἡ νῆσος. Τηλεβόαι οὖν οἱ Τάφιοι, ἤτοι ὅτι τῆλε οἰκοῦντες ἀπὸ Ἄργους τὰς βοῦς ἀπήλασαν, ἢ ἀπὸ Τηλεβόου τοῦ Πτερέλα τοῦ βασιλέως υἱοῦ, οὗ ἀδελφὸς Τάφιος· ἀφ' οὗ καὶ ἡ νῆσος.

V. 749. Ἀμέρσαι δὲ, τὸ στερῆσαι.

V. 752. Δηριόωντες. Ἀγωνιζόμενοι. Ὁ γὰρ Οἰνόμαος, Ἄρεως ὢν παῖς καὶ Ἁρπίνης τῆς Ἀσωποῦ, ἤτοι Εὐρυθόης τῆς Δαναοῦ, θυγατέρα ἔχων Ἱπποδάμειαν, καὶ χρησμὸν λαβὼν, ἀναιρεθήσεσθαι ὑπὸ τοῦ ἰδίου γαμβροῦ, οὐκ ἐβούλετο ἐκδοῦναι αὐτὴν, εἰ μὴ τῷ νικήσαντι αὐτὸν δι' ἵππων. Προέκειτο δὲ αὐτοῖς Κλάδεως ποταμὸς ἀφετηρία, Ἰσθμὸς δὲ τὸ τέρμα. Καὶ ἀνεῖλεν τρεισκαίδεκα μνηστῆρας, ὡς Πίνδαρος ἱστορεῖ. Ἐλθόντος δὲ τοῦ Πέλοπος ἐπὶ τὸν ἆθλον μετὰ ἵππων δεδομένων αὐτῷ ὑπὸ Ποσειδῶνος, ἐρασθεῖσα ἡ Ἱπποδάμεια Πέλοπος, ἔπεισε Μυρτίλον, τὸν Ἑρμοῦ μὲν παῖδα, ἁρματοπηγὸν δὲ καὶ ἡνίοχον Οἰνομάου, ἐμβαλόντα κήρινον ἔμβολον ἐπὶ τοῦ ἀκραξονίου, ἢ οὐδ' ὅλως ἐμβαλόντα τὸν ἔμβολον, ὡς Φερεκύδης ἱστορεῖ. Οὗ γενομένου, Οἰνόμαός τε ἐκκυλισθεὶς τοῦ τροχοῦ ἀπέθανε, καὶ Ἱπποδάμειαν Πέλοψ ἔλαβεν. Αἱ δὲ τοῦ Οἰνομάου ἵπποι, Ψίλλα καὶ Ἅρπιννα. Ὁ δὲ Μυρτίλος, Ἑρμοῦ υἱὸς ἐκ μιᾶς τῶν Δαναοῦ θυγατέρων Φαεθούσης· οἱ δὲ, ἐκ Μυρτοῦς, μιᾶς τῶν Ἀμαζόνων.

V. 754. Παραιβάτις. Οὐχ ὅτι αὐτῷ κατὰ τὸν ἀγῶνα συμπαρῆν, ἀλλ' ὅτι ὁ τεχνίτης, ἀμφότερα δεῖξαι θέλων, καὶ τὸν δρόμον καὶ τὴν νίκην, τοῦτο πεποίηκεν.

V. 756. Προτενές. Προτεταμένον ἔχων τὸ δόρυ.

V. 757. Παρακλιδόν. Παρακεκλιμένως ἔπιπτεν.

Ἄξονος ἐν πλήμνῃσι. Διαφέρει πλήμνη καὶ

πλήσμη. Ἡ μὲν γὰρ τὴν χοινικίδα σημαίνει τοῦ τροχοῦ· ἡ δὲ πλήσμη, τὴν πλημμύραν τοῦ ποταμοῦ. Διόπερ παρ' Ἡσιόδῳ οὕτως ἀναγνωστέον·

Αὐτὸς δ' ἐν πλήσμησι διϊπετέος ποταμοῖο.

καὶ οὐχ, ὥς τινες,

ἐν πλήμνῃσι.

εἰ μὴ ἔξωθεν προσλάβοιμεν τὴν σὺν πρόθεσιν, σὺν πλήμνῃσι.

V. 760. Βούπαις. Μέγας παῖς, οὔπω τέλειος ἀνήρ.

V. 761. Τιτυὸν μέγαν. Ἐλάρη μήτηρ Τιτυοῦ. Μετὰ τὴν τελευτὴν δὲ τῆς μητρὸς λέγεται παρὰ τῆς γῆς ἀνατετράφθαι, καθὰ καὶ Ὅμηρος ἱστορεῖ·

Καὶ Τιτυὸν εἶδον γαίης ἐρικυδέος υἱόν.

Φερεκύδης δέ φησιν, ὅτι Ἐλάρῃ τῇ Ὀρχομενοῦ μιγεὶς ὁ Ζεὺς ὤθησεν αὐτὴν κατὰ γῆς ἤδη κύουσαν, δεδιὼς τὴν τῆς Ἥρας ζηλοτυπίαν, καὶ ἀνεδόθη τῆς γῆς Τιτυός. Διὸ καὶ γηγενὴς καλεῖται. Ἄλλως. Ἐλάρη μήτηρ Τιτυοῦ, ὃν τεκοῦσα ἐκ Διὸς, καὶ ἀδυνατοῦσα γεννῆσαι, διὰ τὸ μέγεθος τοῦ παιδὸς, ἀπώλετο. Δοκεῖ δὲ ἡ ἱστορία ἀπίθανος εἶναι καὶ ἄπιστος, ὅτι ἐκ δευτέρου ἡ γῆ ἐγέννησε τὸν Τιτυόν. Ἀλλ' ἐροῦμεν, ὅτι οἱ ποιηταὶ τοὺς τερατώδεις κατὰ τὸ σῶμα γῆς εἶναι φασίν. Οὕτω γὰρ καὶ Καλλίμαχος τὰ δεινὰ τῶν θηρίων γῆς εἶναι ἔφη. Ὅτι δὲ μέγας ὁ Τιτυὸς, καὶ Ὅμηρος φησίν·

— — — ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα.

Φαμὲν οὖν, ὅτι ὅτε πρὸς Ἐλάρης ἐτέχθη, ἐδόκει αὐτῆς εἶναι, διὰ τὸ βραχὺ τοῦ σώματος· ὡς δὲ αὐξηθεὶς, τερατώδης ἐγένετο, εἶπον καὶ τεχθῆναι αὐτὸν καὶ τετράφθαι πρὸς τῆς γῆς.

Τιτυὸν μέγαν. Τὸ μέγαν θαυμαστικῶς εἴρη-

ται, ὅτι βούπαις ὢν μέγαν ἐτόξευσεν. Καὶ ἤτοι πρὸς τὴν θειαν φυσιν ἀκουστέον, ἢ πρὸς τὸ ὑπ' ὄψιν εἶναι την ὕβριν τῆς μητρός· ὅτι πολλακις τὰ δεινὰ τῶν πραγμάτων καὶ τὴν ηλικίαν καὶ τὴν φύσιν οἶδε βιάζεσθαι. Πρὸς ὃ ὁ ποιητὴς οὐ τῷ κυρίῳ ὀνόματι ἐχρήσατο, ἀλλὰ τῷ κατὰ φυσιν, μητέρα εἰπων.

V. 763. Ἐν καὶ Φριξος ἔην Μινυήϊος. Ὁ Ἰώλκιος. Τὴν γὰρ Ἰωλκον Μινυαι ᾤκουν, ὥς φησι Σιμωνίδης ἐν Συμμικτοις. Δύναται δὲ καὶ ἀντὶ τοῦ Ὀρχομένιος. Πολλοὶ γάρ φασιν ἐν Ὀρχομενῷ οἰκῆσαι τὸν Ἀθαμαντα.

Ζητητέον δὲ, τί βούλεται αὐτῷ ταῦτα τὰ ποικίλματα. Καὶ ἐροῦμεν, ὅτι ὁ ποιητὴς διὰ τῆς χλαμύδος οὐδὲν ἕτερον ἢ την κοσμικὴν τάξιν καὶ τὰς πράξεις φησί. Καὶ πρῶτον μὲν διὰ τοῦ κεραυνοῦ καὶ τῶν Κυκλώπων θεόν τινα καὶ θείαν φύσιν ἀλληγορεῖ· διὸ καὶ φησὶν, ἐπ' αφθιτῳ ἥμενοι ἔργῳ. Μεθ' ὃ πόλεις κτιζομένας δια της του Ἀμφιονος λύρας ἱστορεῖ· ἔπειτα τὰ ἐν πόλεσι πάντα γενόμενα, ἔρωτάς τε καὶ πολέμους. Τοῦτο γαρ βούλεται αὐτῷ ἡ Ἀφροδίτη ὁπλοφοροῦσα. Ἡ δὲ βία καὶ αἱ μάχαι, δια τῆς τῶν Ταφίων ἱστορίας· ἀγῶνάς τε καὶ γάμους διὰ τῶν τοῦ Πέλοπος ἄθλων· ἀσεβείας τε καὶ τιμωρίας πρὸς τῶν κρειττόνων, διὰ τοῦ Τιτυοῦ· ἐπιβουλάς τε καὶ δόλους, καὶ συμβουλὴν ἀγαθὴν, καὶ σωτηριαν ἀπροσδόκητον δείκνυσι διὰ τῆς τοῦ Φρίξου ἱστορίας. Καὶ σχεδὸν πάντα τὰ ἐν ταῖς πόλεσι γινόμενα διὰ τῆς χλαμύδος ποιητικῶς ἔφρασε. Δῶρον δέ φησιν εἶναι τὴν χλαμύδα τῆς Ἀθηνᾶς, ἐπειδὴ ὅ, τε κόσμος ὑπὸ τῆς θείας φρονήσεως γέγονε, τῶν τε ἐν αὐτῷ ὑπὸ τῶν ἀνθρώπων πραττομένων οὐδὲν ἄνευ φρονήσεως ὀρθῶς γένοιτ' ἄν.

V. 764. *Εἰσαΐων.* Ἐφθέγγετο γὰρ ὁ κριὸς πιστούμενος τῷ Φρίξῳ τὴν σωτηρίαν, κατὰ βούλησιν Διός.

V. 769. sq. *Ὅρει Ἀταλάντη.* Ἰάσονος θυγάτηρ, ἣν ἔγημε Μειλανίων. Ἑτέρα γάρ ἐστιν ἡ Ἀργεία ἡ Σχοινέως, ἣν ἔγημεν Ἱππομέδων.

Μαίναλος δὲ ὄρος Ἀρκαδίας, ἐν ᾧ ἡ Ἀταλάντη διῆγεν, ἀπὸ Μαινάλου τοῦ Ἀρκάδος, ὥς φησιν Ἑλλάνικος.

Οἱ δὲ Ἀριστάρχειοι δι᾽ ἑτέρου ρ ἔχουσι τὰς τοιαύτας γραφάς, ὡς Ἡρακλέων φησὶν ἐν τῇ π τῆς Ἰλιάδος·

Τόῤῥα τότ᾽ ἐκ χηλοῖο λαβών.

Πρὸς δὲ παρθένον στελλόμενος, παρθένου δῶρα μεταχειρίζεται.

V. 773. Τὸ δὲ, *Δεῖσεν δ᾽ ἀργαλέας ἔριδας,* τὰς τῶν μνηστήρων, λέγει, τῆς Ἀταλάντης ἔριδας ἔδεισεν, μὴ εἰς στάσιν αὐτοὺς ἐξάψῃ, καὶ διαφορά τις γένηται μεταξὺ, τῶν μὲν μιγῆναι αὐτῇ θελόντων, τῆς δὲ, τὴν παρθενίαν τηρῆσαι.

Ὅτι δὲ ἐμίγησαν οἱ Ἀργοναῦται ταῖς Λημνίαις, Ἡρόδωρος ἱστορεῖ ἐν τοῖς Ἀργοναυτικοῖς. Αἰσχύλος δὲ ἐν Ὑψιπύλῃ ἐν ὅπλοις φησὶν αὐτοὺς ἐπελθούσας χειμαζομένοις τοῖς Ἀργοναύταις, μέχρις οὗ ὅρκον ἔλαβον παρ᾽ αὐτῶν ἀποβᾶσι μιγήσεσθαι αὐταῖς. Σοφοκλῆς δὲ ἐν Λημνίαις καὶ μάχην ἰσχυρὰν αὐτὰς συνάψαι φησίν.

V. 775. *Καλύβῃσιν.* Ταῖς διὰ τῶν ἱματίων κατεσκευασμέναις, ἃς καλοῦσι παστούς.

Ἤτοι δὲ δι᾽ ἔρωτα, ἢ δι᾽ ἀμνηστίαν εἴργεσθαί φησι.

Νηγατέαις δὲ, ταῖς νεοκατασκευάστοις.

V. 777. *Κυανέοιο.* Νῦν λαμπροῦ.

Διόλου δὲ ἁρμόζουσα καὶ οἰκεία ἡ εἰκών. Καὶ γὰρ

καὶ αὐτὸν ἐρῶσα ἐξεδέχετο παρθένος, καταλαμπόμενον τῷ κάλλει.

V. 781. Ἀνὰ στίβον. Ἀνὰ τὴν ὁδόν. Παρὰ τὸ στείβω τὸ περιπατῶ.

V. 783. Ἐπεκλονέοντο. Οὐ καλῶς τὸ ἐπεκλονέοντο εἴρηκεν ἅμα τῇ χαρᾷ. Κλόνος γὰρ ἡ ταραχή. Ὅμηρος·

Ὡς ὑπὸ Τυδείδῃ πυκιναὶ κλονέοντο φάλαγγες.

V. 785. Ἀπηλεγέως. Ἀντὶ τοῦ συντόμως. Ἡρωδιανὸς δὲ ἐν τῷ τρίτῳ τῆς καθόλου ἀνηλεγέως φησί.

V. 786. Προφανέντι. Περιττὴ ἡ πρὸ πρόθεσις. Θεράπναι δὲ κατὰ συγκοπὴν τοῦ θεράπαιναι.

V. 787. Σανίδεσσιν. Οὕτω λέγονται τὰ ὑπερμήκη ξύλα καὶ πλατέα, οἷον τανίδες, παρὰ τὴν τάσιν.

V. 788. Ἔνθά μιν. Ἐν τῇ προεκδόσει·

Ἔνθά μιν Ἰφινόη πρὸ δόμου διὰ ποιητοῖο
ἐσσυμένως καλῆς διὰ δίφρακος εἷσεν ἄγουσα.

V. 789. Καλῆς δι' ἀναστάδος. Ἣν ἡμεῖς προπαστάδα λέγομεν. Εἴρηται δὲ οὕτως διὰ τὸ ἐν αὐτῇ σιτᾶσθαι ἡμᾶς, οἱονεὶ πάσασθαι. Καλῆς δὲ, ἤτοι ὅτι βασίλεια τὰ οἰκήματα, ἢ ὅτι ἐρωτικά. Τοιαῦτα γὰρ τὰ τῶν ἐρώτων. Ὡς καὶ Ἀνακρέων ἐπὶ ἐρωμένης φησίν.

V. 794. Ἧσθ' αὔτως. Εἰκῇ ἐκαθέζεσθε. Ἤδη δὲ καὶ διὰ τούτου ἐφ' ὃ ἐκάλεσεν αὐτὸν ᾐνίξατο, καὶ τὰ τῆς εὐμενείας οὕτω πορίζεται.

Ὑπ' ἀνδράσιν. Ἀντὶ τοῦ ὑπ' ἀνδρῶν. Ὅμηρος·

Τρωσὶ μὲν ἡγεμόνευε.

Τοῦτο δὲ Ἰώνων ἴδιον.

Ταῦτα δὲ πλάττεται ἡ Ὑψιπύλη, ἀποδημεῖν ἐπὶ Θράκης τοὺς ἄνδρας.

V. 796. *Ἀρόωσι δὲ*, ἀροτριῶσιν. Ἀφ' οὗ τὸ διάγουσιν ἀκουστέον.

Πλάττεται δὲ καὶ ἀφανίζει τὸ ἀληθῶς γεγονὸς, καὶ τὸν φόνον τῶν ἀνδρῶν.

V. 800. *Ἐπαύλεις.* Τὰς ἐπαύλεις, τὰς μάνδρας. Ἢ καταχρηστικῶς, τὰς οἰκίας τῶν Θρακῶν ἐπόρθουν οἱ Λήμνιοι.

V. 801. *Αὐτῇσι δ' ἀπείρονα.* Θαυμαστικῶς. Οἷον, ληΐδας αὐτὰς καὶ δεσποίνας ἡμῶν ἔφερον ἄγοντες. Ἐν δὲ τῇ προεκδόσει·

Ἐκ νηῶν· ἄμυδις δὲ βόας καὶ μῆλα κόμιζον
αὐτῇσιν κούρῃσιν, ἀπείρονα ληΐδα δεῦρο.
καὶ τότ' ἔπειτ' ἀνὰ δῆμον ἀάατος ἔμπεσε λύσσα,
οὐκ οἶδ' ἢ θεόθεν, ἢ αὐτῶν ἀφροσύνῃσιν.

V. 802. *Οὐλομένης.* Ἀντὶ τοῦ τῆς δεινῆς, ἢ κατὰ συμβαίνοντος, ὀλέθρου ποιητικῆς. Ὡς τὸ, πολύδακρυν Ἄρηα, τὸν δακρύων ποιητικόν.

V. 805. *Ἠι ματίῃ.* Τῇ ἑαυτῶν ματαιότητι καὶ μωρίᾳ καὶ φρενοβλαβείᾳ νικηθέντες.

V. 807. *Εἴ κέ ποτ' αὖτις.* Περιττὸς ὁ κε σύνδεσμος. Ὁ γὰρ λόγος, πολὺν χρόνον ὑπεμείναμεν, εἴ ποτε μεταμεληθῶσιν. Ἵνα δὲ μὴ ὥσπερ ζηλοτυπίαν καὶ ἀκρασίαν κατηγορήσῃ τῶν γυναικῶν, ἐπιπολὺ αὐτὰς φησὶν ἐνηνοχέναι τὸ πάθος.

V. 811. sq. *Χῆραί τ' ἐπὶ τῇσιν.* Ἵνα μὴ τῶν παρθένων ἀσέλγειαν κατηγορῇ, εἶπεν, ἐπὶ τούτων, φησὶν, ἐδυσφόρουν, διὰ τὰς χηρευούσας μητέρας, καὶ ἐφρόντιζον. Κατὰ κοινοῦ δὲ τὸ *ἀλάληντο.* Καὶ πρὸς ἕτερον, ὅτι οὐδεμία ἡμῶν πρὸς γάμον ἤρχετο· εἴχομεν γὰρ τὴν τῶν μητέρων χηρείαν καὶ ὕβριν διδάσκαλον τῶν ἡμῖν ἐσομένων.

V. 813. *Οὐδὲ πατήρ.* Πρὸς πλείονα οἶκτον καὶ ἔμφασιν διόλου τοῖς φυσικοῖς ὀνόμασι χρῆται.

V. 820. *Ὑπέρβιον.* Μέγα καὶ θαυμαστόν. Οἶδε γὰρ αὐτὸ δεινὸν καὶ ἄπιστον, εἰ γυναῖκες ἀνδρῶν ἐκράτησαν. Διὸ καὶ τὴν τοῦ δαιμονίου σύνταξιν εἴληφεν.

V. 823. *Αὐταῖς ληϊάδεσσιν.* Λείπει ἡ σὺν πρόθεσις, ἵν᾽ ᾖ, σὺν αὐταῖς ταῖς γυναιξί.

V. 824. *Θεσσάμενοι.* Ἐξ αἰτήσεως ἀναλαβόντες, αἰτήσαντες. Θέσθαι γὰρ τὸ αἰτῆσαι καὶ ἱκετεῦσαι. Καὶ Ἡσίοδος·

Θεσσάμενος γενεὴν Κλεαδαίου κυδαλίμοιο.

Καὶ Ἀρχίλοχος·

Πολλὰ δ᾽ ἐϋπλοκάμου πολιῆς ἁλὸς ἐν πελάγεσσι
θεσσάμενοι γλυκερὸν νόστον.

Δαιμονίως δὲ καὶ τοῦτο πλάττεται. Ἦν γὰρ εὐθέως ζητῆσαι, εἰ οἱ ἄνδρες ἀπέβησαν, κἂν ἡ βραχυτέρα τῶν ἀρσένων ποῦ ἡλικία.

V. 826. *Χιονώδεα.* Οἱ μὲν, ὅτι λευκόγεως ἡ Θράκη· οἱ δὲ, τὴν συνεχῶς χιονιζομένην, παρὰ τὸ δυσχείμερον εἶναι. Ὃ καὶ βέλτιον. Ψυχρὰ γάρ ἐστιν ἡ χώρα. Διὸ κἀκεῖθεν τοὺς ἀνέμους πνεῖν ἐμυθεύσαντο. Διονυσοφάνης δὲ βόθρον φησὶν εἶναι ἐν τῇ Θράκῃ, ἐξ οὗ φυσήματα ἀνέμων γίνεσθαι, καὶ μεμυθευθῆναι οὕτω Θράκην ἀνέμων οἰκητήριον.

V. 831. *Αἰγαίῃ.* Τὸ Αἰγαῖον πέλαγος φησίν. Ἐκλήθη δὲ ἀπὸ νήσου Αἰγῶν καλουμένης. Ὅμηρος·

Οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγάς.

Αὕτη γὰρ ἱερὰ Ποσειδῶνος, ἐν ᾗ μηδένα κοιμᾶσθαι λόγος, διὰ τὰ φαντάσματα τοῦ θεοῦ, ὥς φησι Νικοκράτης. Οἱ δὲ ἀπὸ Ποσειδῶνος ὀνομασθῆναι φασὶ τὸ πέλαγος. Αἰγαῖος γὰρ οὗτος ὁ θεὸς προσαγορεύεται, ὡς

φησι Φερεκύδης. Νικοκράτης δέ φησιν, ὅτι ἀπὸ Αἰγέως κατακρημνίσαντος ἑαυτὸν ἀπὸ τῆς ἀκροπόλεως εἰς τὴν θάλασσαν. Οὐκ εὖ. Πολὺ γὰρ ἀπέχει ἡ ἀκρόπολις τῆς θαλάσσης παραπλέοντι.

V. 834. Ἀμαλδύνουσα. Ἀφανίζουσα, καὶ τῷ πλάσματι κρύπτουσα.

Ἀντεγκληματικῶς πανταχόθεν μετάγει τὴν αἰτίαν ἐπὶ τοὺς ἄνδρας. Οὐ γὰρ λέγει, ὅτι ἐφόνευσαν αὐτοὺς, καὶ τοὺς ἄῤῥενας παῖδας καὶ τὰς γυναῖκας, ἀλλ' ὅτι σὺν ταῖς γυναιξὶ ταῖς Θράσσαις καὶ τοῖς ἄῤῥεσι παισὶν ἀπῆλθον εἰς Θράκην, κἀκεῖ διάγουσιν. Οὕτω γὰρ ἐκ τῶν ἐνόντων ἀπέλυσεν αὐτὰς μέμψεως. Καὶ ὅλος δὲ ὁ λόγος τῆς Ὑψιπύλης πολλὴν περιέχει δεινότητα. Ἀντεγκληματικὴν ποιοῦσα τὴν στασιν, αὔξει τὸ ἐκείνων ἔγκλημα, διὰ πολλῶν δεικνῦσα πολλῷ μεῖζον ἁμάρτημα τοῦ τῶν γυναικῶν. Πολύν τε γάρ φησι χρόνον ὑπομεμενηκέναι τὰς γυναῖκας τὴν ὕβριν. Ἀλλὰ δὴ καὶ τὸ τὰς μὲν κουριδίας μισεῖσθαι καὶ τῆς οἰκίας ἐκβαλεῖν, ταῖς δὲ δορυκτήτοις συγγενέσθαι, πάνυ τὸ ἔγκλημα τῶν ἀνδρῶν αὐξάνει. Αὔξησις δὲ μεγαλη καὶ τὸ τοὺς μὲν γνησίους παῖδας ἀτιμάζεσθαι, τοὺς δὲ νόθους θάλλειν. Ὄνειδος δὲ μέγα, καὶ τὸ τὰς κόρας τὰς γνησίας καὶ τὰς χηρευούσας γυναῖκας· ἴσως δὲ καὶ πάσας νῦν χήρας καλεῖ, διὰ τὸ ἐστερῆσθαι τῶν οἰκείων ἀνδρῶν· ταύτας οὖν πάσας πλανᾶσθαι περὶ τὴν πόλιν ἀτημελήτως, καθάπερ προσηλύτους. Παροξυντικὸν δὲ τὸ τὸν πατέρα μὴ φροντίζειν τῆς οἰκείας θυγατρὸς, εἰ καὶ τυπτομένην ἴδοι ὑπὸ τῆς μητρυιᾶς, μηδὲ τοὺς παῖδας ἀμύνειν τῇ μητρὶ, μηδὲ τοὺς ἀδελφοὺς ἀλλήλων φροντίζειν. Μάλιστα δὲ διεγείρει εἰς ὀργὴν καὶ τὸ τὰς μὲν γυναῖκας τὰς ἀστυκὰς, καὶ κόρας καὶ παῖδας ἐν ἁπάσαις ταῖς πολιτικαῖς κοι-

γωνίαις καθάπερ μετοίκους διατρίβειν καὶ προσηλύτους· τὰς δὲ δορυκτήτους τούτων ἁπάντων ἀφθόνους μετέχειν. Ἱκανὴ δὲ ἀπολογία ὑπὲρ τῶν γυναικῶν, καὶ τὸ μὴ εὐθὺς ἐκδιῶξαι ἐκ τῆς νήσου τοὺς ἄνδρας, ἀλλ' αἵρεσιν δοῦναι, ἢ τὰ καθήκοντα σώζειν πρὸς τὰς γυναῖκας, ἢ ἄλλοσέ ποι ἀπελθόντας μετὰ τῶν δορυκτήτων διάγειν. Ὅλως γὰρ τὸ ἐνδιάσκευον καὶ διατυπωτικὸν ὁ λόγος ἔχει, δι' οὗ περιπαθῆ τὸν ἀκροατὴν ἐργάζεται, συμπάσχοντα ταῖς γυναιξὶ δυστυχούσαις. Οὕτω δὲ ἀντεγκληματικὸν ποιήσασα τὴν στάσιν, καὶ εἰς μεταστατικὴν περί που τὰ μέσα ἀνήνεγκεν, εἰποῦσα παρά του τῶν θεῶν θάρσος λαβούσας σφᾶς ἀποπέμψαι τοὺς ἄνδρας. Οὕτω γὰρ οὐ μόνον δικαία, ἀλλὰ καὶ ἀναγκαία γίνεται ἡ ἐκβολή. Τὰ ὑπὸ θεοῦ κριθέντα, ἀναγκαῖα. Καὶ τὸ προοίμιον δὲ οὐ μόνον θαῤῥαλεωτέρους τοὺς Ἀργοναύτας ποιεῖ, λέγον ὅτι ἀποδημοῦσι τῆς πόλεως οἱ ἄνδρες, ἀλλὰ καὶ μέμψεως τὰς γυναῖκας ἀπολύει. Μονονουχὶ γὰρ λέγει, ὅτι οὐκ ἀπεκτείναμεν ἐκείνους, ὡς ἡ φήμη κρατεῖ, ἀλλ' ἀποδημοῦσιν εἰς Θράκην. Ὁ δὲ ἐπίλογος πάντη ἐπισπᾶται τὸν Ἰάσονα. Οὐ γὰρ μόνον τὸ ἡδὺ προβάλλεται (ὅπερ ἦν τὸ συγγενέσθαι αὐτῇ), ἀλλὰ καὶ τὸ εὐπρεπὲς καὶ χρήσιμον. Τὴν γὰρ βασιλείαν τοῦ Θόαντος ἐπαγγέλλεται.

Τὸ δὲ ἴσκεν, ἐνταῦθα μὲν ἀντὶ τοῦ ἔλεγε· παρὰ δὲ Ὁμήρῳ, ἀντὶ τοῦ ὡμοίου.

V. 836. sq. Μάλα κεν. Ὁ νοῦς, λίαν ἡμῖν ἐστιν ἀρεστὸν τυχεῖν ὧν ἔχομεν χρείαν· σὺ δὲ ὁμοίως δίδως. Νῦν γὰρ τὸ ὀπάζεις κεῖται ἀντὶ τοῦ δίδως.

V. 838. Ὑπότροπος. Ἀπελθὼν πρὸς τὰς ναῦς, πάλιν ἥξω πρὸς τὴν πόλιν.

V. 842. *Χειρὸς θίγε.* Ἤδη σύμβολον αὐτῇ τῆς ἑταιρείας διὰ τῆς ἐφάψεως δίδωσιν.

V. 847. *Μῦθον ὅτ' ἤδη.* Μετέπειτα δὲ αἱ θεραπαινίδες ἦλθον βαστάζουσαι ξένια, ὅτε ἤδη ὁ Ἰάσων πάντα τὰ παρὰ τῆς Ὑψιπύλης ῥηθέντα τοῖς ἑαυτοῦ ἑταίροις συνετέλεσε λέγων.

V. 851. *Ἡφαίστοιο χάριν.* Ἱερὰ γὰρ Ἡφαίστου ἡ Λῆμνος.

Τὸ δὲ *πολυμήτιος*, παρὰ τὸ,

εἰδυίῃσι πραπίδεσσι.

V. 855. *Ἡρακλῆος ἄνευθεν.* Τοῦτο ἕνεκα τῆς οἰκονομίας φησὶν ὁ ποιητής. Πάντων γὰρ ταῖς ἡδοναῖς νικωμένων, μόνος οὗτος πρὸς τὸν ἆθλον αὐτοὺς προτρέπεται, καὶ πρὸς τὴν κρατερὰν καὶ σώφρονα φύσιν τοῦ ἥρωος.

V. 859. *Ἥρης υἷα.* Ἡσιόδῳ ἐπηκολούθησεν, ἐξ Ἥρας μόνης τὸν Ἥφαιστον λέγοντι γεγενῆσθαι.

Ἥρη δ' Ἥφαιστον κλυτὸν ἐν φιλότητι μιγεῖσα
γείνατο.

Ὅμηρος δὲ Διὸς καὶ Ἥρας φησὶν αὐτόν.

V. 859. sq. *Καὶ αὐτὴν Κύπριν.* Διότι τὰ παρόντα, ἐρωτικὰ, καὶ ὅτι τοῦ θεοῦ γαμετὴ αὕτη, οὗ ἱερὰ ἡ Λῆμνος.

V. 862. *Ἀνελίννον.* Ἀντὶ τοῦ ἤργουν. Καὶ τὰ αἴλινα τὰ θρηνητικὰ ἐντεῦθεν γεγένηται, παρὰ τὸ ἀνήνυκτα τινὰ εἶναι. Παρὰ τὸ Ὁμηρικόν·

Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.

V. 865. *Δαιμόνιοι.* Οἰκεῖοι τῷ ἀξιώματι τοῦ ἥρωος οἱ λόγοι. Τεχνικῶς δὲ καὶ συνετῶς οὐχ ἕνα τινὰ λοιδορεῖ, ἀλλὰ πάντας. Καὶ οὐ πρῶτον τὴν ἀκρασίαν αὐτοῖς ὀνειδίζει, πρὶν τὰ συμφέροντα δηλώσῃ. Παρὰ

δὲ τοῖς φυσικοῖς ὁ Ἡρακλῆς σύνεσις καὶ ἀλκὴ λαμβάνεται. Ὥστε δηλοῦν τὸν λόγον, ἐνδόντας ἡδονῇ τοὺς ἥρωας, τῷ λόγῳ ἀναλαβεῖν ἑαυτούς. Ὁ δὲ νοῦς, ὦ μακάριοι, ἐξειργόμεθα τοῦ ἡμῶν αἵματος τῆς πατρίδος; ἢ γάμων ἐνδεεῖς ὄντες ἐνταῦθα ἥκομεν, μεμψάμενοι τὰς ἑαυτῶν πολίτιδας; καὶ Λῆμνον κατοικήσοντες, τοῖς κλήροις διελόμενοι; ἢ οὕτως, ὦ μακάριοι, ἐμφύλιον φόνον δράσαντες ἐξειργόμεθα τῆς πατρίδος; ἐπειδὴ οἱ τοιοῦτοι ἐκ τῆς πατρίδος φυγῇ ἐνιαυσιαίᾳ ἐζημιοῦντο.

V. 867. Ὀνοσσάμενοι πολιήτιδας. Κυρίως τὸ πολίτιδας γυναῖκας ἔταξεν, οἱονεὶ, τὰς Ἑλληνίδας γυναῖκας ἀπαρνησάμενοι, συμβιοῦν βαρβάροις ἤλθομεν; Καὶ οὔ φησὶ, τὸ κάλλος αὐτῶν ἀποφυγόντες. Τάχα γὰρ ἀληθῶς ἐν τῇ Λήμνῳ εὐπρεπεστέρας εἶναι γυναῖκας συνέβαινεν.

V. 869. Εὐκλειεῖς. Ἔνδοξοι. Καὶ διὰ τούτου δὲ ἐνυβρίζει. Οἶδε γὰρ ἕκαστον αὐτῶν πρὸς τὸν πλοῦν ἐλθόντα εἰς εὐδοξίαν. Ταύτην δὲ ἂν ἀπώλεσαν, εἰ ἐπιπολὺ διέτριψαν.

V. 870. Ἐπὶ δηρὸν ἐελμένοι. Καὶ τοῦτο συνετῶς καὶ τεχνικῶς τὸν χρόνον αἰτιᾶται. Τὸ μὲν γὰρ ὀλίγον ἀμελῆσαι τοῦ πόνου, συγγνώμης ἂν εἴη· τὸ δὲ ἐπιπολὺ, ἀνυπόστατον ἦν παντὶ ἀνδρί. Καὶ ἔσπασεν αὐτὸ παρὰ τὸ,

Πάντων μὲν κόρος ἐστίν.

V. 872. Ἴομεν αὖτις ἕκαστοι ἐπὶ σφέα. Οὐχ ὑγιῶς τὸ σφέα κεῖται. Ἰσοδυναμεῖ γὰρ τῷ σφὰ ἐπὶ τρίτου προσώπου τασσόμενον. Ἔδει οὖν εἰπεῖν, ἴομεν αὖτις ἕκαστοι ἐφ' ἡμέτερα. Ἔστι γὰρ συζυγία τῶν προσώπων αὕτη, ἡμέτερα, ὑμέτερα, σφέτερα. τοῦ δὲ σφὰ, ἁμὰ, ὑμά.

V. 874. Ἐσανδρώσῃ. Ἀνδρῶν πληρώσῃ, εἰρωνικῶς.

V. 879. Λείρια. Καθόλου τὰ ἄνθη λείρια λέγεται. Ἔστι δὲ κυρίως ἄνθος λεγόμενον λείριον· ὅ φησιν ὁ Θεόφραστος ἐν τῷ περὶ φυτῶν τὸν νάρκισσον εἶναι. Οἱ δὲ, τὸ κρίνον.

V. 880. Σιμβληΐδος. Σίμβλους καλοῦσι τὰ ἀγγεῖα, ἐν οἷς κηροποιοῦσιν αἱ μέλισσαι. Σιμβληΐδος οὖν πέτρας, ἐν ᾗ μελιτουργοῦσιν ἐν τοῖς ὄρεσιν, οἱονεὶ σίμβλων τάξιν ἐχούσης.

V. 881. Ἄλλοτέ τ' ἄλλον. Παρὰ τὸ Ἰσοκράτους· Ὥσπερ γὰρ τὴν μέλισσαν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα συλλέγουσαν, οὕτω δὴ καὶ τῆς παιδείας.

V. 882. Ὡς ἄρα ταί γε. Αἱ Λημνιάδες γυναῖκες. Ἡ δὲ παραβολὴ οὐχ ὑγιῶς, οὐδὲ εἰς πάντα ἁρμόζεται. Ἔστω γὰρ μελίσσαις εἰκάσθαι τὰς γυναῖκας, ἄνθεσι δὲ τοὺς ἥρωας, σίμβλῳ δὲ κοίλῳ τὴν πόλιν· τὰ δὲ ἐπίλοιπα πῶς ἂν οὐκ εἴη ἀνάρμοστα; δι' ὧν φησὶ, χαίρει καὶ ἀγάλλεται ὁ λειμών· καίτοι λυπεῖται ἡ πόλις, δι' ὧν φησὶ κινυρόμεναι. Καὶ πάλιν ἀνάρμοστον τὸ, γλυκὺν ἄλλοτέ τ' ἄλλον καρπὸν ἀμέργουσιν. Οὐ γὰρ δὴ τὸν ἀρειότερον τῶν ἡρώων ἑκάστη ἔσπευδεν ἀπολαμβάνειν. Ταῦτα δὲ παρὰ τὴν πρώτην μίξιν καὶ σύνοδον ἡρμόζετο. Ἄλλως. Πρὸς τοὺς ἐπιλαμβανομένους τῆς παραβολῆς, ὅτι οὐ πάντα τὰ λεγόμενα ἁρμόττει τοῖς προκειμένοις, ῥητέον, ὅτι τὰ μὲν τῆς παραβολῆς πρὸς σαφήνειαν τοῦ γενομένου λαμβάνεται, τὰ δὲ πρὸς κάλλος μόνον καὶ ἔκφρασιν συντελεῖ.

V. 883. Ἐνδυκέως. Ἐπιμελῶς, σπουδαίως,

Τὸ δὲ κινυρόμεναι, οὐκ εὖ. Σημαίνει γὰρ τὸ θρηνῳδοῦσαι, κλαίουσαι, καὶ ἔδει δακρυόεσσαι.

V. 885. Εὐχόμεναι. Ὅτι διὰ τὸ ἀσθενὲς ἡ γυναικεία φύσις πάντοτε ἐπὶ τὸ εὔχεσθαι τρέπεται, δῆλον ἐκ των πρώτων, δι' ὧν φησίν·

— — αἱ δὲ γυναῖκες

πολλὰ μάλ' ἀθανάτοισιν ἐς αἰθέρα χεῖρας ἄειρον.

V. 888. Νείσεο. Ἄγαν ἐρωτικὴ προσφώνησις καὶ ἡ εὐχή. Πρῶτον γὰρ αὐτῷ κατεύχεται, ἔπειτα, ἐπεὶ οἶδε καὶ τὴν πᾶσαν σπουδὴν καὶ τὸ φίλτρον τῷ Ἰάσονι οὐδὲν ἕτερον ἢ τὴν τῶν ἑταίρων σωτηρίαν, καὶ ταυτην αὐτῷ κατεύχεται· οὐ τοσοῦτον ἐκείνοις χαριζομένη, ὅσον Ἰάσονι.

V. 893. Ῥηΐδίως δ' ἂν ἑοῖ. Βούλεται λέγειν, ῥᾳδίως δ' ἂν σαυτῷ καὶ πολὺν ἀθροίσαις λαόν. Οὐκ εὖ δὲ ἔθηκεν τὸ ἑοῖ. Ἔστι γὰρ τρίτου προσώπου δηλωτικὸν, ὡς παρ' Ὁμήρῳ·

Ὀτρηροὺς θεράποντας ἐπισπέσθαι ἑοῖ αὐτῷ.

V. 894. Μενοινήν. Ἀντὶ τοῦ γνώμην καὶ διάνοιαν, ἢ μέριμναν.

V. 895. Προτιόσσομαι. Προορῶμαι.

V. 897. Ἐξανύσαιμι. Τελέσαιμι.

Λίπε δ' ἡμὶν ἔπος. Ὁ νοῦς ἐστι τοιοῦτος, εἶπὲ δή μοι συμβουλήν τινα, ἐὰν γένηταί με τεκεῖν, ὥστε τῷ γεννωμένῳ ὑποθέσθαι τινά. Ἐλλείπει γὰρ εἰς τὸν πλήρη λόγον.

V. 899. Ἀγαιόμενος. Θαυμάζων τῆς διαθέσεως καὶ τοῦ ἔρωτος.

V. 901. Ἐμέθεν περὶ θυμὸν ἀρείω. Ὁ νοῦς, σὺ δὲ κρείττονα περὶ ἐμοῦ ψυχὴν καὶ ὑπόνοιαν ἔχε, τὰ περὶ τῆς πατρίδος ἡμῶν σκεπτομένη. Οὐ γὰρ εὐτελεῖς

ἐσμὲν, ὡς τὴν ἰδίαν καταλείψαντες *), εἰς ἑτέραν μετοικεῖν.

V. 902. *Πελίαο ἕκητι.* Τοῦτ' ἔστιν, ἕνεκα Πελίου ἔστι μοι οἰκεῖν.

V. 904. *Ἑλλάδα γαῖαν.* Νῦν τὴν Θεσσαλίαν. Ὅμηρος δὲ μίαν Θεσσαλίας πόλιν οἶδε τὴν Ἑλλάδα.

V. 906. *Πελασγίδος δὲ*, τῆς Θετταλικῆς, ἀπὸ τῶν ἐνοικησάντων Πελασγῶν.

Σὺ δ' ἄρσενα. Τοῦτο ὡς ἐν θαυμασμῷ, εἰ ἄρα ἐν γυναικῶν πόλει κἂν ἐξ ἐπιγονῆς ἔσται ποτὲ ἄῤῥην τις. **)

V. 907. *Δύης ἄκος.* Τῆς ταλαιπωρίας οἷον παραμύθιον καὶ ἴαμα. Ὅθεν καὶ ἐνδυκὲς, περιττεύοντος τοῦ κ, ὥς φησι Τρύφων. Ἔστι γὰρ ἐνδυὲς τὸ μετὰ πολλῆς κακοπαθείας γενόμενον προσηνὲς καὶ ἡδύ. Καὶ ἐνδυκέως ἐξ αὐτοῦ.

V. 909. *Ἐφέστιοι.* Ἔποικοι. Λακεδαιμόνιοι γὰρ τὴν οἰκίαν ἑστίαν φασίν.

V. 910. *Παροίτατος.* Ἀντὶ τοῦ πρότερος. Ἐσχημάτισται δὲ ἀπὸ τοῦ πάρος. Καὶ Ὅμηρος·

Ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι.

Ὡς δὲ καὶ ἄλλοι. Διὰ τούτου τῶν ἡρώων ὑπεραπολογεῖται, ὅτι καὶ τῆς πρὸς τὰς Λημνιάδας συνόδου προαρξαμένου τοῦ ἀρχηγοῦ, καὶ οὗτοι συνετίθεντο· καὶ νῦν δὲ πάλιν ἐκείνου τοῦ πλοῦ ἀρχομένου, καὶ οὗτοι εἵποντο.

---

*) V. Append. ad Aristophan. Plut. p. 510. et 555. Add. Argument. Hippol. Euripid. e Plutarchi Parall. in edit. Musgrav. et conf. Heindorf. ad Platon. Gorg. p. 202. [ubi mox in textu miror relictum *θέμις*.] itemque Buttmann. ad eund. loc. p. 525.

**) Ad v. 905.

V. 913. *Ἁλιμυρέος* Τῆς ὑπὸ θαλάσσης περιῤῥεομένης. Ἁλιμυρήεντες δὲ ποταμοὶ, οἱ εἰς τὴν θάλασσαν βάλλοντες.

V. 916. *Νῆσον ἐς Ἠλέκτρης.* Τὴν Σαμοθράκην λέγει. Ἐκεῖ γαρ ᾤκει Ἠλέκτρα ἡ Ἄτλαντος, καὶ ὠνομάζετο ὑπὸ τῶν ἐγχωρίων Στρατηγις· ἥν φησιν Ἑλλάνικος Ἠλεκτρυώνην καλεῖσθαι. Ἐγέννησε δὲ τρεῖς παῖδας, Δάρδανον, τὸν ἐς Τροίαν κατοικήσαντα ὃν καὶ Πολυάρχη φασὶ λέγεσθαι ὑπὸ τῶν ἐγχωρίων), καὶ Ἠετίωνα, ὃν Ἰασίωνα ὀνομάζουσι· καί φασι κεραυνωθῆναι αὐτὸν ὑβρίζοντα ἄγαλμα τῆς Δήμητρος. Τριτην δὲ ἔσχεν Ἁρμονίαν, ἣν ἠγάγετο Κάδμος. Καὶ ἀπὸ τῆς μητρὸς αὐτῆς Ἠλεκτρίδας πύλας τῆς Θήβης ὀνομάσαι ἱστορεῖ Ἑλλάνικος ἐν πρώτῳ Τρωϊκῶν, καὶ Ἰδομενεὺς ἐν πρώτῳ Τρωϊκῶν.

V. 917. *Ἀῤῥήκτους ἀγανῇσι.* Τὰς τελετὰς λέγει τὰς ἐν Σαμοθράκῃ ἀγομένας· ἃς εἴ τις μυηθειη, ἐν τοῖς κατὰ θάλασσαν χειμῶσι διασώζεται. Καὶ Ὀδυσσέα δέ φασι μεμυημένον ἐν Σαμοθράκῃ, χρήσασθαι τῷ κρηδέμνῳ ἀντὶ ταινίας. Περὶ γὰρ τὴν κοιλίαν οἱ μεμυημένοι ταινίας ἅπτουσι πορφυρᾶς. Καὶ Ἀγαμέμνονα δέ φασι μεμυημένον, ἐν ταραχῇ ὄντα πολλῇ κατὰ Τροιαν, δι' ἀκαταστασίαν τῶν Ἑλλήνων, παυσαι τὴν στάσιν, πορφυρίδα ἔχοντα. Μυοῦνται δὲ ἐν τῇ Σαμοθρακῃ τοῖς Καβείροις, ὧν Μνασέας φησὶ καὶ τὰ ὀνόματα. Τέσσαρες δ' εἰσὶ τὸν ἀριθμόν· Ἀξίερος, Ἀξιόκερσα, Ἀξιόκερσος. Ἀξίερος μὲν οὖν ἐστιν ἡ Δημήτηρ· Ἀξιόκερσα δὲ, ἡ Περσεφόνη· Ἀξιόκερσος δὲ, ὁ ᾅδης. Ὁ δὲ προστιθέμενος τέταρτος, Κάσμιλος, ὁ Ἑρμῆς ἐστιν, ὥς ἱστορεῖ Διονυσόδωρος. Ἀθηνίων δέ φησιν, ὅτι Διὸς καὶ Ἠλέκτρας ἐγένετο Ἰασίων καὶ Δάρδανος. Κάβειροι δὲ

δοκοῦσι προσηγορεῦσθαι ἀπὸ Καβείρων τῶν κατὰ Φρυγίαν ὀρῶν, ἐπεὶ ἐντεῦθεν μετηνέχθησαν. Οἱ δὲ δύο εἶναι τοὺς Καβείρους φασὶ πρότερον· πρεσβύτερον μὲν, Δία· νεώτερον δὲ, Διόνυσον. Ἡ δὲ Σαμοθράκη ἐκαλεῖτο πρότερον Λευκοσία, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Σαμοθράκης πολιτείᾳ. Ὕστερον δὲ ἀπὸ Σάου τοῦ Ἑρμοῦ καὶ Ῥήνης παιδὸς Σάμος προσωνομάσθη, κατὰ παρένθεσιν τοῦ μ. Θρακῶν δὲ οἰκησάντων αὐτὴν, ἐκλήθη Σαμοθράκη.

V. 918. Σωότεροι. Ἀκινδυνότεροι. Λέγονται γὰρ οἱ αὐτόθι μυηθέντες ἐπακούεσθαι εἰς ὃ ἂν εὔξωνται, ὡς Ἀριστοφάνης φησίν·

Ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθράκῃ τυγχάνῃ
μεμυημένος, νῦν ἐστιν εὔξασθαι καλόν.

Δοκοῦσι γὰρ μᾶλλον σώζεσθαι οἱ τὰ μυστήρια εἰδότες.

V. 919. Τῶν μὲν ἔτ' οὐ προτέρω. Τὸ μὲν προτέρω ἐστὶ σημαντικὸν τοῦ εἰς τοὔμπροσθεν (ὡς καὶ παρ' Ὁμήρῳ,

Οὐδ' ἄρα μοι προτέρω νῆες κίον)

κεῖται δὲ νῦν καταχρηστικῶς ἐπὶ τοῦ λόγου. Ὁ γὰρ νοῦς, Τοιούτων δὲ οὐκ ἂν ἔτι πλέον τὶ εἴποιμι· ἀλλὰ χαίροι μὲν ἡ νῆσος, χαίροιεν δὲ καὶ οἱ δαίμονες, ὧν ἐστι τὰ μυστήρια· οὐ γὰρ καθῆκον ἡμῖν ἐστιν αὐτὰ λέγειν.

V. 920. Ὄργια. Τὰ μυστήρια. Παρὰ τὸ εἴργειν τοὺς ἀμυήτους αὐτῶν. Ἢ τὰ ἐν ὀργάσι γινόμενα. Ὀργάδες δὲ, οἱ σύμφυτοι τόποι καὶ ὑγροί.

V. 922. Μέλανος. Μέλας πόντος οὕτω λεγόμενος, ὡς ἱστορεῖ Εὔδοξος ἐν δ̄ τῆς Περιόδου. Ὄπισθεν δὲ αὐτοῦ εἶναι τὴν Σαρπηδονίαν πέτραν φασίν. Ὅτι δὲ οὕτω λέγεται, καὶ Ὅμηρος·

— — ἔνθορε Μείλανι πόντῳ.

Ὠνομάσθη δὲ ἀπὸ Μέλανος τοῦ Φρίξου υἱοῦ ἐμπεσόντος, ἢ ἀπὸ ποταμοῦ Μέλανος καλουμένου, κἀκεῖ ῥέοντος.

V. 923. Τῇ μὲν Θρῃκῶν. Ταύτῃ μὲν τῇ χειρὶ τῇ δεξιᾷ.

Περαίην δὲ, τὴν κατὰ τὸ ἐναντίον κειμένην. Ἡ γὰρ Ἴμβρος ἀντικρύ ἐστι τῆς Θράκης. Ὅμηρος, ἔς τ' Ἴμβρον καὶ ἐς Σάμον καὶ Λῆμνον. Σάμον γὰρ εἶπεν ἐνταῦθα τὴν Σαμοθράκην.

V. 925. Χέρνησον. Τὴν μετὰ Θράκην κειμένην Χερσόνησον. Ἦν δὲ πρότερον νῆσος. Κεῖται δὲ ἀντικρὺ τῆς Τροίας. Ἔστι καὶ ἑτέρα Χερσόνησος Καρίας, ἔνθεν ἦν Ἀλέξανδρος ὁ περὶ Καρίας γράψας.

V. 927. Ἀθαμαντίδος. Τοῦτ' ἔστιν εἰς τὸν Ἑλλήσποντον, ἀπὸ Ἕλλης τῆς Ἀθάμαντος θυγατρὸς κληθέντα.

V. 929. Ῥοιτειάδος. Ἀπὸ Ῥοιτείας τῆς Πρωτέως θυγατρός. Ῥοίτειον δὲ καὶ Σίγειον, ἀκρωτήριον τῆς Ἰλίου.

V. 932. Ἀβαρνίδος. Ἡ Ἀβαρνὶς, πόλις τῆς Λαμψάκου. Ὠνομάσθη δὲ ἀπὸ αἰτίας τοιαύτης. Διονύσου ἐρασθεῖσα Ἀφροδίτη ἐμίγη αὐτῷ· καὶ ἀναχωρήσαντος αὐτοῦ εἰς τὴν Ἰνδικὴν, ἐμίγη τῷ Ἀδώνιδι. Ὡς δὲ ἦλθεν ὁ Διόνυσος, στέφανον ποιήσασα ὑπήντησεν αὐτῷ· καὶ στέψασα αὐτὸν, ἀκολουθῆσαι μὲν ᾐδεῖτο, διὰ τὸ ἤδη γεγαμῆσθαι· εἰς δὲ Λάμψακον ἀναχωρήσασα, τὸ ἐξ αὐτῆς κυοφορούμενον ἐβούλετο τεκεῖν. Ἥρα δὲ ζηλοτυποῦσα, μεμαγευμένῃ τῇ χειρὶ ἐφήψατο τῆς γαστρὸς αὐτῆς, καὶ ἐποίησε τεκεῖν παῖδα τά τε ἄλλα δύσμορφον, καὶ αἰδοῖον ἔχοντα ὑπέρμεγα· ὃν Πρίαπον προσαγορευθῆναι. Ἰδοῦσα δὲ ἡ Ἀφροδίτη, οὐκ ἠξίωσεν ἀναλαβέσθαι, τὰ

τε ἄλλα μισήσασα τὸν παῖδα, καὶ διὰ τὸ ἀπρεπὲς τοῦ αἰδοίου. Διὰ οὖν τὸ τὴν Ἀφροδίτην ἀπαρνηθῆναι τὸν παῖδα ἐκεῖ, Ἀπαρνὶς ἡ πόλις ἐκλήθη· ὕστερον δὲ κατὰ μετάθεσιν τοῦ στοιχείου ἐκλήθη Ἀβαρνίς.

Περκώτη δὲ, πόλις Τροίας, ἧς καὶ Ὅμηρος μέμνηται.

V. 933. *Πιτύεια.* Ἡ Λάμψακος τοπρότερον Πιτύεια προσηγορεύετο, ἣν τινὲς Πιτύαν ὀνομάζουσιν. Τινὲς δέ φασιν, ὅτι Φρίξος γενόμενος ἐνταῦθα θησαυρὸν ἔθηκεν, καὶ ἀπὸ τούτου ἡ πόλις ὠνομάσθη. Θρᾶκες γὰρ τὸν θησαυρὸν πιτύην λέγουσιν. Μνημονεύει δὲ αὐτῆς καὶ Ὅμηρος·

Καὶ Πιτύειαν.

V. 935. *Πορφύροντα.* Τὸν τοῖς ῥοθίοις μελαινόμενον καὶ σφοδρὰ κύματα ἔχοντα.

V. 936. *Ἔστι δέ τις αἰπεῖα.* Προποντίς ἐστι τὸ μετὰ τὸν Ἑλλήσποντον πέλαγος· οὗ ἑξῆς ὁ Θρακικὸς Βόσπορος. Ἐν οὖν ταύτῃ τῇ Προποντίδι ἐστὶ νῆσος, ἣ ὕστερον χεῤῥόνησος γεγένηται, ἢ ἰσθμόν τινα ἔσχεν. Πᾶσα γὰρ γῆ ἐξέχουσα εἰς θάλασσαν ἰσθμὸς καλεῖται. Ταύτῃ οὖν τῇ χεῤῥονήσῳ παράκειται Ἄρκτον ὄρος, κυρίως οὕτω λεγόμενον· ἐπειδή φασι τὰς τροφοὺς τοῦ Διὸς ἐκεῖ διατριβούσας εἰς ἄρκτους μεταβληθῆναι· ἢ ὅτι ὁ τόπος ἔνθηρος, καὶ ἀπὸ τοῦ θηρίου τῆς ἄρκτου ὠνομάσθη· ἢ διὰ τὸ ὑψηλὸν τοῦ ὄρους, ἀπὸ τοῦ δοκεῖν ταῖς ἄρκτοις προσπελάζειν ταῖς ἀστρῴοις. Τοῦτο δὲ ἄγριοι τινὲς γηγενεῖς ᾤκουν. Αὐτὴν δὲ τὴν χεῤῥόνησον καὶ τὸν ἰσθμὸν ᾤκουν Δολίονες, ὧν ἐβασίλευε Κύζικος.

Τὸ δὲ ἑξῆς οὕτως, Ἔστι δέ τις ἐν τῇ Προποντίδι νῆσος ὑψηλὴ, ἀπέχουσα βραχὺ τῆς Φρυγίας κατὰ τὸ ῥεῦμα τοῦ ἰσθμοῦ, ἐπικειμένη τῇ γῇ ὑπὲρ τὸν Αἴσηπον πο-

ταμὸν, ἔχουσα ἑκατέρωθεν ἀκτάς. Καλοῦσιν Ἄρκτον τὸ ὄρος.

Ἔστι δὲ χεῤῥόνησος, ἐφ' ἧς κεῖται ἡ Κυζικηνῶν πόλις. Νῆσον δὲ αὐτὴν ἔφη, διὰ τὸ πρότερον αὐτὴν οὖσαν νῆσον, ὕστερον συνῆφθαι τῇ ἠπείρῳ.

V. 940. *Ἀμφίδυμοι* δὲ, ὅτι ὁ τῆς Κυζίκου λιμὴν δισσὰς εἰσόδους ἐξ ἑκατέρου μέρους ἔχει.

Ἀπὸ Φρυγίης. Ἡ Φρυγία παράκειται τῇ Τροίᾳ. Ἔστι δὲ τὰ ἔθνη τῆς Ἀσίας. Τοῖς οὖν εἰς Κόλχους πορευομένοις ἐκ μὲν δεξιῶν ἐστιν ἡ Ἀσία, ἐκ δὲ ἀριστερῶν ἡ Εὐρώπη. *)

Πολυλήϊον δὲ τὴν Φρυγίαν εἶπε, τὴν πολύπυρον, ἢ πολυθρέμμονα. *)

Ὅσσόν τ' ἐπιμύρεται. Ὅσον, φησὶ, διάστημα ἰσθμοῦ ἐστιν. Οἱ δὲ τὸ *ὅσσον* θαυμαστικῶς ἤκουσαν, ὃ κρεῖττον· ἵνα ᾖ, ἡ χεῤῥόνησος, καὶ εἰς θάλασσαν κειμένη, καὶ ἰσθμὸν ἔχουσα. εἶτα θαυμαστικῶς, ὅσον γὰρ ἐκεῖνος ὁ ἰσθμὸς βοᾷ τοῖς κύμασι ῥησσόμενος. **)

Ἰσθμὸς δὲ καλεῖται ὁ ἐξ ἀμφοτέρων τῶν μερῶν θάλασσαν ἔχων τόπος, οἷον ἴσιμός τις ὤν. Εἴρηται δὲ ἰσθμὸς παρὰ τὸ ἐν στενῷ εἶναι. Ὅθεν καὶ τραχήλου τὰ παρίσθμια. Πορθμὸς δὲ, ἡ ἐξ ἀμφοτέρων τῶν μερῶν γῆν ἔχουσα στενὴ θάλασσα. **)

Καταείμενος. Καταῤῥεόμενος, ἢ καταπνεόμενος, ἢ κεκαλυμμένος φυτοῖς. ***)

V. 943. *Γηγενέες.* Τούτων καὶ Ἡρόδωρος μνημονεύει ἐν τοῖς Ἀργοναυτικοῖς· καὶ ὅτι ἐπολέμησαν Ἡρα-

---

*) Ad v. 937. **) Ad v. 938. ***) Ad v. 939.

κλεῖ. Οἱ μὲν οὖν γηγενεῖς παρὰ Κύζικον ᾤκουν, οἱ δὲ Δολίονες παρὰ τὸν ἰσθμόν.

V. 948. Ἐν δ' ἥρως Αἰνήϊος. Ὅτι Αἰνεὺς Θετταλὸς ὢν τὸ γένος ᾤκησεν ἐν Ἑλλησπόντῳ. Γήμας δὲ Εὐσώρου βασιλέως τῶν Θρακῶν Αἰνήτην, γεννᾷ Κύζικον, ἀφ' οὗ ἡ πόλις. Εὐσώρου δὲ υἱὸς Ἀκάμας· ὃν Ὅμηρος ἐν τῇ Βοιωτίᾳ ἡγεῖσθαι Θρακῶν ἅμα τῷ Πείρῳ φησίν. Ἄλλως. Κυζίκου πατὴρ Αἰνεὺς, Ἀπόλλωνος παῖς καὶ Στίλβης, ὅθεν καὶ πόλις ὠνόμασται, θυγατρὸς δὲ Εὐανθείας. Μετέστη δὲ ἐκ Θεσσαλίας, καὶ ᾤκησε περὶ τὸν Ἑλλήσποντον.

V. 949. Δίου Εὐσώροιο. Τοῦ ἐνδόξου Εὐσώρου ἡ θυγάτηρ. Εὔσωρος δὲ Θράκης βασιλεύς. Ὅμηρος·

Υἱὸν Εὐσώρου Ἀκάμαντ' ἠΰν τε μέγαν τε.

V. 954. Λιμὴν ὑπέδεκτο πάνορμος. Λιμὴν τῆς Κυζίκου, οὗ ὁμώνυμος πόλις ἐν Σικελίᾳ.

V. 955. Κεῖσε καὶ εὐναίης. Λείπει ἡ ἀντὶ πρόθεσις, ἵν' ᾖ, τὸν ἀντὶ εὐναίας καὶ ἀγκύρας λίθον, διὰ τὸ βεβρῶσθαι ἐκ τῆς θαλάσσης, ἀπολύσαντες, ἕτερον ἔλαβον· ἐκεῖνον δὲ κατέλιπον ἐν τῇ Ἀρτακίᾳ κρήνῃ. Μιλήσιοι δὲ ἐνοικήσαντες κατὰ χρησμὸν Ἀπόλλωνος, ἄραντες τὴν ἄγκυραν, ἀνιέρωσαν ἐν τῷ ναῷ τῆς Ἰασονίας Ἀθηνᾶς.

V. 957. Κρήνη ὑπ' Ἀρτακίῃ. Ἀρτακία κρήνη περὶ Κύζικον· ἧς καὶ Ἀλκαῖος μέμνηται καὶ Καλλίμαχος, ὅτι τῆς Δολιονίας ἐστίν.

V. 959. Νηλεῖδαι. Οἱ μετὰ Νηλέως τοῦ Κόδρου ἀποικήσαντες ἐκ τῆς Ἀττικῆς Ἴωνες, καὶ τὴν Καρίαν καὶ Φρυγίαν κατασχόντες, χρησμοῖς τοῦ Ἀπόλλωνος ἐκεῖνον τὸν λίθον τῇ Ἀθηνᾷ ἀφιέρωσαν.

Ὀλίγον λίθον, τὸν μικρὸν ἔφη. Ὡς καὶ Ὅμηρος ὀλίγην τράπεζαν, καὶ Θεόκριτος ὀλίγον κοῦρον. *)

V. 961. *Τοὺς δ' ἄμυδις.* Δηΐλοχος τοὺς μὲν Δολίονας οὐκ ὀνομάζει, τὸν δὲ Κύζικον φησὶ πυθόμενον τὴν τῶν ἀριστέων γενεὰν ξενίσαι.

V. 962. *Στόλον* δὲ τὸν πλοῦν φησὶν, ὃν ἐστέλλοντο.

Τὸ δὲ ἑξῆς, τούτους δὲ οἱ Δολίονες καὶ ὁ Κύζικος, ἐπειδὴ ἔμαθον τίνες εἰσὶ, φιλοφρόνως ἐξένισαν. καὶ γὰρ καὶ οἱ Δολίονες ἄποικοι Θετταλῶν εἰσί. διὸ καὶ αὐτοὺς ὡς ὁμοφύλους ἐδέξαντο.

V. 964. *Πέπιθον.* Ἔπεισαν αὐτοὺς ἐνδότερον ὁρμίσαι τὴν ναῦν. Τὸ γὰρ πλοῖον ἔξωθεν τῆς πόλεως ἦσαν ὁρμίσαντες.

V. 966. *Ἔνθ' οἵγ' Ἐκβασίῳ.* Ἀπὸ τῆς ἐκβάσεως τῆς νεὼς ἐπὶ τὴν Δολιονίαν. Δηΐλοχος δὲ τὸ ἱερὸν οὐκ Ἐκβασίου Ἀπόλλωνος φησὶν εἶναι, ἀλλ' Ἰασονίου Ἀπόλλωνος. Σωκράτης δὲ ἐν ταῖς Ἐπικλήσεσι Κυζικηνοῦ Ἀπόλλωνος φησὶ καλεῖσθαι.

V. 970. Ὁ δὲ *στόλος*, ὡς περιληπτικὸν ὄνομα, συντάσσεται ἐνταῦθα πρὸς πληθυντικὸν ῥῆμα τὸ *ἵκοντο.*

V. 972. *Ἶσόν που κἀκείνῳ.* Ἀντὶ τοῦ νεωστί. Τοῦτο δέ φησιν, ὡς καὶ τοῦ Κυζίκου τὴν αὐτὴν ἡλικίαν ἄγοντος τῷ Ἰάσονι. Γράφεται δὲ, *Ἁρμοῖ που κἀκείνῳ ὑποσταχύεσκον*, ἀντὶ τοῦ, ἀρτίως, νεωστὶ ὑπηύξανον, ὑπήνθουν.

Ἴουλος δὲ καλεῖται ἡ πρώτη ἐξάνθησις καὶ ἔκφυσις τῶν ἐν τῷ γενείῳ τριχῶν. Ὁ μέντοι Ἐρατοσθένης ὄνομα ᾠδῆς ἐρίθων ἀπέδωκεν ἐν τῷ Ἑρμῇ, λέγων οὕτως·

*) Ad v. 955.

Ἡ χερνῆτις ἔριθος, ἐφ᾽ ὑψηλοῦ πυλεῶνος
δενδαλίδας τεύχουσα, καλὰς ᾔειδεν ἰούλους.

Οὐκ ἔστι δὲ (φησὶ Δίδυμος), ἀλλ᾽ ὕμνος εἰς Δήμητρα, ὡς ὁ οὔπιγγος παρὰ Τροιζηνίοις εἰς Ἄρτεμιν. Ἔστι γὰρ οὖλος καὶ ἴουλος ἡ ἐκ τῶν δραγμάτων συναγομένη δέσμη. Καὶ Οὐλὼ ἡ Δημήτηρ. Λέγεται δὲ ἴουλος καὶ ζῶόν τι, θηρίδιον πολύπουν. Ἑκατέρωθεν γὰρ ἔχει πολλοὺς πόδας, ὥσπερ ἡ σκολόπενδρα. Θεόφραστος δὲ ἐν τῇ πρὸς Φανίαν ἐπιστολῇ καὶ ὄνον φησὶν αὐτὸν καλεῖσθαι. Ὡς παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς Σατύροις· Κυλισθεὶς ὥς τις ὄνος ἰσόπριος.

V. 973. Μεμόρητο. Ἐκεκλήρωτο, ὑπὸ τῆς τύχης μεμοιραμένως εἶχεν. Τὸ δὲ κατάλληλον, οὐδέ νύ πω παίδεσσιν ἀγάλλεσθαι (μετοχὴ ἀντὶ ἀπαρεμφάτου) μεμόρητο.

V. 974. sq. Ἀκήρατος ὠδίνων. Ἀντὶ τοῦ ἄπαις καὶ καθαρὰ ὠδίνων.

V. 976. Κλείτη δὲ, θυγάτηρ Μέροπος, Περκωσίου τὸ γένος, μάντεως, ἣν Κύζικος ἔγημεν, ὡς ἱστορεῖ Δηΐλοχος καὶ Ἔφορος.

V. 977. Ἀντιπέρηθεν. Ἢ τὸ ἐκ τῆς Εὐρώπης δηλοῖ (ἀντίκειται γὰρ ἡ Εὐρώπη τῇ Ἀσίᾳ), ἢ τὸ ἐκ τοῦ ἀντικειμένου τῆς Προποντίδος πρὸς τὴν Κύζικον. Τῆς γὰρ Πιτυείας βασιλεὺς ἦν Μέροψ ὁ Περκώσιος, ὡς δηλοῖ Ὅμηρος ἐν Καταλόγῳ.

V. 979. Βάλεν δ᾽ ἀπὸ δείματα θυμοῦ. Τοῦτο ἐμφαίνει, ὅτι χρησμόν τινα ἔοικε φοβεῖσθαι, ὡς μέλλων τεθνήξεσθαι ὑπὸ τῶν Ἀργοναυτῶν.

V. 981. Ἄνυσιν. Τόν τε πλοῦν καὶ ἐφ᾽ ἣν πρᾶξιν ἔπλεον.

V. 982. Ἀστείως δὲ ταύτην αὐτοῖς τὴν ἐρώτησιν δίδωσι τὴν κατεπείγουσαν καὶ χρησίμην.

Περικτιόνων δὲ, περιοίκων.

V. 983. Οὐ μὲν ἐπιπρό. Εἰς τοὔμπροσθεν τῆς Δολιονίας. Ἢ ἀντὶ τοῦ διόλου. Διὰ δὲ τούτου οὐδὲν ἕτερον ἢ τὴν ἀπραγμοσύνην τοῦ Κυζίκου ἐμφαίνει.

V. 985. Ἠοῖ δ' εἰσανέβαν. Ἡ εἰς πρόθεσις περιττή.

Δίνδυμον δὲ, ὄρος Κυζίκου, ἱερὸν τῆς Ῥέας· διὰ τὸ διδύμους μαστοὺς ἐν αὐτῷ ἀνήκειν, ὥς φησι Φιλοστέφανος, οὕτω προσαγορευθέν. Σύμπασα δὲ ἡ Φρυγία ἱερὰ τῇ θεῷ. Ἢ διὰ τὸ δύο ἔχειν, οὕτω καλεῖται.

V. 987. Χυτοῦ λιμένος. Χυτὸς λιμὴν ἐν Κυζίκῳ οὕτω καλούμενος. Ἐπεχείρησαν γὰρ οἱ Πελασγοὶ χῶσαι αὐτὸν, ὥς φησι Δηΐλοχος, κατὰ ἔχθος τὸ πρὸς τοὺς Θεσσαλοὺς, ὑφ' ὧν ἐξεβέβληντο. Οὗτος δὲ ὑπὸ τῶν γηγενῶν φησὶ κεχῶσθαι αὐτὸν, ποιητικῶς.

V. 989. Γηγενέες. Δηΐλοχος Θετταλοὺς εἶναι φησὶν ἐγχειρογάστορας. Τοὺς δὲ γηγενεῖς φησὶ τοῖς Ἀργοναύταις ἐπιβουλεῦσαι, δοκοῦντας λῃστὰς εἶναι.

V. 995. Ἀμφιῤῥῶγας. Ἤτοι διεῤῥωγυίας καὶ διεσχισμένας· ἢ διαβεβρωμένας ὑπὸ τῆς θαλάσσης.

V. 996. Θεὰ τρέφεν. Μυθικῶς φησὶν ὑπὸ Ἥρας ἐφ' Ἡρακλεῖ τεθράφθαι τοὺς γηγενεῖς. Ὁ δὲ μῦθος ἀπὸ τοῦ Νεμεαίου λέοντος αὐτοὺς γεννᾷ. Πολύγνωστος δὲ ἐν τοῖς περὶ Κυζίκου λῃστὰς αὐτοὺς λέγει. Μέμνηται δὲ καὶ Καλλίμαχος, ἐν οἷς φησί·

Τὴν δὲ μίαν κελάδοντος ὑπὲρ ποταμοῖο φυγοῦσαν
Ἥρης ἐννεσίῃσιν, ἀέθλιον Ἡρακλῆϊ
ὕστερον ὄφρα γένοιτο, πάγος κεραύνιος ἔδεκτο.

V. 998. Ὦ' λλοι. Τῆς νεωτέρας Ἰάδος τὸ ὦ' λλοι.

Τὸ δὲ δῆθεν, ποτὲ μὲν παραπληρωματικὸν, ποτὲ δὲ ἀντὶ τοῦ δηλαδή. Ἢ ὡς δή.

Ὑπερβιβάσται δὲ ἡ φράσις Ἔστι γὰρ τὸ ἑξῆς, ὡς δὲ καὶ ὧλλοι δῆθεν ὑπότροποι ἀντιόωντες ἥπτοντο φόνοιο.

V. 1002. Ἀσπερχὲς ὀρινομένους. Ἀδιαλείπτως, ἢ ἀνεκπλήκτως ταρασσομένους ἐδάϊξαν. Ἢ οὕτως, ἐναντιούμενοι ταῖς δυνάμεσιν ἀκαταπαύστως αὐτοὺς ἀνεῖλον.

V. 1003. Ὡς δ' ὅτε δούρατα μακρά. Ἡ παραβολὴ εἰς πάντα ἁρμόδιος καὶ ὑγιής. Ξύλοις γὰρ εἰκάζει αὐτοὺς, πρὸς τὸ εὐτράπελον τῶν σωμάτων, καὶ πρὸς τὴν ἐν τοῖς ὄρεσιν αὐτῶν διατριβήν. Καὶ ξυλοτόμους δὲ τοὺς ἥρωας. Τὸ δὲ, Ὄφρα νοτισθέντα κρατεροὺς ἀνεχοίατο γόμφους, πρός τε τὴν τῶν αἰγιαλῶν ἐγγύτητα, καὶ πρὸς ἕτερον, ὅτι οἱ τέκτονες τοῦτο ποιοῦσιν, ἵνα πλείονος καμάτου ἀπαλλαγῶσιν ἐργαζόμενοι, καὶ τοὺς σφῆνας ἐπιβάλλοντες. Ὁμοίως δὲ καὶ οἱ ἥρωες αὐτοὺς ἀνεῖλον, ὅπως λοιπὸν αὐτοῖς ἀκίνδυνος γένηται ἡ εἰς τὸ ὄρος ἀνάβασις.

V. 1005. Ὄφρα νοτισθέντα. Ὅπως βραχέντα, εὐεπίδεκτα γένηται τῶν σφηνῶν.

V. 1006. Ἐνὶ ξυνοχῇ. Ἐν τῇ περιφερείᾳ καὶ τῷ πρώτῳ τοῦ λιμένος.

V. 1008. Δύπτοντες κεφαλάς. Ἀντὶ τοῦ δύνοντες τὰς κεφαλάς. Παρατατικὸν δὲ εἴρηκεν ἀντὶ συντελικοῦ δύψαντες. Ἐπὶ τῷ δύπτειν ἐπὶ κεφαλὴν κατενεχθέντες. Δύπτειν δέ ἐστι τὸ δύνειν, ὡς παρὰ Καλλιμάχῳ·

δύπται δ' ἐξ ἁλὸς ἐρχόμενοι.

Πρότερος δὲ Ἀντίμαχος·

Ἠΰτέ τις καύηξ δύνῃ ἐς ἁλμυρὸν πέλαγος.

V. 1012. Ἀ τ α ρ β ή ς. Ἀκίνδυνος καὶ ἄφοβος, ὡς τῶν ἐχθρῶν ἀπολωλότων.

V. 1016. Ῥ ι π ὴ μ έ ν ε ν. Οὐκ ἔτι ἀσφαλὴς καὶ ὁμοία ἔμενεν ἡ τοῦ ἀνέμου πνοὴ, ἀλλ᾽ ἐναντία ἐγένετο. Προσληπτέον γὰρ τὸ ἡ ἄρθρον. Ἑξῆς ὁ λόγος, ἐπιούσης δὲ νυκτὸς, οὐκ ἔτι ἔμεινεν ὁμοίως ἡ πνοὴ τοῦ ἀνέμου.

Ἀ λ λ ὰ θ ύ ε λ λ α ι. Αἱ χειμεριναὶ καταιγίδες καὶ πνοαί. Ὅθεν Ὅμηρος ἐν συνωνυμίᾳ τίθησι θυέλλας τε καὶ ἁρπυίας, ἀντὶ τοῦ καταιγιδώδεις πνοάς· ἀπὸ τοῦ οἷον ἁρπάζειν παραγώγως·

Ὡς δ᾽ ὅτε Πανδαρέου κούρας ἀνέλοντο θύελλαι.

εἶτα·

Τόφρα δὲ τὰς κούρας ἅρπυιαι ἀνηρείψαντο.

ὡς τῶν αὐτῶν οὐσῶν. Τὸ μὲν, ἀπὸ τοῦ ἁρπάζειν· τὸ δὲ, ἀπὸ τοῦ θύειν, ὅ ἐστι μετὰ βίας ἄγειν.

V. 1017. Ἀ ρ π ά γ δ η ν δὲ εἶπεν ἀπὸ τοῦ ἁρπάζειν· ὡς φοράδην, ἀπὸ τοῦ φέρειν· καὶ ἀΐγδην, ἀπὸ τοῦ ἀΐσσειν.

V. 1018. Ἐ κ δ᾽ ἄ ρ᾽ ἔ β η σ α ν. Ἐξέβησαν καὶ προσεπελάσθησαν πάλιν τοῖς Δολίοσι.

Τὸ δὲ ἐ ΰ ξ ε ί ν ο ι σ ι ν, ὥσπερ καὶ αὐτὸς δεινοπαθῶν ἐπὶ τοῖς συμβεβηκόσι τοῦτο φησίν.

V. 1019. Ἱ ε ρ ὴ δ ὲ φ α τ ί ζ ε τ α ι. Κατ᾽ εὐφημισμόν. Τὰ γὰρ μεγάλα τῶν παθῶν εὐφήμως ἱερὰ καὶ καλὰ φασίν· ὡς καὶ τὰς Ἐριννύας, Εὐμενίδας· καὶ τὴν λοιμικὴν, λέπραν. Οἱ δὲ καὶ νόσον ἱεραν ἐκάλεσαν, ὡς καὶ Καλλίμαχος·

Ψευδόμενοι δ᾽ ἱερὰν φημίζομεν.

V. 1023. Ἐ π ή ϊ σ α ν. Οὐκ ἐπήρχοντο, φησὶν, ἀληθῶς, ὡς ἐπὶ τοὺς ἥρωας· ἠγνόησαν γὰρ, διοτι νὺξ ἦν.

V. 1024. *Μακριέων.* Τῶν καλουμένων Μακρώνων, οἵ εἰσιν ἄποικοι Εὐβοέων. Ἀφ' οὗ καὶ Μάκρωνες ἐκλήθησαν. Καὶ Μάκρις γὰρ ἡ Εὔβοια ἐκαλεῖτο.

Πελασγικὸν δὲ εἶπεν, διὰ τὸ πλησιόχωρον εἶναι τὴν Εὔβοιαν τῇ Πελοποννήσῳ, ἣ πρότερον ἐκαλεῖτο Πελασγία.

Ἦσαν δὲ ἀστυγείτονες τῶν Δολιόνων οἱ Μάκρωνες. Οἱ δὲ ἔθνος Βεχείρων φασὶ τοὺς Μάκριας, οἵτινες ἀεὶ πολεμοῦσι τοῖς Κυζικηνοῖς. Ἦσαν δὲ τὰ πολεμικὰ ἔργα ἠσκηκότες, ὡς ἱστοροῦσι Φιλοστέφανός τε καὶ Ἡρόδωρος, οἱ τὰ περὶ τῶν βίων αὐτῶν γεγραφότες. Διονύσιος δὲ ὁ Χαλκιδεὺς εἰρῆσθαι φησὶν αυτοὺς Μάκρωνας, ἐπειδὴ Εὐβοέων εἰσὶ Μάκρωνες ἄποικοι. Ἄλλοι δὲ Μάκρωνας αὐτοὺς φασὶ λέγεσθαι διὰ τὸ πλείστους εἶναι παρ' αυτοῖς μακροκεφάλους, ὥσπερ παρὰ τοῖς Πέρσαις γρυπούς. Μέμνηται δὲ τούτων Ἡρόδοτος ἐν δευτέρᾳ.

Πελασγικὸν δὲ Ἄρεα εἶπεν τὸν τῶν Μακριέων, ἐπεὶ Εὐβοέων εἰσὶν ἄποικοι· ἡ δὲ Εὔβοια πλησίον Πελοποννήσου κεῖται, ἥτις τὸ παλαιὸν Πελασγὶς ἐκαλεῖτο.

V. 1026. *Σὺν δ' ἔλασαν.* Τὸ Ὁμηρικὸν παραγράφει,

Σὺν ῥ' ἔβαλον ῥινοὺς, σὺν δ' ἔγχεα καὶ μένη ἀνδρῶν.

V. 1027. *Ἧτ' ἐνὶ θάμνοις.* Τοῖς στελέχεσι τῶν δένδρων, ἀπὸ τῆς θέσεως.

— — θάμνος ἔφυ τανύφυλλος ἐλαίης.

Καὶ ταῦτα δὲ ἐξ Ὁμήρου παρῆκται·

Μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος, ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται βαθέης ἐνὶ τάρφεσιν ὕλης.

V. 1029. *Ζαμενής.* Ἄγαν ἰσχυρός· τοῦ ζα κατ' ἐπίτασιν ὄντος, ὡς ζάπλουτος, ζάκοτος, ζάθεος.

V. 1030. *Ὑπὲρ μόρον.* Συνυπακούεται τὸ σχὼν, ἢ ἄλλό τι παραπλήσιον, ἵν' ᾖ, οὐδ' ὅγε ὁ Κύζικος ὑπερσχὼν τὸν μόρον τῆς δηϊοτῆτος.

V. 1034. *Ἐῤῥαίσθη.* Ἀντὶ τοῦ ἐθραύσθη.

V. 1035. *Τὸ δὲ μοῖραν ἀνέπλησεν,* τὸ πρόσταγμα τῆς εἱμαρμένης ἐτέλεσε.

Τὴν γὰρ θέμις. Τοῦτο ὥσπερ ἀποδεικτικόν ἐστιν τοῦ ἄφυκτον εἶναι τὴν μοῖραν, ὡς καὶ Ὅμηρος ἐν πολλοῖς δείκνυσιν.

V. 1037. *Ἀδευκέος ἔκτοθεν ἄτης.* Οὐ προσηνοῦς, ἀπεοικυίας, πικρᾶς. Δεῦκος γὰρ τὸ γλυκύ. Ὅθεν Πολυδεύκης. Καὶ γὰρ ζῶν, εὐεργετικώτατος· καὶ ἀποθεωθεὶς, ἅμα τῷ ἀδελφῷ διασώζει τὰς ναῦς. Ἢ ἀφανοῦς καὶ ἀπροοράτου, παρὰ τὸ δείκω.

Τὸ δὲ *ἔκτοθεν* ταυτόν ἐστι τῷ ἐκτός.

Περὶ τῆς μάχης καὶ Δηΐλοχος ἱστορεῖ. Περὶ δὲ τῆς τοῦ Κυζίκου ἀναιρέσεως καὶ τῆς ὅλης μάχης οὐ συμφωνεῖται. Ἔφορος μὲν γὰρ τοὺς Δολίονας, Πελασγοὺς ὄντας, καὶ ἐχθρωδῶς διακειμένους πρὸς τοὺς τὴν Θεσσαλίαν καὶ Μαγνησίαν κατοικοῦντας, διὰ τὸ ἀπελασθῆναι ὑπ' αὐτῶν, ἐπιθέσθαι αὐτοῖς νύκτωρ, γράφει ἐν τῇ ἐννάτῃ. Ἠκολούθηκε δὲ Ἀπολλώνιος Δηϊλόχῳ. Καλλισθένης δὲ ἐν τῷ πρώτῳ τοῦ Περίπλου, κατ' ἔχθραν φησὶ τοὺς οἰκοῦντας τὴν Κύζικον ἐπιθέσθαι νυκτὸς τοῖς Ἀργοναύταις.

V. 1040. sq. *Τηλεκλῆα ἠδὲ Μεγαβρόντην.* Πέπλακε τὰ ὀνόματα ταῦτα Ἀπολλώνιος, οὐκ ἀπὸ ἱστορίας ἔλαβεν. Οὕτω Ταῤῥαῖος.

Τὸν δὲ Κύζικον οἱ μὲν ὑπὸ Διοσκούρων φασὶν ἀναιρεθῆναι, ἄλλοι δὲ ὑπὸ Ἰάσονος.

Τὸ δὲ ἑοῖο καὶ νῦν κακῶς κεῖται. Ἔστι γὰρ προςληπτικὸν, ἰσοδυναμοῦν τῷ ἑαυτοῦ. *)

V. 1047. Ἀρτακέα. Ἡρωδιανὸς βαρυτονεῖ τὸ ὄνομα ἐν τῷ τρίτῳ τῆς καθόλου. Ἀρτάκης γάρ.

V. 1049. Ἠΰτε κίρκους. Εἶδος ἱέρακος. Ἔστι δὲ ἱεράκων γένη ἕξ, ὡς Καλλίμαχος ἐν τοῖς περὶ ὀρνέων. Καὶ Ὅμηρος δὲ ἔοικε τοῦτο γινώσκειν·

— — οὐδέ κεν ἴρηξ
κίρκος ὁμαρτήσειεν, ἐλαφρότατος πετεηνῶν.

καί·

Κίρκος Ἀπόλλωνος ταχὺς ἄγγελος.

Ὁ δὲ ἱέραξ ἱερός ἐστιν Ἀπόλλωνος.

V. 1050. Πέλεια δὲ περιστερᾶς εἶδος, ὅμοιον φάττῃ, ὥς φησιν Ἀριστοτέλης.

V. 1052. Ὑποτροπίῃ. Ὑποστροφῇ, τουτέστι φυγῇ.

V. 1053. Ἠῶθεν δ' ὀλοήν. Ἅμα ἠοῖ κακὴν ἀμπλακίην καὶ ἀπροσμήχανον εἶδον, οἷον ἀβοήθητον.

V. 1059. Τρὶς περὶ χαλκείοις δίχα. Χαλκείοις σὺν ἔντεσιν. Ὑπερβατὸν δέ ἐστι. Τὸ γὰρ ἑξῆς, χαλκείοις σὺν ἔντεσι περιδινηθέντες, ὅ ἐστι περιδραμόντες.

V. 1060. Τύμβῳ ἐνεκτερέϊξαν. Τύμβον ἔστησαν. Καὶ Ταρχῦσαι, τὸ θάψαι· Κτερεΐξαι, τὸ τύμβον ποιῆσαι, καὶ τὰ ἐπὶ τῷ τύμβῳ τελέσαι. Ἔθαψαν γὰρ, τάφον αὐτῷ ποιήσαντες.

V. 1062. Τὸ δὲ ἐγκέχυται, Ὁμηρικῶς, κατὰ τὴν ἀρχαίαν ἀγωγὴν,

— — χυτὴν ἐπὶ γαῖαν ἔχευαν.

Τοῦ δὲ Λειμωνίου πεδίου μέμνηται Δηΐλοχος, περί τε τοῦ τάφου Κυζίκου ὁ αὐτός.

*) Ad v. 1032.

V. 1063. *Οὐδ' ἄλοχος Κλείτη.* Ὁ μὲν Ἀπολλώνιος νεόγαμον τὸν Κύζικον καὶ ἄπαιδα ἱστορεῖ, Εὐφορίων δὲ ἐν Ἀπολλοδώρῳ μελλόγαμον. Τὴν δὲ Κλείτην οὐ Μέροπος λέγει θυγατέρα, Θρῆσσαν δὲ τὴν Πιάσου· οὐδὲ παθεῖν τι ἐπὶ τῷ τοῦ ἀνδρὸς θανάτῳ, ἀπαχθῆναι δὲ οἴκαδε ὑπὸ τοῦ πατρός. Εὐανθης δὲ ἐν τοῖς Μυθικοῖς συμφωνεῖ τῷ Ἀπολλωνίῳ. Περὶ δὲ τῆς Κλείτης φησὶ Δηΐλοχος, ὑπὸ λύπης τελευτῆσαι. Ἱστορεῖ δὲ Ἀπολλώνιος, ἄτεκνον τὸν Κύζικον ἀνῃρῆσθαι. Εὐάνθης δὲ, ἐσχηκέναι φησὶ παῖδα ὁμώνυμον ἑαυτῷ.

V. 1065. *Τὴν δὲ καὶ αὐτήν.* Τοῦτο ἤτοι ὅτι πρὸς θαυμασμὸν τοῦ πάθους, (τοσοῦτον γὰρ ἦν, ὡς καὶ τὴν θείαν φύσιν ἀνεγεῖραι) ἢ ὅτι ὑπόκεινται αἱ γυναῖκες θρηνοῦσαι, ἵνα ᾖ, μετὰ τῶν Δολιόνων καὶ αὐταὶ αἱ Νυμφαι ὠδύροντο τὴν Κλείτην.

Εὐάνθης δὲ καὶ Δηΐλοχος ἱστοροῦσιν, ὅτι ἀπήγξατο ἡ Κλείτη, καὶ ὅτι ἡ ταυτης κρήνη ἐν Κυζικῳ

V. 1068. sq. *Ἣν καλέουσι Κλείτην.* Ἀντὶ τοῦ, ὁμωνύμως τῇ παιδί· πρὸς πλείονα χρόνον τοῦ πάθους τὴν μνήμην σώζεσθαι βουλόμενοι.

Περικλεὲς δὲ, ἢ τὸ ἐπίδοξον καὶ διαβόητον, ἐκ τῆς τοῦ πάθους ὑπερβολῆς καὶ τῆς πρὸς τὸν ἄνδρα διαθέσεως γενόμενον.

V. 1073. *Ἔργοιο μυληφάτου.* Τοῦ πυροῦ, τουτέστι τοῦ σίτου. Τοῦ ἀλεύρου τοῦ ὑπὸ μυλης τεθλαμένου ἐν τῷ ἀλήθεσθαι. Φησὶ δὲ τοὺς ἄρτους.

V. 1075. *Χύτλα.* Κυρίως τὰ μεθ' ὕδατος ἔλαια· καταχρηστικῶς δὲ, ὡς ἐνταῦθα, τὰ ἐναγίσματα καὶ αἱ χοαί.

V. 1077. *Πέλανοι δὲ,* πέμματα ποιά. Ἀττικοὶ δὲ πᾶν τὸ πεπηγὸς οὕτω λέγουσι.

Τὸ δὲ Κύζικον ἐνναίοντες, ἀντὶ τοῦ Κυζικηνοί.

Ἰάονες δὲ, τῷ ἀποίκους εἶναι Μιλησίων. Καὶ γὰρ εἰς Μίλητον ὁ Νηλεὺς ἀποικίαν ἐστείλατο, καὶ ἐκεῖθεν ἐπὶ Κύζικον μετὰ πολὺν χρόνον. Ὅθεν καὶ τοὺς Μιλησίους Ἴωνας ἐκάλεσεν.

Πελάνους ἐπαλετρεύουσι. Πᾶς δῆμος ἐπὶ τῆς μύλης ἐπαλετρεύουσι καὶ ἀλήθουσι πελάνους. *Πέλανος* δὲ, ὁ διαπεπηγμένος καὶ ῥυπαρὸς κατὰ Ἀττικούς. Ὡς καὶ Εὐριπίδης·

Στόματος ἀφρώδη πέλανον.

Φησὶ δὲ τοὺς ἀκαθάρτους καὶ εὐτελεῖς ἄρτους, οὓς ὁ Θεόκριτος Δωρικούς φησιν.

V. 1079. *Ἤμαθ' ὁμοῦ.* Τὸ ὁμοῦ παρ' Ὁμήρῳ μὲν τὸ ἐν αὐτῷ τῷ τόπῳ σημαίνει,

— — ὁμοῦ δ' ἔχον ὠκέας ἵππους.

παρὰ δὲ τοῖς μεθ' Ὅμηρον καὶ ἄλλα σημαίνει. Ὡς καὶ Σοφοκλῆς ἐπὶ χρόνου τέθεικεν αὐτό·

Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

Νῦν δὲ ἀντὶ τοῦ ὁμοίως κεῖται. Ὡς καὶ παρ' Εὐριπίδῃ·

Ὁμοῦ γέροντες καὶ νέοι καὶ μητέρες.

V. 1080. *Ἐπιπλομένῃ.* Τὴν ἐπερχομένην φησίν.

V. 1081. *Ὦ 'λλοι μέν ῥα.* Ἡ τοιαύτη συναλοιφὴ τῆς νεωτέρας Ἰάδος ἐστί. Διὸ μέμφονται Ζηνοδότῳ, εἰπόντι,

Ὦ 'λλοι μέν ῥα θεοί τε καὶ ἀνέρες.

Οὐ κέχρηται γὰρ ταύτῃ Ὅμηρος.

V. 1082. *Πύματον λέχος.* Ὕστερον κλῆρον καὶ μερίδα τοῦ ἐν τῇ Δολονίᾳ ὕπνου λαμβάνοντες, καὶ ἐκεῖσε ὑπνοῦντες· τῇ γὰρ ἑξῆς ἀναπλεῖν ἔμελλον.

V. 1083. *Ἀδινὰ κνώσσοντας.* Ἐφύλαττον μεγάλως καὶ βαθέως ὑπνοῦντας. Ὁ δὲ Ταῤῥαῖος, λεπτὰ κοιμωμένους, καὶ οὐ κατὰ βαθος.

V. 1086. *Λῆξιν ὀρινομένων.* Τὴν κατάπαυσιν καὶ λώφησιν τῆς τῶν ἀνέμων βίας. Τὸ γὰρ ὄρνεον θαλάσσιον καὶ ἐν τοῖς αἰγιαλοῖς βιοῦν. Λέγεται δὲ καὶ ὁ Ζευς ἐφεξῆς πέντε καὶ δέκα ἡμέρας, ἢ (ὥς τινες) δεκατέσσαρας εὐδιεινὰς ποιεῖν, ἵνα ἀποκυήσῃ παρὰ τοῖς αἰγιαλοῖς. Καὶ ἀλκυονίδες ἡμέραι καλοῦνται ἑπτὰ πρὸ τοῦ τόκου, καὶ ἑπτὰ μετὰ τὸν τόκον. Εἴληφε δὲ τὰ περὶ τῶν ἀλκυόνων παρὰ Πινδάρου ἐκ Παιάνων.

V. 1087. *Εὐλόγως δὲ ὄσσαν* εἶπε τὴν ἀλκυόνος φωνήν. Ὑπὸ γὰρ Ἥρας ἦν ἀπεσταλμένη, ὥς φησι Πίνδαρος.

Ἀκταίης ὄρνιθος. Τῆς παρὰ ταῖς ἀκταῖς καὶ τοῖς αἰγιαλοῖς διατριβούσης καθήκουσαν φωνὴν ἀκουσας.

V. 1089. *Ἀφλάστοιο.* Ἀπολλώνιος ἐν ταῖς Λέξεσιν ἀποδέδωκεν ἄφλαστον τὸ ἀκροστόλιον· οὐκ εὖ· ἐπειδὴ τὸ ἀκροστόλιον ἐστὶ τοῦ στόλου. Στόλος δὲ λέγεται τὸ ἐξέχον ἀπὸ τῆς πτύχης καὶ διῆκον ἄχρι τῆς πρώρας ξυλον. Πτύχη δὲ λέγεται, ὅπου τὸ τῆς νεὼς ἐπιγράφεται ὄνομα. Ἔστιν οὖν ἀκροστόλιον τὸ ἄφλαστον κατὰ τὴν πρωραν. Ἀλλ' ὁ ποιητὴς αὐτὸ παραδιδωσιν ἐπὶ τῆς πρυμνης, λέγων·

> Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν οὔτι μεθήει,
> ἄφλαστον μετὰ χερσὶν ἔχων.

Καὶ εἴρηται ἄφλαστον κατὰ συγγένειαν τοῦ φ πρὸς τὸ θ, ἄθλαστον, κατὰ ἀντίφρασιν· ἐπεὶ εὔθλαστόν ἐστιν. Ἔστιν οὖν ἄφλαστον, σανίδιον κατὰ τὴν πρυμναν.

V. 1098. *Ἐκ γὰρ τῆς ἄνεμοί τε.* Ἐκ ταύτης τῆς Ῥέας καὶ γῆ καὶ θάλασσα καὶ οὐρανὸς συνέχεται.

Οἱ γὰρ φυσικοὶ αὐτὴν γῆν φυσιολογοῦσιν τὴν πάντων ἁρμογὴν καὶ δεσμόν. Καὶ τὸ ὄνομα αὐτῆς ἐτυμολογοῦσι παρὰ τὸ ῥεῖν ἀεὶ καὶ ποιεῖν τείρεα. Καὶ φυσικῶς ταύτης ἄνδρα τὸν Κρόνον φασὶν, οἱονεὶ τὸν χρόνον, μεταβολῇ τοῦ ἀντιστοίχου. Σύνεστι δὲ τῇ τῶν στοιχείων τάξει ἐξ ἀνάγκης ὁ χρόνος. Καὶ εἶτα λοιπὸν ἀλληγορικῶς τούτους τῶν θαλασσίων καὶ οὐρανίων καὶ χθονίων θεῶν πατέρας εἶναι φασί. Μετὰ γὰρ τὴν τῶν στοιχείων θέσιν καὶ σύνδεσμον συνέβη καὶ θεοὺς καὶ θεῶν δυνάμεις καὶ διαφορὰς μαθεῖν τοὺς ἄνδρας, καὶ τιμῆσαι.

V. 1099. Τὸ πεπείρηται, ἀντὶ τοῦ συνέχεται καὶ συνέζευκται.

V. 1109. Ἱερῆς ἐκ πείσματα πέτρης. Ἧς καὶ ἐν τοῖς πρώτοις μέμνηται, εἰπών·

— — ἱερὴ δὲ φατίζεται ἥδ' ἔτι πέτρη.

V. 1110. Ἤρεσαν. Ἐκωπηλάτησαν. Τῷ δὲ συντελικῷ ἐχρήσατο ἀντὶ παρατατικοῦ τοῦ ἤρεσσον.

Λιμένα δὲ Θρηΐκιον λέγει, ἐπειδὴ κεῖται μὲν ἡ Κύζικος ἐπ' ἐσχάτοις τῆς Φρυγίας, συνάπτει δὲ ἡ Βιθυνία τῇ Φρυγίᾳ. Βιθυνοὶ δὲ Θρᾷκες κατὰ τὸ δεξιὸν μέρος. Ἢ ἐπειδὴ Θρᾷκες Κύζικον ᾤκησαν.

V. 1112. sq. Καὶ πᾶσα περαίη Θρηΐκίης. Καὶ πᾶσα ἡ ἐναντία χώρα τῆς Θρᾴκης. Ποντικὸν δὲ ἔθνος οἱ Μάκρωνες.

Τὸ δὲ, χερσὶν ἑαῖς, οὐκ εὖ εἴρηκεν. Ὤφειλε γὰρ σφετέραις.

V. 1114. Στόμα Βοσπόρου ἠερόεν. Οἷον ἀερῶδες, ἤτοι ὁμιχλῶδες. Βόσπορος δὲ τὸ τῆς Προποντίδος στενόν· οὕτω κληθὲν ἀπὸ τῆς διανηξαμένης βοὸς, τῆς Ἰοῦς.

V. 1115. Ἐκ δ' ἑτέρης. Οὐ λέγει ἠπείρου, τῆς

Εὐρώπης, (καὶ γὰρ ἡ Μυσία καὶ ὁ Αἴσηπος τῆς Ἀσίας.) ἐπὶ ἑτέρας δὲ χώρας λέγει, τῆς Τρωάδος, καθ' ἣν ὁ Αἴσηπος ῥεῖ, χωρίζων αὐτὴν τῆς Μυσίας. Καὶ Ὅμηρος·

Γρήνικος τε καὶ Αἴσηπος.

Ἡ δὲ Τρωὰς ἀπὸ Μυσίας ἀρχομένη τῆς μεγάλης ἐπὶ Αἰσήπου λήγει. Ἡ δὲ Δολιονία καὶ Φρυγία ἄρχεται μὲν ἀπὸ Αἰσήπου, λήγει δὲ ἐπὶ Ῥύνδακον. Μυσίαι δὲ δύο, ἥ τε Εὐρωπαία καὶ ἡ Ἀσιανή. Τῆς οὖν ἐν Ἀσίᾳ Μυσίας αἱ κολῶναι τοῖς Ἀργοναύταις ἐφαίνοντο.

V. 1116. Καὶ πεδίον Νηπήϊον. Πεδίον Νηπείας ἐστὶ περὶ Κύζικον. Μνημονεύει δὲ αὐτοῦ καὶ Καλλίμαχος ἐν Ἑκάλῃ·

Νηπείης ἥτ' ἄργος ἀοίδιμος ἀδρήστεια.

Τὴν δὲ Νήπειαν Διονύσιος ὁ Μιλήσιος πεδίον τῆς Μυσίας φησὶν εἶναι. Ὁ γὰρ βασιλεὺς τῶν Μυσῶν θυγατέρα Ἰάσου ἔγημεν Ὄλυμπος Νήπειαν ὄνομα· καὶ κατῴκησεν ἐν τῷ πεδίῳ τούτῳ, ὃ νῦν καλεῖται Νηπείας πεδίον. Ἀπολλόδωρος δέ φησι Νηπείας πεδίον ἐν Φρυγίᾳ. Ὁ δὲ Καλλίμαχος φησὶν ἐν Ὑπομνήμασι, Νέμεσιν εἶναι τὴν τὸ πεδίον κατέχουσαν. Ἔστι δὲ καὶ πόλις καλουμένη Ἀδρήστεια ἀπὸ τοῦ ἱδρυσαμένου. Ὁ δὲ Ἀπολλώνιος ἑκατέρων μέμνηται, τῆς τε πόλεως καὶ τοῦ πεδίου. Φησὶ γάρ·

Ἄστυ τε καὶ πεδίον Νηπήϊον Ἀδρηστείης.

Τῆς δὲ πόλεως καὶ Ὅμηρος μνημονεύει·

Οἳ δ' Ἀδρήστειάν τ' εἶχον.

V. 1117. Στιβαρὸν στύπος. Στύπος τὸ πρέμνον καὶ στέλεχος, ἐξ οὗ καὶ ἀπεστύπαζον.

V. 1119. Βρέτας δὲ, τὸ βροτῷ ἐοικός. Καὶ Εὐφορίων ἐκ τούτου κινηθεὶς, τὸ ξόανον τῆς

μητρὸς τῶν θεῶν φησὶν ἀμπέλινον εἶναι, διὰ τὸ τὴν ἄμπελον ἴσως ἱερὰν εἶναι τῆς Ῥέας.

Πρόχνυ δὲ, παντελῶς. Γεράνδρυον, τὸ παλαιὸν ξύλον. *)

V. 1120. Κολωνῷ. Τῇ ἐξεχούσῃ ἀκρωρείᾳ.

V. 1123. Χεράδος. Χερὰς, ἡ τῶν βραχέων λίθων συλλογὴ, τῶν καθ᾽ ἕνα χειρὶ ληφθῆναι δυναμένων· οὓς Ὅμηρος χερμάδια φησί. Τὸ δὲ βωμὸν, ἀντὶ τοῦ εἰς βωμοῦ κατασκευήν. Ἢ χεράδες λέγονται οἱ μικροὶ σωροὶ τῶν λίθων. Φησὶ Δημήτριος ὁ Σκήψιος τὴν διάλεκτον Ἀπολλωνιατῶν εἶναι τῶν ἐν Πόντῳ. Μνημονεύει καὶ Σαπφώ·

Μὴ κενὴ χεράδος.

Καὶ Ὅμηρος·

— ἅλις χεράδος περιχεύας.

Χέραδος δὲ, ὁ τῶν λίθων σωρός. Εἰς δὲ τὴν τοῦ βωμοῦ κατασκευὴν λίθους ἐσώρευον.

V. 1124. Δρυΐνοισιν. Εἰκότως. Ἡ γὰρ δρῦς ἱερὰ τῆς Ῥέας, ὥς φησιν Ἀπολλόδωρος ἐν τρίτῳ περὶ θεῶν. Δρυΐνοις δὲ αὐτοὺς φησὶ στέφεσθαι, διὰ τὸ μεμερίσθαι τῇ θεῷ τὸ δένδρον τοῦτο· διὰ τὸ καὶ πρὸς στέγας καὶ πρὸς τροφὴν πρωτον χρησιμεῦσαι.

V. 1125. Δινδυμίην. Τὴν ἐν τῷ Δινδύμῳ ὄρει τιμωμένην ἐπικαλούμενοι καὶ ἱκετεύοντες.

V. 1126. Ἐνναέτιν Φρυγίης Τιτίην θ᾽ ἅμα. Περὶ τῶν Ἰδαίων Δακτύλων καλουμένων πρώτους φησὶν εἶναι καὶ παρέδρους τῇ μητρὶ τῶν θεῶν· ἀκολουθῶν Μενάνδρῳ, λέγοντι Μιλησίους, ὅταν θύωσι τῇ Ῥέᾳ, προςθύειν Τιτίᾳ καὶ Κυλλήνῳ. Εἰσὶ δὲ οὗτοι τῶν

*) Ad v. 1118.

Ἰδαίων Δακτύλων μοιρηγέται καὶ μητρὸς θεῶν πάρεδροι. Καλλίστρατος δὲ ἐν τῷ δευτέρῳ τοῦ καθ' Ἡράκλειαν περὶ Τιτίου φησί· Τιτίας, ἥρως ἐγχώριος, ὃν οἱ μὲν μυθεύονται παῖδα Διὸς, οἱ δὲ, πρεσβύτερον τῶν Μαριανδυνοῦ τοῦ Κιμμερίου παίδων· δι' ὃν μάλιστα τὸ ἔθνος ηὔξηται, καὶ προάγεται ἔτι εἰς εὐδαιμονίαν. Καὶ Προμαχίδας δὲ ἐν τοῖς περὶ Ἡρακλείας λέγει περὶ Τιτύου, ὅστις ἦν, καὶ Θεοφάνης. Ἀπεθεώθη δὲ ἀπὸ Μαριανδυνῶν.

V. 1129. *Ὅτι δὲ νύμφη τὶς Οἰαξίδος γῆς δραξαμένη τοὺς καλουμένους Ἰδαίους Δακτύλους ἐποίησε, παρὰ Στησιμβρότου εἴληφε· καὶ ὅτι διὰ τὸ ῥυῆναι αὐτοὺς διὰ τῶν χειρῶν, Δακτυλοι κληθῆναι. Σοφοκλῆς δὲ αὐτοὺς Φρύγας καλεῖ ἐν Κωφοῖς Σατύροις.*

Δάκτυλοι Ἰδαῖοι. Ἓξ καὶ πέντε φασὶ τούτους εἶναι· δεξιοὺς μὲν, τοὺς ἄρσενας· ἀριστεροὺς δὲ, τὰς θηλείας. Φερεκύδης δὲ τοὺς μὲν δεξιοὺς, εἴκοσι λέγει· τοὺς δὲ εὐωνύμους, τριακονταδύο. Γόητες δὲ ἦσαν καὶ φαρμακεῖς. Καὶ δημιουργοὶ σιδήρου λέγονται εἶναι πρῶτοι καὶ μεταλλεῖς γενέσθαι. Ὠνομάσθησαν δὲ ἀπὸ τῆς μητρὸς Ἴδης, ἀριστεροὶ μὲν (ὥς φησι Φερεκύδης) οἱ γόητες αὐτων· οἱ δὲ ἀναλύοντες, δεξιοὶ, ὡς Ἑλλάνικος. Οἱ δέ φασιν, ὅτι Ἰδαῖοι Δάκτυλοι ἐκλήθησαν, ὅτι ἐντὸς Ἴδης ἐντυχόντες τῇ Ῥέᾳ ἐδεξιώσαντο τὴν θεὸν, καὶ τῶν δακτύλων αὐτῆς ἥψαντο. Ὡς δὲ Μνασέας ἐν πρώτῳ περὶ Ἀσίας, Ἰδαῖοι Δάκτυλοι λέγονται ἀπὸ τοῦ πατρὸς Δακτύλου καὶ τῆς μητρὸς Ἴδης. Ὁ δὲ τὴν Φορωνίδα συνθεὶς, γράφων οὕτως·

— — ἔνθα γόητες
Ἰδαῖοι Φρύγες ἄνδρες ὀρέστεροι οἰκί' ἔναιον,
Κέλμις, Δαμναμενεύς τε μέγας καὶ ὑπέρβιος Ἄκμων,

εὐπάλαμοι θεράποντες ὀρείης Ἀδρηστείης·
οἳ πρῶτοι τέχνην πολυμήτιος Ἡφαίστοιο
εὗρον ἐν οὐρείῃσι νάπαις, ἰόεντα σίδηρον·
ἐς πῦρ τ' ἤνεγκάν, καὶ ἀριπρεπὲς ἔργον ἔδειξαν.

V. 1130. Δικταῖον. Τὸ Κρητικὸν σπήλαιον. Δίκτη γὰρ ὄρος Κρήτης.

V. 1131. Δραξαμένη. Ἔθος ἐστὶ ταῖς κυούσαις τῶν παρακειμένων λαμβάνεσθαι, καὶ ἀποκουφίζειν *) ἑαυτὰς τῶν ἀλγηδόνων. Ὡς καὶ Λητὼ ἐλάβετο τοῦ φοίνικος.

Ἔδει δὲ εἰπεῖν Ὀαξίδος· προσετέθη δὲ τὸ ι.

Ἐβλάστησεν. Ἀντὶ τοῦ ἐγέννησε.

V. 1132. Ἐργώλας. Διαφόρως ἀνεγνώσθη· ἐπικρατεῖ δὲ ἡ βαρεῖα τάσις.

V. 1134. Ὀρφῆος ἀνωγῇ. Τῇ τοῦ Ὀρφέως παρακελεύσει, ὡς αὐτοῦ τῆς ὀρχήσεως προκαταρχομένου.

V. 1135. Βηταρμὸν δὲ, τὴν ὄρχησιν, παρὰ τὴν ἁρμόδιον βάσιν αὐτῶν. Λέγει δὲ νῦν τὴν πυῤῥίχην ὄρχησιν.

Τὸ δὲ ἑξῆς, ὠρχοῦντο τοῖς ξίφεσι τὰς ἀσπίδας κομποῦντες, διὰ τὸ τὸν Κύζικον θρηνεῖσθαι ὑπὸ τῶν Δολιόνων, ἵνα μὴ, τῆς θυσίας οὔσης, δύσφημος φωνὴ ἀναφέρηται. Ὅθεν καὶ Φρύγες κυμβάλοις καὶ τυμπάνοις τὴν Ῥέαν ἱλάσκονται.

V. 1139. Ῥόμβῳ. Ῥόμβος, τροχίσκος, ὃν στρέφουσιν ἱμᾶσι τύπτοντες, καὶ οὕτως κτύπον ἀποτελοῦσι.

---

*) Etiam Paris. Schol. p. 93. ἀποκουφίζεσθαι τῶν ἀλγηδόνων: legiturque hoc compositum etiam aliis locis. Quod si quis eius auctoritate tueatur simillimum ἀπελαφρύνω, de quo notavi p. 253., vix habeo quod opponam.

Τινὲς δὲ ῥόμβον αὐτὸ καλοῦσιν· ὧν καὶ Εὔπολις ἐν Βάπταις, καὶ Δίδυμος.

V. 1141. Ἀνταίη. Ἡ Ῥέα οὕτω λέγεται, διότι ἐναντία τοῖς Τελχῖσιν ἐγένετο. Ὡς δέ τινες, ἀνταίη, ἡ εὐλιτάνευτος καὶ εὐάντητος.

Σήματ' ἔγεντο. Διὰ τούτου οὐδὲν ἕτερον ὁ ποιητὴς φησὶν, ἢ τὴν τῆς θεοῦ φύσιν. Καὶ τοῖς φυσικοῖς, φασὶ, δοκεῖ τὴν αὐτὴν εἶναι τῇ γῇ. Τῆς δὲ εὐμενείας σημεῖον, τὸ ἔγκαρπα εἶναι τὰ δένδρα καὶ πόας αὐτομάτους φύειν.

V. 1143. Τερείνης. Τῆς ἁπαλῆς καὶ χλωρᾶς.

V. 1144. Εἰλυοὺς δὲ, τὰς καταδύσεις τῶν θηρῶν.

Ξυλόχους δὲ, τοὺς ἐν τοῖς ὄρεσιν ὑλώδεις τόπους. Ἔστι δὲ ὑπερβατὸν, εἰλυούς τε ξυλόχους τε καταλιπόντες.

Διὰ πολλῶν δὲ τὸ θαυμαστὸν παρέστησε, διά τε τῆς διψάδος, καὶ ὅτι οὐκ ὀλίγον τὸ ἀναδοθὲν ὕδωρ, ἀλλὰ καὶ ἄληκτον.

V. 1146. Τὸ δὲ ναῖεν, οὐκ εὖ. Ἔδει γὰρ χωρὶς τοῦ ι, νάεν· ἵν' ᾖ, ἔῤῥει. Ὡς παρ' Ὁμήρῳ·

— — νᾶεν δ' ὀρῷ ἄγγεα πάντα.

Ἡ δὲ σύνταξις κατὰ μετάθεσιν· ὡς τὸ,

— — — ῥέε δ' αἵματι γαῖα.

ἀντὶ τοῦ, αἷμα ἔῤῥεεν ἐν τῇ γῇ. Ἢ μεταληπτέον τὸ νᾶεν εἰς τὸ καταῤῥυτον· ἵν' ᾖ, καταῤῥυτον τὸ Δινδυμον ὕδασιν.

V. 1147. Ἀνέβραχε. ἀντὶ τοῦ ἀνεδόθη.

Διψάδος. Διψὰς τὴν ξηρὰν γῆν σημαίνει.

V. 1152. Νῆσον δὲ ἔοικε τὴν Κύζικον λέγειν ἐνταῦθα.

V. 1158. Ἀελλόποδας δὲ, τοὺς ταχεῖς.

Τὸ δὲ κίχον, ἀντὶ τοῦ κατέλαβον.

V. 1159. Ζαχρηέσιν αὔραις. Μεγάλως ἐπιβαρούσαις καὶ πνεούσαις. Κυρίως δὲ ζαχρηὲς, τὸ βιαίως ταῖς χερσὶ πραττόμενον. Παρὰ γὰρ τὰς χεῖρας πεποίηται ἡ λέξις καὶ τὸ ζα ἐπιτατικόν.

V. 1161. Τὸ μετελώφεον, ἀντὶ τοῦ ἐπαύσαντο.

V. 1162. Ἐφέλκετο. Πρὸς τὴν πάντων αὐτῶν ἀργίαν καὶ τὴν τοῦ κύματος ὑπερβολὴν, τὸ ἐφέλκετο, πρὸς πλείονα εἶπεν ἔμφασιν. Ὅπερ καὶ Καλλίμαχος ἐπὶ τοῦ ἡττηθέντος ταύρου φησὶν,

ὁ δ' εἵπετο νωθρὸς ὁδίτης.

V. 1165. Ῥυνδακίδας. Ῥυνδακὸς τόπος *) ἐστὶ Φρυγίας, οὗ μνημονεύει Βακχυλίδης. Ταῖς δὲ ἀληθείαις τάφος ἐστὶ τοῦ Βριάρεω, κατὰ τὴν εἴσοδον. Καλλίμαχος δὲ ἱστορεῖ περὶ τοῦ ποταμοῦ ἐν τῷ περὶ τῶν κατὰ τὴν Ἀσίαν ποταμῶν, καὶ Δημήτριος ὁ Σκήψιος ἐν τῷ αὐτῷ διακόσμῳ. Ἄλλως. Ῥυνδακὸς, ποταμὸς Φρυγίας, ὁ νῦν Μέγιστος, πρὸς ᾧ κατὰ τὴν ἔξοδον καὶ Αἰγαίωνος τινὸς ἥρωος Μυσοῦ τάφος. Ῥυνδακὸς δὲ, ὡς Αἰακός.

Μέγα τ' ἠρίον. Γράφεται καὶ, μέγα τε ῥίον. Καὶ τὸ μὲν ῥίον ἐστὶν ὄρος, ἤτοι ἀκρωτήριον· τὸ δὲ ἠρίον, μνημεῖον. Οἴομαι δέ τινα ἀγνοοῦντα τὸν μῦθον, τὸ ἠρίον μεταπεποιηκέναι· ἢ γραφέως ἁμαρτήματι περιλελεῖφθαι τὸ η.

Ὁ δὲ πρὸς τὸν Αἰγαίωνα μῦθος ὑπὸ Δημητρίου φέρεται τοῦ Κνιδίου. Κόνων δὲ ἐν τῇ Ἡρακλείᾳ φησὶν, ὅτι Αἰγαίων καταγωνισθεὶς ὑπὸ Ποσειδῶνος, κατεποντίσθη εἰς τὸ νυνὶ λεγόμενον ὑπὸ τοῦ Ἀπολλωνίου ἠρίον

*) Leg. ποταμός. Etymolog. M. c. 338, 3. καὶ ἐναύλους, τοὺς χειμερινοὺς τόπους. Vere Heynius coniecit ποταμούς ad Hom. Il. T. VII. p. 151.

Αἰγαίωνος, τὸν αὐτὸν καὶ Βριάρεων καλῶν. Περὶ δὲ τῆς κλήσεως τοῦ Αἰγαίου πελάγους ἐν μὲν τῷ τρίτῳ τῷ περὶ τῆς Νησιάδος φησὶν ἐν τούτοις· Τὸ Αἰγαῖον πέλαγος οἱ μὲν ἀπὸ τῆς Περκανίας Αἰγὸς ἐπώνυμον γεγονέναι φασίν· οἱ δὲ ἀπὸ τῆς Καρυστίας, τῆς Αἰγαίης ὀνομαζομένης. Αἱ μὲν γὰρ Αἰγαὶ, ἔνθεν τὸν Ποσειδῶνα παραγίνεσθαι φασὶ, κατὰ Πελοπόννησον εἰσὶν, ἐν τοῖς περὶ Κρίσαν τόποις. Εἰσὶ δέ τινες οἱ διὰ τὸ θεωρεῖσθαι δι' ὅλου τοῦ πελάγους τὴν παρακειμένην γῆν. Τὸν δὲ Αἰγαίωνα Ἡσίοδος φησὶν Οὐρανοῦ καὶ Γῆς. Βριάρεως δὲ, καὶ Αἰγαίων, καὶ Γύγης, ὁ αὐτὸς λέγεται συνωνύμως. Εὔμηλος δὲ ἐν τῇ Τιτανομαχίᾳ τὸν Αἰγαίωνα Γῆς καὶ Πόντου φησὶ παῖδα, κατοικοῦντα δὲ ἐν τῇ θαλασσῃ τοῖς Τιτᾶσι συμμαχεῖν. Καὶ Ἴων φησὶν ἐν διθυράμβῳ, ἐκ μὲν τοῦ πελάγους αὐτὸν παρακληθέντα ὑπὸ Θέτιδος ἀναχθῆναι, φυλάξοντα τὸν Δία, Θαλάσσης δὲ παῖδα. Ἄλλοι δὲ θαλάσσιον θηρίον φασὶ τοῦτον. Ταῤῥαῖος δέ φησιν, ὅτι γίγας ὢν, καὶ φυγὼν ἐκ τῆς Εὐβοίας, ἀφίκετο εἰς Φρυγίαν, κἀκεῖ ἐτελεύτησε.

V. 1166. *Τυτθὸν ὑπ' ἐκ Φρυγίης. Τὴν οὖσαν ὀλίγον ἄνω τῆς Φρυγίας. Οὕτω γὰρ καὶ Ὅμηρος κεῖσθαι φησὶ τὴν Φρυγίαν ἐγγὺς πάνυ τῆς Μυσίας. Διὸ καί τινες μιαν εἶναι φασὶν ἀμφοτέρας, διὰ τὸ πάνυ πλησιάζειν.*

Παρεμέτρεον. Παρέπλεον.

V. 1167. *Ἀνοχλίζων. Ἀνακινῶν ἐν τῷ κωπηλατεῖν καὶ ἀνακόπτων τα κύματα κατὰ τὰς δίνας.*

Τετρηχότος δὲ, τραχυνομένου καὶ σφοδροῦ ὄντος.

Ὁλκοὺς δὲ, τὰς φυσήσεις καὶ οἷον ἐπάρσεις καὶ μετεωρισμοὺς τῶν κυμάτων.

V. 1168. Τὸ δὲ μεσσόθεν ἔμφασιν καὶ τῆς τοῦ πελάγους δεινότητος καὶ τῆς τοῦ ἥρωος ῥώμης ἔχει.

Τρύφος δὲ, τὸ κλάσμα τῆς κώπης.

Μεσσόθεν ἆξεν. Διὰ ταύτην τὴν αἰτίαν φασὶ καταλελεῖφθαι τὸν Ἡρακλέα ἐν Κίῳ· οἱ δὲ ἐν Ἀφέταις, ἐπειδὴ ἑτεροκλινῆ τὴν Ἀργὼ ἐποίει. Ἔφορος δὲ ἐν πρώτῳ παραδέδωκεν αὐτὸν δι᾽ Ὀμφαλὴν καταλελεῖφθαι.

V. 1171. Ἀήθεσον ἠρεμέουσαι. Ἀήθεις ἦσαν τοῦ ἠρεμεῖν, διὰ τὴν ἔμφυτον τοῦ ἥρωος δύναμιν.

V. 1174. Ἐν προμολῇ. Τῇ προστάδι καὶ τοῖς προθύροις. Λέγονται δὲ προμολαὶ καὶ τὰ ἐξώπυλα μέρη, ὡς αὐτὸς ἐν τοῖς πρώτοις φησί·

Στῆ δ᾽ ἂρ ἐπὶ προμολῇσιν, οἱ δ᾽ ἀντίοι ἠερέθοντο.

Τετρυμμένα δὲ, ἀντὶ τοῦ καταπεπονημένα ὑπὸ τοῦ καμάτου.

V. 1175. Αὐσταλέος. Ὁ κατάξηρος καὶ ἀνεπιμέλητος.

Περιτριβέας. Τὰς πολὺ πονησάσας χεῖρας ὑπὸ τοῦ κόπου.

V. 1176. Τὸ δὲ ἠρήσατο, ἀντὶ τοῦ κατηράσατο, ἢ προσεῖπεν.

V. 1177. Κιανίδος ἤθεα γαίης. Περιφραστικῶς τὴν Κίον. Ἔστι δὲ πόλις Μυσίας, ἀπὸ Κίου τοῦ ἀφηγησαμένου τῆς Μιλησίων ἀποικίας, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Κιανῶν πολιτείᾳ. Κατῴκησαν δὲ αὐτὴν πρῶτον Μυσοὶ, ἔπειτα Κᾶρες, τρίτον Μιλήσιοι. Καὶ ποταμός δέ ἐστιν οὕτως ὀνομαζόμενος, τὴν Μυσίαν περιῤῥέων· οὗ μνημονεύει Σκύλαξ ὁ Καριανδεύς. Περιῤῥέει δὲ καὶ τὴν πόλιν ὁ ποταμὸς οὗτος.

V. 1178. Ἀμφ᾽ Ἀργανθώνειον. Ὄρος τῆς Κίου.

V. 1180. *Ἠϊά τέ σφι.* Ἐφόδια. Βρώματα. Σημαίνει δὲ καὶ τὰ ἄχυρα. Ὅμηρος·

— — ἠΐων θημῶνα τινάξῃ.

V. 1182. *Κάγκανα.* Κατάξηρα ξύλα.

V. 1182. sq. *Λεχαίην φυλλάδα.* Τὴν πρὸς λέχη καὶ στιβάδας ἐπιτηδείαν, ὑπὸ τοῦ λέχους.

V. 1184. *Στόρνυσθαι.* Λείπει τὸ ὡς, ἵν' ᾖ, ὥστε στόρνυσθαι.

Τὸ δὲ *δινεύεσκον*, ἀντὶ τοῦ ἔστρεφον, παρέτριβον. Τὰ γὰρ ξύλα παρέτριβον, καὶ ἐπ' αὐτῶν πῦρ ἔβαλλον. *Πυρήϊα* γὰρ ταῦτα φησὶ τὰ προστριβόμενα ἀλλήλοις πρὸς τὸ πῦρ ἐγγεννᾷν· ὧν τὸ μέν ἐστιν ὕπτιον, ὃ καλεῖται στορεύς· θάτερον δὲ παραπλήσιον τρυπάνῳ, ὅπερ ἐπιτρίβοντες τῷ στορεῖ στρέφουσιν.

V. 1188. *Διὸς* δὲ *υἱὸν* τὸν Ἡρακλέα φησί.

V. 1189. Τὸ δὲ *φθαίη*, ἀντὶ τοῦ προλάβοι τοῦ πλοῦ.

Καταχειίριον. Τὸ τῇ χειρὶ ἁρμόδιον.

V. 1190. *Ἀλαλήμενος.* Ἢ διὰ τὸ ἄπειρος εἶναι τῶν τόπων· ἢ ἀντὶ τοῦ περιερχόμενος, ἕως ἂν αὐτῷ ἁρμόδιον εὕρῃ.

V. 1192. *Αἴγειρος* δὲ, παρὰ τὸ ἐκ τῆς ἔρας ἀΐσσειν καὶ κινεῖσθαι. Ἢ παρὰ τὸ κατάγνυσθαι ὑπὸ τῶν ἀνέμων.

V. 1195. *Ἔδυ δ' ἀπὸ δέρμα.* Τὸ ἑξῆς, ἀπέδυ δέρμα λέοντος.

V. 1196. *Χαλκοβαρεῖ* δὲ, τῷ ἰσχυρῷ, ἢ τῷ πρὸς τῷ τέλει χαλκῷ βεβαρημένῳ. Πείσανδρος δέ φησιν ὁλόχαλκον εἶναι τὸ ῥόπαλον Ἡρακλέους. Ἐτυμολογοῦσι δὲ αὐτὸ παρὰ τὴν ῥοπὴν καὶ τὸ ἀλοιᾷν.

Δαπέδοιο δὲ, ἐκ τῆς γῆς, ἢ τῆς ῥίζης.

V. 1197. *Στύπος.* Στέλεχος.

V. 1200. *Ἔχμα.* Κῶλυμα.

V. 1201. *Ἀπροφάτως.* Ἀθρόως.

V. 1203. *Καταῒξ.* Ἡ σφοδρὰ ὁρμή.

V. 1204. *Αὐτοῖσι σφήνεσσιν.* Τοῖς περὶ τὴν ἱστοδόκην σφησὶ, τοῖς περιέχουσι καὶ κρατοῦσι τὸν ἱστόν. Διόλου δὲ ἡ παραβολὴ ὑγιὴς καὶ ἐῤῥωμένη. Ἱστῷ γὰρ τὴν ἐλάτην εἰκάζει, διὰ τὸ ἰθυτενὲς καὶ εὔαυξὲς, (καὶ γὰρ κἀκείνη ἱστοῦ δίκην ἵσταται) χειμερινῷ δὲ καιρῷ τὴν ἀθρόαν τοῦ ἥρωος ἐπιφάνειαν, σφοδρῷ δὲ ἀνέμῳ τὴν ῥώμην. Τὸ δὲ, *αὐτοῖσι σφήνεσσι*, διὰ τὰ περιέχοντα τῆς ἐλάτης ῥίζαν χώματα· καὶ γὰρ ἐκεῖνα σφηνῶν δίκην τὴν ῥίζαν περιεῖχεν. Τοὺς δὲ προτόνους, εἰς τὸν τόνον καὶ τὴν τάσιν τῶν ῥιζῶν.

V. 1207. *Τοφρα.* Ἀντὶ τοῦ ἐν ὅσῳ.

Ὕλας. Τὸν Ὕλαν ὁ μὲν Ἀπολλώνιος Θειοδάμαντος φησὶν υἱὸν εἶναι, Ἑλλάνικος δὲ Θειομένους. Ἀντικλείδης δὲ ἐν Δηλιακοῖς ἱστόρησεν, οὐ τὸν Ὕλαν εἰς τὴν ὑδρείαν ἐξεληλυθέναι, ἀλλὰ τὸν Ὕλον, καὶ ἀνεύρετον γενέσθαι. Ἐγένοντο δὲ πολλοὶ ἐρώμενοι Ἡρακλέους, Ὕλας, Φιλοκτήτης, καὶ Δίομος, καὶ Περιθύας, καὶ Φρὶξ, ἀφ᾽ οὗ πόλις Λιβύης. Σωκράτης δὲ ἐν τῷ πρὸς Εἰδόθεον φησὶ τὸν Ὕλαν ἐρώμενον Πολυφήμου καὶ οὐχ Ἡρακλέους γενέσθαι. Ὄνασος δὲ ἐν πρώτῳ Ἀμαζονίδων ἀληθέστερον τὴν ἱστορίαν ἐκτίθεται, οὐχ ἡρπάσθαι αὐτὸν ὑπὸ νυμφῶν, ἀλλὰ κατηνέχθαι εἰς κρήνην, καὶ οὕτως ἀποθανεῖν. Ἀπρεπὲς δὲ νεανίαν ὑδρίαν βαστάζειν· Ὅμηρος δὲ πρεπόντως παρθένον. Πιθανώτερον δὲ ἦν ἀμφότερα εἰπεῖν, ὡς Καλλίμαχος.

V. 1212. *Νηπιάχοντα.* Ἡρακλῆς γήμας Δηϊάνειραν τὴν Οἰνέως θυγατέρα, καὶ διάγων ἐν Καλυδῶνι, ἐν συμποσίῳ Κύαθον, ἤτοι τὸν Οἰνέως οἰνοχόον, Ἀρχιτέλους δὲ παῖδα, πλήξας κονδύλῳ ἀνεῖλεν, ὅτι αὐτῷ τὰ

ποδόνιπτρα ὕδατα ἀγνοῶν ἐπὶ τῶν χειρῶν ἐπέχεεν. Φεύγων οὖν τὸν φόνον, καὶ σὺν τῇ γαμετῇ στελλόμενος, ἀνεῖλεν ἐν Εὐήνῳ ποταμῷ Νέσσον Κένταυρον, ὡς καὶ Ἀρχίλοχος ἱστορεῖ. Ἔπειτα προϊὼν, ἔφερεν καὶ Ὕλον τὸν υἱόν. Καὶ ἐλθὼν εἰς τὴν Δρυοπίαν, (ληστρικὸν δὲ τὸ ἔθνος, ὁμοροῦν τοῖς Μηλιεῦσιν, ὡς Φερεκύδης ἐν τῇ τρίτῃ φησὶν,) τοῦ παιδὸς πεινῶντος, καὶ τοῦ παιδαγωγοῦ Λίχα ἀπολιμπανομένου, συντυχὼν τῷ Θειοδάμαντι, ᾐτεῖτο ὀλίγην τροφήν· ὁ δὲ οὐκ ἐδίδω. Ὀργισθεὶς δὲ ὁ Ἡρακλῆς, καὶ ἀποσπάσας αὐτοῦ ἕνα τῶν βοῶν, θύσας εὐωχεῖτο. Ὁ δὲ Θειοδάμας ἐλθὼν εἰς τὴν τῶν Δρυόπων πόλιν, ἐξῆγεν αὐτοὺς καθ' Ἡρακλέους. Καὶ εἰς τοσαύτην ἀνάγκην κατέστη ὁ Ἡρακλῆς, ὡς καὶ τὴν γυναῖκα Δηϊάνειραν καθοπλίσαι· ὅτε δὴ καὶ τρωθῆναι φασὶν αὐτὴν κατα τὸν μαζόν. Περιγενόμενος δὲ αὐτῶν, καὶ ἀνελὼν τὸν Θειοδάμαντα, ἀνεδέξατο τὸν τούτου υἱὸν Ὕλαν· καὶ τὸ πᾶν δὲ ἔθνος διὰ τὴν ληστείαν μετῴκησεν περὶ Τραχῖνα τὴν Θεσσαλικὴν πόλιν, καὶ τὴν Οἴτην τὸ ὄρος, πρὸς τοῖς ὅροις τῆς Φωκίδος· ἵνα τῇ πολλῇ τῶν ἀνθρώπων ἐπιμιξίᾳ τοῦ ληστρικοῦ ἤθους ἀπόσχωνται. Τούτων δὲ καὶ ὁ Καλλίμαχος μέμνηται. Φερεκύδης δὲ ἐν τῷ δευτέρῳ φησὶν, ὅτι Πολυδώρᾳ τῇ Δαναοῦ μίσγεται Πηνειὸς ὁ ποταμός· τῶν δὲ γίνεται Δρύοψ· ἀφ' οὗ Δρύοπες καλοῦνται· οἰκοῦσι δὲ ἐπὶ τῷ Σπερχειῷ ποταμῷ.

V. 1218. Ἴετο γὰρ πρόφασιν. Οὐκ ἄδικος ὢν ὁ Ἡρακλῆς τοῦτο ἤθελεν, ἀλλ' ἵνα τὸ ἐκείνων ληστρικὸν ἄγαν παύσῃ. Ἀλεξίκακος γὰρ ὁ θεός. Ταύτῃ τοι καὶ Θειοδάμαντα ἠρέθισεν, ἵν' ἀφορμῆς λαβόμενος τιμωρήσηται τὸ ἔθνος.

Δρυόπεσσι βαλέσθαι. Δρύοπες, ἔθνος περὶ τὸν Παρνασσὸν ἄδικον, ὃ κατεπολέμησεν Ἡρακλῆς, καὶ

μετέστησεν εἰς Πελοπόννησον. Ὠνομάσθησαν δὲ ἀπὸ Δρύοπος τοῦ Λυκάονος καὶ Δίας τῆς Λυκαονείας.

V. 1220. *Ἀλλὰ τὰ μὲν τηλοῦ κεν ἀποπλάγξειεν ἀοιδῆς.* Φησὶν, ὅτι τὴν ἡμῶν ποίησιν καὶ τὸν τῶν Ἀργοναυτῶν πλοῦν καὶ τὰ σπουδαζόμενα ἀποπλανήσειεν, εἰ βουλοίμην εἰπεῖν τὰ συμβάντα τοῖς Δρύοψιν. Ἄλλως. Λείπει τὸ λεγόμενα, ἵν' ᾖ, ἀλλὰ ταῦτα λεγόμενα ἀποστήσει με τῆς ἐν χερσὶν οὔσης ᾠδῆς.

V. 1221. sq. *Ἥν καλέουσι Πηγάς.* Ὄνομα κρήνης Πηγαὶ, οὕτω κυρίως.

Ἀγχίγυοι δὲ, οἱ πλησιόχωροι, οἱ γείτονες.

V. 1226. *Ἐναύλους.* Τὰ σπήλαια νῦν.

V. 1227. *Ὑλήωρος.* Αἱ ἐν τοῖς ὄρεσι διατρίβουσαι.

V. 1228. *Καλλινάοιο.* Καλλιῤῥόου.

V. 1229. *Ἐφυδατίη.* Ὄνομα νύμφης.

V. 1230. *Ἐρευθόμενον.* Τὸν λάμποντα.

V. 1231. *Διχόμηνις.* Πανσέληνος.

V. 1233. *Κύπρις.* Τὸ ἐρωτικὸν πάθος.

V. 1235. *Λέχρις ἐπιχριμφθείς.* Πλαγίως πρὸς τὴν κρήνην ἐπικλιθείς. Ὁ δὲ νοῦς, ὡς καθῆκε τὴν ὑδρίαν ἐπὶ τὴν κρήνην, ἐμφορουμένου τοῦ ὕδατος εἰς τὸ ἀγγεῖον μετὰ σφοδροῦ ἤχου, ἡ νύμφη τῇ μὲν εὐωνύμῳ χειρὶ τοῦ αὐχένος αὐτοῦ ἐπιλαβομένη, ἐφίλει, φησὶν, τῇ δεξιᾷ δὲ καθείλκυσεν αὐτὸν εἰς τὸ ὕδωρ.

V. 1236. *Αὐτίκα δ' ἦγε.* Θεόκριτος ἐν τοῖς Βουκολικοῖς, ἐν τῷ Ὕλᾳ ἐπιγραφομένῳ, ὑπὸ πασῶν φησὶν αὐτὸν τῶν νυμφῶν ἡρπάσθαι· Ὄνασος δὲ ἐν τῷ ᾱ τῶν Ἀμαζονικῶν πεσόντα τὸν Ὕλαν φησὶν ὑποβρύχιον γενέσθαι. Καὶ Νίκανδρος ἐν τῷ δευτέρῳ τῶν Ἑτεροιουμένων ὑπὸ πασῶν φησὶν αὐτὸν ἁρπαγῆναι τῶν νυμφῶν· ὁ δὲ Ἀπολλώνιος, ὑπὸ μιᾶς.

V. 1238. *Τέρεν.* Τὸ ἁπαλόν· ἐκ δὲ τούτου τὸ νέον.

V. 1241. *Εἰλατίδης.* Γράφεται καὶ Εἰλασίδης. Κατὰ γάρ τινας Ἐλάσου υἱός ἐστιν ὁ Πολύφημος· κατὰ δέ τινας, Ποσειδῶνος. Γυναῖκα δὲ ἔσχεν ὁ Πολύφημος Λαονόμην, Ἡρακλέους ἀδελφην, Ἀμφιτρύωνος καὶ Ἀλκμήνης θυγατέρα.

Προτέρωσε. Ἀντὶ τοῦ, εἰς τοὔμπροσθεν τῆς κελεύθου.

V. 1243. *Ἠΰτέ τις θήρ.* Κυρίως οἱ ποιηταὶ τὸν λέοντα φασὶ θῆρα. Ὡς καὶ Καλλίμαχος·

Θηρὸς ἀερτάζων δέρμα κατωμάδιον.

V. 1245. *Αἰθόμενος.* Καιόμενος τῷ λιμῷ. Τὸ δὲ τοιοῦτον, οὐχ ὡς ὁ λιμὸς θερμασιας ἐστὶ ποιητικὸς, ἀλλὰ τὸ αἰθόμενος καὶ ἐπὶ τοῦ σπεύδειν ἐστίν.

V. 1246. *Ἐνὶ σταθμοῖσιν.* Ἐνήλλακται ἡ ἐν πρόθεσις ἀντὶ τῆς εἰς. Ὁ γὰρ νοῦς, οἱ γὰρ νομῆες εἰς τοὺς σταθμοὺς προήλασαν.

V. 1248. *Ὥς τότ᾽ ἄρ Εἰλατίδης.* Διόλου ὑγιὴς καὶ ἐῤῥωμένη ἡ εἰκών. Προβάτοις γὰρ βοήσασιν εἰκάζει τὸν Ὕλαν, διὰ τὸ τῆς ἡλικιας νέον, καὶ τὸ τοῦ σώματος ἁπαλόν· θηρὶ δὲ κατακούσαντι καὶ σπεύδοντι, τὸν Πολύφημον, διὰ τὴν ἔμφυτον τοῦ ἥρωος δυναμιν. Τὸ δὲ, *λιμῷ αἰθόμενος*, ὅτι καὶ αὐτὸς τῇ διαθεσει πρὸς τὸν παῖδα ὥρμα. Τὸ δὲ, *οὐκ ἀπέκυρσε ποίμνῃσι*, πρὸς τὸ συμβεβηκός. Καὶ γὰρ ἡ νύμφη συνείρξεν τὸν παῖδα πρὸ τῆς τοῦ Πολυφήμου παρουσιας καὶ βοηθείας.

V. 1252. *Ληΐδ᾽ ἑτοίμην.* Κτῆμα καὶ λάφυρον ἕτοιμον· καὶ διὰ τὸ ἀκμητὶ καὶ χωρὶς μάχης λαβεῖν.

V. 1254. *Εὖ δέ μιν ἔγνω.* Διὰ τὸ λάμπειν τὴν σελήνην. Εἶπεν γὰρ, ὅτι διχόμηνος ἔλαμπεν.

V. 1256. *Ἄσθματι.* Τῷ ἐκ τοῦ δρόμου γενομένῳ φυσήματι.

V. 1265. *Ὡς δ' ὅτε τίς τε μύωπι.* Μύωψ, εἶδος μυίας κατὰ τὸ ἔαρ γινόμενον, ἥτις ταῖς λογάσι τῶν βοῶν ἐπικαθεζομένη, δάκνει αὐτὰς, καὶ εἰς μανίαν ἄγει· ἀφ' οὗ καὶ οἶστρος λέγεται. Σώστρατος δὲ ἐν τῇ τετάρτῃ περὶ ζώων διαστέλλει τὸν μύωπα τοῦ οἴστρου. Ὁ μὲν γὰρ μύωψ ἐκ τῶν ξύλων ἀπογεννᾶται, ὁ δὲ οἶστρος ἐκ τῶν ἐν τοῖς ποταμοῖς ἐπιπλεόντων ζωαρίων.

V. 1266. *Πίσεα.* Τοὺς συμφύτους ἢ ἑλώδεις καὶ πηλώδεις τόπους.

Ἐλεσπίδας. Τινὲς τοὺς ἑλώδεις καὶ πηλώδεις τόπους. Ἄμεινον δὲ τοὺς πετρώδεις, παρὰ τὸ λέπεσθαι ὑπό τε τοῦ ἡλίου καὶ ἀνέμου καὶ ὑετοῦ. Ὅθεν καὶ λέπη, τὰ ἀκρωτήρια τῶν ὀρῶν. Εὐριπίδης·

— — καὶ Κιθαιρῶνος λέπας.

V. 1270. *Ὡς ὅγε μαιμώων.* Διόλου ὑγιὴς ἡ παραβολή. Ταύρῳ γὰρ βεβλημένῳ εἰκάζει τὸν Ἡρακλέα, διὰ τὸ τοῦ ἥρωος καρτερόν. Ἐπικείμενον δὲ μύωπα φησὶ τὴν τοῦ Ὕλα ζήτησιν. Καὶ γὰρ αὕτη δίκην μύωπος αὐτὸν ἤλγυνεν. Τὸ δὲ, *πίσεά τε προλιπών*, πρὸς τὴν ναῦν καὶ τὴν τῶν ἑταίρων σύνοδον. Τὸ δὲ, *οὐδὲ νομήων οὐδ' ἀγέλης ὄθεται*, ὅτι οὐδὲ τοῦ ἐξάρχου τοῦ πλοῦ Ἰάσονος ἐπεστράφη, οὐδὲ τῶν ἄλλων ἑταίρων. Τὸ δὲ, *ἄλλοτ' ἄπαυστος, ἄλλοτε δ' ἱστάμενος*, ὅτι ποτὲ μὲν ἔτρεχεν, ἕως κάμῃ, ποτὲ δὲ ἑστήκεν. Τὸ δὲ, *ἵησι μύκημα*, ὅτι καὶ οὗτος ποτὲ ἐβόα καλῶν τὸν Ὕλαν.

V. 1273. *Αὐτίκα δ' ἀκροτάτας.* Ἠῷον ἀστέρα τὸν ἑωσφόρον. Ὁ δὲ ἑξῆς λόγος, ὡς δὲ πρὸς ταῖς ἀκρωρείαις ὁ ἑωσφόρος ἐφάνη, παραχρῆμα πνοαὶ παρῆλ-

θον. Ταχέως δὲ ὁ Τῖφυς παρεκελεύσατο ἐμβάντας ἀπολῦσαι.

V. 1277. Ἀνεκρούσαντο κάλωας. Διὰ τοῦ προηγουμένου τὸ ἐπακολουθοῦν ἐδήλωσεν. Ἀντὶ τοῦ, τὸ ἱστίον ἐχάλασαν.

Ὕψι δὲ νηός. Ἀνασπάσαντες τὰς ἀγκύρας, καὶ τοῦ ὅρμου ἀνακινήσαντες τὴν ναῦν. Γελοῖος δὲ Ἔφορος, νομίζων πρῶτον Ἀνάχαρσιν τὴν διπλῆν ἄγκυραν εὑρηκέναι· πρεσβύτεροι γὰρ Ἀναχάρσιδος οἱ Ἀργοναῦται.

V. 1280. Ἦμος δ' οὐρανόθεν χαροπή. Χαροπὴν τὴν ἠῶ, διὰ τὸ λαμπρύνειν τὸν ἀέρα καὶ φωτίζειν. Τὸ δὲ γλαυκὸν καὶ χαροπὸν συνωνύμως λέγεται· ἀμφότερα γὰρ ἐπὶ τοῦ λαμπροῦ. Διὸ καὶ ἐπήνεγκεν διαγλαύσσουσιν, ἀντὶ τοῦ φωτίζουσι. Ἢ διαλάμπουσι. Ὅθεν καὶ ἡ Ἀθηνᾶ γλαυκῶπις, καὶ γλήνη, ἡ κόρη τοῦ ὀφθαλμοῦ. Παρὰ τὸ γλαύσειν, ὅ ἐστι λάμπειν. Καὶ Εὐριπίδης ἐπὶ τῆς σελήνης ἐχρήσατο·

Γλαυκῶπίς τε στρέφεται μήνη.

V. 1281. Περάτης. Σημαίνει μὲν, κατά τινας, καὶ τὸ ὑπὸ γῆν ἡμισφαίριον· λέγεται δὲ κυρίως ἡ ἀνατολή. Πέρας γὰρ αὕτη τῆς τοῦ οὐρανοῦ κινήσεως. Ἐκεῖθεν γὰρ ἄρχεται, καὶ εἰς αὐτὴν τελευτᾷ.

V. 1289. Τελαμῶνα δ' ἕλεν χόλος. Οὗτος γὰρ πάνυ Ἡρακλέους γέγονεν ἑταῖρος, ὃς καὶ εἰς πολλοὺς ἄθλους αὐτῷ συνεμάχησεν, καὶ εἰς Ἴλιον συνέπλευσεν, καὶ συνεπολέμησεν Ἀμαζόνας· καὶ τὸν Ἀλκυονέα ἀνεῖλεν, ὡς καὶ ὁ Πίνδαρος ἱστορεῖ. Θεόκριτος ἐνέδειξε τὴν φιλίαν αὐτῶν, εἰπών·

Οἵ μίαν ἄμφω ἑταῖροι ἀεὶ δαίνυντο τράπεζαν.
Ὁ δὲ λόγος, καθέζη ὡς ἔτυχεν ἥσυχος.

Ἀπολλώνιος μὲν οὖν ἀπολελεῖφθαι φησὶ τὸν Ἡρα-

κλέα περὶ Κίον, ἐκβάντα ἐπὶ τὴν Ὕλα ζήτησιν· Διονύσιος δὲ ὁ Μιτυληναῖος συμπεπλευκέναι φησὶ τὸν ἥρωα τοῖς ἀριστεῦσιν ἕως Κόλχων, καὶ τοῖς περὶ Μήδειαν συμπεπραχέναι τῷ Ἰάσονι. Ὁμοίως καὶ Δημάρατος. Ἡρόδωρος δέ φησι μὴ συμπεπλευκέναι αὐτόν τε καί τινας ἄλλους. Ἡσίοδος ἐν τῷ Κήϋκος γάμῳ, ἐκβάντα φησὶν αὐτὸν ἐφ᾽ ὕδατος ζήτησιν, τῆς Μαγνησίας παρὰ τὰς ἀπὸ τῆς ἀφέσεως αὐτοῦ Ἀφέτας καλουμένας ἀπολειφθῆναι. Ἀντίμαχος δὲ ἐν τῇ Λυδῇ φησὶν ἐκβιβασθέντα τὸν Ἡρακλέα, διὰ τὸ καταβαρεῖσθαι τὴν Ἀργὼ ὑπὸ τοῦ ἥρωος. Τούτῳ καὶ Ποσείδιππος ὁ ἐπιγραμματογράφος ἠκολούθησε, καὶ Φερεκύδης. Ἔφορος δὲ ἐν τῇ ε̄ φησὶν αὐτὸν ἑκουσίως ἀπολελεῖφθαι πρὸς Ὀμφάλην τὴν Λυδῶν βασιλεύουσαν. Ἰδίως δὲ Ἀντικλείδης ἐν τῇ β̄ τῶν Δηλιακῶν, Ὕλλον φησὶ τὸν Ἡρακλέους υἱὸν ἀποβάντα ἐφ᾽ ὕδωρ, μὴ ὑποστρέψαι.

V. 1292. Ὄφρα τὸ κείνου κῦδος. Ἀστείως καὶ τεχνικῶς οὐ τοῦ κατεπείγοντος καιροῦ μέμνηται, ἀλλ᾽ ἐπὶ τὸν νόστον ἀνάγει τὸν λόγον, ἵνα πλέον κακίσῃ τὴν πρᾶξιν. Οὐδὲν γάρ σοι διεφέρετο ἐν Σκυθίᾳ ὑπὸ Ἡρακλέους ἡττῆσθαι, ἀλλ᾽ ὅμως τοῦτό σοι αἰσχύνην ἔφερεν ὕστερον, ἡμῶν εἰς Ἑλλάδα ἐπανελθόντων. Διὸ καὶ τὴν κοινὴν πάντων σωτηρίαν ὑπὲρ τῆς σῆς εὐδοξίας παρῆκας.

V. 1294. Ἀλλὰ τί μύθων ἦδος. Ἡρωδιανὸς ἐν τῷ εἰκοστῷ φησὶν, ὅτι τὰ εἰς ο̄ς λήγοντα οὐδέτερα δισύλλαβα, ἀρχόμενα ἀπὸ φύσει μακρᾶς ψιλοῦται, αἶσχος, ἦθος, εὖρος, εἶδος. Οὕτως οὖν καὶ ἦδος. Τὸ δὲ ἡθμὸς δασύνεται, καίτοι τὸ η ἔχον πρὸ τοῦ ϑ̄, τῇ ἐννοίᾳ τοῦ ἥσω μέλλοντος δασυνομένου.

Ἐλλείπει δὲ τὸ σοί. Ὁ γὰρ νοῦς, ἀλλὰ τί τοσούτων

ἡδύς μοι λόγων; πορεύσομαι γὰρ χωρὶς τῶν συντεθειμένων σοι τοῦτον τὸν δόλον.

V. 1297. Ὄστλιγγες. Αἱ λαμπηδόνες. Ἐν ἄλλοις δὲ σημαίνει ἡ λέξις τοὺς βόστρυχας·

— ἀπ' ὀστλίγγων δ' αἰὲν ἄλειφα ῥέει.

Τοῦτο δέ φησιν Ἡρωδιανὸς ἐν τῷ δευτέρῳ τῆς καθόλου. Παρὰ μὲν Ἀπολλωνίου καὶ Φιλητᾶ διὰ τοῦ ᾱ.

V. 1298. Τὸ ἄψ καὶ ὀπίσσω ἐκ παραλλήλου.

V. 1299. Λαῖτμα βιησάμενοι. Ἀντὶ τοῦ μαχεσάμενοι τῷ κατεπείγοντι ἀνέμῳ, καὶ βιασάμενοι. Λαῖτμα δὲ τὸ κύτος τῆς θαλάσσης καὶ διάστημα, οἱονεὶ λάτμημα. Ἢ παρὰ τὸ λατύπεσθαι ὑπὸ τῶν κυμάτων, ὅ ἐστι τύπτεσθαι. Σιληνὸς δὲ ἐν Γλώσσαις πέλαγος εἶναι, καὶ Εἰρηναῖος ἐν πρώτῳ Ἀπολλωνίου, ἀποδεδώκασιν.

V. 1300. Εἰ μὴ Θρηϊκίοιο. Τούτους Ἡρακλῆς ἀνεῖλεν ὕστερον, εὑρὼν περὶ Τῆνον τὴν νῆσον, ἣ παράκειται Δήλῳ, ἐπειδὴ Ἡρακλῆς ἐμνησικάκει τῷ Βορέᾳ. Ὅμηρος·

Τὸν σὺ ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θύελλα.

Αἰνησίδαμος δὲ ἐν Ταινιακοῖς, ἐπειδὴ τὸν Ἡρακλέα ξενίσαντες ἐνήδρευσαν αὐτὸν, φονεῦσαι βουλόμενοι.

V. 1304—1306. Ἄθλων γὰρ Πελίαο, ἕως τοῦ, ἀμφ' αὐτοῖς. Ὅτι Ἡρακλῆς ἀνεῖλε τοὺς Βορεάδας, διὰ τὸ κωλύσαι τὴν ναῦν ὑποστρέψαι πάλιν εἰς τὴν Μυσίαν, φησὶν Ἀπολλώνιος. Σῆμος δέ φησι, διὰ τὸ ληφθῆναι δρόμῳ τὸν Ἡρακλέα τῶν Βορεαδῶν. Στησίμβροτος δέ φησιν, ὅτι διαφορὰν ἔσχον πρὸς τὸν Ἡρακλέα περὶ τῶν δεδομένων δώρων ὑπὸ Ἰάσονος τοῖς ἀριστεῦσι. Νίκανδρος δὲ ὁ Κολοφώνιος ἐν τῇ πρώτῃ τῶν Οἰταϊκῶν

φησὶ Βορέαν αἴτιον γεγονέναι τοῦ θανάτου τῶν προειρημένων, διὰ τὸ χειμάσαι τὸν Ἡρακλέα ἐν Κῷ ὑποστρέφοντα.

Δεδουπότος. Μετὰ γὰρ τὸν θάνατον Πελίου ἀνιόντας ὡς ἐπὶ τὴν πατρίδα τοὺς Βορεάδας ἐκ τοῦ ἐπιταφίου αὐτοῦ ἀγῶνος συντυχὼν Ἡρακλῆς, καὶ ὑπομνησθεὶς αὐτοῦ τούτου, ὅτι αὐτὸν ἀναζητηθῆναι ἐκώλυσαν, ἀνεῖλέν αὐτοὺς ἐν Τήνῳ τῇ νήσῳ.

Στήλας τε δύω. Τῶν δύο τάφος ἐστὶν ἐν Τήνῳ τῇ νήσῳ καὶ στῆλαι· ὧν τὴν ἑτέραν πάντως συμβαίνει ὑπὸ ἀνέμου κινεῖσθαι τοῦ Βορέου τοῦ πατρὸς αὐτῶν.

V. 1309. *Καὶ τὰ μὲν ὣς ἤμελλε.* Καλλιμάχου ὁ στίχος. Κοινὸν δὲ ἁμάρτημα πάντων τῶν μεθ' Ὅμηρον ποιητῶν, τὰ ἀπὸ συμφώνου ἀρχόμενα ῥήματα κατὰ τὸν ἐνεστῶτα χρόνον, διὰ τοῦ η ἐκφέρειν ἐπὶ τοῦ παρατατικοῦ.

V. 1310. *Τοῖσι δὲ Γλαῦκος.* Γλαῦκος, Πολύβου παῖς, Ἀνθηδόνιος τὸ γένος, (ἡ δὲ Ἀνθηδὼν Βοιωτικὴ πόλις, ὡς καὶ Ὅμηρος·

Ἀνθηδόνα τ' ἐσχατόεσσαν.)

ἁλιεὺς τὴν τέχνην. Ὃς πολλῶν ποτὲ ἰχθύων εὐτυχήσας ἄγραν, μεταξὺ τῆς ὁδοῦ ἀποκαμὼν ἀπέθετο τὸ φορτίον τῶν ἰχθύων. Ὁ δὲ εἷς τούτων, ἀθάνατον φαγὼν βοτάνην, ἀνέζησε. Λαβὼν δὲ καὶ ὁ Γλαῦκος, φαγὼν καὶ αὐτὸς ἀπεθεώθη. Εἶτα ὡς εἰς ἄκρον γήρως ἤρχετο, μηκέτι φέρων, ἐδίσκευσεν ἑαυτὸν εἰς θάλασσαν· καὶ ἐτιμήθη ὡς θαλάσσιος δαίμων. Καὶ τὸν ἰχθὺν τὸν γλαῦκον ἀπ' αὐτοῦ κεκλῆσθαι λέγουσι.

Βρυχίης. Βρυχώδους.

V. 1314. *Νηΐου.* Μέρος λέγει τῆς νεώς, ὅπερ σύρεται κατὰ τὸ ὕδωρ.

V. 1315. *Τίπτε παρὲκ μεγάλοιο.* Τὸ ἑξῆς, τίπτε μενεαίνετε παρὲκ μεγάλοιο Διὸς βουλήν. Τουτέστι, τί προθυμεῖσθε παρὰ τὴν τοῦ Διὸς βουλήν.

V. 1317. *Ἄργει οἱ μοῖρ᾽ ἐστίν.* Ὅτι ἄθλους ἐπιτελῶν Ἡρακλῆς, παραλιπὼν τούτους, ὥρμησεν ἐπὶ τοὺς ἀριστεῖς, αὐτὸς Ἀπολλώνιος ἐν τῷ καταλόγῳ τῶν ἡρώων φησίν.

V. 1319. *Εἴ κ᾽ ἔτι παύρους.* Ἐὰν ἔτι ὀλίγους, πρὸς οὓς ἤνυσεν, ἀνύσῃ ἄθλους.

Συνέστιον δὲ, συνδιαιτητὴν, ὁμοτράπεζον, ὁμότιμον· ὅτι ἡ κοινὴ τράπεζα τὴν αὐτὴν τιμὴν τοῖς μεταλαμβάνουσιν αὐτῆς δίδωσιν.

V. 1321. *Προχοῇσι Κίοιο.* Ποταμὸς Μυσίας, ἀφ᾽ οὗ ἡ Κίος, ὁμωνύμως τῷ ποταμῷ. Ἐτελεύτα γὰρ Πολύφημος τοῖς Χάλυψι μαχόμενος. Ἔστι δὲ ἔθνος Σκυθικόν.

V. 1323. *Χαλύβων.* Χάλυβες, ἔθνος Σκυθίας, ὅπου ὁ σίδηρος γίνεται. Καλλίμαχος·

— — Χαλύβων ὡς ἀπόλοιτο γένος.

V. 1325. *Ὃν πόσιν.* Κακῶς τέθεικεν τὸ Ὃν πόσιν. Ἔστι γὰρ προσληπτικὸν, ἰσοδυναμοῦν τῷ ἑαυτῆς. Δεῖ δὲ εἰπεῖν, ἧς πόσιν. Τοῦτο γὰρ ἰσοδυναμεῖ τῷ αὐτῆς, ἵν᾽ ᾖ ὁ λόγος, ἐποιήσατο νύμφη ἑαυτῆς πόσιν.

V. 1326. *Ἀλίαστον.* Πολύ.

Δύψας. Καταδύς.

V. 1329. *Γήθησαν.* Ἐχάρησαν τῷ μαθεῖν τὴν αἰτίαν τῆς ἀπολείψεως.

Ἐσσυμένως. Ταχέως.

V. 1331. *Προσπτύξατο.* Ἐδεξιώσατο. Ἐφιλοφρονήσατο τοῖς λόγοις.

V. 1332. *Αἰσονίδη, μή μοι τι χολώσεαι.* Διὰ

μὲν τοῦ *μή μοι χολώσεαι*, τὸ ἀποφατικὸν τέταχεν ἀπὸ τῆς ἀπαγορεύσεως. Ἔδει γὰρ εἰπεῖν, μή μοι χόλου, προστακτικῶς.

Ἀφραδίῃσιν. Ἀγνοίαις. Κατὰ μεσότητα ἀκουστέον, ἀφραδέως, ἀδιανοήτως.

V. 1333. *Εἴ τι περ ἀασάμην*. Κατὰ μεταφορὰν ἀπὸ τῶν ἁρματοδρόμων.

V. 1334. *Ὑπερφίαλον δὲ*, ἀντὶ τοῦ ἡμαρτημένον. Οἷον ὑπερφίαλον κατὰ παρέμπτωσιν τοῦ ᾱ. Καταστρέφει δὲ εἰς τὸ οὐ καθῆκον οὐδὲ νόμιμον.

V. 1336. *Ἐπιφραδέως*. Διανενοημένως καὶ συνετῶς.

Ἀλλ' ἀνέμοισιν δώομεν. Ἡ διάνοια παρὰ τῷ ποιητῇ·

— — ἔπος δ' εἴπερ τι βέβακται
δεινὸν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι θύελλαι.

V. 1337. *Ἐκυδάσσαο*. Ἐλοιδόρησας. Κῦδος γὰρ ἀρσενικῶς ἡ λοιδορία παρὰ Συρακουσίοις. Σοφοκλῆς Αἴαντι Μαστιγοφόρῳ·

Κυδάζεται πᾶσιν Ἀργείοις ὁμοῦ.

V. 1338. *Ἐνηέος ἀνδρός*. Ἐνηλλαγμέναι εἰσὶν αἱ πτώσεις. Ὁ γὰρ νοῦς, εἰς προσηνῆ ἄνδρα ἁμαρτεῖν.

V. 1344. *Ἀρθμηθέντες*. Φιλιωθέντες.

V. 1345. *Βάλλεσθαι* ἐνταῦθα τὸ πολίσαι καὶ οἰκίσαι.

V. 1346. *Ἐπώνυμον*. Ἀντὶ τοῦ ὁμώνυμον τοῦ ποταμοῦ. Καὶ γὰρ Κίος ὁ ποταμὸς καὶ πόλις. Ὠνόμασται δὲ ὁ ποταμὸς ἀπὸ Κίου τοῦ ἡγησαμένου Μιλησίων.

V. 1348. sq. *Γαῖαν Μυσίδ' ἀνστήσειν αὐτοσχεδόν*. Ἀνάστατον καὶ ἔρημον ποιήσειν παραυτίκα,

εὐθέως, τὴν Μυσίδα, ἤτοι Μυσῶν χώραν, ἠπείλησε. Τὸ Μυσίδα, ἔχει μὲν τόπον ὑποκοριστικοῦ, οὐ μὴν ἐστιν ὑποκοριστικόν. Ὥσπερ καὶ τὸ Ἀσίδα, ἀντὶ τοῦ Ἀσίαν.

Ὁππότε. Ἀττικόν ἐστι παρῳχημένου χρόνου, ἰσοδυναμοῦν τῷ ὅτε.

Ὁππότε μιν ξυνδῆσαι ὀλύμπιοι ἤθελον.

Τίθεται δὲ κατὰ τὸν ἐπιόντα χρόνον, συνεκφερομένου αὐτῷ τοῦ ἐπιζευκτικοῦ συνδέσμου τοῦ ἄν·

Ὁππότ' ἂν ἡβήσητε.

Ἔδει οὖν ἐπιζευκτικῷ αὐτὸν χρήσασθαι τῷ εἰ·

Εἰ μή μοι τλαίης γε θεά.

V. 1350. Ἢ ζωοῦ εὕροιεν Ὕλα μόρον. Ἀντὶ τοῦ μοῖραν ἀκουστέον. Παρεσχημάτισται γὰρ ἀπὸ τοῦ μοῖρα, ὡς τῷ πύλῳ παρ' Ὁμήρῳ·

Ἐν πύλῳ ἐν νεκύεσσι βαλών.

Μόρον οὖν, μοῖραν, ἢ ζῶντος ἢ τεθνηκότος. Ἧς ἐστι ποτὲ μοίρας, εἴτε ζῶν, εἴτε νεκρός.

V. 1351. Τοῖο δὲ ῥύσι' ὄπασσαν. Ἀντὶ τοῦ, Ὕλα ἐνέχυρα οἱ Μυσοὶ παρέσχον τῷ Ἡρακλεῖ ὑπὲρ τοῦ πάντοτε αὐτὸν ἐπιζητεῖν.

Πλεονάζει δὲ ἡ ἀπὸ πρόθεσις.

V. 1353. Μαστεύοντες. Ζητοῦντες. Ἐξ οὗ καὶ μαστὺς, ἡ ζήτησις. Καλλίμαχος·

Μαστύος ἄλλοτ' ἔκαμνον ἀλητύϊ.

Ὅθεν καὶ μαστοὶ καλοῦνται, διὰ τὸ ἀναγκαίως ζητεῖσθαι ὑπὸ τῶν παίδων.

V. 1354. Ἐρέουσιν. Ἀντὶ τοῦ ἐρευνῶσι, ζητοῦσιν. Ὅμηρος·

Τὰς ἐρέων, Ὀδυσῆϊ συνήντετο.

καί·

Κνημοὺς ἐξερέησιν.

V. 1355. sq. *Ἐϋκτιμένης τε μέλονται Τρηχῖνος.* Τραχὶν πόλις Θεσσαλίας, ἔνθα τοὺς παιδας τῶν Μυσῶν ἐνῴκισεν Ἡρακλῆς, ὅτε ἀντενέχυρα τοῦ Ὕλα ἐδέξατο αὐτούς.

Οὐχ ὑγιῶς δὲ τέθεικεν τὸ *αὐτόθι*. Δηλωτικὸν γάρ ἐστι τοῦ παρόντος τόπου, ἴσον τῷ,

Αὖθι μένειν, μήπως ἀβροτάζομεν ἀλλήλοιϊν.

Ἔδει γὰρ εἰπεῖν τὸν ἀφεστῶτα τόπον, ὡς τὸ,

— — ὅθι ποιμένα ποιμὴν
ἀπύει.

V. 1357. *Ῥύσια.* Τὰ ἀντὶ τινὸς ἐνέχυρα διδόμενα ὑπὲρ τῆς ἄξεως.

Ὅτι δὲ Κιανοὶ ὅμηρα ἔδοσαν Ἡρακλεῖ, καὶ ὤμοσαν μὴ λήξειν ζητοῦντες Ὕλαν, καὶ φροντίδα ἔχουσι Τραχινίων διὰ τὸ ἐκεῖσε κατοικισθῆναι ὑφ᾽ Ἡρακλεῖ τοὺς ὁμηρεύσαντας, Κιναίθων ἱστορεῖ ἐν Ἡρακλείᾳ.

V. 1358. *Νᾶυν δὲ πανημερίην.* Ὁ νοῦς οὕτως, τὴν δὲ ναῦν δι᾽ ὅλης ἡμέρας καὶ νυκτὸς ὁ ἄνεμος ἔφερεν σφοδρῶς ἐπιπνέων· τῆς δὲ ἡμέρας ἐπιφανείσης οὐδὲ ὀλίγον ἔπνει, ἀλλ᾽ εὐθέως ἐπαύετο.

V. 1360. *Εἰσανέχουσαν.* Ἐξέχουσαν καὶ ἐπηρμένην, ἢ ἀνέχουσαν ἀκτὴν, ἀνατεταμένην πλαγίαν ἰδόντες, ἐπίκωποι γενόμενοι, καθώρμισαν τὴν ναῦν.

ΣΧΟΛΙΑ
ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ
ΤΩΝ
ΑΠΟΛΛΩΝΙΟΥ
ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

Τοῦ δευτέρου τῶν Ἀργοναυτικῶν τὰ κεφάλαια ἐστὶ τάδε· Ἄμυκος ὁ τῶν Βεβρύκων ἡγούμενος διαπυκτεύει Πολυδεύκει, καὶ ἀναιρεῖται. Δι' ὃν μάχη γίνεται τῶν Ἀργοναυτῶν καὶ τῶν Βεβρύκων· καὶ πολλοὺς ἀναιροῦσιν οἱ Ἀργοναῦται, οἱ δὲ λοιποὶ φεύγουσιν. Ἔπειτα παραγίνονται οἱ Ἀργοναυται πρὸς Φινέα, πεπηρωμένον τὰς ὄψεις ὄντα· ὃς δὲ ἱκετεύει βοηθῆσαι αὐτῷ. Ἅρπυιαι γὰρ ἐξ ἀφανοῦς τινὸς πορευόμεναι, τούτου τὴν τροφὴν ἁρπάζουσαι, ἄγευστον αὐτὸν ἐποίουν. Ἐγίνωσκε δὲ, ἅτε δὴ μάντις, ὑπὸ τίνων ἦν μεμοιραμένον αὐτὰς διωχθῆναι. Ἱκετεύσαντος δὲ, Βορεάδαι οὐκ ἠπείθησαν, ἀλλ' ἐδίωξαν αὐτάς. Ἐν τοσούτῳ δὲ Φινεὺς αὐτοῖς ἐξηγεῖται τὸν εἰς Κόλχους πλοῦν. Ἐπανελθόντες δὲ οἱ Βορεάδαι διηγοῦνται, ὡς κατηγωνίσαντο τὰς Ἁρπυίας. Ἑξῆς δέ ἐστι τὰ περὶ Κυρήνην τὴν Ὑψέως καὶ Ἀρισταῖον τὸν Ἀπόλλωνος καὶ αὐτῆς τῆς Κυρήνης υἱόν· καὶ ὅσα μεμύθευται περὶ τῶν ἐτησίων ἀνέμων· καὶ ὡς τὰς Συμπληγάδας διέπλευσαν, καὶ ἐν τῇ παρακειμένῃ νήσῳ ἐγέ-

νοντο τῇ Θυννίδι χώρᾳ, καὶ ἐπεφάνη αὐτοῖς ὁ Ἀπόλλων, ἔνθα τέμενος κατασκευάσαντες, Ἑῷον τὸν θεὸν ἐπωνόμασαν· τά τε περὶ τὴν Μαριανδυνίαν καὶ ἐνταῦθα Ἀχερουσίαν ἄκραν· καὶ ὡς Λύκος ὁ βασιλεὺς τῆς χώρας ταύτης φιλοφρονέστατα αὐτοὺς ὑπεδέξατο, ὅτι ἐχθρὸν αὐτῷ Ἄμυκον ὄντα ἐκόλασαν· καὶ ὡς Ἴδμων ὁ μάντις καὶ Τῖφυς ὁ κυβερνήτης τελευτῶσιν ἐν τῇ Μαριανδυνίᾳ. Τὰ δὲ ἑξῆς, περὶ τῶν παρὰ Χάλυψι καὶ Τιβαρηνοῖς καὶ Μοσυνοίκοις νομίμων λέγεται, καὶ τῶν ἐν τῇ νήσῳ τοῦ Ἄρεως μυθευομένῃ ὀρνέων, καὶ ὡς ἐξηλάθησαν ὑπὸ τῶν Ἀργοναυτῶν· καὶ ὡς οἱ Χαλκιόπης τῆς Μηδείας ἀδελφῆς καὶ Φρίξου υἱοὶ στελλόμενοι εἰς Ὀρχομενὸν, ἐναυάγησαν, καταχθέντες δὲ εἰς τὴν Ἄρεως νῆσον, συνέβαλον τοῖς Ἀργοναύταις, καὶ ἀλλήλους γνωρίσαντες, κοινῇ ἔπλευσαν εἰς τὸν ἐν Κόλχοις ποταμὸν Φάσιν.

V. 1. Ἐνθάδε. Ἐν τῷ αἰγιαλῷ, ᾧ προσωρμίσθησαν.

Αὖλις δὲ, ἡ διατριβὴ καὶ ἡ διαγωγή.

V. 2. Βεβρύκων βασιλῆος. Τῶν Βεβρύκων ἐβασίλευσεν Ἄμυκος, τῆς Βιθυνίας τά τε ἄλλα κατ' ἐκείνους τοὺς χρόνους καὶ τὰ παραθαλάσσια κατέχων. Κατῴκησαν δέ τινες τῶν Βεβρύκων καὶ περὶ τὴν Λυδίαν ἐν τοῖς πλησίον Ἐφέσου τε καὶ Μαγνησίας τόποις. Χάρων δέ φησι καὶ τὴν Λαμψακηνῶν χώραν πρότερον Βεβρυκίαν καλεῖσθαι ἀπὸ τῶν κατοικησάντων αὐτὴν Βεβρύκων. Τὸ δὲ γένος αὐτῶν ἠφάνισται διὰ τοὺς γενομένους πολέμους, καθάπερ καὶ ἄλλων ἐθνῶν.

Ἀγήνορος. Ἀγήνωρ, ὁ ὑπερήφανος.

V. 4. Βιθυνὶς μελίη. Ἄδηλον, ποῖόν ἐστι τὸ κύριον. Μελίαν δέ φησιν αὐτὴν διὰ τὸ τινὰς τῶν νυμφῶν Μελίας καλεῖσθαι ἀπὸ Μελίας τῆς Ὠκεανοῦ, ὡς

φησι Καλλίμαχος. Ἢ διὰ τὸ περὶ μηλέας δένδρα διατρίβειν, καθάπερ Ἀμαδρυάδες.

Βιθυνίδα δὲ, διὰ τὸ Βιθυνὴν τὸ γένος τυγχάνειν.

Γενέθλιον δὲ εἶπεν αὐτὸν διὰ τὸ δεσπόζειν τοῦ ὑγροῦ καὶ πάσης τροφῆς, καὶ γενέσεως αἴτιον εἶναι, καθὸ τὸ ὕδωρ πάντων γεννητικόν.

V. 8. *Καὶ δὲ τότε.* Ὁ νοῦς, καὶ τότε δὲ πρὸς τὴν ναῦν ἐλθὼν, τοῦ μὲν τὰ πρὸς τὴν χρείαν πυθέσθαι τοῦ πλοῦ (τοῦτ' ἔστι, τίνος χρείαν ἔχουσι, καὶ τίνες εἰσὶν) ἠφροντίστησεν· τοιαῦτα δὲ πρὸς αὐτοὺς εἶπεν.

Χρειώ μιν ἐρέσθαι. Τὸ *μιν* ἑνικὸν ἀντὶ πληθυντικοῦ, αὐτοὺς τοὺς ἥρωας. Δύναται δὲ καὶ ἑνικὸν εἶναι, ἵνα περὶ τοῦ Ἀμύκου λάβωμεν. Ἔδει γὰρ αὐτὸν τὸν Ἄμυκον ἐρωτῆσαι τοὺς ἥρωας. Ὁ δὲ Θεόκριτος ἄλλως ἱστόρησεν.

V. 10. *Παρασχεδόν.* Ἀντὶ τοῦ ἐγγύς.

V. 12. *Θέσμιον.* Νόμιμον. Ὁ δὲ λόγος, νόμος ἐστὶ τὸν προσπλεύσαντα τῇ Βεβρυκίᾳ τῶν ξένων, μὴ ἀπαλλάττεσθαι πρὶν ἢ ἐμοὶ πυκτεῦσαι.

V. 15. *Τῷ καί μοι.* Διό μοι τὸν ἄριστον ὑμῶν κεκριμένως στήσατε πυγμῇ μοι διαγωνίσασθαι.

V. 16. *Δηρινθῆναι.* Μαχέσασθαι. Ἀπὸ τοῦ δηρίνομαι. Τὸ δὲ δηρίσασθαι, ἀπὸ τοῦ δηρίομαι.

V. 17. *Ἀπηλεγέοντες.* Ἀφροντιστοῦντες, παρ' οὐδὲν ἡγησάμενοι. Ὁ δὲ Ἡρωδιανὸς ἀνηλεγέοντες διὰ τοῦ ν, ἐν τῷ τρίτῳ τῆς καθόλου· καὶ τὸ ἐπίῤῥημα ἀνηλεγέως. Ὁ δὲ νοῦς, εἰ δὲ ἀφροντιστήσαντες τοὺς νόμους παρ' οὐδὲν ἡγήσησθε, πείσεσθε ἂν οἶμαι οὐχὶ τὴν τυχοῦσαν ἀνάγκην.

V. 21. *Αἶψα δ' ἑῶν ἑτάρων.* Δασύνεται τὸ ἑῶν,

ὥσπερ καὶ τὸ ὦν. Τὸ γὰρ προτιθέμενον τοῖς δασυνομένοις ε, καὶ αὐτὸ δασύνεται· οἷον, ἕρση, ἑέρση, ἕδνα, ἕεδνα.

V. 22. Ἴσχεο. Ἐπίσχες, ὅς τις ποτὲ ὑπάρχεις· πειθαρχήσομεν γὰρ οἷς λέγεις νόμοις. Διὰ δὲ μηδὲ τὸ ὄνομα εἰπεῖν, σφόδρα αὐτοῦ τὴν ἀξενίαν ὠνείδισεν.

Τὸ δὲ, ὅ τις εὔχεαι εἶναι, ἐπὶ καταφρονήσει εἴρηται.

V. 25. Ἑλίξας. Περιστρέψας τὰ ὄμματα ἐς τὸν Πολυδεύκην.

V. 27. Ἱλλόμενος. Ἀντὶ τοῦ συνειλούμενος, συστρεφόμενος.

V. 28. Ἐπὶ δ᾽ ὄσσεται οἰόθεν οἶος. Φασὶ τὸν λέοντα τρωθέντα, μόνον τηρεῖν τὸν τρώσαντα. Μόνος οὖν ὑπάρχων, μόνον ἐκεῖνον προσβλέπει τὸν τρώσαντα.

Οἰόθεν. Μόνον. Καὶ Ἀριστοτέλης δέ φησι τοῦτο ποιεῖν τὸν λέοντα.

V. 30. Εὔστιπτον. Εὔστρεπτον, εὐπίλητον. Παρὰ τὸ στείβω. Ὅθεν καὶ στιβάς· καὶ στιβεῖς, οἱ κναφεῖς.

V. 32. Λώπην. Χλανίδα. Ὁ δὲ λόγος, ὁ δὲ τὴν μέλαιναν καὶ διπλῆν χλανίδα σὺν αὐταῖς ταῖς περόναις ἀπέβαλεν, ἢ τὴν διφθέραν.

V. 33. Καλαύροπα δέ. Ποιμενικὴν ῥάβδον. Καὶ τοῦτο δὲ διὰ τὸ σκληρὸν καὶ ἄγριον τοῦ ἀνδρός.

V. 34. Τὴν φορέεσκεν. Ἥντινα ἐβάσταζεν ἐκ κοτίνου οὖσαν, τουτέστιν ἀγριελαίου.

Ὀριτρεφέος δὲ, τοῦ ἐν ὄρει τεθραμμένου κοτίνου.

V. 38. Ὀλοοῖο Τυφωέως. Διὰ τὸ τερατῶδες καὶ ἐκτράπελον τοῦ σώματος τοῦτο φησίν. Ἐνομίζετο,

φησὶν, ἢ Τυφῶνος ἢ Γῆς υἱὸς, ἀντὶ τοῦ μέγας. Ἔστι δὲ ἀπὸ ὀρθῆς τῆς Τυφωεύς.

V. 40. *Χωομένη Διΐ.* Ἐπεὶ λέγεται ἡ Γῆ κατὰ ὀργὴν, ὅτε τοὺς Τιτᾶνας κατεταρτάρωσεν ὁ Ζεὺς, γεννῆσαι τοὺς Γίγαντας.

V. 42. *Ἑσπερίην διὰ νύκτα.* Ἀντὶ τοῦ κατὰ νύκτα, τουτέστι περὶ τὸν ἕσπερον. Ὅμηρος·

Ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ.

Ἀμαρυγαὶ δὲ, αἱ ἀκτῖνες, αἱ λαμπηδόνες.

V. 43. *Ἔτι χνοάοντας ἰούλους.* Τοὺς ἰούλους ὡς χνοῦν ἀναφύοντας ἔχων. Τὰς ἐξανθήσεις τῶν γενείων. Λέγεται δὲ καὶ θηρίον ἴουλος πολύπουν· καὶ εἶδος ᾠδῆς, ὥς φησιν Ἐρατοσθένης.

V. 44. *Ἀντέλλων.* Ἀνατέλλειν τὸ φύειν ἐνταῦθα ἐνεργητικῶς σημαίνει.

V. 45. *Πῆλε δὲ χεῖρας.* Οἷον προσεπάλλετο, διάπειραν τῶν χειρῶν ἑαυτοῦ ποιούμενος, εἰ ὡς πρὶν εὐκίνητοι εἰσὶ, μηδ' ἀπὸ τοῦ τῆς εἰρεσίας καμάτου δυσκινήτως ἔχοιεν.

V. 48. *Οὐ μὰν αὖτ' Ἄμυκος.* Οὐ μὴν ὁ Ἄμυκος διεπείρασεν ἑαυτοῦ. Καὶ διὰ τούτων δὲ δηλοῖ τὸ ὑπερήφανον αὐτοῦ.

V. 49. *Καί οἱ ὀρέχθει.* Ἐν ὀρέξει ἦν. Νῦν δὲ, ἀντὶ τοῦ ἐφώρμα καὶ ἐπεθύμει. Σημαίνει δὲ ἡ λέξις καὶ τὸ ἔστενεν·

— — ὀρέχθεον ἀμφὶ σιδήρῳ.

V. 51. *Λυκωρεύς.* Οὗτος ὑπὸ τοῦ ποιητοῦ πεποίηται, οὐκ ἐξ ἱστορίας παρείληπται.

V. 52. *Ἱμάντας.* Τοὺς καλουμένους μύρμηκας.

V. 53. *Ἀζαλέους* δὲ, ἀντὶ τοῦ ξηρούς. Ὅθεν τινὲς οὐκ ἀπὸ Ἀζᾶνος βασιλέως, ἀλλὰ διὰ τὸ τραχεῖαν εἶ-

ναι, Ἀζανίαν φασὶ κληθῆναι τὴν Ἀρκαδίαν. Τραχεῖα γάρ ἐστι καὶ ξηρά.

Πέρι δ' οἵγ' ἔσαν ἐσκληῶτες. Περισσῶς κατεσκληκότες ἦσαν. Ὅθεν καὶ σκέλος, τὸ ἄσαρκον μέρος τοῦ σώματος.

V. 54. Ὑπερφιάλοισιν. Ὑπερηφάνοις. Ἡ δὲ μεταφορὰ ἀπὸ τῆς φιάλης. Τὸ γὰρ πληθύον αὐτῆς, ὑπερφίαλον, ἀντὶ τοῦ ὑπέρμετρον. Φιάλη δὲ εἶδος λεβητώδους ἀγγείου.

V. 55. Πάλου ἄτερ. Χωρὶς κλήρου. Καὶ διὰ τούτου δὲ πάλιν ὑπερήφανον δείκνυσι.

V. 56. Τὸ δὲ, ἵνα μή μοι ἀτέμβηαι μετόπισθεν, ὥσπερ ἤδη σεαυτῷ πεπιστευκὼς τὴν νίκην. Καὶ τοῦτο βάρβαρον. Εἰ γὰρ ὁ κλῆρος τὴν στάσιν λύειν ἐπίσταται, καὶ ἑκάστῳ τὰ ἴσα διδόναι, πῶς ἂν ὕστερον ἔμελλεν αὐτῷ ἀντιμάχεσθαι; Μᾶλλον γὰρ νῦν ἐστασίασεν ἂν, μὴ κληρωθείς.

Ἀτέμβηαι. Ἵνα μή μοι μέμψῃ ὕστερον, ὡς χείρονας εἴληφας. Τὸ γὰρ ἀτέμβειν οἱ νεώτεροι οὐκ ἐπὶ τοῦ στερίσκεσθαι ἤκουσαν, ἀλλ' ἐπὶ τοῦ μέμφεσθαι.

V. 62. Ἀπροφάτως. Ἀδιστάκτως, ἀδιακρίτως, μηδὲν πρὸς τὴν ἀναίρεσιν προφασισάμενος.

V. 65. Ἤδειν. Τὸ ᾔδειν ἀντὶ τοῦ πληθυντικοῦ κεῖται τὸ ᾔδεσαν. Ὡς καὶ τὸ,

Τῆς δ' ἦν τρεῖς κεφαλαί.

V. 67. Οἱ δ' ἐπεὶ οὖν ἐν ἱμᾶσι διασταδὸν ἠρτύναντο. Διασταδὸν μέν φησιν, ἀντὶ τοῦ, ἐν τῇ παρ' ἀλλήλων διαστάσει παρεσκευάσαντο.

V. 68. Ῥέθος δὲ, ἅπαν μέλος. Ἐνταῦθα δὲ τὰ πρόσωπα.

V. 70. Ἄτε κῦμα θαλάσσης. Καθάπερ (φησὶ)

μετεωριζόμενον νηῒ προσπίπτει, τῇ δὲ ἐμπειρίᾳ τοῦ κυβερνήτου παρακλίναντος ἡ ναῦς διαφεύγει· οὕτω καὶ ὁ Ἄμυκος ἐπέκειτο μὲν ἐκφοβῶν αὐτὸν, διεκκλινόμενος δὲ ἐκεῖνος, ἄτρωτος ἦν.

V. 72. *Ἀλύσκει. Ἐκφεύγει. Διὰ δὲ τὴν τραχύτητα καὶ τὴν σφοδρὰν αὐτοῦ ὁρμὴν κύματι εἰκάζει τὸν Ἄμυκον, κυβερνήτῃ δὲ τεχνίτῃ τὸν Πολυδεύκην.*

V. 74. *Φοβέων. Ταράσσων τῇ ἀθρόᾳ κατ' αὐτοῦ ὁρμῇ, ἐμβραδύνειν οὐ συνεχώρει αὐτόν.*

V. 76. *Ἀΐσσων. Λείπει ἡ ὑπό· ἵνα ᾖ, ὑπαΐσσων καὶ ὑποφεύγων τὸν Ἄμυκον τῇ ἑαυτοῦ τέχνῃ, ἄπληκτος καὶ ἀβλαβὴς διέμεινεν.*

Ἀπηνέα δ' αἶψα. Συνιδὼν (φησὶν) ὁ Πολυδεύκης, ὅπου ἄπρακτος καὶ εὐεπιχείρητος ἦν, συνέμιξεν αὐτῷ τὰς χεῖρας ὑποστάς.

V. 77. *Ἡ κάρτος. Ὁ Πολυδεύκης (φησὶν) ἐτήρει τὸν Ἄμυκον, ὅπου ἄτρωτος τυγχάνει καὶ οὐκ ἀνεπιχείρητός ἐστιν, ἢ οὔ. Συνιδὼν, ἐν ᾧ ὑπερεῖχεν αὐτοῦ, καὶ ἐν ᾧ καταδεέστερος ἦν, ὑποστὰς συνέμιξεν αὐτῷ τὰς χεῖρας.*

Θάρσος δὲ θράσους διαφέρει. Θάρσος γὰρ, τὸ εὔλογον· θράσος δὲ, τὸ μετὰ ἰταμότητος. Οὕτω καὶ Ἀρίστιππος ὁ φιλόσοφος.

V. 79. *Ὡς δ' ὅτε νήϊα. Οὕτως ἀντεξεσμένα ἀλλήλοις, ὥστε, ἡνίκα συμβάλλονται ἐναντία, συναρμόζειν ἀλλήλοις. Ἢ τὰ ἀντικείμενα τοῖς σφησίν. Εἰς γὰρ τὰ πλάγια τῶν σανίδων τιθέασι τοὺς σφῆνας πρὸς ἀσφάλειαν.*

V. 80. *Ὑληουργοὶ δὲ, ὑλοτόμοι, καὶ τὰς ναῦς ἐργαζόμενοι.*

Ὥσπερ δὲ ναυπηγήσιμα ξύλα συναρμόζοντες ξυλουρ-

γοὶ γόμφοις συνεχῶς ταῖς σφύραις τύπτουσιν, ἐγείρεται δὲ ἄλλος ἐξ ἄλλου ψόφος· οὕτως ὁ Ἄμυκος καὶ ὁ Πολυδεύκης ἀλλήλων ἔτυπτον τὰς σιαγόνας.

Θοοῖς. Ὀξέσιν.

V. 81. Ἄηται. Ἐξηχεῖται καὶ ἐξακούεται.

V. 84. Ἐπισταδόν. Ἀντὶ τοῦ ἐπιστατικῶς καὶ ἀμετακινήτως.

Ἄδην. Συνεχῶς, ἢ ἀκορέστως. *)

V. 89. Φορβάδος ἀμφὶ βοός. Ὑπὲρ νομάδος καὶ εὐτραφοῦς βοός. Ἵνα τὸ τῆς κατανομῆς ὄνομα πλέον καὶ μεῖζον τῇ βοῒ δοίη τὸ σῶμα καὶ τὸ κάλλος.

Ἀντίπατρος ἐν τῷ Περὶ ζώων φησὶ τὸν ἀλκιμώτατον ἐν τῇ ἀγέλῃ ταῦρον μίγνυσθαι πάσαις ταῖς βουσὶν, μὴ ἐπιτρέπειν δὲ ἑτέρῳ. Ἐὰν δέ τις πεποιθὼς τῇ ἰδίᾳ δυνάμει ἀντίσταται αὐτῷ, καταγωνισάμενος, τοῦ λοιποῦ πλησιάζει ἐκεῖνος.

V. 90. sq. Ἀερθεὶς βουτύπος οἷα. Ἐπαρθείς. Ἐπ' ἄκρων τῶν ποδῶν (φησὶ) σταθεὶς, καὶ ἐκτείνας ἑαυτὸν ὡς βουτύπος, τὴν χεῖρα ἑαυτοῦ κατέφερεν. Ἐπιόντος δὲ αὐτοῦ, ὁ Πολυδεύκης ὑπέστη, καὶ παρακλίνας τὴν κεφαλὴν τῷ ὤμῳ αὐτοῦ ἐδέξατο τὸν πῆχυν. Βουτύπος δέ ἐστιν ὁ τοὺς θυομένους βοῦς τῷ πελέκει τύπτων κατὰ τοῦ αὐχένος. Οὗτος δὲ ἐπ' ἄκροις τοῖς ὄνυξιν ἵσταται μέλλων κρούειν.

V. 94. Ὁ δ' ἄγχ' αὐτοῖο. Ἐγγὺς δὲ αὐτοῦ προβαίνων καὶ μεταφέρων τὰ σκέλη ἔτυψεν αὐτὸν πρὸς τὸ οὖς.

V. 95. Μεταΐγδην. Ὁρμητικῶς.

V. 96. Ὁ δ' ἄμ' ὀδύνῃ. Ὁ δὲ Ἄμυκος ὑπὸ τῆς ἀλγηδόνος ἐπὶ γόνυ κατενεχθεὶς εἰς τὴν γῆν ἀπώλετο.

*) Ad v. 82.

V. 98. *Οὐδ' ἄρα Βέβρυκες.* Ἀπολλώνιος μὲν ἐμφαίνει ὡς ἀνῃρημένον τὸν Ἄμυκον· Ἐπίχαρμος δὲ καὶ Πείσανδρος φασὶν, ὅτι ἔδησεν αὐτὸν ὁ Πολυδεύκης. Δηΐλοχος δὲ ἐν πρώτῳ περὶ Κυζίκου καταπυκτευθῆναι φησὶν αὐτὸν ὑπὸ Πολυδεύκους.

Οὐκ ἠμέλησαν δὲ (φησὶν) οὐδὲ κατεφρόνησαν τοῦ Ἀμύκου πεπτωκότος· διὰ δὲ τὸ βάρβαρον αὐτῶν καὶ πόλεμον ἤγειραν.

V. 99. *Ἀζηχέας δὲ, τὰς ξηράς.* Τὰς ἠχούσας ξηρὸν ἦχον.

Σιγύννους δὲ καλοῦσιν οἱ Κύπριοι τὰ ἀκόντια· ἄλλοι δὲ τὰ ὁλοσίδηρα ἀκόντια.

V. 105. *Αὐτὸς δ' Ἰτυμονῆα.* Ὁ δὲ Πολυδεύκης λὰξ ἐπορούσας ἔπληξεν.

V. 106. Λέγεται δὲ *λὰξ* ὁ ὑπὸ τοὺς δακτύλους τοῦ ποδὸς ψόφος. Ἢ οὕτω κυρίως, τὸ ὑποκάτω τῶν τοῦ ποδὸς δακτύλων λὰξ καλεῖται. Οὕτως ἀποδέδωκεν καὶ παρὰ τῷ ποιητῇ Ποσειδώνιος,

Λὰξ ποδὶ κινήσας.

V. 107. *Τοῦ δ' ἆσσον ἰόντος.* Ἐναλλαγὴ γέγονε τῶν πτώσεων. Ἔδει γὰρ εἰπεῖν, τὸν δ' ἆσσον ἰόντα. Οὕτω γὰρ καταλλήλως ἂν ἀπέδωκε πρὸς τὰ ἀνώτερα, εἰπὼν Ἰτυμονῆα καὶ Μίμαντα. Πρὸς μὲν τὸν πρῶτον, αἰτιατικὴν ἀπέδωκεν, ἐπενεγκὼν, τὸν μὲν ὑπὸ στέρνοιο· πρὸς δὲ τὸν δεύτερον, οὐκ ἐφύλαξε τὸ κατάλληλον. Συγχωρεῖται δ' ὅμως, διὰ τὸ συγγενὲς τῶν πλαγίων. Τοῦ Μίμαντος τῇ δεξιᾷ ὁρμήσαντος ἐγγὺς τοῦ Πολυδεύκους, αὐτὸς τὸ εὐώνυμον ἀπέδρυψε βλέφαρον τοῦ Μίμαντος, ἀποκόψας αὐτοῦ τὸν ὀφθαλμόν. Τοῦτο γὰρ νοεῖται διὰ τοῦ ἐπιφερομένου, τοῦ, γυμνὴ δ' ὑπελείπετ' ὀπωπή· ἡ τοῦ ὀφθαλμοῦ χώρα δηλονότι.

V. 110. *Ὠρείδης δ' Ἀμύκοιο.* Διὰ τῆς ει διφθόγγου ἡ παραλήγουσα. Οὕτως Ἡρωδιανὸς ἐν τῷ τρίτῳ τῆς καθόλου.

V. 112. *Ὅσον δ' ἐπὶ δέρματι.* Μέχρις. Ὅσον ἀντὶ τοῦ ὀλίγου. Δι' αὐτῆς τῆς ἐπιφανείας ἦλθεν ὁ σίδηρος ὑπ' αὐτὸν τὸν κατὰ τὴν ζώνην τόπον· ὥστε τῶν ἐντοσθιδίων μὴ ψαῦσαι, ἀλλ' ἐπὶ τῷ δέρματι μόνον.

V. 114. *Μενεδήϊον* ἔφη τὸν Ἴφιτον, ὡς ἐμμενετικὸν ἐν τῷ πολέμῳ. Δηῒς γὰρ ὁ πόλεμος καὶ ἡ μάχη.

V. 115. *Ἀζαλέῃ.* Τῇ ξηρᾷ, ἐπεί ἐστι ξυλίνη. Ὅμηρος δὲ καὶ σιδηρᾶν οἶδεν·

Ἀλλὰ σιδηρείῃ κορύνῃ.

Τινὲς δὲ ἀποδεδώκασι σιδηρείῃ, τῇ εὐτόνῳ, ὥσπερ καὶ,

σιδήρειος δ' ὀρυμαγδὸς ὀρώρει.

V. 116. *Οὔπω κηρὶ κακῇ.* Οὔπω πεπρωμένον ἀποθανεῖν.

V. 117. Ὁ δὲ *Κλυτίος* υἱὸς ἦν Εὐρύτου, ἀδελφὸς Ἰφίτου.

Δηώσεσθαι δὲ, φονευθήσεσθαι.

V. 118. Ὁ δὲ *Ἀγκαῖος*, Ἀρκὰς τὸ γένος ἐστί. Φησὶ δὲ αὐτὸν ὡπλίσθαι πελέκει καὶ ἄρκτου δορᾷ.

Ὁ δὲ *θρασὺς* ἐνταῦθα ἐπὶ τοῦ ἀνδρείου, ἀλλ' οὐκ ἐπὶ τοῦ ὑπερβάλλοντος κεῖται.

V. 119. Τὸ *μέλαν* ἐπὶ τοῦ δέρους ἀναφέρειν δεῖ, ὥσπερ καὶ τὸ *κελαινὸν*, ἀλλ' οὐκ ἐπὶ τοῦ πέλεκυν. Οὐ γὰρ καταλλήλως τὸ οὐδέτερον ἐπιτεθήσεται τῷ ἀρσενικῷ. Καὶ ἤτοι ἐκ παραλλήλου ληπτέον τὸ *μέλαν* καὶ τὸ *κελαινόν*· ἢ τὸ μὲν *μέλαν* ἐπὶ τὸ χρῶμα ἀναφέρειν δεῖ, τὸ δὲ *κελαινὸν* ἐπὶ τὸ ἐκπληκτικόν.

Τεταγών. Ἀντὶ τοῦ ἐκτείνας, ἀκοντίσας.

V. 120. *Καὶ τὸ προσχόμενος*, προβαλόμενος ἀντὶ ἀσπίδος.

V. 121. *Ὁμοῦ δέ οἱ ἐσσεύοντο.* Τὸ ὁμοῦ καὶ ἐπὶ τοῦ ἀθροίσματος τιθέασι, καὶ ἐπὶ τοῦ ἐγγὺς, ὡς Ἀθηναῖοι εἰώθασι χρῆσθαι. Μένανδρος·

Ὁμοῦ δὲ τῷ τίκτειν παρεγένεθ' ἡ κόρη.

ἀντὶ τοῦ ἐγγύς.

V. 123. *Ὡς δ' ὅτ' ἐνὶ σταθμοῖσιν.* Ὥσπερ δὲ ἀφυλάκτῳ ποιμνίῳ ἐπελθόντες λύκοι ἀποροῦσι, ποῖον πρῶτον ἁρπάξωσιν, οὕτω καὶ οἱ ἀριστεῖς τοὺς Βέβρυκας ἐτρέψαντο. Ὁμοία δὲ ταύτῃ καὶ παρ' Ὁμήρῳ παραβολή·

Ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον ἢ ἐρίφοισι
σίνται.

V. 124. *Πολιοὶ δὲ*, ἤτοι ὑπότεφροι, ἢ ἔντιμοι. Τίμιον γὰρ τὸ ζῶον παρ' Ἀθηναίοις. Ὁ γὰρ ἀποκτείνας λύκον ἀγείρει αὐτῷ τὰ πρὸς τὴν ταφήν. Καὶ ἴσως ἐπεὶ ἡ Λητὼ ἔγκυος οὖσα διὰ δώδεκα ἡμερῶν εἰς Δῆλον ἦλθε μεταβαλοῦσα εἰς λύκον. Διόπερ κατά τινα ὡρισμένον χρόνον τοῦ ἐνιαυτοῦ τίκτει πᾶσα λύκαινα ἐν δώδεκα ἡμέραις, ὡς Φιλοστέφανος φησὶν ἐν τοῖς Ὑπομνήμασιν.

V. 125. *Λάθρῃ εὐῤῥίνων.* Τοῦτο φησὶν, ὅτι διὰ τὸ ψῦχος καταδύνουσιν εἰς τὰς ἐπαύλεις οἵ τε ποιμένες καὶ οἱ κύνες, εἶτα οὕτως ἀφύλακτα γίνονται τὰ πρόβατα.

Εὐῤῥίνων δὲ, ἤτοι εὐδερμάτων. Ἢ κυρίως διὰ τὸ ταῖς ῥισὶν ἰχνεύειν τὰ θηρία. Διὸ καὶ παραινοῦσιν οἱ κυνηγοὶ πρὸ ἡμέρας ἐξάγειν τοὺς κύνας ἐπὶ θήραν, ἵνα, πρὶν ἥλιον ἐπιτεῖλαι, εὐκαίρως ἰχνηλατῶσι ταῖς ῥισί.

V. 126. *Μαίονται.* Ἐπιζητοῦσι.

V. 127. *Πόλλ' ἐπιπαμφαλόωντες.* Πολλὰ

ἐπιβλέποντες καὶ μετ' ἐνθουσιασμοῦ. Παμφαλᾷν γὰρ τὸ μετὰ πτοιήσεως καὶ ἐνθουσιασμοῦ ἐπιβλέπειν. Κέχρηται δὲ τῇ λέξει καὶ Ἱππῶναξ καὶ Ἀνακρέων. Λέγει δὲ καὶ Ἐρύκιος· Πάντοσε παμφαλόωντες δινήσαντο πόδεσσι. Παραιτητέον δὲ Εἰρηναῖον ἀμφανόωντες γράφοντα, καὶ ἐξηγούμενον κτείνοντες. Οὔτε γὰρ κέχρηταί τις οὕτως τῇ λέξει, οὔτε ἐστὶν ἁπαξαπλῶς ἡ γραφὴ τοῦ ποιητοῦ.

V. 128. Περὶ σφίσιν. Ἔδει εἰπεῖν περὶ ἀλλήλοις πίπτοντα. Οὐ γὰρ περὶ ἑαυτά. Τὸ δὲ ἁμάρτημα τῶν μεθ' Ὅμηρον.

V. 130. Ὡς δὲ μελισσάων. Ὅτι τὸν καπνὸν φεύγουσιν αἱ μέλισσαι, διὰ τὸ στενόπορον εἶναι αὐτῶν τὴν ὄσφρησιν. Ὅπερ καὶ ἐπὶ τῶν ὄφεων συμβαίνει, θυμιωμένου τοῦ ἐλαφείου κέρως, ὥς φησι Νίκανδρος.

Σμῆνος δέ ἐστι τὸ τῶν μελισσῶν πλῆθος.

V. 133. Βομβηδόν. Ἀντὶ τοῦ μετὰ ἤχου καὶ βόμβου. Βόμβος δέ ἐστιν ὁ τῶν μελισσῶν ἦχος. Ἔνιοι δὲ, τῆς βοξύνου μελίττης λεγομένης.

Λιγνυόεντι. Τῷ αἰθαλώδει.

Ὁ δὲ λόγος, ἐπιπλέον δὲ τῷ λιγνυώδει καὶ σποδώδει καπνῷ καπνιζόμεναι ὑποχωροῦσι τῶν σίμβλων.

Σίμβλος δέ ἐστιν, εἰς ὃ τὰ κηρία συνάγεται ἀγγεῖον, ἡ κυψέλη.

V. 134. Καπνῷ τυφόμεναι. Ἀντὶ τοῦ καπνιζόμεναι. Σημαίνει δὲ καὶ τὸ καιόμεναι. Εἰώθασι δὲ καπνίζειν κόνυζαν. Δριμὺς γὰρ μάλιστα ὁ ταύτης καπνός.

V. 138. Ἠ μὲν ἀλωαί. Αἱ ἀμπελόφυτοι χῶραι.

V. 139. Οἶαι δὲ, αἱ κῶμαι, διὰ τὸ ἐν αὐταῖς τὰ πρόβατα καὶ τὰ ἄλλα βοτὰ νέμεσθαι.

V. 140. Καὶ Μαριανδυνῶν. Φινέως παῖδες,

ἐκ μὲν Κλεοπάτρας, Παρθένιος καὶ Κράμβις· ἐκ δὲ Ἰδαίας τῆς Δαρδάνου, ἢ Σκυθικῆς τινὸς παλλακίδος, Θύνος καὶ Μαριανδυνός. Ἐξ ὧν τὰ ἔθνη κέκληνται. Οἱ δέ φασι κεκλῆσθαι τοὺς Μαριανδυνοὺς ἀπὸ Μαριανδυνοῦ υἱοῦ Κιμμερίου.

Ἀπεόντος ἄνακτος. Ἤγουν τεθνηκότος. Ὥσπερ καὶ τὸ περιεόντος τοῦ ζῶντος.

Οἱ δὲ Μαριανδυνοὶ, ἔθνος ὁμοροῦν αὐτοῖς.

V. 141. Σιδηροφόρου περὶ γαίης. Τῆς τῶν Χαλύβων.

V. 142. Οἱ δ' ἤδη. Οἱ δὲ Ἀργοναῦται, τῶν Βεβρύκων πεφευγότων, τὰς παρὰ θάλασσαν ἐπαύλεις ἐπόρθουν. Ἤδη δὲ καὶ τῶν θρεμμάτων πολλὰ περιεληλακότες ἀπετέμοντο.

V. 143. Περιτροπάδην. Περιτρέποντες, ἐπὶ τὴν ναῦν ἐλαύνοντες. Σημαίνει δὲ καὶ τὸ νικᾷν.

Διακριθήμεναι. Χωρισθῆναι.

V. 145. Φράζεσθ' ὅ, ττι κεν ἦσιν. Ὁ νοῦς, καὶ τί ἂν ἐποίησαν οἱ Βέβρυκες, εἰ καὶ ὁ Ἡρακλῆς μεθ' ἡμῶν ἐληλύθει; οἷον, πῶς ἔφυγον καὶ ἡττήθησαν. Οἶμαι γὰρ, ὅτι οὐδὲ ἀγὼν ἂν τῆς πυγμαχίας ἐγένετο, ἀλλὰ προκαλούμενον τὸν Ἄμυκον τότε οἷς συνετίθει νόμοις ἡμῖν, τῷ ῥοπάλῳ πλήξας ἀνῄρηκεν.

V. 151. Ναὶ μὲν ἀκήδεστον. Ὁ νοῦς, ἐκεῖνον μέντοι ἀφροντίστως καταλιπόντες (τουτέστι τὸν Ἡρακλέα) ἐπ' ἀλλοτρίας ἐπλεύσαμεν. Ἐκείνου δὲ ἀπόντος, ἕκαστος ἡμῶν αἰσθήσεται, ὅσον βεβλάμμεθα.

V. 159. Ἐρεψάμενοι δάφνῃ. Δάφνῃ ἐστέψαντο δι' Ἀπόλλωνα. Ἐχρῶντο δὲ τῇ στέψει τριχῶς, ἐπὶ τῆς κεφαλῆς, ἐπὶ τοῦ μετώπου, ἐπὶ τοῦ τραχήλου τιθέμενοι τοὺς στεφάνους, διὰ τὸ θυμηδὲς τῆς τριμεροῦς ψυχῆς.

Ἄλλως. Στεψάμενοι δὲ ὑπεράνω τῶν μετώπων δάφνῃ τὰς κεφαλάς· ἐξ ἧς δάφνης ἀνημμένα ἦν τὰ σχοινία τῆς νεώς. Οὐ ποιητικῶς δὲ ἀνέπλασε τὴν δάφνην ὁ Ἀπολλώνιος, ἀλλ' ἔστιν ὄντως ἐν τῷ τόπῳ δένδρον δάφνης εὐμέγεθες, ὥς φησιν Ἀνδροίτας ὁ Τενέδιος ἐν τῷ Περίπλῳ τῆς Προποντίδος, παριστορῶν, ὅτι Ἄμυκος μὲν καλεῖται τὸ χωρίον, ἔχει δὲ ἐποίκια καὶ νῦν, διέστηκε δὲ τοῦ Χαλκηδονίου Νυμφαίου σταδίους πέντε. Ἀπολλόδωρος δὲ ἐν τῷ πρώτῳ τῶν Ποντικῶν ἡρῷον αὐτόθι φησὶν εἶναι Ἀμύκου ἐκεῖ· καὶ εἴ τις ἐπὶ τῆς δάφνης κλάδον λάβοι, εἰς λοιδορίαν ἀνίστησι.

V. 161. Συνοίμιον. Συνῴδιον. Οἴμη γὰρ ἡ ᾠδή.

V. 162. Περὶ δέ σφιν ἰαίνετο. Διεχέετο ἡ ἀκτή. Καθ' ὑπερβολήν· καθ' ὃ μυθεύεται ὁ Ὀρφεὺς κηλεῖν καὶ τὰ ἄψυχα. Ἦιδον δὲ ἐπινίκιον τῷ Ἀπόλλωνι.

V. 163. Θεραπναῖον δὲ ἀπὸ μέρους, τὸν Λάκωνα. Θεράπναι γὰρ τόπος τῆς Σπάρτης. Οἱ δὲ, πόλιν. Ὁ δὲ Ἀπολλώνιος, τόπον ἱερὸν Ἀπόλλωνος.

V. 165. Ἐκ περάτων. Ἐκ τοῦ ὑπερορίζοντος ἡμισφαιρίου.

V. 168. Ἀνὰ Βόσπορον. Βόσπορος ὀνομάζεται διὰ τὸ δοκεῖν τὴν Ἰὼ βοῦν οὖσαν διαπορεύεσθαι τὸ ἀπὸ Βυζαντίου καὶ Καλχηδόνος διάστημα σταδίων ἐστὶ τοῦτον τὸν τόπον, * ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν διαβαίνουσαν. Ἢ διὰ τὸ πάντας τοὺς στενοὺς πορθμοὺς βοσπόρους καλεῖσθαι. Ἔνιοι δέ φασι, τοὺς ἐπὶ τοῦ στόματος οἰκοῦντας τοπαλαιὸν, εἴ ποτε ἐθέλοιεν εἰς τὸ πέραν διαβαίνειν, σχεδίας πηγνύντας καὶ βόας ἐπιζεύξαντας, ἐπὶ τούτων διαπεραιοῦσθαι· ὅθεν καὶ ὠνομάσθαι τὴν θάλασσαν. Ἔστι δὲ καὶ ἕτερος Βόσπορος τῆς Σκυθικῆς, Κιμμερικὸς προσαγορευόμενος, διὰ τὸ

Κιμμερίους, ἔθνος Σκυθικὸν, περὶ ἐκείνους οἰκῆσαι τοὺς τόπους. Οἱ δέ φασι στόμα τῆς Μαιώτιδος λίμνης στενὸν καὶ ἐπίμηκες, ἐμφερὲς τῷ κατὰ τὸ Βυζάντιον Βοσπόρῳ. Ἄλλως. Περὶ τοῦ Βοσπόρου ἡ ἱστορία παρὰ τοῖς παλαιοῖς διαφόρως λέγεται. Νύμφις μὲν γάρ φησιν ἱστορεῖν Ἀκαρίωνα, ὡς ἄρα Φρύγες διαπλεῦσαι βουλόμενοι τὸν πορθμὸν, κατεσκεύασαν ναῦν ἔχουσαν ἐγκεχαραγμένην προτομὴν ταύρου· διαπλευσάντων δὲ αὐτῶν, ἀπὸ τοῦ εἴδους τοῦ περὶ τὸ σκάφος προσαγορευθῆναι τὸ πέλαγος Βόσπορον. Ἔφορος δέ φησιν ἡρπάσθαι τὴν Ἰὼ ὑπὸ Φοινίκων, καὶ διακομισθῆναι εἰς Αἴγυπτον· ἀνθ' ἧς τὸν βασιλέα τῶν Αἰγυπτίων πέμψαι Ἰνάχῳ ταῦρον· τετελευτηκότος δὲ ἐκείνου, περιϊέναι αὐτοὺς παραδεικνύντας, καθὸ πρότερον οὐκ ἐγίνωσκον τὸ ζῶον· τὸν δὲ τόπον προσηγορεῦσθαι, δι' οὗ οἱ τὸν ταῦρον ἔχοντες ἔπλευσαν, Βόσπορον. Οἱ δὲ, καθὸ ὁ Φρίξος ἐπὶ κριοπρώρου σκάφους ἔπλευσεν. Δύο δέ εἰσι Βόσποροι, Κιμμέριος καὶ Θράκιος, ὁ πάλαι Μύσιος καλούμενος.

V. 169. Ἠλιβάτῳ. Ἠλίβατον ὄρος φησὶν, ἀφ' οὗ ἀλιτεῖν ἐστι τῆς βάσεως, διὰ τὸ ὕψος· τοῦτ' ἔστιν, ὑψηλὸν καὶ ἀπρόσβατον.

V. 170. Ἐπαΐσσοντι δὲ, ἀντὶ τοῦ ἐπενεχθησομένῳ, ἢ ἐφορμήσοντι.

V. 173. Ἀλλὰ τόγ' ἔμπης. Ἀλλὰ, καίπερ οὕτω μέγα καὶ λάβρον ὑπάρχον τὸ κῦμα, ὁμαλίζεται, εἰ ἀγαθοῦ κυβερνήτου τύχοι.

V. 177. Ἀντιπέρην γαίῃ Βιθυνίδι. Διτταί εἰσι Βιθυνίαι· ἡ μὲν, ἐπὶ τῆς Εὐρώπης· ἡ δὲ, ἐπὶ τῆς Ἀσίας. Καὶ ἡ μὲν ἐπὶ τῆς Εὐρώπης περὶ Σαλμυδησσὸν κεῖται ἐπὶ τῆς Θράκης· ἡ δὲ ἑτέρα καθήκει ἐπὶ τὸν Βόσπορον καὶ ἐπὶ τὸ στόμα τοῦ Πόντου. Ἔστι δὲ καὶ τρί-

τη Βιθυνία νῆσος περὶ τὸν Πόντον. Ἔστι δὲ ἀμφίβολον, εἰς ποίαν Βιθυνίαν φησὶν, ἀμφοτέρων οὐσῶν ἐπὶ τὸ πέραν. Ἄμεινον οὖν τὴν περὶ τὴν Εὐρώπην Βιθυνίαν λέγειν. Τῇ γὰρ ἐπιούσῃ (φησὶν) ἡμέρᾳ ἐν τῇ Βιθυνίᾳ τὰ ἀπόγεια ἔδησαν, ὡς δῆλον, ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην. Καὶ γὰρ ὁ Φινεὺς (ὡς οἱ πλεῖστοι) ἐπὶ τοῦ Σαλμυδησσοῦ λέγεται ᾠκηκέναι, ὅς ἐστι τῆς Θράκης, κατὰ τὰ ἀριστερὰ μέρη τὸν Πόντον εἰσπλέοντι. Ἔστι δὲ καὶ ἑτέρα Βιθυνία, νῆσος μετὰ τὸν Πόντον, ἐν ᾗ ἐστιν Ἀπόλλωνος ἱερόν. Ἄλλως. Οὐκ ἐν τῇ πέραν Βιθυνίᾳ, ἀλλ' ἐν τῇ τῆς Θράκης· ἥτις ἐστὶ τῆς Εὐρώπης, ὡς ἀποδέδεικται, ἔνθα Φινεὺς ᾤκει.

V. 178. Ἀγηνορίδης. Ἀγήνορος γὰρ παῖς ἐστιν, ὡς Ἑλλάνικος. Ὡς δὲ Ἡσίοδος φησὶν, Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας. Ὁμοίως δὲ καὶ Ἀσκληπιάδης, καὶ Ἀντίμαχος, καὶ Φερεκύδης φησίν. Ἐκ γὰρ Κασσιεπείας τῆς Ἀράβου Φοίνικι γίνεται Κίλιξ, καὶ Φινεὺς, καὶ Δόρυκλος. Ὁ δὲ Ἀτύμινος κατὰ μὲν ἐπίκλησιν, καὶ αὐτὸς τοῦ Φοίνικος· ταῖς δὲ ἀληθείαις, τοῦ Διός. Ἔνιοι δὲ αὐτὸν ἐν τῇ Παφλαγονίᾳ βασιλεῦσαι ἱστοροῦσιν, ἥτις ἐστὶ τῆς Ἀσίας, ὡς φησιν Ἑλλάνικος.

Ἀγηνορίδην δὲ εἶπε τὸν Φινέα, καθὸ Ἀγήνορος ἐστὶ παῖς. Ὁ δὲ Ἡσίοδος τοῦ Φοίνικος αὐτόν φησι τοῦ Ἀγήνορος.

Πηρωθῆναι δὲ λέγουσι τὸν Φινέα ὑπὸ Ἡλίου, ὅτι πολυχρόνιος εἵλετο μᾶλλον εἶναι ἢ βλέπειν.

Ἔνιοι δὲ ἀπίθανον οἴονται, τοσαύτας γενεὰς ἐζηκέναι Φινέα, ὥστε τοῦ Φοίνικος ὄντα υἱὸν μέχρι τῶν Ἀργοναυτῶν διαρκέσαι, καὶ ἕτερον τοῦτον φασὶ τὸν Φινέα, ἕβδομον ὄντα ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος, πρὸς ὃν ἀπήντησαν οἱ ἥρωες. Πηρωθῆναι δὲ αὐτὸν, ὅτι ἐπεβού-

λευσε Περσεῖ. Σοφοκλῆς δὲ, ὅτι τοὺς ἐκ Κλεοπάτρας υἱοὺς ἐτύφλωσεν, Ὤρυιθον καὶ Κράμβιν, πεισθεὶς διαβολαῖς Δίας τῆς αὐτῶν μητρυιᾶς. Ὁ δὲ Ἀπολλώνιος φησὶ πηρωθῆναι αὐτὸν, καὶ πρὸς τῶν Ἁρπυιῶν κἄκῶς πάσχειν, ὅτι ἀναίδην πᾶσι καὶ διαῤῥήδην ἐμαντεύετο. Φησὶ γάρ·

— — — οὐδ᾽ ὅσσον ὀπίζετο καὶ Διὸς αὐτοῦ.

V. 181. *Οὐδ᾽ ὅσσον ὀπίζετο.* Οὐδὲ ἐλάχιστον τοῦ Διὸς αὐτοῦ ἐπεστρέφετο, τὰ θεῖα ἐνθυμήματα πᾶσιν ἐμφαίνων. Λέγων γὰρ πάντα τὸν νοῦν τοῖς ἀνθρώποις, οὐδεμίαν χρείαν αὐτοῖς τῶν θεῶν κατελίμπανεν.

Ὅτι δὲ ἦρχεν ὁ Φινεὺς μέχρι τοῦ Βοσπόρου Θρακῶν πάντων τῶν ἐν τῇ Ἀσίᾳ, (εἰσὶ δὲ οὗτοι Βιθυνοί τε καὶ Παφλαγόνες) Φερεκύδης ἐν τῇ ϛ̄ φησί.

Πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις, ὅτι Φρίξῳ τὴν ὁδὸν ἐμήνυσεν· ἐν δὲ τῷ γ̄ καταλόγῳ, ἐπειδὴ τὸν μακρὸν χρόνον τῆς ὄψεως προέκρινεν.

Παῖδας δὲ αὐτοῦ φασὶ γενέσθαι Μαριανδυνὸν καὶ Θύνον· καὶ ἀπὸ μὲν Θύνου Θυνηΐδα, ἀπὸ δὲ Μαριανδυνοῦ Μαριανδυνίαν προσαγορευθῆναι λέγουσιν.

V. 185. *Ὀνείατα* δέ φησι τὰ σιτία καὶ βρώματα.

V. 191. *Μυδαλέην* δὲ, τὴν μυσαράν.

V. 192. *Μὴ καὶ λευκανίην.* Οἱ μὲν τὸ ἀπηρτημένον τοῦ γαργαρεῶνος ἀπέδωκαν· Ἀμερίας δὲ, τὸν λαιμὸν καὶ τὸν βρόγχον.

V. 195. *Ἐπήϊσεν.* Ἀντὶ τοῦ ᾔσθετο.

V. 196. *Θέσφατον* δὲ, τὸ εἱμαρμένον.

Ὧν οἱ ἰόντων. Ὧν ἐλθόντων, εἵμαρτο αὐτῷ ἐκ Διὸς ὄνασθαι τῶν ἐδεσμάτων, ὧν προσφέροιτο.

V. 197. *Ἀκήριον.* Ὡς ἄψυχον ὀνειράτιον. Διὰ τὸ καταλελεπτύνθαι ὑπὸ τῆς νόσου.

V. 198. *Ῥικνοῖς.* Ἀντὶ τοῦ ῥυσσοῖς.

V. 200. *Πίνῳ τέ οἱ.* Τῷ δὲ ῥύπῳ ὁ αὐσταλέος καὶ κατεσκληκὼς αὐτοῦ χρὼς ἐῤῥυπαίνετο.

V. 201. *Τὴν δὲ σὺν* συναπτέον τῷ *ἔεργον*, ἵν' ᾖ, οἱ ῥινοὶ δὲ μόνοι ξυνεῖχον τὰ ὀστᾶ αὐτοῦ.

Ῥινὸς δέ ἐστι τὸ δέρμα.

V. 203. *Κάρος.* Κάρος δὲ αὐτὸν κατέσχεν, τουτέστι σκότωσις.

V. 204. Τὴν δὲ γῆν διὰ τὴν σκοτοδινίαν ᾠήθη φέρεσθαι. Ὡσεὶ εἶπεν, ὅτι ᾠήθη τὴν γῆν ἐπικεῖσθαι ἑαυτῷ.

V. 205. *Ἀβληχρῷ.* Ἀσθενοποιῷ. Ἢ ἀσθενεῖ, κατὰ στέρησιν τοῦ βληχροῦ. Ὁ δὲ γοῦς, ὑπὸ τῆς λεπτῆς ἐκείνης διὰ τὴν σκότωσιν καταφορᾶς ἔκειτο ἄφωνος.

Κώματι δὲ, ὕπνῳ, ἐκλύσει. Καὶ ἔστι κατὰ συγκοπὴν ἀπὸ τοῦ κοίμημα, ὡς οἴμημα, οἶμα, καὶ δώμημα, δῶμα, καὶ τροπῇ τῆς οι διφθόγγου εἰς ω, κῶμα.

V. 206. *Περισταδόν.* Ἀντὶ τοῦ, περιέστησαν συναθροισθέντες ἐπ' αὐτόν.

V. 207. Καὶ *ἔταφον*, ἀντὶ τοῦ ἐξεπλάγησαν.

V. 207. sq. *Ἐξ ὑπάτοιο στήθεος.* Οἷον ἐξ ἄκρου καὶ ἐκ βάθους, διὰ τὴν ἀσθένειαν ἀναπνεῖν τε καὶ λαλεῖν οὐ δυνάμενος.

Τὸ δὲ *μόλις* οὐδὲν ἕτερον ἢ τὸ τῆς νόσου σφοδρὸν καὶ μέγα αἰνίττεται.

Διονύσιος δὲ ἐν τοῖς Ἀργοναύταις φησὶν ἀναιρεθῆναι τὸν Φινέα ὑπὸ Ἡρακλέους, ἰδόντος τοὺς παῖδας ἐν ἐρημίᾳ, καὶ μαθόντος, ὅτι ὑπὸ Φινέως ἦσαν ἐκβεβλη-

μένοι κατὰ διαβολὴν Σκυθικῆς γυναικὸς, ἣν γεγαμήκει ὁ Φινεὺς, παραιτησάμενος Κλεοπάτραν. Γεγόνει δὲ τοῦ Φινέως καὶ πρεσβύτης κατήγορος παρὰ τῷ Ἡρακλεῖ. Διόπερ Ἡρακλῆς ἀναιτίους εὑρὼν τοὺς παῖδας, κατήγαγεν εἰς τὴν πατρῴαν οἰκίαν. Φινέα δὲ ἀνιστάμενον, καὶ θελήσαντα καταποντίσαι τὸν ἕτερον τῶν παίδων, λακτίσας ὁ Ἡρακλῆς ἀπέκτεινεν.

Ἴστρος δέ φησι, τὸν Αἰήτην γνόντα, ὅτι τοὺς Φρίξου υἱοὺς εἴη σεσωκὼς ταῖς μαντείαις, καταράσασθαι αὐτῷ, τὸν δὲ Ἥλιον ἐπακούσαντα πηρῶσαι.

V. 212. Ὑμεῖς ἀτρεκέως. Λείπει τὸ ἐστί.

Ὁ δὲ ὁ λόγος, Ἔτι μοι νόος διὰ τῆς ἐμῆς μαντείας ἕκαστα οἶδεν. Διὰ δὲ τούτου οὐδὲν ἕτερον ἢ τὴν τέχνην ἐπαγγελλόμενος, λέληθεν ὡς αὐτοὺς εἰς συμμαχίαν παρακαλεῖ.

V. 213. Χάριν νύ τοι ὦ ἄνα. Ἀναφέρω σοι χάριν, καίπερ ὢν ἐν κακοῖς.

V. 214. Ὁ καὶ ἐναντιωματικὸς, ἀντὶ τοῦ καίπερ.

V. 215. Ὅτις ῥίγιστος. Ὅστις φοβερός ἐστι τοῖς ἁμαρτάνουσιν εἰς ἱκέτας.

Κυρίως δὲ πρὸς τὰ ὑποκείμενα, οὐ ξενίου Διὸς, ἀλλ' ἱκεσίου μέμνηται, ἐπεὶ καὶ αὐτὸς ὡς ἱκέτης ἐστὶ τῶν ἡρώων διὰ τὴν κατεπείγουσαν χρείαν.

V. 216. Φοίβου τ' ἀμφί. Τοῦτο ἢ ὡς μάντις, ἢ ὡς αἴτιον τοῦ πλοῦ τὸν θεὸν γεγονότα φασίν.

V. 218. Χραίσμετέ μοι. Βοηθεῖτέ μοι. Τὸ γὰρ χραισμεῖν Κλιτόριοι λέγουσι τὸ ἐπαρκεῖν. Ἀπὸ βαρυτόνου δὲ κέκλικε τοῦ χραίσμω, ὡς βαίνω, βαίνετε. Τὸ γὰρ περισπώμενον, χραισμεῖτε. Ἄλλως. Τὸ χραισμεῖν ἀντὶ τοῦ ἐπαινεῖν ἢ παραινεῖν λαμβάνουσι Κλιτόριοι· κοινῶς δὲ τὸ βοηθεῖν.

V. 221. Ἀμήρυτον. Γράφεται καὶ Ἀμήρυον· τοῦτ᾽ ἔστιν, ἀτέλεστον καὶ διηνεκῶς ἐπιμένον, ἀπέραντον. Ἢ τὸ τέλος μὴ ἔχον. Λέγει δὲ τὸ θάνατον μὴ ἔχον. Ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μηρυομένων ἐρίων.

V. 222. Πρὸς δ᾽ ἔτι πικρότατον. Πλέον τὸ πάθος ποιῆσαι βουλόμενος, ἀπ᾽ αὐτοῦ τοῦ πάθους ἤρξατο. Ὁ δὲ νοῦς, πρὸς δὲ τοῖς ἄλλοις κακοῖς πικρότατον ἄλλο ἐπ᾽ ἄλλῳ ἐπικρέμαται.

V. 224. Ἀφράστοιο δὲ, ἀνεπιγνώστου, ἀπροοράτου, ἀδήλου.

V. 225. Ἀλλά κε ῥεῖα. Οὕτω ταχέως ἐκ τοῦ ἀφανοῦς ἔρχονται.

V. 226. Κακῶς δὲ τὸ ἑὸν τέθεικεν, ἀντὶ τοῦ ἐμὸν εἰπών.

Μεμηλώς. Φροντίζων. Τοῦτο δὲ δαιμονίως εἶπεν· οὐ γὰρ ἔφη εὐωχούμενος, ἢ ἐσθίων, ἀλλὰ μόνον, φροντίδα τροφῆς ἔχων, ἵνα τὸ πάθος ἐπάρῃ.

V. 231. Ἐληλάμενον. Ἀντὶ τοῦ κεχαλκευμένον.

Ὁ ἀδάμας δὲ καὶ στερεοῦ σιδήρου εἶδος.

V. 232. Ἀλλά με πικρή. Ἡ πολυβλαβής. Τοῦτο δὲ πρὸς πλείονα ἔμφασιν· οἱονεὶ, οὐ μόνον φέρειν τὴν ὀδμὴν, ἀλλὰ καὶ ἑδραίως μένειν, διὰ τὸ τυφλώττειν καὶ διὰ τὸ δεῖσθαι πάντων τροφῆς.

V. 234. Τὰς μὲν θέσφατον. Τὰς Ἁρπυίας. Τῷ δὲ θέσφατον σφόδρα ἀναγκαίως ἐχρήσατο, ὥσπερ εἰ καὶ κατὰ ἀνάγκην ὑπὸ τῶν Βορεαδῶν ἀναιρεθῆναι.

V. 235. Οὐδ᾽ ὀθνεῖοι. Οὐκ ἀλλότριοι δὲ ὄντες μοι βοηθήσουσιν. Ὅτι δὲ ἡ συγγένεια προθυμοτέρους πάντας πρὸς τὰς εὐεργεσίας ποιεῖ, καὶ Εὐριπίδης φησίν·

Ἑλληνικόν τι τὸν ὁμόθεν τιμᾶν ἀεί.

V. 238. *Τῶν δὲ κασιγνήτην.* Κλεοπάτρα Βορέου καὶ Ὠριθυίας θυγάτηρ, ἀδελφὴ τῶν περὶ Ζήτην καὶ Κάλαϊν, ἣν ἔγημεν ὁ Φινεύς. Γεγόνασι δὲ αὐτῶν παῖδες Ὤρυιθος καὶ Κράμβις.

V. 241. *Περὶ δ' αυτε δύω.* Ἴσως διὰ τὴν συγγένειαν τοὺς Βορεάδας πλέον οἰκτείρειν φησίν.

V. 243. *Ἀσχαλόωντος.* Δυσφοροῦντος.

V. 244. *Στυγερὸν* σημαίνει μὲν καὶ τὸ μισητὸν καὶ τὸ ἐπίφοβον· ἐνταῦθα δὲ ἴσως τὸ ἐπίπονον.

V. 246. *Ἦ ῥα θεοὺς ὀλοῇσιν.* Ἆρα εἰς τοὺς θεοὺς ἠσέβησας καὶ ἥμαρτες, ἀφραδίᾳ ἢ κακοτροπίᾳ τινί. Γράφεται γὰρ καὶ *ἀτροπίῃσι*· τοῦτ' ἔστιν, ἐκτραπεὶς τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ· παρὰ τὴν ἀτραπὸν, ἥ ἐστιν ὁδός.

V. 247. Τὸ *δεδαὼς*, τὸ μαθεῖν μᾶλλον ἢ τὸ διδάσκειν σημαίνει. Διὰ γοῦν τὸ μαθεῖν σε (φησὶ) την μαντικὴν καὶ μαντεύεσθαι παρὰ τὴν τῶν θεῶν γνώμην, ἥμαρτες εἰς τοὺς θεούς.

V. 248. *Ἀτύζεται.* Ἀντὶ τοῦ φοβεῖται.

V. 249. *Εἰ δή.* Εἴπερ παρέθετο ἡμῖν ταύτην τὴν τιμὴν ἀπαραιτήτως τὸ δαιμόνιον, ὥστε σοὶ βοηθῆσαι. Ὁ δὲ λόγος καθ' ὑπερβατὸν, ἵν' ᾖ οὕτως, *ἄμμι γε μὴν νόος ἔνδον ἀτύζεται ἱεμένοισι χραισμεῖν· ἀρίζηλοι γὰρ ἐπιχθονίοισιν ἀθανάτων ἐνιπαὶ, εἰ δὴ πρόχνυ γέρας τόδε πάρθετο δαίμων.* Ἄλλως. Ἡμεῖς δὲ, εἰ ὄντως ἔχομεν παρὰ τοῦ δαιμονίου τὸ γέρας, δεδοίκαμεν, μὴ ἄρα χαλεπήνῃ τὸ θεῖον.

V. 253. *Θεοῖς ἀπὸ θυμοῦ ἔσεσθαι.* Ὅτι γὰρ τὸ τοῖς ἀσεβέσι βοηθεῖν εἰς τοὺς θεοὺς, ἔχει ἀσέβειαν, καὶ Εὐριπίδης φησίν·

Ὡς οὖν ἂν ἴδῃς, Μενέλεως, τοῖσιν θεοῖς

μὴ πράσσ᾽ ἐναντία, ὠφελεῖν τοῦτον θέλων.
Ἀσεβὴς γάρ τις εἶναι δοκεῖ παρ᾽ αὐτῷ ὁ Ὀρέστης.

V. 254. sq. Κενὰς γλήνας ἔφη τοὺς κενοὺς καὶ τυφλοὺς ὀφθαλμούς.

V. 257. Ἴστω Λητοῦς υἱός. Τὸν ὅρκον εἴληφε παρὰ τοῦ ποιητοῦ·

Οὐ μὰ γὰρ Ἀπόλλωνα Διῒ φίλον.

Ἐπέβαλλε γὰρ μάντει εἰς πίστιν ἄγοντι, τὸν προστάτην αὐτοῦ τῆς τέχνης ὀμνύειν θεόν.

V. 259. Καὶ τόδ᾽ ἐπ᾽ ὀφθαλμῶν ἀλαόν. Γράφεται καὶ ὀλοόν. Κατηγοροῦσι τινὲς τοῦ Ἀπολλωνίου, ὡς οὐκ εὖ τὸν ὅρκον τοῦτον εἰσαγηοχότος. Ὀμνύει γὰρ καθ᾽ ὧν κινδυνεῦσαι οὐ δύναται. Ῥητέον δὲ, ὅτι ἐμπαθέστερος γίνεται ὁ ὅρκος, ὅταν τὶς κατὰ τῆς ἰδίας ὀμνύῃ συμφορᾶς·

Οὐ μὰ Ζῆν᾽, Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο.

Καὶ Δημοσθένης· Μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους. Ἔθος οὖν ἀρχαῖον, πρῶτον θεοὺς ὀμνύναι, εἶτα ἐπάγειν καὶ τὰς ἰδίας συμφοράς.

Καὶ τόδ᾽ ἐπ᾽ ὀφθαλμῶν ἀλαὸν νέφος. Φησὶ τὸ τυφλὸν νέφος, καὶ ἡ ἐπικειμένη μοι ἀχλύς. Ὥστε τὸ ἀλαὸν οὐ παθητικῶς, ἀλλ᾽ ἐνεργητικῶς μόνον κεῖται. Οὐ γὰρ τὸ τυφλὸν, ἀλλὰ τὸ τύφλωσιν ἐμποιοῦν σημαίνει.

V. 260. Οἱ μηδ᾽ οἵδε. Οἱ μηδὲ οὗτοι ὡς ἐπιόρκῳ εὐμενεῖς εἴησαν. Παρὰ τὸ Ὁμηρικόν·

Εἰ δέ τι τῶνδ᾽ ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν.

V. 263. Κουρότεροι. Τὸ συγκριτικὸν ἀντὶ τοῦ ἀπολελυμένου κεῖται τὸ κοῦροι. Καὶ ἡμεῖς πολλάκις λέ-

γομεν, νεώτεροι εἰσὶν, ἀντὶ τοῦ νέοι. Καὶ παρὰ τῷ ποιητῇ·

Δεξιτερὴν ἕλε χεῖρα,

ἀντὶ τοῦ δεξιάν.

Πεπονήατο. Πρὸς τὴν τῶν νέων σπουδὴν καὶ ταχυτῆτα τὸ πεπονήατο· οἷον ἐνεργῶς ἐποίουν, ἡτοίμαζον.

V. 264. Ἐλώριον δὲ, ἀναίρεμα, ἅρπαγμα. Ἢ βρῶμα.

Λοίσθιον δὲ, ἔσχατον.

V. 265. Τὸ δὲ ἐπεσσυμένας πρὸς τὴν ἀθρόαν πτῆσιν τῶν Ἁρπυιῶν εἴρηται.

V. 267. Ἀδευκέες. Ἀπροσδόκητοι. Ἢ πικραί. Δεῦκος γὰρ τὸ γλυκύ.

V. 268. Ἀπρόφατοι. Ἀντὶ τοῦ ἀπροόρατοι, ἀπροφάσιστοι. Οἷον, ἄνευ προφάσεως καὶ ἐποχῆς καὶ ὑπερθέσεως· παρόσον τοῖς προφασιζομένοις παρέπεται ὑπέρθεσις.

V. 269. Κλαγγῇ μαιμώωσαι. Ὥρμων μετὰ κλαγγῆς ἐπιθυμοῦσαι τῆς τροφῆς. Τοῦτο δὲ ὡς ἐπὶ ὀρνέων ἁρπακτικῶν· καὶ γὰρ ἐκεῖνα πρὸ τῆς ἁρπαγῆς κλάζειν φιλεῖ.

V. 270. Καὶ τὸ μεσσηγὺς κατὰ ἀθρόαν ἐπίπτησιν κατὰ τάχος ἀναφέρεται.

V. 271. Καταβρώξασαι. Καταφαγοῦσαι. Ἀπὸ τοῦ βιβρώσκω κατενεχθέν.

Ὑπὲρ πόντοιο. Ὅτι διὰ τοῦ Αἰγαίου πόντου καὶ τοῦ Σικελικοῦ αὐτὰς ἐδίωκον, Φερεκύδης ἐν ἕκτῃ φησί.

V. 274. Φάσγαν' ἐπισχόμενοι. Τὰ ξίφη ἐν χερσὶν ἔχοντες, παραπλησίως ἔτρεχον ὀπίσω αὐτῶν.

V. 275. *Ἀτὰρ Διὸς οὐκ ἂν ἑπέσθην.* Οὐ γὰρ ἂν (φησὶ) χωρὶς τοῦ Διὸς ταῖς Ἁρπυίαις ἠκολούθησαν.

V. 276. *Ἐπεὶ Ζεφύροιο.* Ἤτοι ταχίονες τῶν πνοῶν τοῦ Λιβός. Ἢ, εἰς τὰς πνοὰς ἔτρεχον, ὡς Ἡσίοδος φησίν. Ἐπεὶ πάντοτε αἱ Ἅρπυιαι καὶ τὰς τοῦ Ζεφύρου ἀέλλας παρεπέτοντο, εἴποτε εἰς τὰ τοῦ Φινέως ἔρχοιντο, ἢ ἐκεῖθεν ὑπαναχωροῖεν. Ἄλλως. Αἱ τῶν ἀνέμων συστροφαὶ, πνοῶν εἰσὶ ταχύτεραι. Συμβαίνει μὲν γὰρ τὴν πνοὴν παρατετάσθαι καὶ βραδύνειν· ἡ δὲ ἄελλα ταχυτέρα καὶ κουφοτέρα ἐστὶ τῆς πνοῆς. Εὐλόγως δὲ τοῦ Ζεφύρου ἐμνήσθη. Ταχύτατος γάρ ἐστιν ὁ Ζέφυρος τῶν λοιπων ἀνέμων, ὡς καὶ Ὅμηρος·

Νῶϊ δὲ καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν,
τόν περ ἐλαφρότατον φασ᾽ ἔμμεναι.

V. 279. *Ἠὲ πρόκας.* Ζῶόν τι ὅμοιον ἐλάφῳ ὁ λεγόμενος νεβρός. Διονύσιος δέ φησιν ὁ Ἀθηναῖος ἐν ταῖς κυήσεσι τὰς ἐλάφους οὕτω λέγεσθαι πρόκας. Ὅθεν καὶ Προκόννησος, ἐπεὶ καὶ ἐν ταύτῃ πληθύουσιν ἔλαφοι. Οἱ δὲ Προχόννησον λέγουσιν εἰρῆσθαι ἀπὸ τῆς προχόου, ἣν ἔχουσα τοῖς Μιλησίοις ἀπήντησεν ἡ παρθένος, ὅτε τὴν ἀποικίαν ἐστέλλοντο. Οἱ δὲ Προχόννησον ἐτυμολογοῦσι, καθὸ πρότερον οὖσα νῆσος προσεχώσθη. Ὑπὸ τινῶν δὲ Προκόννησος καὶ Ἐλαφόνησος ἐκλήθη. Φιλητᾶς δέ φησι πρόκας λέγεσθαι τὰς ἐλάφους τὰς πρώτως τικτούσας, οἷον πρωτοτόκους.

V. 280. *Τυτθὸν δέ.* Μικρὸν δὲ ἄποθεν μετὰ διαστάσεως ἔτρεχον.

V. 281. *Μάτην ἀράβησαν.* Προσδοκῶντες ἀεὶ διὰ τὸ σφόδρα ἐγγὺς εἶναι, καὶ δάκνειν καὶ ἐπιψαύειν δοκεῖν.

V. 283. Ἐπέχραον ἤλιθα. Πολλάκις, φησὶν, ἐθελήσαντες αὐτὰς πλῆξαι, μάτην ἐπήνεγκαν τὰς χεῖρας.

V. 284. Ἀέκητι θεῶν. Τὸ παρὰ γνώμην τῶν θεῶν σημαίνει. Οὐ γὰρ ἦν μόρσιμον αὐτὰς ἀποθανεῖν.

V. 285. Πλωτῇσι. Πλωτάς φησι νήσους, ἤτοι πάσας ἐπιθετικῶς καλῶν, διὰ τὸ περικεχύσθαι καὶ κλείεσθαι ὑπὸ τῶν κυμάτων· ἢ ἰδίως ταύτας φησὶ πλωτὰς, ἐν αἷς ὑπὸ τῶν Βορεάδων κατελήφθησαν, κατὰ τὸ μυθολόγημα οὕτω κληθείσας. Σχεδὸν δὲ οἱ ποιηταὶ οὕτως αὐτὰς ὀνομάζουσιν. Εἰσὶ δὲ ἐν τῷ Σικελικῷ πελάγει. Ταύτας δὲ ὁ ποιητὴς Καλυδνὰς νήσους καλεῖ· εἰ καὶ Λυκόφρων ἄλλας νήσους καλεῖ Καλυδνάς.

V. 286. Εἰ μὴ ἄρ' ὠκέα Ἶρις. Ἄλλοι τὸν Ἑρμῆν φασίν. Ἀστείως δὲ ταύτῃ τῇ θεῷ τὸ κωλῦσαι τοὺς Βορεάδας δίδωσιν, ἤτοι ὅτι ἄγγελος, ἢ ὅτι τῶν Ἁρπυιῶν ἀδελφή.

V. 292. Ὀπιδνοτάτη. Τιμία, καὶ ἐπιστροφῆς ἀξία. Παρὰ τὴν ὄπιδα καὶ ἐπιστροφήν.

Ῥιγίστη δὲ, φρικτή. Διὰ τὸ τιμωρεῖσθαι τοὺς ἐπιόρκους.

V. 296. Στροφάδας φησὶ κεκλῆσθαι διὰ τὸ τοὺς Βορεάδας αὐτόθεν ὑποστρέψαι, στραφέντας εἰς τοὐπίσω· λαβὼν παρὰ Ἀντιμάχου. Οἱ δὲ Στροφάδας φασὶν αὐτὰς κεκλῆσθαι, καθὸ ἐπιστραφέντες αὐτόθι ηὔξαντο τῷ Διῒ καταλαβεῖν τὰς Ἁρπυίας. Κατὰ δὲ Ἡσίοδον καὶ Ἀντίμαχον καὶ Ἀπολλώνιον οὐ κτείνονται.

V. 297. Πάρος Πλωτὰς καλέοντες. Αἱ Πλωταὶ νῆσοι μετωνομάσθησαν Στροφάδες. Μέμνηται αὐτῶν καὶ Ἀντίμαχος ἐν τῇ Λυδῇ.

Ὅτι δὲ ηὔξαντο οἱ περὶ Ζήτην τῷ Διῒ στραφέντες, λέγει καὶ Ἡσίοδος·

Ἔνθ' οἵγ' εὐχέσθην Αἰνηΐῳ ὑψιμέδοντι.

Ἔστι γὰρ καὶ Αἶνος ὄρος τῆς Κεφαληνίας, ὅπου Αἰνησίου Διὸς ἱερόν ἐστιν· οὗ μνημονεύει καὶ Λέων ἐν Περίπλῳ, καὶ Δημοσθένης ἐν τοῖς λιμέσιν.

Ἀπολλώνιος μὲν οὖν τὴν ἀποστρέψασαν τοὺς περὶ Ζήτην Ἶριν λέγει, Ἡσίοδος δὲ Ἑρμῆν.

Αἱ δὲ Πλωταὶ νῆσοι κεῖνται ἐν τῷ Σικελικῷ πελάγει.

V. 299. Κευθμῶνα. Κοιλάδα τῆς Κρήτης κατέδυσαν. Τοῦτο δέ φησι καὶ Νεοπτόλεμος ὁ τὰ Ναυπακτικὰ ποιήσας. Καὶ Φερεκύδης ἐν ϛ φησὶν, εἰς τὸ σπέος αὐτὰς φυγεῖν τῆς Κρήτης, τὸ ὑπὸ τῷ λόφῳ τῷ Ἀργινοῦντι.

V. 302. Φοιβήσαντες. Τὸ ῥυπαρὸν σῶμα καθάραντες. Φοῖβον γὰρ, τὸ καθαρόν. Ὅθεν καὶ Φοῖβος ὁ Ἀπόλλων. Εἶπε γὰρ,

πίνῳ δέ οἱ αὐσταλέος χρώς.

Ἀπεσκληκὼς τῷ ῥύπῳ ἐτύγχανε. Φοιβήσαντες οὖν, λαμπρύναντες, καθάραντες.

Ἐπικριδόν. Ἀντὶ τοῦ, ἐπικρίναντες ἱερεῖον ἔθυσαν.

V. 306. Ἁρπαλέως. Ἀδηφαγῶν ἤσθιεν, ἴσον ὀνείρου ἡδονὴν ἔχων· μὴ πιστεύων μηδὲ νῦν, εἰ εὐωχεῖται, δι' ἃ πέπονθεν, ἀλλ' ὥσπερ ὀνείρατα εἶναι δοκῶν.

V. 308. Ἐγρήσσοντες. Ἐγρήσσειν, τὸ ἐγρηγορεῖν.

Μένον. Προσεδέχοντο.

V. 310. Πείρατα. Ἃ δεῖ αὐτοὺς διαπεράσαι. Ἢ τὰ τέλη.

Ἄνυσίν τε. Ἀστείως καὶ καιρίως ταύτῃ τῇ λέξει

ἐχρήσατο. Ἀνύσαι γὰρ κυρίως τὸ μετὰ καμάτου τι ποιῆσαι.

V. 311. Κλῦτέ νυν. Τὸν νῦν ἀντὶ τοῦ οὖν. Διὰ δὲ τοῦ οὖν, ὥσπερ ὀφειλομένην τὴν μαντείαν αὐτοῖς ἀποδίδωσι, λέγων, ἐπακούσατε οὖν ὥσπερ τὸ χρέος ἀπολαμβανοντες.

Οὐ μὲν πάντα. Τοῦτο δέ φησιν, ἵνα μὴ ὕστερον ὀχλησωσιν αὐτὸν τὸ ἀκριβὲς ζητοῦντες. Καὶ δαιμονίως τούτου τὴν αἰτιαν τοῖς θεοῖς περιάπτει, καὶ οὐχὶ ἑαυτῷ, λέγων, ὅσσα δ' ὄρωρε θεοῖς φίλον οὐκ ἐπικεύσω.

V. 313. Τὸ ἀασάμην ἀντὶ τοῦ ἐλυπήθην κεῖται. Ἀφραδίαν δέ φησι τὴν ἀβουλίαν. Καὶ τὴν αἰτίαν δὲ ἐπάγει, δι' ἣν ἐλύπησε τὸν Δία.

V. 314. Χρείων ἑξείης. Μαντευόμενος πᾶσιν ἐφεξῆς καὶ τελείως. Παρατιθησι δὲ αὐτοῦ τὰς συμφορὰς, ἤδη δηλῶν, ὡς οὐκ ἀκριβῶς αὐτοῖς οὐδὲ ἄκρως μαντεύεται, εἴγε διὰ τοῦτο ἐβλαβη.

V. 315. Ἐπιδευέα. Μὴ τέλεια, ἀλλ' ἔτι ἐνδέοντα λόγια τοῖς ἀνθρώποις ἐκφαινειν, ἵνα καὶ τοῦ θείου χρείαν ἔχωσι.

Θέσφατα δὲ μαντοσύνης τὰ θεσπίσματα τῆς μαντικῆς λέγει.

V. 318. Ξυνοχὴν δὲ ἁλὸς, ὅπου στενοῦται ἡ θάλασσα. Λέγει δὲ ἐπὶ τοῦ στόματος τοῦ Πόντου.

Πέτρας μέν. Περὶ τῶν Συμπληγάδων, ὅτι ἐπὶ τοῦ Ποντικοῦ στόματος ἦσαν, καὶ ὅτι Κυάνεαι ἐκαλοῦντο διὰ τὸ χρῶμα, ἐν τῷ πρώτῳ εἴρηται.

Ὁ δὲ διὰ πάντων καὶ ἐκ πρώτης ἀκοῆς δεδίσσεται τοὺς ἥρωας, διά τε τῆς ποιᾶς χροιᾶς τῶν πετρῶν, καὶ

διὰ τοῦ ἐν θαλάσσῃ στενοῦ, ὅπερ καὶ ἐπὶ γῆς ἄγαν κινδυνῶδες καὶ φοβερόν ἐστιν.

V. 319. *Διαμπερὲς ἐξαλέασθαι.* Τοῦτο φησὶν, ἐπεὶ οὐδεὶς οὐδέποτε ἀβλαβὴς τελέως ἐξέφυγεν, ὥσπερ οὐδὲ ἡ Ἀργὼ, καίτοι Ἥρας προνοουμένης.

V. 321. *Ἀλλὰ θαμά.* Διὰ πάντων τὸ δεινὸν τοῦ λόγου ἐπαίρει, διά τε τοῦ μὴ ἁπλῶς συνιέναι, ἀλλὰ συνεχῶς, καὶ διὰ τοῦ *ἐναντίαι.* Εἰ μὲν γὰρ ἐκ τῶν πλαγίων ἑαυταῖς συνήρχοντο, τάχα ἂν πως δυνατὸν ἦν ὑποτηρήσαντα τὴν σύνοδον ἐκφυγεῖν· εἰ δὲ ἐξ ἐναντίας συνέρχονται, ἄντικρυς καὶ ὡμολογημένος ὁ κίνδυνος. Δεινοποιεῖ δὲ, καὶ τῇ ἀκοῇ ἐκπλήττει τοὺς ἥρωας, ἐπεὶ μεγάλας ἔσχε παρ' αὐτῶν τὰς εὐεργεσίας, ἵνα καὶ αὐτὸς μεγάλα αὐτοῖς καὶ δεινὰ προμηνύων, ὥσπερ ἴσος ἀντευεργέτης ὀφθῇ.

V. 322. sq. *Κορθύεται βρασσόμενον.* Μετὰ ἤχου καὶ ταραχῆς αἰρόμενον ὑπ' αὐτῶν τὸ ὕδωρ διϊκνεῖται.

Στρηνὲς δέ ἐστι τὸ ἀνατεταμένον καὶ μέγα καὶ ὀξὺ καὶ διάτορον. Ὄνομα δὲ ἀντὶ ἐπιῤῥήματος κεῖται.

V. 324. *Τῷ νῦν.* Διὸ νῦν, ἐπεὶ μέγας καὶ πολὺς ὁ κίνδυνος.

Παραιφασίῃσι. Παραινέσεσιν, ὑποθήκαις.

Στυφελὴ δὲ ἡ ταραχώδης ἀκτή.

V. 326. *Πείρειν* δὲ ἐνταῦθα μὲν, τὸ διαπλέειν, καὶ διαπερᾷν, (ὡς τὸ,

— — ἀλγεινά τε κύματα πείρων)

ἀλλαχοῦ δὲ καὶ τὸ διατρυπᾷν,

Σπλάγχνα δ' ἄρ' ἐμπείραντες.

Αὐτάγρετον. Τὸ αὐθαίρετον δηλοῖ.

V. 327. Τὸ δὲ ἰθύνειν τὸ ὁρμᾶν σημαίνει. Οἱ δὲ ἰθύνειν γράφοντες ἁμαρτάνουσιν.

V. 328. Οἰωνῷ δὴ πρόσθε. Τὸ ἑξῆς, οἰωνῷ δὴ πρόσθε πελειάδι πειρήσεσθε ἐφιέμενοι.

Πελειὰς δὲ, εἶδος περιστερᾶς, ὡς καὶ Ἀριστοτέλης φησίν. Ὅτι δὲ ἐχρήσαντο περιστερᾷ πλεῖν μέλλοντες, καὶ Ἀσκληπιάδης ἐν Τραγῳδουμένοις φησίν.

Πρόσθε. Τὸ πρότερον δηλοῖ.

V. 329. Τὸ δὲ ἐφιέναι, ἐνταῦθα μὲν τὸ ἐνδιδόναι σημαίνει· ἔστι δ' ὅτε τὸ ἐντέλλεσθαι καὶ ἐπιτρέπειν. Παρὰ δὲ τοῖς ῥήτορσιν ἰδίως το ἀπὸ δικαστηρίου εἰς δικαστήριον μεταβαίνειν Καὶ ἔφεσις, ἡ μετάβασις. Λουκιανός· Ἡ δὲ ἔφεσις ἐπὶ τὸν Δία ἔσται. Ἐφίεμαι δὲ, τὸ ἐπιθυμῶ.

V. 330 Σόη. Ἀβλαβής.

Δίηται. Διωχθείη καὶ πετασθείη ἡ ὄρνις.

V. 332. Ἀλλ' εὖ καρτύναντες. Ἀσφαλισάμενοι, καρτύναντες. Δωρικὸν δέ ἐστι τὸ κατ' ἐναλλαγὴν στοιχείων διαλέγεσθαι· ὡς καὶ κραδίαν καὶ κάρτος λέγουσιν.

V. 333. Ἐπεὶ φάος οὔ νύ τι τόσσον. Ἡ διάνοια αὕτη γέγονε παρὰ τὴν ἐν ἄλλοις λεχθεῖσαν,

— — οὐδέ τι κῶας
αὐτόματον δώσει τις ἑλὼν θεὸς εὐξαμένοισιν.

V. 335. Ὀνήϊστον. Ὠφελιμώτερον ποιεῖτε καὶ πράττετε. Λέγει δὲ τὸ κωπηλατεῖν

V. 336. Πρὶν δ' οὔτι θεούς. Πρὸ δὲ τοῦ εἰς τὸν πορθμὸν ἐλθεῖν, οὐ κωλύω ὑμᾶς τοὺς θεοὺς ἐπικαλεῖσθαι βοηθούς.

V. 341. Ὦ μέλεοι. Τοῦτο φησὶν ὡς τῶν ἡρώων μέγα φρονούντων ἐπὶ τῇ κατασκευῇ τῆς Ἀργοῦς· διὰ δὲ

τὸ τῶν ξύλων μέγεθος, καὶ τὴν κατασκευάσασαν Ἀθηνᾶς τέχνην.

Τὸ δὲ πάρεξ βαρυτόνως, ἀντὶ τοῦ χωρίς. Συντάσσεται δὲ γενικῇ καὶ αἰτιατικῇ.

V. 342. Εἴ κέ με τρὶς τόσσον. Διὰ τοῦτο μάλιστα ὥσπερ ἐκ θεῶν τὸ κώλυμα της ὁδοῦ λέγων εἶναι, πείθει αὐτοὺς ἐπαναχωρεῖν, ἐάν τι φαῦλον συμβῇ τῇ ὄρνιθι. Τοῦτο δέ φησιν, ἐπεὶ τοὺς παρὰ τῶν ἀδίκων λόγους ὡς ἀπίστους καὶ ἀπληρώτους λαμβάνομεν, διὰ τὸ ἀσεβὲς αὐτῶν. Φησὶν οὖν, εἰ καὶ τρὶς τοσοῦτον ἢ καὶ πλέον ὑπονοεῖτέ με μισεῖσθαι ὑπὸ τῶν θεῶν, ὅσον ἀληθῶς μισοῦμαι, μὴ τολμήσητε χωρὶς οἰωνοῦ παρελθεῖν.

V. 343. Ἀνάρσιος. Σημαίνει καὶ τὸν ἐχθρόν. Οἵ γὰρ ἐχθροὶ ἀλλήλοις οὐ συμβαίνουσι.

V. 345. Καὶ τὰ μὲν ὥς κε. Καὶ ταῦτα μὲν οὕτως ἂν γένηται, καθως καὶ ἔστι καὶ εἵμαρται.

V. 346 Σύνδρομα. Τὴν συνοδον. Διὰ δὲ τούτου πάλιν αἰνίττεται μᾶλλον, ὡς οὐ ῥᾳδια αὐτοῖς οὐδὲ ἀκίνδυνος ἡ ἔξοδος.

V. 347. Αὐτίκα Βιθυνῶν. Μετὰ γὰρ τὴν Φινέως νῆσον, ἐπὶ τὰ δεξιὰ μέρη ἐστὶ Βιθυνία παρὰ τὸν Βόσπορον. Ταχέως γὰρ ἐκπλεύσαντι τὸ στόμα τοῦ Πόντου ἡ ἑτέρα πλευρὰ τῆς Βιθυνίας. Ἡ γὰρ Βιθυνία, ὡς προείρηται, περὶ τὸν Βόσπορον ἐστὶν ἐν δεξιᾷ, ἐν ἀριστερᾷ δὲ Σαλμυδησσὸς Θρακῶν ἀγρίων. Ῥῆβας δὲ ποταμὸς Βιθυνίας. Ὠνομάσθη δὲ Σαλμυδησσὸς ἀπὸ τοῦ συῤῥέοντος εἰς αὐτὸν ποταμοῦ.

V. 348. Πλώετε. Ἐχόμενοι τῆς Βιθυνίας πλεῖτε πρὸς τὰ δεξιὰ, φυλαττόμενοι τὰς ἐκ τοῦ ἀριστερου μέρους ῥηγμῖνας. Λέγοι δ᾽ ἂν τοῦ Σαλμυδησσοῦ, ἐπειδη

οἱ περὶ τὸν Σαλμυδησσὸν κατοικοῦντες Θρᾷκες, ἐπιτιθέμενοι διήρπαζον τοὺς παραπλέοντας.

V. 351. Κεῖθεν δ' οὐ μάλα. Ἐκ τῆς Θυνιάδος νήσου πλεύσαντες, οὐ πολὺ ἐκ τοῦ πέραν εἰς τὴν Μαριανδυνῶν ἥξετε γῆν. Τὴν δὲ Μαριανδυνῶν γῆν σὺν Γνησιόχῳ τῷ Μεγαρεῖ Βοιωτοὶ κατέσχον, ὡς Εὐφορίων ἱστορεῖ. Παραῤῥεῖ δὲ αὐτὴν ὁ Ἀχέρων ποταμός. Ἀχέρων δὲ παρὰ τὰ ἄχεα εἴρηται.

V. 353. Ἔνθα μὲν εἰς Ἀΐδαο. Κατὰ τὴν ἐν τῇ Μαριανδυνίᾳ ὡς ἐπὶ τὸν τοῦ ᾅδου ποταμὸν Ἀχέροντα καταβατή τις ἐστὶν ὁδός. Ὁ δὲ, ῥεῖθρα σφοδρὰ ἔχων, διατέμνει αὐτὴν τὴν Μαριανδυνίαν, κάτωθεν ῥέων, καὶ εἰς ἄκραν αὐτὴν ἔκ τινος φάραγγος ῥέων τὰ ῥεύματα εἰσβάλλει.

V. 354. Ἀκτή τε προβλής. Ἄκρα κατὰ τὴν Ἡράκλειαν, ἣν Ἀχερούσιον καλοῦσιν οἱ ἐγχώριοι.

Ἡρόδωρος δὲ καὶ Εὐφορίων ἐν τῷ ξενίῳ ἐκείνῃ φασὶ τὸν Κέρβερον ἀνῆχθαι ὑπὸ τοῦ Ἡρακλέους, καὶ ἐμέσαι χολήν· ἐξ ἧς φυῆναι τὸ καλούμενον ἀκόνιτον φάρμακον. Ἄνδρων δὲ ὁ Τήϊος ἐν τῷ Περίπλῳ φησὶν Ἀχέροντα τινὰ βασιλεῦσαι τῶν τόπων, οὗ θυγατέρα γενέσθαι Δαρδανίδα. Ταύτῃ δὲ Ἡρακλέα πλησιάσαντα ἐσχηκέναι υἱὸν Ποιμένα λεγόμενον. Ἀποθανόντων δὲ κατὰ τὸν αὐτὸν χρόνον τῆς τε Δαρδανίδος καὶ τοῦ υἱοῦ αὐτῇ Ποιμένος, τοὺς τόπους ἀπ' αὐτῶν κληθῆναι κατὰ τὴν Ἡράκλειαν Δαρδανίδα τε καὶ Ποιμένα.

V. 355. Δινήεις τ' Ἀχέρων. Καὶ ὁ Ἀχέρων ποταμὸς εἰς θάλασσαν ῥεῖ, διὰ μεγάλης φάραγγος τέμνων τὴν Ἀχερουσίαν ἄκραν. Παρὰ δὲ τὴν Ἡράκλειαν τὴν ἐν Μαριανδυνοῖς Ἀχεροντίς ἐστι καὶ στόμιον πηλῶδες.

V. 356. *Φάραγγος δὲ*, τῆς τοῦ ὄρους τραχύτητος, καὶ ὀρεινῆς κοιλάδος. Φάραγξ γὰρ ἡ ὀρεινὴ κοιλάς.

V. 357. *Ἀγχίμολον δ' ἐπὶ τῇ*. Ἐπὶ τῇ Μαριανδυνῶν χώρᾳ. Το δὲ ἑξῆς, ἐπὶ δὲ τῇ Μαριανδυνῶν γῇ ἐκ τοῦ σύνεγγυς παραπλέετε τὰ τῶν Παφλαγόνων ὄρη.

V. 358. *Τοῖσιν τ' Ἐνετήϊος*. Ἀπὸ Ἐνέτης, πόλεως Παφλαγόνων. Ὅμηρος·

Ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων.

Τούτους δὲ Καύκωνας ἐκάλουν πρὸ τῶν Τρωϊκῶν.

V. 359. *Τὸν δὲ Πέλοπα* Παφλαγόνα τὸ γένος εἶπεν. Ἄλλοι δὲ Λυδὸν αὐτὸν ἱστοροῦσιν. Ὁ δὲ Εὐφορίων ἀμφοτέραις ταῖς δοξαις συντίθεται.

Τὸ *καίπερ* περισσὸν ἔχει τὸν περ. Ἀπὸ τοῦ Πέλοπος γὰρ ἐλέγοντο κατάγεσθαι οἱ Παφλαγόνες.

V. 360. *Ἔστι δέ τις ἄκρη*. Ὅτι ἡ Κάραμβις ἄκρα ὑψηλή τε καὶ καταντικρὺ τῆς Παφλαγονίας, καὶ εἰς τὸ πέλαγος τείνει πρὸς ἄρκτον, μνημονεύει καὶ Εὔφορος *) ἐν δ. Ὁ δὲ νοῦς, ἔστι δέ τις ἐξοχὴ καὶ ἄκρα ὑψηλὴ εἰς τὸ πέλαγος τείνουσα, κατεναντίον τῆς Ἑλικης ἄρκτου κειμένη· ὑφ' ἧς καὶ αἱ τοῦ Βορέου ἄελλαι περισχίζονται, τοῦτ' ἔστιν αἱ πνοαί. Ἔστι δὲ ὑπερβατὸν, καὶ ἡ ὑπὲρ ἀντὶ τῆς ὑπό· ὑφ' ἧς καὶ αἱ τοῦ Βορέου

---

*) *Ἔφορος* librarii centies et tanquam datâ operâ corruperunt in *Εὔφορος*. Exempla huius corruptionis habent Vossius in Aristarcho l. I. p. 46. (a. 1662.) Holstenius in Miscell. Observat. Crit. Nov. T. II. p. 118. Wesselingius ad Diod. Sic. Exc. T. II. p. 553, 50. Siebelisius Not. ad Hellen. p. 339. et Tzschuckius ad Strabon. T. IV. p. 66. 133. 242. et 245. Pariter confusa adiectiva *εὔφορος* et *ἔφορος*. V. Valckenar. Opusc. T. II. p. 100. Photius Lex. c. 387. *Σκοπὸς, κατάσκοπός τις καὶ εὔφορος*. Schleusnerus ad h. l. Cur. Noviss. c. 409.: „Loco *εὔφορος* scribere mallem *ἔφορος*.“ Similiter peccavit scriba Scholiorum Parisinorum ad Apollon. Rhod. I. v. 644. p. 51. ubi vicissim *Ἔφορβον* mutandum in *Εὔφορβον*.

πνοαὶ σχίζονται. Ἴσως δὲ βέλτιον συνάπτειν οἰκείως· καὶ αἱ πνοαὶ τοῦ Βορέου σχίζονται, ἤτοι διαλύονται, ὑπὲρ τῆς Καραμβίδος, ἀντὶ τοῦ ἐπάνω. Εἰ γὰρ ἐν ταῖς κορυφαῖς τῶν ὑψηλῶν ὀρέων νηνεμία ἐστὶν, ὡς οἱ φυσιολόγοι ἀξιοῦσι, πολλῷ μᾶλλον ὑπὲρ ἐκείνας. Δι' ὃ καὶ ἐπάγει, οὕτως ἀνὰ τὸ πέλαγος τετραμμένη τῷ αἰθέρι κύρει καὶ προσπελάζει.

V. 366. Ἄλυος ποταμοῖο. Ἄλυς ποταμὸς Παφλαγονίας, ὃν φυλάττεσθαι ὁ Πύθιος τῷ Λυδῶν βασιλεῖ Κροίσῳ εἶπεν. Ἔστι δὲ μεταξὺ Σύρων τῶν ἐν τῷ Πόντῳ καὶ Παφλαγόνων, εἰς τὸν Πόντον ἐκδιδοὺς, περὶ Σινώπην πόλιν.

V. 367. Τὸ δὲ ἐρεύγεσθαι τὸ μετὰ ἤχου ῥέειν σημαίνει.

V. 369. Ὑπείροχος. Ὑψηλὸς καὶ μέγας κόλπος.

V. 370. Ἐξανέχει δὲ τῆς γῆς, ἀντὶ τοῦ ἔκκειται εἰς τὴν θάλασσαν.

Ἔοικε δὲ ὑπὸ ὀρῶν περιέχεσθαι τὸν κόλπον· καὶ διὰ τοῦτο ὑπείροχον ἐξανέχειν ἔφη τὸν ἀγκῶνα.

Μετὰ τόνδ' ἀγχίῤῥοος. Μετὰ τὸν Ἄλυν πλησίον ῥεῖ ὁ Ἶρις, ἐλάττων ὢν τοῦ Ἄλυος κατὰ τὸ μέγεθος.

Κεῖθεν δέ. Ἐκεῖθεν προελθοῦσιν, ἀκτήν τινα εἶναι φησὶν ἐκκειμένην εἰς θάλασσαν. Κάμψαντι δὲ αὐτὴν, κόλπον εἶναι· εἰς ὃν καταφέρεσθαι φησὶ τὸν Θερμώδοντα ὑπὸ τὴν Θεμισκύρειον ἄκραν, ἔνθα ᾤκησαν αἱ Ἀμαζόνες.

V. 372. Ἀπὸ τοῦ ἴημι δὲ, τὸ πορεύομαι, εἶμαι παρακείμενος.

Ἐπισημήνασθαι δ' ἄξιον, ὅτι εἰπὼν στόμα Θερμώδοντος, ἐπήνεγκε μετοχὴν ἀρσενικὴν τὴν διαει-

μένος· δεικνὺς, ὅτι ταυτόν ἐστι στόμα Θερμώδοντος καὶ Θερμώδων.

Μύρεται. Ἀντὶ τοῦ ἐκρεῖ. Συναπτέον δὲ, αὐτῷ τὸ στόμα Θερμώδοντος κόλπῳ μύρεται.

Διαειμένος δὲ, κατὰ ἀντιστροφὴν διαφερόμενος, μεθ' ὁρμῆς ῥέων. Οἷον, διὰ πολλῆς γῆς ῥέων ὁ ποταμὸς ὁ Θερμώδων κατὰ τὴν Θεμισκύρειον ἄκραν εἰς κόλπον εὐδιεινὸν ἐκρέει.

V. 373. Ἔνθα δὲ Δοίαντος. Δοίας καὶ Ἄλκμων, ἀδελφοί. Τίνος δὲ πατρὸς, οὐ φέρεται, ὥς φησι Φερεκύδης.

Πλησίον δὲ (φησὶ) τοῦ Δοίαντος πεδίου εἰσὶ τρεῖς πόλεις, ἔνθα κατῴκουν αἱ Ἀμαζόνες, Λυκαστία, Θεμισκύρα, καὶ Χαλυβία.

V. 375. Οἱ δὲ Χάλυβες, ἔθνος Σκυθικὸν, μετὰ τὸν Θερμώδοντα· οἳ μέταλλα σιδήρου εὑρόντες, μοχθοῦσι περὶ τὴν ἐργασίαν. Ἐκλήθησαν δὲ Χάλυβες ἀπὸ Χάλυβος τοῦ Ἄρεως υἱοῦ. Μέμνηται αὐτῶν καὶ Καλλίμαχος·

— — Χαλύβων ὡς ἀπόλοιτο γένος,
γειόθεν ἀντέλλοντα κακὸν φυτὸν οἵ μιν ἔφηναν.

Σμυγερώτατοι. Ἤγουν ἐπιπονέστατοι.

V. 376. Μέλονται. Ἀντὶ τοῦ φροντίδα ποιοῦνται.

V. 378. Γενηταίην ὑπὲρ ἄκρην. Γενηταία ἄκρα κυρίως οὕτω λεγομένη ἀπὸ Γένητος ποταμοῦ, ἔνθα Διὸς ξενίου ἱερόν ἐστι.

Καὶ Τιβαρηνοὶ ἔθνος Σκυθικὸν, πλησιόχωροι Χαλύβων.

V. 379. Μοσσύνοικοι δὲ, ἔθνος καὶ αὐτὸ ἀπὸ τῆς διαγωγῆς τὴν προσηγορίαν ἐσχηκός. Μόσσυνοι γὰρ οἱ ξύλινοι οἶκοι λέγονται, οἷς καὶ αὐτοὶ ἐχρῶντο.

Ὅπερ καὶ αὐτὸς αἰνιττόμενος, ὑλήεσσαν γῆν αὐτοὺς οἰκεῖν ἔφη. Ἀπὸ γοῦν τοῦ μόσσυνος (ὃ λέγεται ὁ ξύλινος οἶκος) ἐκλήθησαν Μοσσύνοικοι.

V. 382. Λισσῇ ἐπικέλσετε νήσῳ. Τῇ τραχείᾳ καὶ ὑψηλῇ. Ἡ δὲ νῆσος καλεῖται Ἀρητιάς. Ἐν δὲ ταύτῃ τῇ νήσῳ αἱ Στυμφαλίδες ἦσαν ὄρνιθες, ἀπὸ Στυμφάλου τῆς Ἀρκαδίας πόλεως ὑπὸ Ἡρακλέους διωχθεῖσαι. Ἐν ταύτῃ οὖν τῇ νήσῳ (φησὶ) παντοίᾳ σπουδῇ κατάχθητε. Ἐκεῖ γὰρ ὑμῖν ἐπιφανήσεταί τις ὠφέλεια.

Λισσὴ δὲ, ἀντὶ τοῦ ὁμαλή. Ἀμερίας δὲ ἐν Γλώσσαις λισσὸν τὸ ὑψηλὸν ἀποδίδωσιν.

Ὅτι δὲ ἡ νῆσος αὕτη ὄρνιθας ἔχει τοξευούσας τοῖς πτεροῖς ὡς βέλεσιν, ἱστορεῖ καὶ Εὐριπίδης ἐν Φρίξῳ.

V. 387. Ὀτρηρή τε καὶ Ἀντιόπη. Ἀμαζόνων αὗται βασίλειαι.

Ποίαν δὲ στρατείαν, οὐδεὶς ἐδήλωσεν.

Ἐφέπουσι δ' ἐνταῦθα ἀντὶ τοῦ διατρίβουσι.*)

V. 388. Ἔνθα γὰρ ὔμμιν. Ἐνταῦθα γὰρ ὑμῖν ὄφελος ἐν τῇ Ἀρητιάδι νήσῳ ἐκ τῆς θαλάσσης ἥξει ἄῤῥητον· δηλονότι διὰ τὸ ναυάγιον. Λέγει δὲ τοὺς Φρίξου καὶ Χαλκιόπης τῆς Αἰήτου θυγατρὸς παῖδας, οἵτινες ἐπὶ τὴν Ἑλλάδα στελλόμενοι διὰ τὸν Ἀθάμαντος κλῆρον, ἐν ταύτῃ τῇ νήσῳ ναυαγήσαντες, ἔτυχον ἐπιμελείας παρὰ τῶν ἡρώων, καὶ ὁδηγοὶ αὐτοῖς εἰς τὴν Σκυθίαν ἐγένοντο. Εἰσὶ δὲ οὗτοι, Ἄργος, Μελας, Κυτίσωρος, Φρόντις.

Ἀδευκέος. Τῆς ἀπροσδοκήτου. Ἀντὶ τοῦ, τῆς παρ' ἐλπίδας ὑμῖν φανείσης.

Ἀδευκῆ δέ φησι τὴν θάλασσαν, ἤγουν πικράν. Δεῦκος γὰρ τὸ γλυκύ.

---

*) Ad v. 384.

V. 389. *Τῷ κέν τε φίλα φρονέων.* Διὸ ἐπεὶ ὠφελήσει ὑμᾶς, εὐνοῶν ὑμῖν κελεύω προσχεῖν τῇ νήσῳ. Ἢ κατέχειν, ἤγουν μνημονεύειν αὐτῶν.

V. 390. Τὰ δὲ ἑξῆς προστίθησιν, ἐπεὶ ἔλαθεν ἑαυτὸν τὰ πάντα μέλλων λέγειν, τίνες τε εἴησαν οἱ συντευξόμενοι, καὶ ὅπερ αὐτοῖς ποιήσουσιν· καὶ παρεκβαίνων τὰ προαγγελθέντα αὐτῷ. Ἔφη γὰρ τὰ πάντα ἀκριβῶς μὴ εἰπεῖν, διὰ τὸ μὴ προσκροῦσαι τοῖς θεοῖς πάλιν. Ἑαυτοῦ δ' ἐπιλαμβάνεται· καὶ τὰ μὲν κατὰ μέρος συμβησόμενα οὐ λέγει, τὰ δὲ ἑξῆς τῶν Μοσυνοίκων ἔθνη καταλέγει.

V. 392. *Νήσου δὲ προτέρωσε.* Μετὰ δὲ τὴν νῆσον καὶ τὴν περαίαν γῆν οἰκοῦσιν οἱ *Φίλυρες*. Ὑπεράνω δὲ τῶν Φιλύρων καὶ ἔμπροσθεν εἰσὶν οἱ *Μάκρωνες*, ἔθνος Σκυθικὸν, ἄποικον τῶν Εὐβοέων. Ἡ γὰρ Εὔβοια καὶ Μάκρις ἐκαλεῖτο διὰ τὴν θέσιν.

Νήσου δὲ προτέρωσε. Τῆς δὲ νήσου τῆς Ἀρητιάδος ἔμπροσθεν καὶ τῆς κατὰ τὸ ἐναντίον γῆς οἰκοῦσι Φίλυρες· οἳ ἐκλήθησαν ἀπὸ Φιλύρας τῆς Ὠκεανοῦ θυγατρὸς, γαμετῆς δὲ Κρόνου, μητρὸς δὲ Χείρωνος, ἐνταῦθα διατριψάσης. Ἢ οὕτως, μετὰ δὲ τὴν νῆσον τὴν περαίαν γῆν νέμονται Φίλυρες.

V. 394. *Περιώσια.* Φησὶ δὲ τοῦτο διὰ τὸ εἰς πολλὴν χώραν διεσπάρθαι αὐτούς.

V. 395. *Ἑξείης δὲ Σάπειρες.* Ἐπὶ τοῖς Βεχείροις. *Σάπειρες* δὲ ἔθνος Σκυθικὸν, οὕτω κληθὲν διὰ τὸ πολλὴν παρ' αὐτοῖς γίνεσθαι τὴν Σαπειρίτην λίθον.

V. 396. *Ὀμώλακες.* Ὅμουροι. Ὦλακα γὰρ τὴν αὔλακα, Δωρικῶς. Καὶ Ὅμηρος·

Τεμένων κατὰ ὦλκα.

V. 397. *Ἀλλ' ἐνὶ νηΐ.* Ἀλλὰ *πείρετε* καὶ πλεῖτε (φησὶν), ἕως ἂν εἰς τὸ μυχώτατον τῆς θαλάσσης ἀφίκησθε. Ἐνταῦθα γὰρ καὶ ἡ Σκυθία τελευτᾷ. Καὶ τὴν μὲν Σκυθίαν διαδέχεται ἡ Σαρματία, τὸν δὲ Εὔξεινον ἡ Μαιῶτις. Περιοικοῦσι δὲ τὴν Μαιῶτιν οἱ Σαρμάται. Ὑπὲρ δὲ τοὺς Σαρμάτας ὁ Σαρματικός ἐστι καὶ ἀρκτικὸς Ὠκεανός.

V. 399. *Κυταΐδος.* Κολχικῆς. Κύταια γὰρ, πόλις Κολχίδος. Ἔστι δὲ καὶ ἑτέρα πόλις τῆς Εὐρώπης Κύταια, ὁμώνυμος τῇ Σκυθικῇ· ἀφ' ἧς φασὶ καὶ τὴν Κολχικὴν ἐσχηκέναι τὴν ἀρχήν. Ἀπολλώνιος δὲ Κυταΐδα τὴν πόλιν ἐνταῦθα φησίν.

Ἀμαραντῶν δὲ περισπωμένως, ὥς φησιν Ἡρωδιανὸς ἐν τῇ καθόλου. Ἔστι δὲ Ἀμαραντὸς πόλις ἐν Πόντῳ. Ὡς δὲ αὐτός φησιν, ὄρη τῆς Κολχίδος, ἐξ ὧν ὁ Φᾶσις ποταμὸς καταφέρεται.

Ἔστιν οὖν καὶ ἑτέρα Κύταια πόλις τῆς Εὐρώπης κατὰ τὸν εἴσπλουν τοῦ Εὐξείνου· ἐκεῖθεν δὲ τὴν ἀρχὴν λαμβάνουσι. Λέγεται δὲ οὕτως ὀνομαστικῶς. Κυταΐδα γὰρ τὴν Μήδειαν προσαγορεύουσιν. Ἀμαραντὸς δὲ, πόλις ἐν Πόντῳ. Ἢ ὄρη τῆς Κολχίδος, ὥς φησιν Ἡρωδιανός· ὅθεν καταφέρεται ὁ Φᾶσις. Ὅπερ ἀγνοήσας Ἡγήστρατος ὁ Ἐφέσιος, Ἀμαραντίους ἀπέδωκε λιμένας τοῦ Φάσιδος. διὰ δὲ τὸ εὐθαλεῖς εἶναι, καὶ ἀμαράντους. Ὅτι δὲ Ἀμάραντα ὄρη ἐστὶ Κόλχων, ἱστορεῖ Κτησίας ἐν β. Ὁ δὲ Φᾶσις φέρεται μὲν ἀπὸ τῶν Ἀρμενίας ὀρῶν, ὥς φησιν Ἐρατοσθένης· ἐκδίδωσι δὲ εἰς Κόλχους κατὰ θάλασσαν.

V. 400. *Κίρκαιον* δὲ τόπος ἐστὶ τῆς Κολχίδος, ἀπὸ Κίρκης τῆς Αἰήτου ἀδελφῆς, ἢ πεδίον. Οὐ δύναται δὲ ἀπὸ τῆς ἑτέρας Κίρκης ὠνομάσθαι. Ἐγένοντο

γὰρ Κίρκαι δύο, περὶ ὧν ἐν τοῖς ἑξῆς ἐροῦμεν. Τίμαιος δέ φησι, πεδίον ἐν Κόλχοις εἶναι Κίρκαιον.

V. 404. Ἄλσος τε σκιόειν. Ὁ δὲ Ἑλλάνικος ἐν τῷ ἱερῷ τοῦ Διὸς φησὶ κεῖσθαι τὸ δέρας.

Τοῦ δὲ ἐν Κόλχοις λεγομένου Ἀργείου πεδίου καὶ τοῦ αὐτόθι Ἄρεος τεμένους μέμνηνται πολλοί. Φασὶ δὲ, ὅτι τὸ χρυσοῦν δέρας ἀνάκειται ἐν τῷ τοῦ Ἄρεος ἄλσει ἐπί τινος φηγοῦ, φυλασσόμενον ὑπὸ δράκοντος τεραστίου τὸ μέγεθος.

Τὸ δὲ σκιόειν ἀντὶ τοῦ σκιόεν, κατὰ Ἰωνικὴν πρόσθεσιν τοῦ ι.

V. 409. Ἀφασίᾳ βεβολημένοι. Ἀντὶ τοῦ ὑπὸ ἀφασίας ἐκπεπληγμένοι.

V. 415. Ἀσπαστῶς κεν. Ἡδέως ἂν παρὰ σοῦ μάθοιμι, εἰ καὶ ὑποστρέψαντες ἐκ Κόλχων ἐκφευξόμεθα. Δύο δὲ μάλιστα ἐφίεται ὁ Ἰάσων μαθεῖν παρὰ τοῦ Φινέως· ἓν μὲν, πῶς ἂν αὖθις κατὰ τὴν ὑποστροφὴν διαπλεύσει τὰς Συμπληγάδας· δεύτερον, πῶς μέχρι τῆς Κολχίδος ἀφίκοιτο, διαπλεύσας τοσαύτην θάλασσαν. Τὸ δὲ δυσχερὲς τοῦ πλοῦ ἐνέφηνε διὰ τὸ τὴν Κολχίδα κεῖσθαι ἐπὶ τὰ ἔσχατα τῆς γῆς καὶ τοῦ Πόντου.

V. 417. Αἶα δέ. Ἡ Αἶα, πόλις τῆς Κολχίδος. Αὕτη ἐπ' ἐσχάτοις κεῖται τῆς οἰκουμένης. Ἄλλοι δὲ τὴν γῆν τῆς Κολχίδος ἰδίως αἶαν καλεῖσθαι λέγουσιν.

V. 421. Ἐπεὶ δαίμων. Ἐκ δὲ τῆς Αἴας (φησὶν), τουτέστιν ἐκ τῶν Κόλχων, θεὸς ὑμῖν καθηγήσεται, καὶ εἰς τὴν Αἶαν πλέουσι πολλοὶ ἔσονται καθόλου πομποί. Ἄλλος ὑμῖν, φησὶ, γενήσεται πλοῦς ἐκ τῆς Αἴας. Τοῦτο δὲ λέγει, παρόσον οὐ διὰ τῶν Συμπληγάδων ὑποστρέφουσιν.

V. 422. Μετὰ δ' Αἶαν. Ἡ μετὰ ἀντὶ τῆς πρός.

V. 423. *Ἀλλὰ φίλοι φράζεσθε.* Διὰ φροντίδος ἔχετε (φησὶ) τὴν ἐκ τῆς Ἀφροδίτης δολίαν βοήθειαν. Αἰνίττεται δὲ τὸν ἔρωτα τῆς Μηδείας.

V. 431. sq. *Τὸ δὲ, ὅσσον ἄπωθεν ἤλασαν,* ἀντὶ τοῦ, ὅσον μακρὸν ἐπορεύθησαν.

V. 434. *Δικταίης.* Δικταῖον ὄρος ἐν Κρήτῃ.

Ἐρίπναι δὲ, κατὰ μέν τινας, τὰ ἀποθραύσματα τῶν ὀρῶν· κατὰ δὲ τοὺς γλωσσογράφους, πάντα τὰ ὄρη ἐρίπναι καλοῦνται.

V. 438. *Ἦ ἄρα δή τις.* Τὸ ἦ ἄρα, ἠθικῶς, ἀντὶ τοῦ, ὡς ἔοικε. Καὶ ἐν Ὀδυσσείᾳ·

— — οὐκ ἄρα σοί γ' ἐπὶ εἴδει καὶ φρένες ἦσαν.

Καὶ Ἡσίοδος·

Οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος.

οὐκ ἦν, ὡς ἔοικε, μία ἔρις.

V. 441. *Εἰ δὲ καὶ ὀφθαλμοῖσιν.* Εἰ δὲ καὶ ἀναβλέψαι θεῶν τις σὲ ποιήσειεν, χαρείην ἂν τόσον, ὡς εἰ σωθείην εἰς τὴν πατρίδα.

V. 445. *Ὑποσμύχονται.* Ὅπερ ἐστὶν, ὑπὸ βάθους ἠμαύρωνται. Ἔστι δὲ *ὑποσμύχειν* καὶ τὸ ἠρέμα ὑποκαίειν. Οἱονεὶ ὑποκέκαυνται.

V. 451. *Οἳ καὶ πρόσθεν.* Οἵτινες συνεχῶς ἤρχοντο πρὸς αὐτόν. Τὸ ἑξῆς, φέροντες μέρος τῆς ἰδίας τροφῆς.

V. 456. *Σὺν τοῖσιν δ' ἵκανε Παραίβιος.* Ὁ μὲν Ἀπολλώνιος τὸν *Παραίβιον* φίλον Φινέως εἶναι φησίν· οἱ δὲ ἄλλοι δοῦλον εἶναι πιστόν.

Οἱ δὲ περὶ τὸν Παραίβιον (φησὶν) ἐχάρησαν, ἰδόντες τοὺς ἥρωας. Αὐτὸς γὰρ ὁ Φινεὺς *ὑπεμυθήσατο* καὶ προεῖπε τῷ Παραιβίῳ τὴν τῶν ἡρώων ἔλευσιν. Συν-

ἅπτειν γὰρ δεῖ τὴν ὑπὸ τῷ ἐμυθήσατο, λαμβάνειν δὲ ἀντὶ τῆς πρό· ὥσπερ καὶ τὸ ὑπειπὼν ἀντὶ προειπών.

V. 460. Θυνίδι γαίῃ. Τὴν περὶ τὸν Βόσπορον χώραν πάλιν Θυνίδα εἶπεν, ἣν κατῴκει Φινεύς· ὡς εἶναι μέρος τι Θράκης, ὃ καλεῖται Θυνίς.

V. 470. Μόρον δὲ ἐνταῦθα, οὐ τὸν θάνατον, ἀλλ' ἢ τὴν δυστυχίαν ἔφη, ἢ τὴν ποιὰν τῆς τύχης διάθεσιν.

V. 471. Εὖτε γὰρ οὖν. Ὁ Παραίβιος (φησὶ) πατρικὴν ἁμαρτίαν ἀποτιννὺς, ἀεὶ ἐν ἀπορίᾳ ἦν βίου, καὶ εἰ πλεῖστα μοχθήσειεν.

V. 473. Χρησμοσύνῃ. Ἀπορίᾳ, πενίᾳ, ἐνδείᾳ.

V. 477. Ἀμαδρυάδος νύμφης. Ἀμαδρυάδας νύμφας Μνησίμαχος φησὶ, διὰ τὸ ἅμα ταῖς δρυσὶ γεννᾶσθαι. Ἢ ἐπεὶ δοκοῦσιν ἅμα ταῖς δρυσὶ φθείρεσθαι, νύμφαι Ἀμαδρυάδες λέγονται.

Χάρων δὲ ὁ Λαμψακηνὸς ἱστορεῖ, ὡς ἄρα Ῥοῖκος θεασάμενος δρῦν ὅσον οὔπω μέλλουσαν ἐπὶ γῆς καταφέρεσθαι, προστάξαι τοῖς παισὶν ὑποστηρίξαι ταύτην. Ἡ δὲ μέλλουσα συμφθείρεσθαι τῇ δρυῒ νύμφη, ἐπιστᾶσα τῷ Ῥοίκῳ, χάριν μὲν ἔφασκεν εἰδέναι ὑπὲρ τῆς σωτηρίας, ἐπέτρεπεν δὲ αἰτήσασθαι ὅ, τι βούλοιτο. Ὡς δὲ ἐκεῖνός ἠξίου συγγενέσθαι αὐτῇ, ὑπέσχετο δουναι τοῦτο· φυλάξασθαι μέντοιγε ἑτέρας γυναικὸς ὁμιλίαν παρήγγειλεν· ἔσεσθαι δὲ μεταξὺ αὐτῶν ἄγγελον μέλισσαν. Και ποτε πεσσεύοντος αὐτοῦ, παρίστατο ἡ μέλισσα. Πικρότερον δὲ ἀποφθεγξάμενος, εἰς ὀργὴν ἔτρεψε τὴν νύμφην, ὥστε πηρωθῆναι αὐτόν.

Καὶ Πίνδαρος δέ φησι περὶ νυμφῶν ποιούμενος τὸν λόγον· Ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῦσα.

Ὁ οὖν τοῦ Παραιβίου πατὴρ ἐκκόπτων δρῦν, παρεκαλεῖτο ὑπὸ νύμφης μὴ τεμεῖν αὐτήν· συγγεγεννημένῃ

οῦσῃ γὰρ, ἐὰν ἐκκοπῇ, παραιτίαν αὐτῇ ἔσεσθαι θανάτου. Ἀπιθήσαντος δὲ αὐτοῦ, νεμεσῆσαι τὸ δαιμόνιον αὐτῷ τε καὶ τοῖς ἐγγόνοις, καὶ κακῶν γενέσθαι παραίτιον.

V. 483. Ἔγωγε μὲν, εὗτ' ἀφίκανεν. Πρὸς ἐμὲ ὅτε ἦλθε (φησὶν) ὁ Παραίβιος μαντευσόμενος, καὶ τὴν ἀτυχίαν ἀνεκοινώσατο, ἔγνων αὐτὸν ὑπὲρ τῆς τοῦ πατρὸς ἁμαρτίας δίκην ἀποτιννύντα.

V. 485. Λωφήϊα ῥέξαι. Ἐφ' οἷς λωφήσει καὶ παύσεται ἡ τῆς νύμφης ὀργή· τουτέστι καταπαυστικὰ τῆς ὀργῆς.

Λωφήϊα, ἐξιλαστήρια, ἐφ' οἷς λωφήσει καὶ παύσεται κακούμενος. Λωφῆσαι δὲ κυρίως ἐπὶ τῶν ζώων, τὸ ἀπὸ τοῦ τραχήλου ἄχθος ἀποθέσθαι. Καὶ λωφήσων ἀντὶ τοῦ λήξων, ἀναπαύσων. ἢ ἀναπαυσάμενος τὸν λόφον, τούτεστι τὸν τράχηλον.

V. 493. Μαντήϊον. Μαντικόν.

V. 494. Ἐπ' ἐσχαρόφιν. Ἐν τῇ ἑστίᾳ.

Νέον ἤματος ἀνομένοιο. Ὑπὸ τὴν πρωΐαν αὔξησιν τῆς ἡμέρας λαμβανούσης.

V. 495. Ἀλέγυνον. Εὐτρέπιζον.

V. 498. Ἦρι δ' ἐτήσιοι αὖραι. Ἐπιφέρει καὶ Ἀπολλώνιος, δι' ἣν αἰτίαν πνέουσι τῷ θέρει. Τοῦ γὰρ κατηστερισμένου κυνὸς φλέγοντος τὰς Κυκλάδας νήσους, καὶ πολὺν χρόνον αὐχμοῦ τε καὶ ἀπορίας οὔσης, οἱ τὴν Κέω κατοικοῦντες ἐκ θεοπροπίου ἐπεκαλέσαντο Ἀρισταῖον τὸν Ἀπόλλωνος καὶ Κυρήνης ἐκ Φθίας. Ὁ δὲ, παραλαβὼν τινὰς ἐξ Ἀρκαδίας, ἦλθεν εἰς τὴν Κέω, καὶ Διὸς ἱερὸν ἱδρύσατο Ἰκμαίου, ἕνεκα τοῦ τοὺς ὄμβρους γίνεσθαι· καὶ τὸν κύνα ἐξιλάσατο. Καὶ ἐνομοθέτησε κατ' ἐνιαυτὸν τοῖς Κώοις μεθ' ὅπλων ἐπιτηρεῖν τὴν ἐπιτολὴν τοῦ κυνὸς, καὶ θύειν αὐτῷ. Ὅθεν οἱ ἐτησίαι

πνέουσι, καταψύχοντες τῷ θέρει τὴν γῆν. καὶ αὐχμοῦ ἀπηλλάγησαν οἱ Ἕλληνες.

Ὅτι ἐτησίαι ἔπνευσαν Ἀρισταίου αἰτησαμένου, ὃς ἦν Κυρήνης τῆς Ὑψέως καὶ Ἀπόλλωνος, ἀδελφὸς δὲ Αὐτούχου. Ἀλλ' ὁ μὲν ἐν Λιβύῃ, Ἀρισταῖος δὲ ἐν τῇ Κέῳ εὑρὼν τὰ μελισσουργικὰ πρῶτος, καὶ τὴν τοῦ ἐλαίου κατεργασίαν. Καὶ κατακαλεσάμενος τοὺς ἐτησίας, Ζεὺς Ἀρισταῖος ἐκλήθη, καὶ Ἀπόλλων, ἀγρεὺς καὶ νόμιος.

Περὶ δὲ τῆς Κυρήνης Πίνδαρος ἱστορεῖ ἐν Πυθιονίκαις, ὡς παρθένος οὖσα, μέχρι πολλοῦ συνεκυνήγει τῷ Ἀπόλλωνι· διαπαλαίουσα δέ ποτε λέοντι, ἠγαπήθη ὑπὸ Ἀπόλλωνος· ὃς καὶ ἁρπάσας αὐτὴν, διεκόμισεν εἰς τὴν νῦν ἀπ' αὐτῆς Κυρήνην τῆς Λιβύης· καὶ μιγεὶς Ἀρισταῖον ἔτεκε. Φερεκύδης δέ φησι καὶ Ἄραιθος ἐπὶ κύκνων αὐτὴν ὀχηθεῖσαν, κατὰ Ἀπόλλωνος προαίρεσιν, εἰς τὴν Κυρηνην ἀφικέσθαι. Ἀγροίτας δὲ ἐν πρώτῳ Λιβυκων, ὑπὸ Ἀπόλλωνος εἰς Κρήτην αὐτὴν κομισθῆναι· ἐκεῖθεν δὲ εἰς Λιβύην. Ἀδελφὴ δὲ Κυρήνης Λάρισσα· ἧς ὁμώνυμος πόλις ἐν Θεσσαλίᾳ. Τινὲς δέ φασι τὴν Κυρήνην Πηνειοῦ θυγατέρα γενέσθαι, κακῶς. Ἔνεμεν γὰρ παρ' αὐτῷ θρέμματα, οὐκ ἔτι δὲ καὶ θυγάτηρ αὐτοῦ ἦν. Μνασέας δέ φησι, κατ' ἰδίαν αὐτὴν προαίρεσιν ἐς Λιβύαν ἐληλυθέναι, οὐχ ὑπ' Ἀπόλλωνος διαχθεῖσαν. Ἀκέστωρ δὲ ἐν τοῖς περὶ Κυρήνης ἱστορεῖ, ὡς ἐπ' Εὐρυπύλου βασιλεύοντος Λιβύης, ὑπὸ Ἀπόλλωνος διακομισθείη ἐς Λιβύην ἡ Κυρήνη· λέοντος δὲ τὴν χώραν λυμαινομένου, προσθείη τὴν βασιλείαν ὁ Εὐρύπυλος ἆθλον τῷ ἀποκτενοῦντι τὸν λέοντα. Τὴν δὲ διαχρήσασθαι αὐτὸν, καὶ τὴν βασιλείαν λαβεῖν. Παῖδας δὲ αὐτῆς γενέσθαι Αὐτοῦχον καὶ Ἀρισταῖον. Φησὶ δὲ αὐτὴν Φύλαρχος ἐλθεῖν μετὰ πλειόνων εἰς Λιβύην. Τούτων δὲ ἐκπεμ-

φθέντων ἐπὶ τὴν κυνηγεσιαν, τούτοις καὶ αὐτὴν συνεξελθεῖν, κἀκεῖ ἀνελεῖν τὸν λέοντα, καὶ λαβεῖν τὴν βασιλείαν. Ἐγέννησε δὲ ἐξ Ἀπόλλωνος παῖδας δύο, Αὐτουχον καὶ Ἀρισταῖον.

Τινὲς δὲ τέσσαρας Ἀρισταίους γενεαλογοῦσιν, ὡς καὶ Βακχυλιδης τὸν μὲν, Καρύστου· ἄλλον δὲ, Χέρωνος· ἄλλον δὲ, Γῆς καὶ Οὐρανοῦ· καὶ τὸν Κυρήνης.

Οἱ ἐτησίαι ἄρχονται πνεῖν περὶ την ἐσχάτην μοῖραν τοῦ ἡλίου ὄντος ἐν καρκινῳ, μέχρις οὗ τὸν λέοντα παρέλθῃ. Ὡς καὶ Ἄρατος·

Ἠελιου τὰ πρῶτα συνερχομένοιο λέοντι,
τῆμος καὶ κελαδοντες ἐτησίαι εὐρέϊ πόντῳ
ἀθρόοι ἐμπίπτουσι.

V. 500. Κυρήνη πέφαται. Ἤγουν λέγεται, ὅτι Κυρήνην τὴν Ὑψέως ὁ Ἀπόλλων θεασάμενος παρὰ Πηνειὸν, εἰς Λιβύην ἐκόμισεν· ἔνθα μιγεὶς αὐτῇ (ὅπου καὶ Κυρήνη πόλις ἔκτισται) τὸν Ἀρισταῖον ἐγέννησε. Λέγουσι δὲ Κυρήνην, οἱ μὲν Πηνειοῦ, οἱ δὲ Ὑψέως τοῦ Πηνειοῦ.

V. 504. Αἱμονίης. Τῆς Θεσσαλίας, ἀπὸ Αἵμονος, υἱοῦ Ἄρεως.

Χθονίαις. Ταῖς ἐγχωρίαις.

V. 505. Μυρτώσιον. Τόπος ἢ ἄκρα περὶ Κυρήνην.

V. 507. Ἀγρέα καὶ νόμιον. Τὸ μὲν, ὅτι ἐν ἀγρῷ ἐμίγη τῇ μητρὶ αὐτοῦ ὁ Ἀπόλλων· νόμιον δὲ, ὅτι νεμούσῃ ἐμίγη. Οἱ δὲ, ὅτι τὴν κατὰ τοὺς ἀγροὺς θεραπείαν τοῖς νομεῦσιν εἰσηγήσατο.

V. 509. Μακραίωνα. Πολυχρόνιον.

Ἀγρότιν. Τὴν Κυρήνην, ὅτι φιλοκύνηγος ἦν.

V. 512. Ἀκεστορίην τε. Ὑπὸ Μουσῶν γὰρ αὐτὸν τὴν ἰατρικὴν καὶ τὴν μαντικὴν δεδιδάχθαι φησί.

Καὶ πρὸς γάμον Αὐτονόην λαβεῖν δηλαδὴ, τὴν Κάδμου θυγατέρα.

V. 513. Θέσαν ἤρανον. Καὶ τῶν ἰδίων ποιμνίων προστάτην αὐτὸν ἐποίησαν αἱ Μοῦσαι.

V. 514. Ἀθαμάντιον δὲ πεδίον οὕτω καλούμενον περὶ τὴν Ἅλων. Κατῴκησε γὰρ Ἀθάμας ἐν Ἅλῳ τῇ νήσῳ, τῆς βασιλείας ἐξελθών.

V. 515. Ὄθρυν. Ὄθρυς, ὄρος Θεσσαλίας ὑψηλόν. Καὶ ὁ Ἀπιδανὸς δὲ, ποταμὸς Θεσσαλίας.

V. 516. Μινωΐδας. Τὰς Κυκλάδας φησὶν, ἐπεὶ Μίνως, Κρὴς ὢν, ἐβασίλευσε τῶν νήσων θαλασσοκρατῶν, τοὺς Κᾶρας ἐξελάσας.

V. 517. Σείριος. Ἤτοι παρὰ τὴν ζέσιν, ζείριος καὶ σείριος· ἢ παρὰ τὸ ἐκκενοῦν ἡμᾶς ἱδρῶσι ῥεομένους· σειροῦν γὰρ τὸ κενοῦν. Ἢ τοῦ σεσηρέναι αἴτιος. Τοὺς γοῦν κύνας διασεσηρέναι καὶ χάσκειν ποιεῖ. Ἢ παρὰ τὸ σείεσθαι καὶ πάλλεσθαι. Ὁμοίως δὲ καὶ πάντα τὰ ἄστρα σείρια λέγοιντο, οἱονεὶ τείρεα τινὰ ὄντα· ἢ διὰ τὸ τείρειν, τὸ δαμάζειν· ἢ ὅτι τέρατα εἰσὶν, καὶ σημεῖα τῶν πλοϊζομένων. Οἱ μέντοι ἀστρολόγοι τοὺς ἐν κινήσει ὄντας ἀστέρας, στίλβοντας καλοῦσιν. Εἶναι δὲ τὸ ἄστρον, οἱ μὲν, τοῦ Ὠρίωνος κυνός· οἱ δὲ, τῆς Ἠριγόνης· οἱ δὲ, τῆς Ἴσιδος· οἱ δὲ, Κεφάλου. Ὁ δὲ Τιμοσθένης κύριον ὄνομα εἶναι φησί.

V. 520. sq. Παῤῥάσιον λαόν. Τὸν Ἀρκαδικόν. Ἀπὸ μιᾶς Ἀρκαδικῆς πόλεως, καλουμένης Παῤῥασίας.

V. 522. Διὸς Ἰκμαίοιο. Ἕνεκα τῆς ἰκμάδος. Ἐν τῇ Κῷ δέ ἐστιν ἱερὸν Διὸς ἰκμαίου, τουτέστι διύγρου. Ἐπεὶ αἴτιος γέγονε τῆς πνοῆς τῶν ἀνέμων.

V. 524. Τοῖο δ' ἕκητι. Ἤγουν τοῦ Διὸς χάριν.

V. 526. Ἤματα τεσσαράκοντα. Τὰς τῶν ἐτη-

σίων ἀνέμων ἡμέρας, οἱ μὲν, τεσσαράκοντα, ἄλλοι δὲ, πεντήκοντα φασὶν, ὡς Τιμοσθένης. Ἄρχονται δὲ πνεῖν ὄντος τοῦ ἡλίου ἐν τῷ τοῦ καρκίνου τέλει. Πνέουσι δὲ δι' ὅλου τοῦ λέοντος, καὶ λήγουσιν ἐν τῷ διμοίρῳ τῆς παρθένου.

Κέῳ δ' ἔτι νῦν. Ἐνομοθέτησε γὰρ τοῖς Κώοις κατ' ἐνιαυτὸν μεθ' ὅπλων ἐπιτηρεῖν τὴν ἐπιτολὴν τοῦ κυνὸς, καὶ θύειν αὐτῷ. Ὅθεν οἱ ἐτησίαι πνέουσι, καταψύχοντες τῷ ἀέρι τὴν γῆν· καὶ αὐχμοῦ ἀπηλλάγησαν οἱ Ἕλληνες.

V. 528. Ὑδέονται. Ἀντὶ τοῦ ᾄδονται καὶ λέγονται.

V. 529. Ἐρυκομένους. Κωλυομένους τοὺς Ἀργοναύτας, διὰ τοὺς ἐτησίας. Ὑπάρχουσι γὰρ ἐναντίοι οἱ ἐτησίαι τοῖς εἰσπλέουσι τὸν Πόντον, ὄντες Βοῤῥαῖ κατ' ἐκείνους τοὺς τόπους· ὥσπερ ἐπὶ τῆς Ἑλλάδος ἐναντίοι εἰσὶν οἱ Ζέφυροι.

V. 531. Ἐκ δὲ τόθεν. Ἤγουν μετὰ ταῦτα.

V. 532. Βωμὸν ἁλὸς ῥηγμῖνι πέρην. Ἐν δὲ τῷ πέραν (φησὶν) αἰγιαλῷ τῆς Ἀσίας διαπλεύσαντες, ἐπ' αὐτὸν βωμὸν τοῖς δώδεκα θεοῖς ἐδομήσαντο, καὶ ἔθηκαν ἐπ' αὐτῷ ἱερὰ, τοῦτ' ἔστι καλλιέρησαν. Φανερὸν οὖν ἐστιν ἐν τῇ Εὐρώπῃ. Καὶ γὰρ ἔτι καὶ νῦν ἱερόν ἐστιν οὕτω καλούμενον ἐν τῷ πέραν τῆς Εὐρώπης τῆς Ἀσιάδος. Δημοσθένης δέ φησι, τοὺς μὲν Φρίξου παῖδας βωμοὺς δώδεκα ἱδρύσασθαι τῶν θεῶν· τοὺς δὲ Ἀργοναύτας, τοῦ Ποσειδῶνος. Ἡρόδωρος δὲ ἐπὶ τοῦ βωμοῦ φησὶ τεθυκέναι τοὺς Ἀργοναύτας, ἐφ' οὗ Ἄργος ὁ Φρίξου ἐπανιὼν ἐτεθύκει. Εἰσὶ δὲ οἱ δώδεκα θεοὶ οὗτοι, Ζεὺς, Ἥρα, Ποσειδῶν, Δημήτηρ, Ἑρμῆς, Ἥφαιστος, Ἀπόλλων, Ἄρτεμις, Ἑστία, Ἄρης, Ἀφροδίτη, καὶ Ἀθηνᾶ.

V. 533. Οὐδὲ πελείης. Οὐκ ἐπελάθοντο δὲ τῆς περιστερᾶς. Τὸ ἑξῆς, ἀλλ' ἐν τῇ χειρὶ εἶχεν ὁ Εὔφημος.

V. 535. Δήματι. Γράφεται καὶ δείματι. Τὸ μὲν διὰ τοῦ η, τὸν δεσμὸν σημαίνει· τὸ δὲ διὰ διφθόγγου, τὸν φόβον.

V. 542. Ὡς δ' ὅτε τὶς. Εἴρηται ἡ παραβολὴ παρὰ τὸ Ὁμηρικόν·

Ὡς δ' ὅταν αἴξῃ νόος ἀνέρος.

Ὁ δὲ νοῦς, ὥσπερ δὲ ὅτάν τις ἀπὸ τῆς πατρίδος πλανώμενος (οἷα πολλάκις συμβαίνει τοῖς ἀνθρώποις) τοὺς ἰδίους τῇ διανοίᾳ ἐθεάσατο οἴκους, οὐδὲ τὸ μεταξὺ διάστημα πολὺ αὐτῷ φαντασιοῦται εἶναι, ἀλλὰ καὶ πάσας καταφανεῖς πόλεις· ἅμα τε τοῖς εἰρημένοις ἡ εἰς τὰ οἰκεῖα ὁδὸς ἥ τε διὰ γῆς καὶ θαλάσσης ὑποφαίνεται αὐτῷ, καὶ ἄλλοθι ἄλλην ἐκ τοῦ τόπου, ἐν ᾧ ἐστὶν, ἐπέρχεται, καὶ ταχέως ἐν κινήσει ὀξείᾳ τὴν διάνοιαν ἔχων· οὕτω ταχέως διῆλθεν ἡ Ἀθηνᾶ τὴν μεταξὺ χώραν, καὶ παρεγένετο ἐπὶ τὰς Κυανέας πέτρας.

Τὸ ἀλώμενος εἰς τὸ ἐνόησεν ἀναφέρειν δεῖ.

V. 542. Ἐν δὲ τῷ, πλαζόμεθα τετληότες, μετάθεσιν ποιητέον, οἷον, πλαζόμενοι τέτλαμεν.

Ἐν δὲ τῷ, οὐδέ τις αἶα, τὸ διάστημα δηλοῖ.

Οὐδέ τις αἶα. Οὐδὲν αὐτῷ πολὺ πάσης διάστημα γῆς φαίνεται.

V. 544. Σφωϊτέρους. Κακῶς ἐχρήσατο τῷ σφωϊτέρους. Ἔδει γὰρ εἰπεῖν σφετέρους.

Τὸ δὲ, ἐνόησε δόμους, ἀντὶ τοῦ, διανοίᾳ τοὺς ἰδίους οἴκους ἐθεάσατο.

V. 545. Ὑγρή τε τραφερή τ' ἰνδάλλεται. Ὑγρὴν κέλευθον Ὁμηρικῶς τὴν διὰ θαλάσσης νοεῖ, τραφερὴν δὲ τὴν διὰ ξηρᾶς.

V. 546. *Ὀξέα πορφύρων.* Πορφύρειν λέγεται τὸ μὴ ἐξ ἐπιπολῆς, ἀλλὰ κατὰ βάθους τὶ μεριμνᾷν. Ἀπὸ τῆς πορφύρας τῆς ἐν βάθει τῆς θαλάσσης εὑρισκομένης.

V. 548. *Ἀξείνοιο.* Τὸν εὔξεινον πόντον φησὶν, οἱονεὶ κακόξεινον, τοῦ ᾱ σημαίνοντος τὸ κακόν. Πρότερον μὲν γὰρ ὑπὸ ληστῶν περιοικούμενος, ἄξεινος ἐκαλεῖτο· καθαρθεὶς δὲ, εὔξεινος τὸ μετὰ ταῦτα ἐκλήθη.

V. 550. Τὸ δὲ *ἐεργμένον* παράγεται μὲν ἀπὸ τοῦ εἴργω, τὸ κωλύω· σημαίνει δ' ὅμως καὶ τὸ περικυκλούμενον, ὡς ἐνταῦθα.

V. 551. *Δινήεις δ' ὑπένερθεν.* Ὁ ῥοῦς (φησὶ) δίνας καὶ συστροφὰς ἔχων ῥευμάτων ἀνέκοπτε τὴν ναῦν· καὶ πολὺ εἰς τοὔμπροσθεν προῄεσαν μετὰ φόβου.

V. 553. *Ἀρασσομένων.* Ἀντὶ τοῦ, συγκρουομένων ἀλλήλαις. Οὕτω δὲ ἀναγινώσκεται καὶ τὸ, θυρῶν ἀρασσομένων.

V. 554. *Νωλεμές.* Συνεχές.

Ἁλιμυρέες ἀκταί. Αἱ ὑπὸ θαλάσσης περιῤῥεόμεναι, ἢ περιῤῥαινόμεναι.

V. 557. *Θελήμονα.* Πρόθυμον καὶ ἐπιτεταμένην. Οὐ γὰρ τὴν ἡσύχιον ἐνταῦθα σημαίνει.

V. 559. *Τὰς δ' αὐτίκα.* Τοῦτο ἔφη, ἐπεὶ πεπρωμένον ἦν στηριχθῆναι αὐτὰς, ἂν διέλθῃ αὐτῶν ἡ ναῦς.

V. 562. *Προέηκε πελειάδα.* Ὅτι διὰ πελειάδας ἐπείρασαν οἱ Ἀργοναῦται τὰς Συμπληγάδας, καὶ Ἀσκληπιάδης ἱστορεῖ ἐν δευτέρῳ Τραγῳδουμένων.

V. 568. *Σπήλυγγες.* Αἱ κοιλάδες αἱ ὑπὸ τὰς πέτρας.

V. 569. *Ἐβόμβεον.* Ἦχουν. Ὅθεν καὶ βομβύ-

λη, εἶδος μελίσσης. Καὶ ποτηρίου δὲ εἶδος, ὡς Ἀντισθένης παραδιδωσιν. Ἔστι δὲ τουτο στενοτράχηλον.

V. 570. Καγχλάζοντος. Ποιὸν ἦχον ἀποτελοῦντος. Περιέκλυζε τὰς ἐφ' ὕψους ἀκτὰς ὁ τοῦ κύματος ἀφρός.

V. 571. Νῆα δ' ἔπειτα. Περιῆγε δὲ τὴν ναῦν καὶ περιέστρεφεν ὁ ῥοῦς.

Εἴλει. Περιέστρεφε.

V. 572. Οὐραῖα πτερὰ ταίγε. Αὗται ἔκοψαν τὰ ἄκρα τῆς οὐρᾶς πτερά.

V. 576. Πλήμμυρις καὶ πλημμυρὶς, διχῶς. Ἄμεινον δὲ πλημμυρίς. Τὰ γὰρ ἀπὸ βαρυτόνων ῥημάτων θηλυκὰ ὀνόματα εἰς ις ὀξύνεται· βασιλεύω, βασιλίς· πλημμύρω, πλημμυρίς.

Κατένεικε. Κατήνεγκε τὴν ναῦν εἴσω τῶν πετρῶν.

V. 579. Ἤδη δ' ἔνθα καὶ ἔνθα. Γενομένων δὲ αὐτῶν μεταξὺ τοῦ στενοῦ, ἡ πρόσω καὶ ἡ κατοπιν θάλασσα ἐπεφαίνετο. Ἢ τὸ ἔνθα καὶ ἔνθα πρὸς τὰ δεξιὰ καὶ ἀριστερὰ τοῦ Πόντου ἀνενεκτέον.

V. 580. Ἀπροφάτως δὲ, ἀντὶ τοῦ ἀπροοράτως.

V. 581. Κυρτὸν ἀποτμῆγι σκοπιῇ ἶσον. Ἀνεφάνη δὲ καὶ ἐπήρχετο αὐτοῖς ἀπροόπτως προπάροιθεν ὑψηλὸν καὶ μέγα κῦμα, παραπλήσιον ἀπεῤῥηγμένῃ σκοπιῇ, ἤτοι ὄρει.

V. 582. Ἤμυσαν. Ἔκλιναν λοξὰς τὰς κεφαλὰς, ὡς καλυφθησόμενοι ὑπὸ του κύματος.

V. 583. Κατεπάλμενον. Ὑπεραναβάν. Ἀναφέρεται δὲ πρὸς τὸ μέγα κῦμα.

V. 584. Ἀλλά μιν ἔφθη. Προέλαβε δὲ ὁ Τῖφυς

βαρουμένην τὴν ναῦν τῇ εἰρεσίᾳ, ὑποχαλάσας καὶ ἐνδοὺς αὐτῇ, ἢ καταπαύσας τὴν εἰρεσίαν. Ἢ βαρυνομένην αὐτὴν αἰσθανόμενος τῇ εἰρεσίᾳ ἀνεχάλασεν.

V. 586. Ἐκ δ' αὐτήν. Οὕτω (φησὶν) ἐπῆρεν τὸ κῦμα τὴν ναῦν, ὡς καὶ ὑπὲρ τὰς πέτρας αὐτὴν γενέσθαι.

V. 587. Τὸ δὲ μεταχρονίη, ὅτι μεταχθονίη γράφεται, εἴρηται. Σημαίνει δὲ τὴν μετέωρον.

V. 590. Ὅσσον δ' ἂν ὑπείκαθε. Ὁ νοῦς, ὅσον δὲ ἄλλη ναῦς τῇ εἰρεσίᾳ πειθομένη ὑπεῖξεν ἄν, δὶς τόσον ἡ Ἀργώ· ἵνα διὰ τούτων τὸ τάχος δηλώσῃ τῆς Ἀργοῦς. Ἢ οὕτως, ὅσον ἂν εἶξε καὶ ὑπεχώρησε τοῖς ἐρέταις ἡ Ἀργὼ, δὶς τοσοῦτον τῇ παλιῤῥοίᾳ ὑπέστρεφε. Διὸ καὶ ἐπιφέρει, ἐπεγνάμπτοντο δὲ ἠΰτε καμπύλα τόξα, τὸ βίαιον τῆς εἰρεσίας δηλῶν.

V. 594. Κύλινδρος. Κιονίσκος λίθινος στρογγύλος, ἑκατέραν βάσιν ἔχων ἐπίπεδον.

V. 595. Προπροκαταΐγδην. Εἰς τοὔμπροσθεν ἄνωθεν καταφερομένη.

Ἐν δ' ἄρα μέσσαις. Ἐν δὲ μέσῳ τῶν Συμπληγάδων κατέσχεν αὐτὴν ὁ ῥοῦς.

V. 598. Καὶ τότ' Ἀθηναίη. Καὶ τότε ἡ Ἀθηνᾶ τῆς πέτρας ἀντελάβετο καὶ κατέσχε τῇ λαιᾷ, τῇ δὲ δεξιᾷ αὐτὴν ἐξέωσεν ἐκ τοῦ Πόντου.

V. 601. sq. Ὅμως δὲ τὰ ἀκροστόλια ἐπέκλασαν συνδραμοῦσαι αἱ πέτραι.

Ἀφλάστοιο κόρυμβα τὰ ἀκροστόλια λέγει.

Παρέθρισαν. Ἀντὶ τοῦ παρεθέρισαν, κατὰ συγκοπήν. Σημαίνει δὲ τὸ ἀπέκοψαν.

Νωλεμὲς ἐμπλήξασαι. Βιαίως συμπεσοῦσαι τὰ ἀκροστόλια ἀπέκοψαν.

V. 611. Ἔλπομαι αὐτῇ νηΐ. Ἤγουν δι' αὐτὴν

τὴν ναῦν. Ἢ διὰ τῆς νεὼς αὐτῆς. Ἢ λείπει ἡ σύν. Ὁ δὲ νοῦς, ἐλπίζω ἤδη σεσῶσθαι ἡμᾶς σὺν αὐτῇ τῇ νηΐ. Ἡ δὲ Ἀθηνᾶ τῆς σωτηρίας αἰτία. Ταῦτα δέ φησι περιθαρσύνων αὐτούς.

V. 615. Αἰσονίδη, τύνη δέ. Ἐπειδὴ (φησὶν) ἅπαξ ἐφύγομεν τὰς πέτρας, μηκέτι εὐλαβοῦ τὸν θάνατον.

V. 620. Σεῦεν. Ἀντὶ τοῦ, ἴθυνεν ἐπὶ τὴν Βιθυνίαν τὴν ναῦν.

V. 622. Παρηγορέεις. Ἀντὶ τοῦ, παραμυθητικῶς λέγεις.

V. 624. Χρῆν γὰρ ἐφιεμένοιο. Ἀντὶ τοῦ, ἐπιτάττοντος. Τὸ δὲ χρῆν ῥῆμά ἐστι. Παρ᾽ αὐτὸ γὰρ καὶ ὄνομα πίπτει τὸ χρεία· ὡς παρὰ τὸ δρῶ, δρᾶμα. Ἐπίῤῥημα γὰρ οὐ δύναται εἶναι· ὅτι ἀπὸ ἐπιῤῥήματος οὐ σχηματίζεται ὄνομα.

V. 626. Δαιόμενος. Διακοπτόμενος, μεριζόμενος.

V. 627. Ἀτλήτους μελεδῶνας. Ἀνυποστάτους μερίμνας ἔχω, ἀνυπομονήτους καὶ μεγάλας.

V. 628. Στυγέων δὲ, ἀντὶ τοῦ δεδοικώς. Καὶ Ὅμηρος·

— — τά τε στυγέουσι θεοί περ.

Καὶ αὖθις·

— — τόν τε στυγέουσι καὶ ἄλλοι.

V. 631. Αἰεὶ δὲ στονόεσσαν. Αἰεὶ πρὸς τῇ ἡμέρᾳ καὶ διὰ νυκτὸς τὰς τύχας ὀδύρομαι. Ὅμηρος·

Νῦν μὲν δὴ μάλα πάγχυ Μελάνθιε νύκτα φυλάξεις.

V. 633. Εὐμαρέως. Εὐχερῶς. Ἔνθεν καὶ εὐμαρὲς, εἶδος ὑποδήματος, ᾧ εὐχερῶς ἐχρῶντο.

V. 634. Ἑῆς δὲ ψυχῆς ἀντὶ τῆς ἑαυτοῦ ζωῆς.

V. 635. Τὸ δὲ εἷο, ἀντὶ τοῦ ἐμεῖο· τρίτον πρόσωπον ἀντὶ πρώτου. Βούλεται δὲ λέγειν, ὅτι ἐμαυτοῦ

οὐδὲ τὴν τυχοῦσαν ποιοῦμαι φροντίδα, περὶ δὲ σοῦ, καὶ τοῦδε, καὶ τῶν ἄλλων, δέδια.

Ἰδίως δὲ ἠβαιὸν, τὸ διὰ σμικρότητα βάσιν μὴ ἔχον, ἄβαιόν τι ὄν.

V. 638. Οἱ δ' ὁμάδησαν. Ὁμοῦ ἀνεφώνησαν, θαρσύνοντες αὐτόν. Ὅμαδος δὲ, παρὰ τὸ ὁμοῦ ᾄδειν, ὁμόαδός τις ὤν.

V. 640. Ἐπιῤῥήδην. Φανερώτερον, παῤῥησιαστικώτερον, οἱονεὶ ἀναφανδόν.

V. 643. Τάρβος ἀνάψομαι. Τὸ φόβον περιθήσομαι σημαίνει.

V. 649. Αἶψα δὲ τοίγε. Ταχέως δὲ κατέλαβον τόν τε Ῥῆβαν καὶ τὸν πρὸ τοῦ Ῥήβα σκόπελον, κολωνοειδῆ ὄντα.

V. 650. Κολώνη δὲ, οὕτω ἄκρα καλουμένη περὶ τὸν Λύκον ποταμόν. Μέμνηται αὐτῆς Νύμφις ὁ Ἡρακλεώτης ἐν τῷ περὶ Ἡρακλείας.

V. 652. Προχοὰς Φυλληΐδας. Φύλλις, ποταμὸς Βιθυνίας.

V. 653. Διψακὸς δὲ, υἱὸς τοῦ Φύλλιδος καὶ νύμφης τινὸς ἐγχωρίου· ὃς Φρίξον τὸν Ἀθάμαντος ἐξένισεν ἐπὶ τοῦ κριου, ὅτε ἐξέφυγε τὸν θάνατον, μέλλων σφαγιάζεσθαι.

Υἷ' Ἀθάμαντος. Τὸν Φρίξον ὑπεδέξατο ὁ Διψακὸς εἰς Κόλχους πορευόμενον. Φασὶ δὲ ἐκεῖ σφαγιασθῆναι τὸν κριὸν τῷ λαφυστίῳ Διΐ. Καὶ μέχρι τοῦ νῦν νόμος ἕνα τῶν Φρίξου ἀπογόνων εἰσιέναι εἰς τὸ πρυτανεῖον, καὶ θύειν τῷ εἰρημένῳ Διΐ.

V. 658. Καὶ εὐρείας ποταμοῖο. Διονύσιος ὁ Ἀλβιανὸς ἱστορεῖ τὰς εὐρείας ἠϊόνας λέγεσθαι Ἀχιλλέως δρόμον.

V. 660. *Ὁμῶς δ' ἐπὶ ἤματι.* Ἡμέραν δὲ καὶ νύκτα ὁμῶς ἐν νηνεμίᾳ διῆγον κωπηλατοῦντες.

V. 662. *Πλαδόωσαν.* Ἔνυγρον ἔτι οὖσαν.

V. 667. *Χηλὰς σκηρίπτοντε.* Τοὺς ὄνυχας ἐπερείδοντες, ἐμπείροντες. Ὅθεν καὶ τὸ σκηπάνιον.

V. 668. *Ὑπ' ἐξ ἁλὸς εἷλκον ἐρετμά.* Ἐκ τῆς θαλάσσης ἀνέφερον καὶ ἀνῆγον τὰς κώπας.

V. 671. *Ἀμφιλύκην μιν.* Σκοτεινήν. Λύγη γὰρ ἡ σκοτία. Καὶ λυγόφως ἐξ αὐτοῦ καὶ λυκόφως.

V. 672. *Τῆμος ἐρημαίης.* Περὶ τῆς Θυνιάδος νήσου προείρηται, ἧς μέμνηται Νύμφις ὁ Ἡρακλεώτης. Φησὶ δὲ αὐτὴν ἑπτὰ σταδίους ἔχειν τὴν περίμετρον. Καλλισθένης δὲ ἐν τῷ Περίπλῳ ὑπὸ μὲν Ἑλλήνων φησὶ προσαγορεύεσθαι τήν τε χώραν καὶ τὴν νῆσον Θυνιάδα, ὑπὸ δὲ τῶν βαρβάρων Θυνίαν.

V. 675. *Ὑπερβορέων ἀνθρώπων.* Ὑπερβορείους μὴ εἶναι τελέως φησὶν Ἡρόδοτος· ἐπεὶ εἰ εἰσὶν ὑπερβόρειοι τινὲς, πάντως καὶ ὑπερνότιοι. Ποσειδώνιος δὲ εἶναι φησὶ τοὺς ὑπερβορείους, κατοικεῖν δὲ περὶ τὰς Ἄλπεις τῆς Ἰταλίας. Μνασέας δέ φησι νῦν τοὺς ὑπερβορείους Δελφοὺς λέγεσθαι. Ἑκαταῖος δὲ μέχρι τοῦ αὐτοῦ χρόνου εἶναι φησὶ τὸ τῶν ὑπερβορείων ἔθνος. Ἔστι δὲ αὐτῷ βιβλία ἐπιγραφόμενα Περὶ τῶν ὑπερβορείων. Τιμᾶται δὲ παρὰ τοῖς ὑπερβορείοις ὁ Ἀπόλλων. Διὸ καὶ ἐκεῖσε χωρῶν ὤφθη.

V. 684. sq. *Ὀψὲ δὲ τοῖον Ὀρφεύς.* Τὸν Ὀρφέα φασὶ καὶ μάντιν εἶναι.

Ἐν δὲ τῇ Θυνίδι νήσῳ ἱερόν ἐστιν Ἀπόλλωνος. Ἡρόδωρος οὖν φησὶν ἑῷον τὸν Ἀπόλλωνα προσαγορεύεσθαι, καὶ βωμὸν αὐτοῦ εἶναι ἐν τῇ νήσῳ, οὗ καθὸ ὄρθρῳ ἐπε-

φάνη αὐτοῖς, ἀλλὰ καθὸ οἱ Ἀργοναῦται ὄρθρου εἰς αὐτὴν κατέπλευσαν.

V. 686. *Εἰ δ' ἄγε.* Τὴν νῆσον (φησὶν) οὕτω καλέσωμεν ἑῴου Ἀπόλλωνος.

V. 695. *Χερμάσιν.* Λίθοις μικροῖς.

Ἐδίνεον. Ἀντὶ τοῦ ἐστρέφοντο.

Ἐξερέοντες. Ἐξερευνῶντες.

V. 696. *Κεμὰς δέ,* ἡ νέα ἔλαφος.

V. 699. *Ἀνὰ διπλόα μηρία.* Τῶν ἱερείων. *Διπλόα δέ,* ἢ ὅτι διπλοῦς αὐτοῖς ὑπετίθετο καὶ ἐπετίθετο ἔπιπλος.

V. 702. *Καλὸν ἰηπαιήον'.* Ἰηπαιήων ὁ Ἀπόλλων λέγεται, ἤτοι διὰ τὸ πέμπειν τὰ βέλη, ἢ ὅτι ἰάσεως ὁ θεὸς αἴτιος.

V. 704. *Βιστονίῃ.* Θρακικῇ. Βίστονες γὰρ ἔθνος Θρακῶν. Ὠνομάσθη δὲ ἀπὸ Βίστονος, τοῦ Κίκονος, ὡς Φιλοστέφανος ἱστορεῖ. Βιστονὶς, λίμνη Θρακική.

V. 706. *Δελφύνην.* Τὸ ὄνομα τοῦ δράκοντος οἱ μὲν ἀρσενικῶς, οἱ δὲ θηλυκῶς εἶπον· ὃ καὶ βέλτιον. Ἄλλως δὲ καὶ οἱ μὲν ὁ Δελφύνης κλίνουσιν ἀρσενικῶς, οἱ δὲ ἡ Δελφύνη θηλυκῶς.

Ὅτι Δελφύνης ἐκαλεῖτο ὁ φυλάσσων τὸ ἐν Δελφοῖς χρηστήριον, Λέανδρος καὶ Καλλίμαχος εἶπεν. Δράκαιναν δὲ αὐτὴν φησὶν εἶναι θηλυκῶς καλουμένην Δελφύνην αὐτὸς ὁ Καλλίμαχος.

V. 709. *Οἰόθι δ' αὐτή.* Μόνη ἐφάπτεται τῶν τριχῶν σου ἡ Λητώ.

V. 710. *Κοιογένεια δέ,* ἡ ἀπὸ Κοίου τὸ γένος ἔχουσα. Κοίου γὰρ θυγάτηρ ἡ Λητώ. Ἔστι δὲ τὸ *Κοιογένεια* παθητικὸν, ἡ ὑπὸ τοῦ Κοίου γεννηθεῖσα.

V. 711. *Πολλὰ δὲ Κωρύκιαι.* Ἄντρον ἐν Παρνασσῷ Κωρύκιον.

Ὠνομάσθη δὲ Παρνασσὸς ἀπὸ Παρνησσοῦ τοῦ ἐγχωρίου ἥρωος, ὡς Ἑλλάνικος. Ἄνδρων δὲ, ἐπεὶ προσωρμίσθη ἡ λάρναξ τοῦ Δευκαλίωνος, καὶ τοπρότερον Λαρνασσὸς ἐκαλεῖτο· ὕστερον δὲ κατὰ φθορὰν τοῦ στοιχείου Παρνασσός.

Πλεῖστος δὲ, ποταμός. Τινὲς δὲ ἀναγινώσκουσι Πλειστοῖο περισπωμένως. Ἐπεὶ καὶ ὑπὸ τῶν ἐγχωρίων λέγεται Πλειστὸς, ὡς καλός. Ἔστι δὲ ποταμὸς ἐν Δελφοῖς.

Τὴν δὲ ἀναιρεθεῖσαν δράκαιναν Δελφύνην καλεῖσθαι θηλυκῶς φησὶ Λέανδρος καὶ Καλλίμαχος.

Κωρύκιον ἄντρον ἐν Παρνασσῷ. Κέκληται δὲ ἀπὸ νύμφης Κωρυκίας, ἧς καὶ Ἀπόλλωνος παῖς Λυκωρεὺς, ἀφ᾽ οὗ Λυκωρεῖς οἱ Δελφοί.

Πλειστὸς δὲ, ποταμὸς Δελφίδος.

V. 712. *Θαρσύνεσκον ἔπεσσιν.* Ὅτε (φησὶν) ἐτόξευσε τὸν δράκοντα, ἐπεφώνουν αἱ νύμφαι τοῦ βάλλειν αὐτὸν, ἵη ἵη βέλος· ἐξ οὗ τὸ ἐφύμνιον ἐγένετο ἰηπαιήων.

V. 714. *Χορείῃ μέλψαν ἀοιδῇ.* Τῇ μετὰ χοροῦ λεγομένῃ ᾠδῇ.

V. 715. *Λοιβαῖς εὐαγέεσσιν.* Ὤμοσαν (φησὶν) ὁμονοήσειν ἀλλήλοις· ὅθεν καὶ Ὁμονοίας θεᾶς ἵδρυται ἱερόν.

V. 719. *Κυδίστην.* Ἀντὶ τοῦ κρατίστην θεῶν ὁμόνοιαν τιμῶντες. *Πορσαίνοντες* γὰρ, ἀντὶ τοῦ τιμῶντες. Ἀλλαχοῦ δὲ ἀντὶ τοῦ ὑπηρετεῖν. Γράφεται καὶ *κικλήσκοντες.*

V. 722. *Ποταμοῦ στόμα.* Σαγγάριος, πο-

ταμὸς Φρυγίας. Ὁ δὲ Μυρλεανὸς Σάγγαρον αὐτὸν λέγεσθαι φησίν. Ἑρμογένης δὲ ἐν τῷ περὶ Φρυγίας φησὶν, Σάγγαν τινὰ ἀσεβήσαντα περὶ τὴν Ῥέαν, μεταβαλεῖν εἰς τοῦτο τὸ ὕδωρ, καὶ ἀπ᾽ αὐτοῦ τὸν ποταμὸν Σαγγάριον ὀνομασθῆναι. Πλησίον δὲ αὐτοῦ ὀρείας Δήμητρος ἱερόν ἐστιν, ὥς φησι Ξάνθος.

V. 723. Καὶ Μαριανδυνῶν. Οἱ Μαριανδυνοὶ ὅμοροι τοῖς Παφλαγόσι. Προσηγορεύθησαν δὲ ἀπὸ Μαριανδυνοῦ τοῦ Κιμμερίου παιδός.

V. 724. Λύκοιο ῥέεθρα. Λύκος ποταμὸς ὁμώνυμος τῷ βασιλεῖ. Ῥεῖ δὲ διὰ τῆς τῶν Μαριανδυνῶν χώρας.

Ἀνθεμοεισίδα δὲ, ἀπὸ Ἀνθεμοεισίας, τῆς Λύκου μὲν θυγατρὸς, γυναικὸς δὲ Δασκύλου τοῦ Ταντάλου υἱοῦ.

V. 727. Ἠῶθεν δ᾽ ἀνέμοιο. Νυκτὸς δὲ (φησὶ) τοῦ ἀνέμου λήξαντος περὶ τὸν ὄρθρον, εἰς τὸ πέραν, εἰς τὴν Ἀχερουσίαν ἄκραν, εἰς ὅρμον κατήχθησαν.

V. 729. Ἡ μέν τε κρημνοῖσιν. Ὅτι ἡ περὶ Ἡράκλειαν Ἀχερουσιὰς καλουμένη πανταχόθεν ἐκ θαλάσσης ἐστὶν ὑψηλή τε καὶ ἀπόκρημνος, καὶ ἀπονένευκεν εἰς δυσμὰς εἰς τὸ πρὸ τῆς Βιθυνίας πέλαγος· καὶ ὅτι προσπίπτον αὐτῇ τὸ κῦμα σφοδροὺς ἀποτελεῖ ἤχους· καὶ περὶ τῶν ἐπ᾽ ἄκρας αὐτῆς πεφυκυιῶν πλατάνων, καὶ τοῦ ἐπ᾽ αὐτῇ πεδίου· καὶ ὅτι δοκεῖ αὐτόθι κατάβασις εἰς ᾅδου ὑπάρχειν, Νύμφις ἐν τῷ περὶ Ἡρακλείας ᾱ φησί· παρ᾽ οὗ Ἀπολλώνιος ἔοικε ταῦτα μεταφέρειν.

V. 731. Λισσάδες ἐῤῥίζωνται. Ὑψηλαὶ καὶ ἀνάντεις ἐν βάθει τεθεμελίωνται.

V. 733. Ἀμφιλαφεῖς. Ἀνθηραὶ, μεγάλαι καὶ περίοπτοι.

V. 734. Ἐκ δ' αὐτῆς εἴσω. Κατὰ τὸ πρὸς ἤπειρον τὲ καὶ μεσημβρίαν μέρος τῆς Ἀχερουσίας ἄκρας τὸ Ἀχερόντειον σπήλαιόν ἐστι, καὶ τὸ χάσμα τὸ κατὰ γῆς.

V. 735. Ὕπαιθα. Τὸ ἔμπροσθεν καὶ ἐκ πλαγίου σημαίνει.

V. 736. Ἐπηρεφές. Ἀντὶ τοῦ σύσκιον.

Φησὶ δὲ, ὅτι πνεῦμα καὶ ψυχρά τις αὖρα ἀναφέρεται ἐκ τοῦ στομίου, καὶ διὰ τοῦτο κύκλῳ περιπεπάχνωνται.

V. 737. Πηγυλὶς δέ ἐστιν ἡ παγετώδης καὶ ψυχρά.

V. 739. Ἰαίνεται ἐνταῦθα ἀντὶ τοῦ λύεται καὶ τήκεται.

V. 740. Σιγὴ δ' οὔποτε. Φησὶν, ὅτι καὶ διὰ τῶν δένδρων καὶ διὰ τῶν κυμάτων ἦχον καὶ ψόφον ἀποτελεῖ, καὶ ἡσυχίαν οὐκ ἔχει.

Βλοσυρὰν ἐνταῦθα τὴν λαμπρὰν ἴσως σημαίνει.

V. 743. Ἔνθα δὲ καὶ προχοαί. Φησὶν, ὅτι καὶ ὁ Ἀχέρων Σοωναύτης λέγεται, καὶ ὅτι ἐκ τῆς Ἀχερουσίας ἄκρας φέρεται διά τινος φάραγγος εἰς τὴν πρὸς ἀνατολὰς θάλασσαν.

V. 744. Ἀνερεύγεται. Οἷον καταῤῥεῖ καὶ ἔξεισι.

V. 746. Σοωναύτην. Οἱ εἰς τὴν Ἡράκλειαν κατοικήσαντες Μεγαρεῖς, ὅτε εἰς τὴν ἀποικίαν ἔπλεον, χειμασθέντες εἰς τὸν Ἀχέροντα ποταμὸν κατέφυγον. Ὅθεν καὶ διασωθέντες οἱ ναῦται Σοωναύτην ἐκάλεσαν αὐτόν. Οὗτοι δὲ οἱ Ἡρακλεῶται Μεγαρέων εἰσὶν ἄποικοι καὶ Βοιωτῶν, κατοικοῦσι δὲ ἐν τῇ Μαριανδυνῶν χώρᾳ.

Σοωναύτης, ποταμὸς περὶ Ἡράκλειαν, οὕτως ὠνομασμένος, ἐπειδὴ πάντας τοὺς ναυτιλλομένους διασώζει, ἀπαθεῖς ἔχων καὶ ἠρεμαίους λιμένας.

V. 749. Ἐγχρίψαι τὸ ἐμπεσεῖν σημαίνει.

V. 751. *Εἰσωποὶ*, ἐναντίοι ἐσώτεροι γενόμενοι.

V. 752. *Οὐδ' ἄρα δηθά.* Λύκον φησὶ τότε Μαριανδυνῶν βασιλεύειν, ὃς διὰ τὸ πρὸς τοὺς Βέβρυκας καὶ Ἄμυκον ἔχθος φιλοξένως τοὺς Ἀργοναύτας ὑπεδέξατο. Φασὶ δὲ αὐτὸν υἱὸν εἶναι Δασκύλου τοῦ Ταντάλου, καὶ Ἀνθεμοεισίας τῆς Λύκου τοῦ ποταμοῦ· ὡς μαρτυρεῖ καὶ Νύμφις ἐν τῷ ᾱ τῆς Ἡρακλείας, καὶ Ἡρόδωρος παριστορῶν. Ὑπεδέξατο δὲ τοὺς ἥρωας, ὥς τινες, διὰ τὸ τὸν Πέλοπα, τὸν θεῖον αὐτοῦ, τιμηθῆναι παρὰ τῶν Ἑλλήνων· ἅμα δὲ καὶ διὰ τὸν Ἀμύκου καὶ τῶν Βεβρύκων φόνον. Ἐχθροὶ γὰρ ἦσαν τοῖς Μαριανδυνοῖς οἱ Βέβρυκες.

V. 754. *Αὐθένται Ἀμύκοιο.* Συλληπτικῶς εἶπεν φονέας Ἀμύκου τοὺς ἥρωας, καίτοι Πολυδεύκους μόνου τοῦτο δεδρακότος. *Αὐθέντης* δὲ λέγεται ὁ ἐξ ἑαυτοῦ ἐπί τινος φόνον ἱέμενος, οἷον αὐτοέντης τὶς ὤν.

Κλέος. Ἡ διαδεδομένη φήμη.

V. 755. *Ἀρθμός.* Ἡ φιλία.

V. 758. *Ἀντιβίην Βέβρυξιν.* Ἐχθροὶ ἀεὶ οἱ Μαριανδυνοὶ τῶν Βεβρύκων. Ἡττήθησαν δὲ πολλάκις ὑπ' αὐτῶν· καὶ ὁ ἀδελφὸς δὲ Λύκου Πριόλας συλληφθεὶς ὑπὸ τοῦ Ἀμύκου ἀνῃρέθη. Ὕστερον δὲ προσλαβόμενος Ἡρακλέα σύμμαχον, πρὸς Ἀμαζόνας στρατευόμενον, ἐξ εὐχεροῦς περιεγένετο τῶν Βεβρύκων. Τινὲς δὲ τὸν Πριόλαον υἱὸν αὐτοῦ καὶ οὐκ ἀδελφὸν ἱστοροῦσιν.

V. 765. *Ὅσσά τε Κύζικον.* Οὐ Κύζικον τὸν βασιλέα τῶν Δολιόνων φησὶν, ἀλλὰ τὴν πόλιν.

V. 767. *Γλαυκοιό τε βάξιν.* Ὁ Γλαῦκος παρὰ τοῖς Ἴβηρσι τιμᾶται, γέρων καλούμενος. Ἔστι δὲ ἄκρα Γλαύκου ἐκεῖ καλουμένη.

V. 777. Ὅτε δεῦρο δι᾽ Ἀσίδος. Τῆς Λυδίας λέγει. Ἀσία γὰρ τοπρότερον ἐκαλεῖτο ἡ Λυδία. Καὶ Ὅμηρος·

Ἀσίῳ ἐν λειμῶνι.

Καὶ ἡ κιθάρα Ἀσία λέγεται, ἐπεὶ ἐν Λυδίᾳ πρῶτον εὑρέθη.

V. 778. Τὸ δὲ, πεζὸς ἔβη, ἀκολούθως τῷ μύθῳ, πεζὸν τὸν Ἡρακλέα φησὶν ἐπὶ τὸν ζωστῆρα τῆς Ἱππολύτης· δηλαδὴ διὰ τὸ τὰς Συμπληγάδας πέτρας τότε συντρέχειν. Ἆθλος δὲ ἦν οὗτος ἔνατος. Πολλοὶ δὲ λόγοι περὶ τοῦ ζωστῆρος εἰσίν. Τινὲς μὲν γὰρ Ἱππολύτης, ἄλλοι δὲ Διϊλύκης· Ἴβυκος δὲ ἰδίως ἱστορῶν Βριάρεω θυγατρὸς φησίν.

V. 780. Ἔνθα δ᾽ ἐπὶ Πριόλαο. Φησὶν, ὅτι ἡνίκα Ἡρακλῆς ἐπὶ τὸν Ἱππολύτης ἐπορεύετο ζωστῆρα, κατέλαβε Μαριανδυνοὺς ὑπὸ Βεβρύκων καταπονουμένους· ἐπιστρατεύσας δὲ μετὰ Μαριανδυνῶν ἐχειρώσατο τοὺς πολεμίους. Πεσόντος δὲ ἐν τῇ μάχῃ Πριολάου τοῦ Μαριανδυνῶν προηγουμένου, ἀγὼν ἐπιτάφιος ἐτέθη ἐπ᾽ αὐτῷ, ἐν ᾧ Ἡρακλῆς ἐνίκησε Τιτίαν, ἕνα τῶν Μαριανδυνῶν. Πριόλας δὲ, ἀδελφὸς Λύκου, καὶ Πριόλα πόλις πλησίον Ἡρακλείας. Τὸν δὲ Τιτίαν οἱ μὲν φασὶ Διὸς παῖδα, ἕνα τῶν Ἰδαίων Δακτύλων, οἱ δὲ τὸν πρεσβύτατον τῶν Μαριανδυνοῦ παίδων. Ὁ δὲ Μαριανδυνὸς Φινέως ἢ Φρίξου ἢ Κιμμερίου λέγεται παῖς εἶναι. Ἀπὸ δὲ Τιτίου φασὶ Τίτιον τὴν πόλιν κληθῆναι.

Ἔνθα δ᾽ ἐπί. Ἰδίως τὸν θρυλλούμενον Πριόλαον φησί· τῶν ἄλλων Βάρυνον λεγόντων τὸν Τιτίου υἱὸν, ὡς Νύμφις καὶ Καλλίστρατος.

V. 782. Ἐλέγοισιν. Τοῖς γὰρ ἐλεγείοις ἐν τοῖς ἐπιταφίοις ἐχρῶντο οἱ παλαιοί.

V. 786. sq. *Αὐτὰρ ὁμοῦ.* Τὸ ἑξῆς, ὁ Ἡρακλῆς τῷ ἐμῷ πατρὶ Δασκύλῳ ὑπέταξεν ὁμοῦ Μυσοὺς καὶ Φρύγας.

Τινὲς γράφουσι *Μυγδόνας*, ἵνα ᾖ, ὁμοῦ Μυσοὺς καὶ Μυγδόνας ὑπέταξε τῷ πατρί μου. Ὅτι δὲ Φρύγας ἐχειρώσατο τοῖς Μαριανδυνοῖς, καὶ Νύμφις ἱστορεῖ. Διὸ καὶ οὕτω γράφει. Εἰ δὲ γράφοιτο *Μυγδόνας*, ἤτοι τοὺς Βέβρυκας ἀπὸ Μυγδόνος βασιλέως αὐτῶν οὕτω κέκληκεν· ἢ ῥητέον, ὅτι Μοίριδι κατηκολούθησεν. Οὗτος γὰρ Μυγδόνας ἔφησε καταπολεμῆσαι τὸν Ἡρακλέα.

V. 789. *Ἔστ' ἐπὶ Ῥηβαίου.* Τῆς μὲν Παφλαγονίας μέχρι τοῦ Βιλλαίου ποταμοῦ κατεστρέψατο πᾶσαν· οὗτος δὲ διὰ τῆς ἐπικειμένης Φρυγίας ῥέων, ἐξίησι παρ' αὐτὴν τὴν Τιτάνων πόλιν· ἐκ δὲ τούτου, πρὸς δυσμὰς, ἕως τοῦ Ῥήβα καὶ τοῦ ἐπικειμένου σκοπέλου κατὰ τὴν ἐκβολὴν τούτου.

Ὅτι δὲ τοὺς Παφλαγόνας ὑπέταξεν Ἡρακλῆς τοῖς περὶ Λύκον, ἱστορεῖ Δεινίας ἐν πρώτῳ Ἀργολικῶν, καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς ἐν δεκάτῳ Βιθυνιακῶν.

V. 791. *Βιλλαῖος* προπερισπωμένως. Οὕτω φησὶν Ἡρωδιανὸς ἐν τῷ πέμπτῳ τῆς καθόλου. Ἔστι δὲ ποταμὸς Παφλαγονίας· οἱ δὲ, Φρυγίας.

V. 794. sq. *Ὄφρ' ἐβάλοντο.* Φησὶν, ὅτι οἱ Βέβρυκες πόλιν ἀπετάμοντο τῆς Μαριανδυνῶν χώρας, καὶ μέχρι τοῦ Ὑπίου ποταμοῦ προσηγάγοντο τοὺς ὅρους. Ὤκισται δὲ παρὰ τῷ ποταμῷ ἐν τῇ Θυνίᾳ καὶ πόλις Ὑπία λεγομένη. Ὁ δὲ Ὕπιος ὠνόμασται ἀπὸ τοῦ καταφέρεσθαι ἀπὸ τῶν Ὑπίων ὀρῶν.

Εἰαμενὰς δὲ λέγει τοὺς καθύγρους τόπους.

V. 799. *Ἄρκιος* ἐστὶν ὁ ἱκανὸς καὶ ὁ ἕτοιμος.

V. 800. *Τίειν*, τὸ ἀποδιδόναι.

V. 801. *Ὀφέλλειν*, τὸ εὐεργετεῖν.

V. 804. *Ἀντιᾷν*, τὸ περιτυχεῖν ἐνταῦθα.

Ἐπελάσσαι ἄρηα. Ἐπαγαγεῖν. Οὐ χωρὶς θεῶν (φησὶ) προνοίας, ὦ Πολύδευκες, ἐκείνῃ τῇ ἡμέρᾳ ἀπέκτεινας τὸν Ἄμυκον. *)

V. 806. *Νόσφι δὲ Τυνδαρίδαις*. Χωρὶς δὲ τούτων τοῖς Τυνδαρίδαις, τοῦτ᾽ ἔστι, τοῖς Διοσκούροις, ἱερὸν ἱδρύσομεν ἐπὶ τῆς Ἀχερουσίας ἄκρας.

V. 810. *Ηίονας εὐαρότοιο*. Ἀντὶ τοῦ, τέμενος πρὸ τῆς πόλεως ἀπομερίσω αὐτοῖς.

V. 811. *Ὣς τότε μέν*. Οὕτως τότε δι᾽ ὅλης ἡμέρας περὶ τὴν εὐωχίαν ἐτέρποντο καὶ ἔπαιζον.

V. 812. *Ἐγκονέοντες*. Ἐνεργοῦντες. Ὅθεν καὶ γόνυ, οἷον κόνυ τὶ ὄν· παρὰ τὸ ἐνεργεῖν δι᾽ αὐτοῦ.

V. 815. *Ἔνθα δ᾽ Ἀβαντιάδην*. Περὶ τοῦ ἐν Μαριανδυνοῖς γενομένου θανάτου τοῦ Ἴδμονος καὶ Ἡρόδωρος ἱστορεῖ ἐν τοῖς περὶ Ἡρακλείας, ὡς Προμηθίδας εἶπε, καὶ Νύμφις ἐν τῷ περὶ Ἡρακλείας, ὡς Ἴδμων ὑπὸ συὸς ἐπλήγη.

V. 817. *Ἐπεὶ χρεώ*. Ἡ χρεία, ἡ εἱμαρμένη.

V. 819. *Ψυχόμενος*. Τῷ ψυχρῷ βρεχόμενος.

V. 821. *Ἐλειονόμοι*. Αἱ ἐν τοῖς ἕλεσι διατρίβουσαι.

V. 822. *Τῖφος*. Ὁ ἑλώδης τόπος.

V. 823. *Ἀνὰ θρωσμούς*. Ἀντὶ τοῦ, κατὰ τὰς ἀναβολὰς καὶ ἀναβάσεις καὶ καθόδους.

V. 824. *Ἀφράστοιο*. Ἄφραστος, ἀπροσδόκητος.

---

*) Ad v. 797.

V. 828. Ὀρέξατο τὸ ἔτεινε σημαίνει.

V. 829. Αἰγανέην. Ἢ παρὰ τὸ ἄγαν ἵεσθαι· ἢ διὰ τὴν ἀγκύλην τὴν ἐξ αἰγείου δέρματος γεγενημένην· ἢ διὰ τὰς αἶγας, παρὰ τὸ ἐπ' αὐτὰς νεῖσθαι.

V. 831. Θοῷ. Θοον τὸ ὀξύ.

V. 833. Ψυχοῤῥαγέοντα. Ἀποψυχοῦντα.

V. 836. Κηδείαν δὲ λέγει τὸ ἐπὶ τῶν νεκρῶν πένθος.

V. 838. Μεγαλωστί. Μεγαλοπρεπῶς.

V. 843. Νηΐου ἐκ κοτίνοιο. Κότινος οὐ μόνον ὁ ἀγριέλαιος, ἀλλὰ καὶ ἡ ἄκαρπος ἐλαία.

Φάλαγξ δὲ, τὸ ἐπίμηκες καὶ στρογγύλον ξύλον. Πολλὰς δὲ τοιαύτας εἶχον φάλαγγας οἱ ἀριστεῖς πρὸς τὰς νεολκίας, ἀφ' ὧν ἐπὶ τῷ τοῦ Ἴδμονος τάφῳ κατὰ παραίνεσιν τοῦ Ὀρφέως μίαν λαβόντες προσέπηξαν· ἥτις βλαστήσασα, ἔτι καὶ νῦν δείκνυται. Περὶ ταύτην δὲ τὴν Ἡράκλειαν ἔκτισαν.

V. 845. Χρειὼ ἀπηλεγέως. Εἰ δέ με (φησὶ) καὶ τοῦτο δεῖ ἁπλῶς καὶ κατὰ ἀλήθειαν ἐξειπεῖν, οὗτός ἐστιν ὁ Ἴδμων, ὃν ἐχρησμῴδησεν ὁ θεὸς ἐξιλάσκεσθαι Μεγαρεῦσι καὶ Βοιωτοῖς, ὅτε τὴν Ἡράκλειαν ἔμελλον κτίζειν. Τοῦτο δὲ ἔφη ὁ Ἀπολλώνιος, ὡς μὴ εἰδότων τῶν Ἡρακλεωτῶν, τίς εἴη ὁ τεθαμμένος παρ' αὐτοῖς, καὶ χρησμῳδηθεὶς εἶναι πολιοῦχος ὑπὸ τοῦ θεοῦ. Λέγει δὲ καὶ Προμαθίδας, ὅτι διὰ τὸ ἀγνοεῖν, ὅστις εἴη, ἐπιχώριον ἥρωα καλοῦσιν οἱ Ἡρακλεῶται. Ὅτι δὲ Βοιωτοὶ καὶ Μεγαρεῖς ἔκτισαν τὴν ἐν Πόντῳ Ἡράκλειαν, καὶ Ἔφορος ἐν πέμπτῳ καὶ ἄλλοι ἱστοροῦσιν.

V. 847. Ἐπιῤῥήδην. Ὅτι διαῤῥήδην καὶ φανερῶς ἐπικαλεῖν αὐτὸν πολιοῦχον ὁ θεὸς προσέταξεν.

V. 848. Ἀμφὶ δὲ τήνδε. Περὶ δὲ τὸν ἀγριέλαιον

τὸν ἐπιπεφυκότα τῷ Ἴδμονος τάφῳ ἐθέσπισεν ὁ θεὸς τοῖς Μεγαρεῦσι καὶ Βοιωτοῖς τὴν πόλιν κτίσαι. Λέγει δὲ τὴν Ἡράκλειαν. Ἐν γὰρ τῇ ἀγορᾷ τῶν Ἡρακλεωτῶν ὑπάρχει ὁ τάφος (ὥς φησιν Ἡρόδωρος), ἐφ᾽ οὗ ἐστιν ὁ ἀγριέλαιος.

V. 849. Οἱ δ᾽ ἀντὶ θεουδέος. Ὅτι τὸν τάφον τοῦ Ἀγαμήστορος λέγουσι τινὸς ἥρωος ἐπιχωρίου.

V. 854. Ἀγνιάδην Τῖφυν. Ὅτι ἐν τῇ Ἡρακλείᾳ τέθνηκεν καὶ ὁ Τῖφυς, εἶπε Νύμφις. Ἡρόδωρος δέ φησιν, ὅτι οὐκ ἀπιόντων εἰς Κόλχους τέθνηκεν ὁ Τῖφυς, ἀλλ᾽ ὑποστρεφόντων.

V. 857. Εἴσοτ᾽ Ἀβαντιάδαο. Ἐν ὅσῳ ἔθαψαν τὸν Ἴδμονα, ἐν τοσούτῳ καὶ ὁ Τῖφυς νοσήσας ἐτελεύτησεν.

V. 858. Κῆδος. Ἡ λύπη.

V. 859. Παρασχεδὸν αὐτῶν. Ἐγγύς. Ἢ ἐν τῷ μεταξύ.

V. 862. Κατήμυσαν. Ἐστύγνασαν ταῖς λύπαις. Κατεκλίνθησαν. Ὅτι ἀπηλπίκεισαν τὴν σωτηρίαν παντάπασιν.

V. 866. Ἰμβρασίοισι. Ἴμβρασος, ποταμὸς Σάμου, πρότερον Παρθένιος λεγόμενος. Καλλίμαχος·

Ἀντὶ γὰρ ἐκλήθης Ἴμβρασε Παρθενίου.

Ἀστυπάλαια. Ὅτι Ποσειδῶνος καὶ Ἀστυπαλαίας τῆς Φοίνικος ὁ Σάμιος Ἀγκαῖος ἦν παῖς, ὃς ἐκυβέρνα τὴν ναῦν μετὰ τὴν Τίφυος τελευτὴν, καὶ Σιμωνίδης ὁ γενεαλόγος ὁμοίως τῷ Ἀπολλωνίῳ γενεαλογεῖ.

V. 867. Περιπρὸ γὰρ εὗ. Ἀντὶ τοῦ διαφερόντως.

V. 872. Παρθενία δὲ ἡ Σάμος. Ἐκέχρητο γὰρ πολλοῖς ὀνόμασι. Καὶ γὰρ Μελάνθεμος καὶ Παρθενία καὶ Ἀνθεμοῦσα ἐκαλεῖτο.

V. 875. Ὅτινα. Ἀντὶ τοῦ ὅντινα. Ὡς γὰρ ὅτου καὶ ὅτῳ λέγομεν, οὕτω καὶ ὅτινα ποιητικῶς.

Τὸ δὲ ἰάψει, ἀντὶ τοῦ βλάψει καὶ διαφθερεῖ τὸν πλοῦν.

V. 878. Ὀρέξατο. Ὄρεξιν ἔλαβε, καὶ οἷον πρόθυμος ἐγένετο.

V. 888. Τὸ κατηφῆσαι ἀντὶ τοῦ δυσανασχετῆσαι.

V. 889. Τῷ καὶ ὁμοῦ. Διὸ καὶ σὺν τοῖς ἀπολλυμένοις καὶ αὐτὸς προσορῶμαι τὴν ἀπώλειαν.

V. 895. Ἐτράπεθ' ὁρμῇ. Μετέπεσε καὶ μετετράπη εἰς εὐελπισίαν ὁ Ἀγκαῖος.

Ἡρόδωρος Ἐργῖνον φησὶ κυβερνῆσαι τὴν Ἀργὼ μετὰ τὸν θάνατον Τίφυος.

V. 901. Καρπαλίμως. Ταχέως διὰ τοῦ Ἀχέροντος ἐξήλασαν ποταμοῦ. Ἔτυχον γὰρ μέχρι ε̄ σταδίων ἀναπλεύσαντες, διὰ τοῦ Ἀχέροντος καθορμισάμενοι, ὥς φησι καὶ Ἡρόδωρος ἐν τοῖς Ἀργοναύταις.

V. 904. Ὦκα δὲ Καλλιχόροιο. Ποταμὸς Παφλαγονίας, ἱερὸς Διονύσου, περὶ Ἡράκλειαν· οὗ μέμνηται καὶ Καλλίμαχος. Ἔξεισι δὲ διὰ στομάτων δισσῶν. Οὕτω δὲ κέκληται ἀπὸ τοῦ τὸν Διόνυσον αὐτόθι στῆσαι χορὸν, ὅτε ἀπὸ Ἰνδῶν ὑπέστρεφε. Τοῦτον δὲ πάλιν Ὀξύνοντα ἐκάλουν.

Ὅτι δὲ κατεπολέμησεν Ἰνδοὺς ὁ Διόνυσος, Διονύσιος φησὶ καὶ Ἀριστόδημος ἐν πρώτῳ Θηβαϊκῶν ἐπιγραμμάτων, καὶ Κλείταρχος ἐν ταῖς περὶ Ἀλεξάνδρου ἱστορίαις, προσιστορῶν, ὅτι καὶ Νύσα ὄρος ἐστὶν ἐν Ἰνδικῇ, καὶ κισσῷ προσόμοιον φυτὸν φυτεύεται ἐκεῖ, ὃ προσαγορεύεται σκινδαψός. Ὡσαύτως δὲ καὶ Χαμαιλέων ἱστόρησεν ἐν πέμπτῳ περὶ Ἰλιάδος.

V. 908. *Ἀμειδήτους.* Ἤτοι φοβερὰς διὰ τὰ μυστήρια τοῦ θεοῦ· ἢ ὅτι φοβεραί εἰσιν αἱ νύκτες. Εὐριπίδης·

Νύκτωρ τὰ πολλὰ σεμνότητ' ἔχει σκότος.

V. 911. *Σθενέλου τάφον.* Ἐν τῇ Παφλαγονίᾳ Σθενέλου τάφος ἐστὶ τοῦ Ἄκτορος· ὃς συστρατεύσας Ἡρακλεῖ ἐπ' Ἀμαζόνας, τρωθεὶς ἀνεχώρησεν, καὶ ἀπέθανε καθ' ὁδὸν περὶ τὴν Παφλαγονίαν. Τὴν δὲ περὶ Σθενέλου ἱστορίαν ἔλαβε παρὰ Προμαθίδα, τὰ δὲ περὶ τοῦ εἰδώλου αὐτὸς ἔπλασεν.

V. 915. *Ἀνεμέτρεον*, ἀντὶ τοῦ παρέπλεον.

V. 918. *Στεφάνην*, τὴν ἄκραν.

V. 926. *Ἥγνισαν*, ἀντὶ τοῦ ἐκάρπωσαν καὶ ἔκαυσαν.

V. 929. *Ἐκ τοῦδε Λύρη.* Οὗτος μὲν φησὶν ἐπὶ τῷ τοῦ Ἀπόλλωνος βωμῷ τὴν λύραν ἀνατεθεῖσθαι ὑπὸ Ὀρφέως· (διὸ καὶ τὴν χώραν προσηγορεῦσθαι) ὁ δὲ Προμαθίδας, ἐπὶ στήλης τινός.

V. 933. *Ἐντενές.* Συντόνως.

V. 934. *Ταρσὸν* δὲ τὸ σῶμα φησίν. Δηλοῖ δὲ τὰς πτέρυγας.

V. 936. *Καὶ δὴ Παρθενίοιο ῥοάς.* Ποταμὸς Παφλαγονίας. Ἐκβάλλει δὲ τὰ ῥεύματα περὶ πόλιν Σήσαμον. Τὸ δὲ ὕδωρ αὐτοῦ ἐν πᾶσι παρέρχεται. Παρθένιον δὲ φησὶν αὐτὸν ὠνομάσθαι Καλλισθένης διὰ τὸ τὴν Ἄρτεμιν ἐν αὐτῷ λούεσθαι. Ἔνιοι δὲ διὰ τὸ στάσιμον τοῦ ῥεύματος καὶ ἤρεμον φασὶν οὕτω προσαγορεύεσθαι.

V. 941. *Σήσαμον.* Πόλιν Παφλαγονίας. Ὅμηρος·

— — — καὶ Σήσαμον ἀμφενέμοντο.

Τὸ δὲ Σήσαμον μετωνομάσθη Δάματρις ἀπὸ Δαρείου

ἀδελφοῦ θυγατρός. Ἐκλήθη δὲ τὴν ἀρχὴν ἀπὸ τοῦ σήσαμον λαβεῖν παρὰ Καρῶν ἀντὶ τῆς χώρας βουλόμενον κτίσαι τὴν πόλιν.

Ἐρυθῖνοι δὲ, οὕτω λεγόμενοι λόφοι περὶ Παφλαγονίαν. Οὕτω δὲ λέγονται διὰ τὴν ἐρυθρότητα τοῦ χρώματος. Εἰσὶ γὰρ τοιοῦτοι. Καὶ Ὅμηρος αὐτῶν μέμνηται·

— — — — καὶ ὑψηλοὺς Ἐρυθίνους.

V. 942. Ὑλήεντα δὲ εἶπεν, διὰ τὸν πύξον ἐκεῖ πολὺν γίνεσθαι.

Κρωβίαλον πόλις περὶ Παφλαγονίαν, ἧς μέμνηται Στράβων ἐν Γεωγραφουμένοις. Παρ' Ὁμήρῳ δὲ μεταγράφει ἀντὶ τοῦ, Κρῶμναν τ' Αἰγιαλόν τε, Κρῶμναν Κρωβίαλόν τε.

V. 945. Αἰγιαλόν. Ἔστι γὰρ αἰγιαλὸς σταδίων μυρίων κάμψαντι τὴν Κάραμβιν μέχρι Σινώπης.

V. 946. Αὐτίκα δ' Ἀσσυρίης. Ἀσσυρίαν εἶπε τὴν Συρίαν τὴν Καππαδοκίαν. Ἐκαλεῖτο δὲ πάλαι Συρία, διὰ τὸ τὸν Ἅλυν ποταμὸν μεταξὺ Σύρων καὶ Παφλαγόνων ῥέοντα, (φησὶν) εἰς τὸν Εὔξεινον ἐκδιδόναι πόντον. Τινὲς δὲ τῶν ἀρχαίων Λευκοσυρίαν αὐτὴν ἐκάλουν.

Ἔνθα Σινώπην. Πόλις τοῦ Πόντου ἡ Σινώπη, ὠνομασμένη ἀπὸ τῆς Ἀσωποῦ θυγατρὸς Σινώπης· ἣν ἁρπάσας ὁ Ἀπόλλων, κατὰ Φιλοστέφανον, ἀπὸ Βοιωτίας ἐκόμισεν εἰς τὸν Πόντον, καὶ μιγεὶς αὐτῇ, ἔσχε Σύρον, ἀφ' οὗ οἱ Σύροι. Τὴν δὲ τῶν Ἀσσυρίων χώραν Λευκόσυρον φησὶ καλεῖσθαι Ἄνδρων ἐν τῷ περὶ Πόντου, κατὰ ἀντίφρασιν τῶν ἐν τῇ Φοινίκῃ Σύρων. Ὁ δὲ Τήϊος Ἄνδρων φησὶ μίαν τῶν Ἀμαζόνων φυγοῦσαν εἰς Πόντον γήμασθαι τῷ τῶν τόπων ἐκείνων βασιλεῖ, πί-

νουσάν τε πλεῖστον οἶνον, ὀνομασθῆναι Σανάπην, ἐπειδὴ μεταφραζόμενον τοῦτο σημαίνει τὴν πολλὰ πίνουσαν. Ὅτι δέ τινες τοὺς Ἀσσυρίους Λευκοσύρους λέγουσι, φησὶ καὶ Ἀρτεμίδωρος. Ἐν δὲ τοῖς Ὀρφικοῖς Ἄρεος καὶ Αἰγίνης γενεαλογεῖται ἡ Σινώπη· κατὰ δέ τινας, Ἄρεος καὶ Παρνάσσης· κατ' Εὔμηλον καὶ Ἀριστοτέλην, Ἀσώπου. Καὶ οὗτος μέν φησιν, ὅτι Ἄλυν τε τὸν ποταμὸν ἐπλάνησε καὶ Ἀπόλλωνα, καὶ Δία, αἰτησαμένη παρ' αὐτῶν πρότερον, ἵν' ἐπιτύχῃ οὗ ἂν ἐθέλοι· ἔπειτα εἰποῦσα παρθενίας ὀρέγεσθαι, ταύτης ἐπέτυχεν, ὡς ἂν ὅρκῳ δεδεμένων αὐτῶν. Φιλοστέφανος δέ φησι τοὐναντίον, Ἀπόλλωνι αὐτὴν μιγεῖσαν, ἀποκυῆσαι τὸν προσαγορευθέντα Σύρον· ἐπεὶ δὲ οἱ μέθυσοι Σανάπαι λέγονται παρὰ Θραξὶν (ᾗ διαλέκτῳ χρῶνται καὶ Ἀμαζόνες) κληθῆναι τὴν πόλιν· ἔπειτα κατὰ φθορὰν Σινώπη. Ἡ δὲ μέθυσος Ἀμαζὼν ἐκ τῆς πόλεως παρεγένετο πρὸς Λυτίδαν, ὥς φησιν Ἑκαταῖος.

V. 955. Τρικκαίοιο. Ἡνίκα ὁ Ἡρακλῆς ἐστράτευσεν ἐπὶ Ἀμαζόνας, σύμμαχοι ὄντες οἱ περὶ τὸν Αὐτόλυκον ἐπλανήθησαν, καὶ περὶ τὴν νῦν καλουμένην Σινώπην ᾤκησαν. Ἄλλοι δέ φασιν, ἑκουσίως καταλειφθῆναι αὐτοὺς, ἵνα τοὺς περὶ Σινώπην καταπολεμήσωσι τόπους.

V. 956. Δηϊλέων τε. Οὗτοι καταλειφθέντες ὑπὸ Ἡρακλέους ἐπὶ τὸν τῆς Ἀμαζόνος ζωστῆρα κεχωρηκότος, φήμης δοθείσης, ὡς ἀπόλωλεν Ἡρακλῆς, τῶν Σινωπαίων λεγόντων, παραπλεόντων τῶν Ἀργοναυτῶν, παρεκάλεσαν ἀναλαβεῖν αὐτοὺς τῇ νηΐ. Τινὲς δέ φασιν, ὅτι ἐπλανήθησαν ἀπὸ Ἡρακλέους, καὶ περὶ τὴν νῦν καλουμένην Σινώπην ᾤκησαν.

V. 961. Ἀργέσταο. Τοῦ Ζεφύρου οὕτω λεγομένου. Ἄρχεται δὲ πνεῖν ἀπὸ θερινῆς δύσεως.

Παρεπιπνείειν τὸ ἐπ' ὀλίγον πνεῖν σημαίνει.

Τὸ δὲ *ἄσσον* σημαίνει τὸ τῆς νεὼς ἐγγὺς ἤδη πνέειν.

V. 963. *Ἅλυς καὶ Ἶρις* ποταμοὶ τῆς Λευκοσυρίας.

Τῆς δὲ περὶ Θεμισκύραν ἄκρας καὶ ἐπάνω μέμνηται, εἰπὼν περὶ τοῦ Θερμώδοντος·

Θεμισκύριον ἐπ' ἄκρην
μύρεται.

Κατὰ δὲ τὴν Θεμισκύριον ἄκραν καὶ ἡ καλουμένη Ἡράκλειος ἄκρα ἐστὶν, ἧς ἄλλοι τε καὶ Ἀρτεμίδωρος μέμνηνται· ἐφ' ἧς τὸ τοῦ Ἡρακλέους ἱερὸν ἵδρυται.

V. 964. *Ἠδὲ καὶ Ἀσσυρίης* Πρόχυσιν ἔφη τῆς Ἀσσυρίας, τοῦτ' ἔστι τῆς Λευκοσυρίας, τὴν ἐγκειμένην χωραν αὐτῆς εἰς θάλασσαν· ὡς καὶ ἐν τοῖς ἐπάνω·

Λεῖπον Ἅλυν ποταμὸν, λεῖπον δ' ἁλιμυρέα χώραν,
Ἀσσυρίης ἀνέχουσαν ἀπὸ χθονός.

Τοῦτο δὲ εἶπεν ὡς ποταμοχώστου τῆς γῆς οὔσης, διὰ τὸ μεγάλους εἰς αὐτὴν καταφέρεσθαι ποταμοὺς Ἅλυν καὶ Ἶριν. Καὶ οὕτως ἔχει ταῖς ἀληθείαις, καὶ πρὸς ταῖς ἄρκτοις ἡ χώρα ἔγκειται. Διὸ ποταμόχωστον λέγει εἶναι Ἀπολλωνίδης. Τοὺς γὰρ προειρημένους ποταμοὺς ἀμφοτέρους, μάλιστα τὸν Ἶριν, κατὰ διάφορα μέρη τῆς χωρας ῥέοντα, ἄλλοτε κατ' ἄλλους τόπους ἐκδιδόναι, καὶ ταύτῃ μακροῖς αὐτὴν προσχώμασιν εἰς μέσον ἐπεκτείνειν τὸ πέλαγος. Διὸ δὴ σύμπασαν εἶναι ποταμόχωστον τὴν γῆν. Βίαιον γὰρ καὶ πολὺν αὐτὸν, ἀπὸ τῆς Ἀρμενίας διὰ χειμερίου καὶ μακρᾶς φερόμενον παρασύρειν τὴν γῆν. Τοῦ δὲ κύματος παλίσσυτον ἐλαύνοντος ἐπὶ τὴν γῆν τὴν ἰλὺν, συμβαίνει τὴν χώραν ἐπιπολὺ παραύξεσθαι, καὶ τὴν θάλασσαν γίνεσθαι τεναγώδη.

V. 965. *Γνάμψαν Ἀμαζονίδων.* Εἰκότως εἶ-

πεν, ἐπειδὴ ἀπὸ Σινώπης μέχρι Τραπεζοῦντος τῆς Κολχικῆς ἀπὸ τριῶν σταδίων λιμὴν ἄλλος οὐχ ὑπόκειται πλὴν τούτου, κατὰ τὸν Ἡράκλειον τόπον. Τῆς δὲ Θεμισκύρας ἄκρας καὶ ἄνω μέμνηται.

Ἔφορος δὲ ἐν ἐννάτῳ φησὶ, τὰς Ἀμαζόνας ὑβριζομένας ὑπὸ τῶν ἀνδρῶν, ἐξελθόντων αὐτῶν ἐπί τινα πόλεμον, τοὺς μὲν καταλειφθέντας ἀναιρεῖν, τοὺς δὲ ἀπὸ τῆς ξένης προσιόντας μὴ δέχεσθαι. Διονύσιος δὲ ἐν δευτέρῳ κατὰ Λιβύην αὐτὰς ᾠκηκέναι φησί· ῥώμῃ δὲ διενεγκούσας καὶ τρεψαμένας τοὺς ὁμόρους, ἐλθεῖν καὶ ἐπὶ τὴν Εὐρώπην, καὶ πολλὰς αὐτόθι πόλεις κτίσαι· ὑποτάξαι τε αὐταῖς τὸ Ἀτλαντικὸν ἔθνος, ὃ ἦν δυνατώτατον τῶν τῆς Λιβύης. Ζηνόθεμις δὲ αὐτὰς φησὶν ᾠκηκέναι ἐν Αἰθιοπίᾳ, καὶ διερχομένας ἐπὶ τὸ ἀντιπέραν, συγγίνεσθαι τοῖς αὐτόθι ἀνδράσιν· καὶ εἰ μὲν θῆλυ ἀποκυήσειαν, προσεθίζειν τῇ ἀγωγῇ· εἰ δὲ ἄῤῥεν, τοῖς ἀνδράσι διδόναι.

Λιμενήοχον ἄκρην. Ἐὰν μὲν τὴν συνεχομένην, προπαροξυτόνως· ἐὰν δὲ τὴν συνέχουσαν τὸν λιμένα, παροξυτόνως.

V. 970. *Τῆς οἵ γ' ἐν κόλπῳ.* Τῆς προειρημένης ἄκρας ἐν τῷ κόλπῳ ὥρμησαν.

V. 972. *Τῷ δ' οὔτις ποταμῶν.* Ὅτι ὁ Θερμώδων ἐν τῇ Λευκοσυρίᾳ ἐστὶν, ἣν πρότερον Ἀμαζόνες ᾤκουν, οὐκ ἀγνοεῖται. Φησὶ δὲ αὐτὸν Ἀπολλώνιος ἑκατὸν τεσσάρων δεούσας καταχεῖν ἀποῤῥύσεις εἰς ἄλλα καὶ ἄλλα μέρη, ῥεούσας ἀπὸ μιᾶς πηγῆς. Ἄλλοι δέ φασι, πόρους ἑτέρους δέχεσθαι εἰς αὐτόν. Ὁ αὐτὸς δὲ οὗτος Ἀράξης ἐκαλεῖτο τοπρότερον, ὁμωνύμως τῷ ἐκ τῆς Ἀρμενίας ῥέοντι.

V. 973. *Παρὲξ ἔθεν.* Περισσή ἐστιν ἡ παρά

„Ἔστι γὰρ, ἐξ αὐτοῦ χωρὶς βάλλων τοσαῦτα ῥεύματα ἀπὸ μιᾶς πηγῆς ἄλλος οὐκ ἔστι ποταμός.

V. 975. Πεμπάζειν τὸ ψηφίζειν καὶ μετρεῖν σημαίνει.

V. 978. Ἔνθεν δ᾽ αἰπυτέραν. Ἐκ τῆς ἀνωτάτω (φησὶ) πηγῆς καταντικρὺ φερόμενον τὸν Θερμώδοντα ὑψηλὴ ὑποδέχεται γῆ. Ὅθεν πολλὰς ἔχει ἀποῤῥύσεις καὶ ἐπιστροφὰς, διὰ τὸ ὕδωρ ἐκτρέπεσθαι.

V. 980. Αἰεὶ δ᾽ ἄλλυδις ἄλλη. Ἀεὶ δὲ ταπεινῆς οὔσης τῆς χώρας, τοὺς μὲν τῶν πόρων εἰς μακρὰν ἔχει πεμπομένους, τοὺς δὲ ἐγγύς.

V. 981. Χθαμαλῆς, ἀντὶ τοῦ ταπεινῆς.

V. 983. Ὁ δ᾽ ἀμφαδόν. Ὁ δ᾽ ὑπὸ τὴν κυρτὴν ἄκραν συμμεμιγμένος τοῖς ἄλλοις, εἰς τὸν Εὔξεινον πόντον ῥεῖ.

V. 984. Κυρτὴν δὲ τὴν ἄκραν φησὶν εἶναι, διὰ τὸ ἐπικαμπῆ εἶναι.

V. 987. Ἐπητέες. Λόγιαι. Παρὰ τὸ ἔπος. Ἢ, οὐ συγγνώμονες καὶ προμηθεῖς, ἀλλὰ θρασεῖαι καὶ ἀπερίσκεπτοι.

V. 988. Δοιάντιον. Πεδίον Θερμώδοντος, ἀπὸ Δοίαντος οὕτω κληθέν.

V. 990. Γενεὴν ἔσαν Ἄρεος. Ἁρμονία, νύμφη ναΐς· ἧς καὶ Ἄρεως Ἀμαζόνας εἶναι φησὶ Φερεκύδης, ᾧ ἕπεται Ἀπολλώνιος.

V. 992. Ἄλσεος Ἀκμονίοιο. Οὐδέποτε ἄλσος Ἀκμόνιον ἐδήλωσεν Εἰρηναῖος. Ἔστι δὲ περὶ τὸν Θερμώδοντα. Μέμνηται αὐτοῦ Φερεκύδης ἐν $\bar{\beta}$.

V. 995. Ἔνθα Θεμισκύριαι. Αἱ ἐκ τῆς Θεμισκύρας (φησὶν) Ἀμαζόνες ἐπὶ τὴν ἄκραν, ἔνθα κατέ-

πλευσαν, ὡπλίζοντο, ἔφθασαν δὲ ἀνενεχθέντες οἱ ἥρωες.

V. 999. *Λυκάστιαι.* Χωρίον τῆς Λευκοσυρίας, ἀφ' οὗ Λυκαστίας εἶπε τὰς Ἀμαζόνας. Χαδησίας δὲ αὐτὰς εἶπεν Ἑκαταῖος, ἀπὸ τοῦ χαδῆσαι. Χωρὶς οὖν τὰς ἐκ Θεμισκύρας φησὶ, καὶ χωρὶς τὰς ἐκ Λυκαστίας ὁπλίζεσθαι κατὰ τῶν ἡρώων, διὰ τὸ κεχωρισμένως οἰκεῖν. Ἔφθασαν δ' ὅμως προσανεχθέντες οἱ ἥρωες.

V. 1005. *Στυφελήν.* Τραχεῖαν καὶ σκληράν. Οὕτως Κλειτόριοι λέγουσιν, ὥς φησι Ζηνόδοτος ἐν Γλώσσαις· Κυρηναῖοι δὲ, τὴν χέρσον. Τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ χαλεποῦ, ὡς τὸ,

ἀπὸ στυφελοῦ Ἀφροδίτης.

V. 1006. *Ὦνος* δέ ἐστι τὸ τῆς τροφῆς τίμημα.

Οἱ δὲ Χάλυβες μεταλλεύοντες σίδηρον, πωλοῦσι, καὶ οὕτω τὰ ἐπιτήδεια πορίζονται, τραχεῖαν ἔχοντες πρὸς καρπὸν τὴν γῆν. Προείρηται δὲ ἤδη περὶ αὐτῶν.

V. 1008. *Ὀτλεύουσιν.* Ὑπομένουσι. Διὰ τὸ χαλκεύειν αὐτοὺς τὸν σίδηρον, περὶ τῷ καπνῷ ταλαιπωρεῖν φησί.

Κελαινὴν λιγνὺν τὴν αἰθάλην φησί.

V. 1010. *Τιβαρηνίδα γαῖαν.* Τιβαρηνοὶ, ἔθνος Σκυθίας. Οὗτοι δικαιότατοι λέγονται. Καὶ οὐδέποτε μάχην τινὶ συνέβαλον, εἰ μὴ πρότερον καταγγείλειαν καὶ ἡμέραν καὶ τόπον καὶ ὥραν τῆς μάχης. Ἐν δὲ τῇ τῶν Τιβαρηνῶν γῇ αἱ γυναῖκες, ὅταν τέκωσι, τημελοῦσι τοὺς ἄνδρας, ὥσπερ λεχούς· ὡς ἱστορεῖ Νυμφόδωρος ἐν τισι νόμοις.

V. 1015. *Ἱερὸν δ' αὖτ' ἐπὶ τοῖσιν ὄρος.* Ὄρος οὕτω καλούμενον τὸ καθῆκον εἰς τὸν Εὔξεινον πόντον. Ἄλλως. Τοῦτο καθῆκόν ἐστιν εἰς τὸν Εὔξεινον πόντον. Μέμνηται αὐτοῦ καὶ Κτησίας ἐν τῷ ᾱ Περιόδων, καὶ

Σουΐδας ἐν β̄, περὶ τοὺς λεγομένους Μάκρωνας· ἀκριβέστερον δὲ ὁ Ἀγάθων ἐν τῷ τοῦ Πόντου Περίπλῳ· ὃς καὶ ρ̄ ἀπέχειν σταδίους αὐτὸ φησὶ τῆς Τραπεζοῦντος. Ὁ δὲ Εἰρηναῖος Μνησίμαχον φησὶ περὶ αὐτοῦ ἱστορεῖν ἐν ᾱ περὶ Σκυθῶν, ἀγνοῶν. Ὁ γὰρ Μνησίμαχος ἐν τῇ Εὐρώπῃ μέμνηται κειμένης τῆς Σκυθικῆς· ὁ δὲ Ἀπολλώνιος καὶ οἱ προειρημένοι περὶ τῆς Ἀσίας διαλέγονται. Ἔστι καὶ ἄλλο ἱερὸν ὄρος Θράκης.

V. 1026. Ξυνῇ φιλότητι. Οὐχ ὡς αὐτῶν συνερχομένων ταῖς ἀλλήλων γυναιξὶ τοῦτο λέγει, ἀλλὰ ἕκαστος τῇ ἑαυτοῦ φανερῶς.

V. 1030. Λιμῷ μιν κεῖν' ἦμαρ. Ἱστορεῖ Ἔφορος καὶ Νυμφόδωρος περὶ τούτων, ὅτι τὸν βασιλέα αὐτῶν ἄδικόν τι κρίναντα ἐγκλείουσι καὶ λιμαγχονοῦσι.

V. 1032. Τὴν Ἀρητιάδα νῆσον φασὶν ὑπὸ Ὀτρήρας τῆς Ἄρεος κατοικισθῆναι. Περὶ δὲ τῶν ἐν αὐτῇ ὀρνέων μέμνηται Τιμάγνητος. Εἰσὶ δὲ σιδηρόπτεροι, αἳ λέγονται Στυμφαλίδες.

V. 1053. Οὐδὲ γὰρ Ἡρακλέης. Τὰς Στυμφαλίδας ὄρνιθας (φησὶν) οὐκ ἠδύνατο ἀπώσασθαι, εἰ μὴ κρόταλον χαλκοῦν καὶ ψόφον ποιῶν ἐξεφόβησεν.

V. 1054. Πλωΐδες δὲ ὄρνιθες καλοῦνται, διὰ τὸ ἐν τῇ λίμνῃ αὐτὰς νήχεσθαι τῆς Ἀρκαδίας, ἃς Ἡρακλῆς ἀπεδίωξεν.

Στύμφηλος δὲ, πόλις Ἀρκαδίας· καὶ Στυμφαλὶς δὲ, λίμνη. Καὶ Ὅμηρος·

Στυμφηλόν τ' εἶχον.

Στυμφαλίδες δὲ λέγονται περὶ αὐτὴν ὄρνιθες, ἃς πλωΐδας εἶπεν Ἀπολλώνιος. Οὕτω δὲ αὐτὰς ὀνομάζει καὶ Σέλευκος ἐν Συμμίκτοις, καὶ Χάρων, αὐτοῦ τοῦ Ἀπολ-

λωνίου γνώριμος, ἐν τῷ Περὶ ἱστοριῶν τοῦ Ἀπολλωνίου. Ἰδίως δὲ Μνασέας φησὶ Στυμφάλου τινὸς ἥρωος καὶ Ὄρνιθος γυναικὸς γενέσθαι Στυμφαλίδας θυγατέρας· ἃς ἀνελεῖν τὸν Ἡρακλέα, ὅτι οὐ προσεδέξαντο αὐτὸν, καὶ ἐξένισαν τοὺς Μολίονας. Φερεκύδης δέ φησιν, οὐ γυναῖκας, ἀλλ' ὄρνιθας εἶναι, καὶ ἀναιρεθῆναι πρὸς Ἡρακλέους, πλαταγῆς δοθείσης αὐτῷ πρὸς τὸ κτυπεῖν καὶ ἐκφοβεῖν αὐτάς. Ὁμοίως καὶ Ἑλλάνικος φησίν. Τὴν δὲ Στυμφαλίδα λίμνην φασὶ διὰ βερέθρων ἐκδοθεῖσαν ξηρανθῆναι.

V. 1056. Πλαταγήν. Ὀξυτόνως, ὥς φησιν Ἡρωδιανὸς ἐν τῷ ἕκτῳ τῆς καθόλου. Σημαίνει δὲ τὸν κρόταλον. Φασὶ δὲ αὐτὴν ἡφαιστότευκτον οὖσαν, Ἡρακλεῖ παρὰ τῆς Ἀθηνᾶς δοθῆναι. Ὁ δὲ Ἑλλάνικος φησὶν αὐτὸν κατασκευάσαι.

V. 1058. Ἀτυζηλῷ. Ἐκπληκτικῷ. Περισπαστέον δὲ τῷ ἀτυζηλῷ. Ἔστι γὰρ ἀπὸ ὀξυτόνου τοῦ ἀτυζηλὸς, ὡς Ἡρωδιανὸς ἐν τῷ ἕκτῳ τῆς καθόλου.

V. 1061. Ἀερσιλόφους τρυφαλείας. Ὧν οἱ λόφοι ἐπηρμένοι εἰσὶ καὶ μετέωροι.

V. 1062. Ἀμοιβαδίς. Ἀντὶ τοῦ ἀμοιβαίως.

V. 1069. Ἐπίῤῥοθος βουλὴ, ἡ ὠφέλιμος.

V. 1074. Ὡς δ' ὅτε τὶς κεράμῳ. Ταῖς κεραμίσι καταστεγάζει.

V. 1076. Ἄλλῳ δ' ἔμπεδον. Ἄλλος δὲ ἄλλῳ (φησὶ) κέραμος ἀνθίσταται ἀσφαλῶς καὶ συνήρμοσται. Ἐπαμοιβοὶ γὰρ, οὐχ οἱ ἀμείβοντες, ἀλλ' ἐπηλλαγμένοι τὴν σύνθεσιν.

V. 1078. Οἵη δὲ κλαγγή. Ὁποία δὲ βοὴ γίνεται ἐν πολέμῳ, ὁπόταν ἀλαλάξαντες ξυνέρχωνται.

V. 1086. Ἐνναέται. Κατ' ἐξαίρεσιν τοῦ ῑ, ἵν' ῇ

ἐνναιέται. Κλεινίας δέ φησι καὶ τὸν ναὸν ποτὲ οὕτως εἰρῆσθαι ἔνναιον, διὰ τὸ ἐνναίειν ἐν αὐτῷ τοὺς θεούς.

V. 1087. Ἧνται ἀκήν. Κάθηνται ἐν οἴκῳ, ἐπιστρεφόμενοι τοῦ χειμῶνος, ἢ τῆς χαλάζης, διὰ τὸ ἐξηρτημένους αὐτοὺς εἶναι.

V. 1088. Μέλαθρον. Τὴν ὀροφήν. Κράτης δὲ τὴν δοκὸν ἐδέξατο, ὡς καὶ παρὰ τῷ ποιητῇ·

— Αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον.

V. 1089. Ὥς πυκινὰ πτερά. Χαλάζης πυκνότερα ἐφίεσαν αὐτοῖς πτερὰ, φεύγοντες διὰ τῆς θαλάσσης. Πιθανῶς δὲ ὁ Πίσανδρος τοὺς ὄρνιθας φησὶν εἰς Σκυθίαν ἀποπτῆναι, ὅθεν καὶ ἐληλύθεσαν.

V. 1091. Τίς γὰρ δὴ Φινῆος. Τοῦτο ἐρώτησις ὡς ἀπὸ τοῦ ποιητοῦ πρὸς τὰς Μούσας. Τί φρονῶν (φησὶν) ὁ Φινεὺς ἐκέλευσεν αὐτοῖς προσορμισθῆναι τῇ τοῦ Ἄρεος νήσῳ; καὶ τίνα ὠφέλειαν αὐτοῖς προορώμενος, τοῦτο προσέταξεν; Εἶτα, ὥσπερ ἐμπνευσθεὶς, ἐπιφέρει·

Υἱῆες Φρίξοιο —

Κατὰ δὲ τὴν Ἀρητιάδα νῆσον οἱ τοῦ Φρίξου υἱοὶ ἐναυάγησαν, ἔνθα ἦν καὶ τὰ σιδηρόπτερα ὄρνεα.

V. 1094. Υἱῆες Φρίξοιο. Οἱ παῖδες Φρίξου ἔπλεον εἰς Ὀρχομενὸν ἐκ Κόλχων, ἵνα τὰ πατρῷα κληρονομήσωσιν· ναυαγήσαντες δὲ ἐξεβράσθησαν πρὸς τὴν Ἀρητιάδα νῆσον. Ὅθεν ἀναλαβόντες αὐτοὺς οἱ Ἀργοναῦται ἔσχον καθηγεμόνας, καὶ πάλιν αὐτοὺς ἀπήγαγον εἰς Ὀρχομενόν.

V. 1099. Ζεὺς δ' ἀνέμου. Δεικνὺς τὴν ἑῴαν ἐπιτολὴν τοῦ ἀρκτούρου, βορέαν ἐποίησε πνεῖν, ὅπως ῥᾳδίως ὄμβρος καὶ ταραχὴ γένηται. Τοῦτο δὲ ἔφη, ἐπεὶ κατὰ τὴν ἐπιτολὴν τοῦ ἀρκτούρου σφοδροὶ καταχέονται

ὄμβροι, ὥς φησι Δημόκριτος ἐν τῷ Περὶ ἀστρονομίας. Καὶ Ἄρατος·

Φράζεσθαι δ' αἰνοῦ μεμνημένος ἀρκτούροιο.

Ἔστι δὲ ὁ ἀρκτοῦρος ἀστὴρ ἐπὶ τῆς ζώνης τοῦ ἀρκτοφύλακος. Εἴωθε δὲ καὶ ὁ βορέας ὄμβρους καταῤῥήσσειν.

V. 1101. Ἠμάτιος. Ὁ ἡμερινός. Κατὰ τὴν ἡμέραν οὖν (φησὶν) ὁ βορέας ἐτίνασσε τὰ φύλλα.

V. 1102. Ἀήσυρος δὲ, ὁ ἐλαφρῶς πνέων. Ἀπὸ τοῦ ἄω τὸ πνέω.

V. 1107. Μυδαλέοι. Οἱ κάθυγροι.

V. 1110. Ῥόθιον. Τὸ κῦμα.

V. 1112. Ὠρέξαντο, ἀντὶ τοῦ ἐλάβοντο.

V. 1113. Ῥαισθεῖσα. Διαφθαρεῖσα.

Κεκέδαστο, ἀντὶ τοῦ διεσκόρπιστο.

V. 1114. Παρὲξ ὀλίγον. Παρ' ὀλίγον ἐκ τοῦ θανάτου.

Οἷά τε πολλά. Οἷα πολλὰ ἦν πρότερον μὲν συνηρμοσμένα τοῖς γόμφοις, τότε δὲ διαφθαρείσης τῆς νεὼς διεσκορπίσθη τὰ ξύλα. *)

V. 1121. Νύχθ' ὑπὸ λυγαίην. Τὴν σκοτεινήν. Ἀπὸ τοῦ λύγου τοῦ φυτοῦ. Καὶ γὰρ ἐκεῖνο μέλαν. Καὶ τὸν ἐνιαυτὸν λυκάβαντα, οἱονεὶ λυγάβαντα, ἐπεὶ μετὰ λύγης βαίνει. Σοφοκλῆς Πολυξένῃ·

Ἀπ' αἰθέρος δὲ κἀπὸ λυγαίου νέφους.

V. 1123. Ἄργος δὲ παροίτατος. Εἷς τῶν Φρίξου παίδων οὗτος. Τούτους δὲ Ἡρόδωρος φησὶν ἐκ Χαλκιόπης τῆς Αἰήτου θυγατρός· Ἀκουσίλαος δὲ καὶ Ἡσίοδος ἐν ταῖς Μεγάλαις Ἠοίαις φασὶν ἐξ Ἰοφώσσης τῆς Αἰήτου. Καὶ οὗτος μὲν φησὶν αὐτοὺς τέσσαρας, Ἄργον,

---

*) Ad v. 1112.

Φρόντιν, Μέλανα, Κυτίσωρον· Ἐπιμενίδης δὲ καὶ πέμπτον προστίθησι Πρέσβωνα.

V. 1124. Ἐποψίου. *Ἐπόψιος, ἔποπτος.*

V. 1129. Ὅσσον θ' εἴλημα. *Εὐτελὲς καὶ βραχύτατον περίβλημα.*

Ἐμβεβαῶτες. *Μετοχὴ ἀντὶ ῥήματος κεῖται τοῦ ἐμβεβήκαμεν.* *)

V. 1144. Κριοῦ ἐπεμβεβαώς. *Διονύσιος ἐν τοῖς Ἀργοναύταις φησὶ Κριὸν γεγονέναι τροφέα Φρίξου· ὃν αἰσθόμενον τῆς ἐπιβουλῆς Ἰνοῦς, ὑποθέσθαι τῷ Φρίξῳ τὴν φυγὴν ποιήσασθαι. Ὅθεν καὶ μεμυθεῦσθαι, ὡς ὑπὸ κριοῦ διασωθείη. Ἡρόδωρος δέ φησιν, ἐξ Ἀθάμαντος καὶ Θεμιστοῦς γενέσθαι παῖδας, Σχοινέα, Ἐρύθριον, Λεύκωνα, Ποῖον· νεωτάτους δὲ Φρίξον καὶ Ἕλλην· οὓς διὰ τὴν Ἰνοῦς ἐπιβουλὴν ἐκχωρῆσαι. Τελευτῆσαι δὲ τὴν Ἕλλην κατὰ Πακτύην φασὶν, ὡς καὶ Ἑλλάνικος μαρτυρεῖ. Ἰνοῦς δὲ καὶ Ἀθάμαντος Λέαρχος καὶ Μελικέρτης.*

Τόν ῥα χρύσειον. *Λέγεται γὰρ τῇ τοῦ Ἑρμοῦ ἐπαφῇ τὸ δέρος τοῦ κριοῦ γενέσθαι χρυσοῦν.*

V. 1146. Ἑῇς ὑποθημοσύνῃσι. *Τὸν κριὸν (φησὶν) ἔθυσε ταῖς ἑαυτοῦ ὑποθήκαις, τοῦτ' ἔστι, κατὰ συμβουλὴν αὐτοῦ τοῦ κριοῦ. Αὐτὸς γὰρ ὁ κριὸς ἀνθρωπίνῃ χρησάμενος φωνῇ, τοῦτο ποιεῖν προσέταξε.*

V. 1147. Φυξίῳ ἐκ πάντων. *Φύξιος Ζεὺς παρὰ Θεσσαλοῖς, ἤτοι ἐπειδὴ τὸν ἐπὶ Δευκαλίωνος κατέφυγον κατακλυσμὸν, ἢ διὰ τὸ καταφυγεῖν τὸν Φρίξον εἰς αὐτόν.*

V. 1149. Χαλκιόπην. *Φερεκύδης ἐν ἕκτῳ Εὐη-*

---

*) Ad verſum in Brunckiana omissum post v. 1127.

νίαν αὐτὴν φησὶ καλεῖσθαι. Ἐπώνυμον δὲ αὐτῇ Χαλκιόπη καὶ Ὀφιοῦσα.

V. 1157. Συνηβολίῃ. Συνηβολίη, τὸ σύμβολον, ἢ ἡ συμβουλή.

V. 1159. Κατὰ μοῖραν. Κατὰ τὸ πρέπον.

V. 1160. Γνωτοί. Οἱ συγγενεῖς. Κρηθεὺς γὰρ καὶ Ἀθάμας, ἀδελφοί. Κρηθέως, Αἴσων. Αἴσονος, Ἰάσων. Ἀθάμαντος δὲ, Φρίξος. Φρίξου, Ἄργος.

V. 1172. Στιάων. Στῖαι αἱ ψῆφοι παρὰ Σικυωνίοις καλοῦνται. Ἡ ἐσχάρα οὖν καὶ ὁ βωμὸς ἐκ ψήφων κατεσκεύαστο. Καλλίμαχος·

— — Πολύστιόν τε μέτωπον.

V. 1176. Ἐπηετανὸν κομέουσαι, ἀντὶ τοῦ ἐπιμελῶς καὶ ἐκ πολλοῦ τρέφουσαι.

V. 1177. Ἐπαρτέα. Ἑτοίμην.

V. 1179. Ζεὺς αὐτός. Τὸν Δία φησὶν ἐπιδέρκεσθαι ἕκαστα ὁ Ἰάσων, καὶ τὰ ἑξῆς· ἅμα μὲν παραμυθούμενος τὸν Ἄργον (πρὸς αὐτὸν γὰρ ὁ λόγος) ἅμα δὲ καὶ λεληθότως βοήθειαν αἰτῶν παρ' αὐτοῦ, ὡς ἂν συνεργήσῃ αὐτοῖς ἀνακομίσαι τὸ δέρας εἰς τὴν Ἑλλάδα.

V. 1186. Μετὰ Φθίην. Οἱ μὲν τὴν Φθίαν Ὀρχομενοῦ πόλιν φασὶν εἰρῆσθαι, Φθίην πόλιν Ὀρχομενοῖο, παρόσον οἱ Ὀρχομένιοι ἄποικοί εἰσι Θεσσαλῶν. Δύναται δὲ καὶ Ὀρχομενοῦ μνημονεύειν τοῦ μεθορίου Μακεδονίας καὶ Θεσσαλίας. Ἔστι γὰρ Ὀρχομενὸς καὶ ὄρος καὶ πόλις Θεσσαλίας, καὶ Βοιωτίας, καὶ Ἀρκαδίας, καὶ Πόντου.

V. 1193. Ἐπίῤῥοθοι. Ἐπιῤῥοθεῖν κυρίως τὸ τοῖς κυσὶν κελεύειν, καὶ ἐρεθίζειν· καὶ τὸ τῇ νηῒ συνεργεῖν, παρὰ τὸ ῥόθιον, ὅ ἐστι τὸ κῦμα. Ἐνταῦθα δὲ ἐπίῤῥοθον ἁπλῶς τὸν βοηθὸν λέγει.

V. 1195. Ζηνὸς χόλον. Διὰ τὸ μηνίσαι τὸ δαιμόνιον τοῖς ἀπὸ τοῦ Αἰόλου, Φρίξου κινδυνεύσαντος. Νοεῖται δὲ ἐν τῷ χόλον ἡ διὰ, ἤγουν διὰ τὸν χόλον τοῦ Διός· ὡς τὸ, σὴν χάριν, ἀντὶ τοῦ διὰ τὴν σὴν χάριν. Τοιαύτῃ γὰρ προφάσει ὑπὸ Πελίου ἐξεπέμφθη.

V. 1196. Ἔστυγον. Ἐστύγνασαν. Ηὐλαβήθησαν.

V. 1197. Τεύξεσθαι ἐνηέος. Οὐ γὰρ ὑπελάμβανον ἡδέως καὶ προσηνῶς προσδεχθησομένους αὐτοὺς ὑπὸ τοῦ Αἰήτου, διότι συνῆσαν τῷ Ἰάσονι.

Ἐνηέος. Προσηνέος, ἀγαθοῦ.

V. 1199. Ἀτεμβόμενος. Οὐχ Ὁμηρικῶς, ἀντὶ τοῦ στερισκόμενος. Κεῖται γὰρ νῦν ἐπὶ τοῦ δυσχεραίνων καὶ μεμφόμενος ἐπὶ τοιοῦτον αὐτοὺς στόλον στέλλεσθαι.

V. 1204. Στεῦται. Διαβεβαιοῦται.

V. 1210. Καυκάσου ἐν κνημοῖσι. Περὶ τὸν Καύκασον (φασὶν) ἐν τῇ Τυφαονίᾳ πέτρᾳ κεραυνωθεὶς ὁ Τυφὼς, ἰχῶρας τινὰς ἀφῆκεν, ἐξ ὧν ἐγένετο ὁ τὸ δέρος φυλάσσων ὄφις. Ὅτι δὲ ἐπὶ τὸν Καύκασον κατέφυγεν ὁ Τυφὼς διωκόμενος, καὶ ὅτι καιομένου τοῦ ὄρους ἔφυγεν ἐκεῖθεν εἰς Ἰταλίαν· ὅπου τὴν Πιθηκοῦσαν αὐτῷ περιῤῥιφῆναι νῆσον Φερεκύδης ἐν τῇ Θεογονίᾳ ἱστορεῖ. Οὐ μέντοι ὅτι καὶ εἰς τοὺς περὶ Συρίαν τόπους ἠλάθη, ὥς φησιν Ἀπολλώνιος.

V. 1211. Τυφάονα. Οὗτος (φησὶ) πληγεὶς ὑπὸ Διὸς, ὡς εἶχεν, εἰς τοὺς περὶ Συρίαν τόπους καὶ τὸ Πηλούσιον παρεγένετο, διωκόμενος ὑπὸ Διός· ὅπου βυθισθεὶς κεῖται ἐν τῇ Σερβωνίδι λίμνῃ. Διήκει δὲ αὕτη ἀπὸ Συρίας μέχρι Πηλουσίου. Τὰ δ' αὐτὰ περὶ τοῦ Τυφῶνος καὶ Ἡρόδωρος φησίν· ἔνθα καὶ περὶ τῆς Νύσης ἱστορεῖ, λέγων·

Ἔστι δέ τις Νύση, ὕπατον κέρας ἀνθέον ὕλῃ,
τηλοῦ Φοινίκης, σχεδὸν Αἰγύπτοιο ῥοάων.

Ὁ δὲ Καύκασος διήκει ἀπὸ τῆς Ἀρμενίων χώρας ἕως Κόλχων. Ἡ δὲ Σερβωνὶς λίμνη διάκειται περὶ τὸ Πηλούσιον τῆς Αἰγύπτου.

V. 1219. Μηδ᾽ οὕτως ἠθεῖε. Πρὸς τὸ, τῷ καὶ περιδείδια ναυτίλλεσθαι, ἀπήντησεν ὁ Πηλεὺς, κελεύων μὴ δεδιέναι. Διὸ θυμῷ γραπτέον. Γράφεται δὲ καὶ μύθῳ, ἵνα ᾖ, μὴ ἐκφόβει ἡμᾶς τῷ περὶ Αἰήτου λόγῳ. Οὐ φέρεται δὲ οὕτως, ἀλλ᾽ ἐν πᾶσι, δειδίσσεο θυμῷ. Κατ᾽ οὐδὲν γὰρ (φησὶ) τοῦ Αἰήτου ἐσμὲν χείρους.

Τὸ δὲ, ἠθεῖε, οἶμαι κατ᾽ ἐπένθεσιν τοῦ η γεγονέναι, ὥσπερ καὶ τὸ βαιὸς, ἠβαιός· μύω, ἠμύω. Σημαίνει δὲ κατὰ τὸ πρόχειρον τὸ θεῖε, συγγενές. Ἢ τὸ θαυμάσιε· μηδαμῶς ὦ θαυμάσιε. Ἢ τὸ καλέ.

V. 1231. Φιλυρίδα νῆσον. Τὴν τῶν Φιλύρων φησὶν, ἀπὸ Φιλύρας τῆς Ὠκεανοῦ, κατοικούσης περὶ τοὺς τόπους τούτους. Κρόνου δὲ μιγνυμένου αὐτῇ, ὅτε ἐβασίλευε Τιτάνων, τὴν Ῥέαν αὐτοὺς ἐπαυτοφώρῳ καταλαβεῖν. Ὅθεν τὸν μὲν Κρόνον αἰδεσθέντα εἰς ἵππον μεταβληθῆναι, τὴν δὲ φυγεῖν εἰς Θεσσαλίαν. Φερεκύδης φησὶν, ὅτι Κρόνος ἀπεικασθεὶς ἵππῳ ἐμίγη τῇ Φιλύρᾳ τῇ Ὠκεανοῦ· καὶ διὰ τοῦτο διφυὴς ὁ Χείρων. Σουΐδας δὲ ἐν πρώτῳ Θεσσαλικῶν τὸν Χείρωνα Ἰξίονος εἶναι παῖδα φησὶν, ἀδελφὸν δὲ Πειρίθου.

V. 1233. Κρηταῖον ὄρος, τὸ Κρητικόν. Γέγονε δὲ καθ᾽ ὁμοιότητα τοῦ Σιναῖον.

V. 1237. Τὸ δὲ χαιτήεις, χαίτην ἔχων. Ἀπὸ τῆς χαίτης, ὥσπερ ἀπὸ τοῦ ἔρση, ἑρσήεις· καὶ τιμὴ, τιμήεις.

V. 1242. sq. *Περὶ Μακρώνων καὶ Βεχείρων καὶ Σαπείρων* προείρηται.

V. 1246. *Εἰπὼν δὲ, μυχὸς διεφαίνετο πόντου*, ἔδειξεν, ὅτι ἐν τῷ μυχῷ τοῦ πόντου ἡ Κολχική.

V. 1247. *Καὶ δὴ Καυκασίων.* Τὰ προσαγορευόμενα *Καυκάσια* Ἐρατοσθένης πλησίον εἶναι φησὶ τῆς προσαγορευομένης Κασπιανῆς θαλάσσης.

Ἐρίπναι. Τῶν Καυκασίων ὀρῶν αἱ ἀποῤῥῶγες καὶ ἐξοχαί. Τινὲς δὲ *ἐρίπνας*, τὰς τραχείας καὶ εἰς ὕψος ἀνεχούσας πέτρας φασί.

V. 1248. *Τόθι γυῖα.* Ὁ Προμηθεὺς ἐδέδετο ἐν τῷ Καυκάσῳ, καὶ ὁ ἀετὸς τὸ ἧπαρ αὐτοῦ κατήσθιεν. Ἀγροίτας δὲ ἐν τρισκαιδεκάτῃ τῶν Σκυθικῶν δαπανᾶσθαι φησὶ τὸ ἧπαρ Προμηθέως δόξαι ὑπὸ τοῦ ἀετοῦ, διὰ τὸ τὴν κρατίστην τοῦ Προμηθέως χώραν τὸν ποταμὸν τὸν καλούμενον Ἀετὸν φθείρειν. Ἧπαρ δὲ παρὰ πολλοῖς, ὥσπερ καὶ οὖθαρ, τὴν εὔκαρπον λέγεσθαι γῆν. Ἡρακλέους δὲ ἐξοχετεύσαντος διόρυξι τὸν ποταμὸν, τόν τε ἀετὸν δόξαι ὑπ᾽ αὐτοῦ κεχωρίσθαι, καὶ τὸν Προμηθέα λελύσθαι τῶν δεσμῶν. Θεόφραστος δὲ τὸν Προμηθέα φησὶ, σοφὸν γενόμενον, μεταδοῦναι πρῶτον τοῖς ἀνθρώποις φιλοσοφίας. Ὅθεν καὶ διαδοθῆναι τὸν μῦθον, ὡς ἄρα πυρὸς μεταδοίη. Καὶ Ἡρόδωρος ξένως περὶ τῶν δεσμῶν τοῦ Προμηθέως ταῦτα. Εἶναι γὰρ αὐτὸν Σκυθῶν βασιλέα φησί· καὶ μὴ δυνάμενον παρέχειν τοῖς ὑπηκόοις τὰ ἐπιτήδεια, διὰ τὸ τὸν καλούμενον Ἀετὸν ποταμὸν ἐπικλύζειν τὰ πεδία, δεθῆναι ὑπὸ τῶν Σκυθῶν· ἐπιφανέντα δὲ Ἡρακλέα, τὸν μὲν ποταμὸν ἀποστρέψαι εἰς τὴν θάλασσαν, (καὶ διὰ τοῦτο μεμυθεῦσθαι ἀνῃρηκέναι τὸν ἀετὸν Ἡρακλέα) τὸν δὲ Προμηθέα λῦσαι τῶν δεσμῶν. Φερεκύδης δὲ ἐν δευτέρῳ, Τυ-

φῶνος καὶ Ἐχίδνης τῆς Φόρκυνος φησὶ τὸν Ἀετὸν τὸν ἐπιπεμφθέντα Προμηθεῖ· καὶ ὅτι δὲ ὁ Ἀετὸς ἤσθιεν τῆς ἡμέρας τοῦ ἥπατος, τὸ δὲ λειπόμενον ηὔξετο τῆς νυκτὸς, καὶ ἐγίνετο ἴσον.

V. 1249. Ἰλλόμενος χαλκείῃσιν. Δεθῆναι τὸν Προμηθέα φησὶν Ἡσίοδος, καὶ τὸν ἀετὸν ἐπιπεμφθῆναι αὐτῷ διὰ τὴν τοῦ πυρὸς κλοπήν. Δοῦρις δέ φησι, διὰ τὸ τῆς Ἀθηνᾶς ἐρασθῆναι. Ὅθεν τοὺς περὶ τὸ Καυκάσιον οἰκοῦντας μόνῳ Διῒ καὶ Ἀθηνᾷ μὴ θύειν, διὰ τὸ κολάσεως αἰτίους Προμηθεῖ γενέσθαι· καθ' ὑπερβολὴν δὲ σέβειν Ἡρακλέα, τῆς τοῦ ἀετοῦ τοξείας χάριν. Εἰκότως οὖν ὁ Ἀπολλώνιος, περὶ Καύκασον γενόμενος, καὶ τούτων ἐμνήσθη.

V. 1251. Τὸν μὲν ἐπ' ἀκροτάτης. Παρὰ τὴν ἑσπέραν (φησὶν) εἶδον οἱ ἀριστεῖς τὸν ἀετὸν ἐπὶ τὸν Προμηθέα.

V. 1253. Παραιθύξας δὲ, παραπνεύσας, τοῦτ' ἔστι, πνοὴν ποιήσας, τῇ βίᾳ τῶν πτερύγων ἐτίναξε τὰ ἱστία.

V. 1255. Ἶσα δ' ἐϋξέστοις. Τὰ ἐν ταῖς πτέρυξι πτερὰ ἴσα εἶχεν ἐρετμοῖς, ὅ ἐστι κώπαις. Τοῦτο δέ φησι δεικνὺς τὸ μέγεθος τοῦ ὀρνέου.

Αἰθερίοιο. Ἀντὶ τοῦ ἀεροπόρου.

V. 1256. Ἐν τῷ, δηρὸν οὐ μετέπειτα, ἀναστρεπτέον, ἔπειτα δὲ οὐ μεταδηρόν.

V. 1260. Ἄργοιο. Τοῦ Φρίξου υἱοῦ.

Ἀλημοσύνῃ. Τῇ ἐμπειρίᾳ τῶν τόπων.

V. 1270. Πεπτάμενον Ἡρωδιανὸς παροξύνει.

V. 1272. Μελισταγέας. Γλυκείας.

V. 1273. Ἐνναέταις τε θεοῖς. Τοῖς ἐγχωρίοις θεοῖς. Τοὺς γὰρ ἐπιδημοῦντας ἔθος ἦν ἐν τῇ ἀλλοδα-

πῆ θύειν θεοῖς ἐπιχωρίοις καὶ ἥρωσι. Τοῦτο φασὶ καὶ Ἀλέξανδρον ποιῆσαι τὸν Μακεδόνα ἐν Ἰλίῳ.

V. 1275. Καὶ νηὸς ἐναίσιμα. Τὰ καθήκοντα. Οἷον ἐπ' ἀγαθοῖς καὶ εὐπροσδέκτοις.

V. 1279. Εἴτ' οὖν μειλιχίῃ. Εἴτε πράως προσφερόμενοι τῷ Αἰήτῃ ἀποπειραθείημεν αὐτοῦ, εἴτε ἄλλως πως.

V. 1280. Ἐπήβολος δὲ, ἀσφαλής. Οὕτω καὶ Ἀμερίας ἀπέδωκεν ἐν ταῖς Γλώσσαις.

V. 1281. Παρηγορίῃσιν. Παρηγορία, ἡ προτροπὴ καὶ ἡ συμβουλή.

V. 1282. Ὑψόθι νῆ' ἐκέλευσεν. Ἐν τῷ βάθει τοῦ ποταμοῦ. μὴ προσορμισθέντες τῇ γῇ. Ὅμηρος·

Ὕψι δ' ἐπ' εὐνάων ὁρμίσομεν.

Ἐπ' εὐναίῃσιν ἐρύσαι. Ἐπὶ τῶν ἀγκυρῶν ἑλκύσαι, ταῖς ἀγκύραις ὁρμίσαι.

V. 1283. Δάσκιον. Τὸ δασύσκιον, κατὰ συγκοπήν.

ΣΧΟΛΙΑ
ΕΙΣ ΤΟ ΤΡΙΤΟΝ
ΤΩΝ
ΑΠΟΛΛΩΝΙΟΥ
ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

Τοῦ τρίτου λόγου τῶν Ἀργοναυτικῶν τὰ κεφάλαια, ἔστι τάδε. Ἥρα καὶ Ἀθηνᾶ βουλευσάμεναι πείθουσι τὴν Ἀφροδίτην τῇ Μηδείᾳ ἐπιπέμψαι τὸν Ἔρωτα. Ἰάσων δὲ μετὰ τῶν Φρίξου υἱῶν παραγενόμενος πρὸς τὸν Αἰήτην, ἀξιοῖ λαβεῖν τὸ δέρος. Ἀγανακτήσας δὲ ὁ Αἰήτης, ἄθλους αὐτῷ προστάττει μεγάλους· ὥστε τοὺς πυρίπνους ταύρους ζεῦξαι, καὶ σπεῖραι τοὺς τοῦ δράκοντος ὀδόντας, ὑφ᾽ ὧν ἀνεδίδοντο γίγαντες· οὐ μόνον δὲ σπεῖραι, ἀλλὰ καὶ τὸν γηγενῶν στάχυν θερίσαι. Μήδεια δὲ, διὰ τὸν ἐπὶ τὸν Ἰάσονα ἔρωτα, ὑπάγεται ὑπὸ τῇ Χαλκιόπῃ τοῖς υἱοῖς αὐτῆς βοηθῆσαι. Καὶ δὴ συνθεμένη καὶ συντυχοῦσα τῷ Ἰάσονι κατὰ τὸ τῆς Ἑκάτης ἱερὸν, δίδωσί τε τὰ φάρμακα, καὶ ὑποτίθεται, ὃν τρόπον δεῖ πρὸς τὸ θέρος τῶν γιγάντων ἁρμόσασθαι. Τοῖς δὲ φαρμάκοις χρησάμενος ὁ Ἰάσων, ἤνυσε παρὰ πᾶσαν ἐλπίδα τοῦ Αἰήτου τοὺς προβληθέντας ἄθλους.

V. 1. *Εἰ δ᾽ ἄγε νῦν Ἐρατώ.* Τὴν Ἐρατὼ φασὶν ὄρχησιν εὑρηκέναι. Εὐλόγως δὲ ὁ Ἀπολλώνιος με-

μοιρᾶσθαι τὴν Ἐρατὼ φησὶ τῶν τῆς Ἀφροδίτης ὀργίων, λέγω δὴ τῶν γαμικῶν. Γάμοις δὲ ἄρα καὶ ὄρχησις ἕπεται.

Ἐν δὲ τοῖς εἰς Μουσαῖον ἀναφερομένοις δύο ἱστοροῦνται γενέσεις Μουσῶν· πρεσβυτέρων μὲν, μετὰ τοῦ Κρόνου γενομένων· νεωτέρων δὲ, τῶν ἐκ Διὸς καὶ Μνημοσύνης.

Εἰ δ' ἄγε νῦν. Λέγεται τῶν Μουσῶν ἡ μὲν Κλειὼ, εὑρηκέναι τὴν ἱστορίαν· Θάλεια δὲ, γεωργίαν καὶ τὴν περὶ τὰ φυτὰ πραγματείαν· Εὐτέρπη δὲ, μαθήματα· Τερψιχόρη, παιδείαν· Ἐρατὼ, ὄρχησιν· Πολύμνια, λύραν· Μελπομένη, ᾠδήν· Οὐρανία, ἀστρολογίαν· Καλλιόπη, ποίησιν.

Ἀπορεῖται δὲ, πρῶτον μὲν, διὰ τί οὐκ ἀρχόμενος τῆς ποιήσεως ἐπεκαλέσατο τὰς Μούσας, νῦν δ' αὐτὸ ποιεῖ· δεύτερον, διὰ τί τὴν Ἐρατὼ καὶ οὐ τὰς ἄλλας ἐπικαλεῖται. Ῥητέον οὖν πρὸς μὲν τὸ πρῶτον, ὅτι ἀρχόμενος μὲν εἰκότως Ἀπόλλωνα τὸν τῶν Μουσῶν ἀρχηγέτην ἐπεκαλέσατο· ἐνταῦθα δὲ, ἐπειδήπερ περὶ γάμων καὶ θαλίας διαλέγεσθαι μέλλει, θαλιῶν δὲ προστάτιδες αἱ Μοῦσαι, διὰ τοῦτο νῦν τὰς Μούσας ἐπικαλεῖται. Ὅτι δὲ θαλιῶν εἰσὶ προστάτιδες αἱ Μοῦσαι, ἐν τοῖς Ὀρφικοῖς δεδήλωται·

Οὐδέ τι λήγονται Μουσάων βροτοί. αἱ γὰρ ἔασι
κοίρανοι, αἷσι μέμηλε χορὸς θαλίαι τ' ἐρατειναί.

Πρὸς δὲ τὸ δεύτερον, ὅτι ἐπειδὴ ἐν τοῖς Ὀρφικοῖς εὑρέτις ὀρχήσεως ἡ Ἐρατὼ παραδίδοται, μέλλει δὲ ὁ Ἀπολλώνιος τὸν τῆς Μηδείας καὶ Ἰάσονος γάμον διηγεῖσθαι, διὰ τοῦτο τὴν εὑρέτιν τῆς ἐπιβαλλούσης τῶν γάμων ὀρχήσεως ἐπικαλεῖται Μοῦσαν. Διὸ καὶ μετ' ὀλίγα ἐπήνεγκε μεμοιρᾶσθαι τῶν τῆς Ἀφροδίτης ὀργίων. Τῷ γὰρ

γάμῳ καὶ ὄρχησις ἕπεται. Ῥιανὸς δέ φησι μηδὲν διαφέρειν ἢ πάσας ἐπικαλεῖσθαι τὰς Μούσας, λέγων οὕτως·

Πᾶσαι δ' εἰσαΐουσι, μιᾶς ὅτε τοὔνομα λέξεις.

Ἴσως δὲ καὶ ἐπειδὴ περὶ ἔρωτος μὲν διαλέγεται, ἡ Ἐρατὼ δὲ παρὰ τὸ ἐρᾷν παράγεται, διὰ τοῦτο ταύτης μνημονεύει, τὸ κοινὸν εὐεργέτημα αὐτῇ ἀνατιθεὶς διὰ τὸ ὄνομα.

Ἐρατώ. Ἀντὶ τοῦ Ἐρατοῖ, Ἀττικῶς.

Τὸ ἑξῆς, παρίστασο καὶ εἰπέ.

V. 6. Ἀνωΐστως. Ἀνυπονοήτως.

V. 13. Μεθ' Ἑλλάδα. Ἀντὶ τοῦ εἰς Ἑλλάδα.

V. 16. Ἀποτρωπᾶσθαι. Ἀποτρέπεσθαι. Ὁ δὲ νοῦς, ὅμως οὐδεμίαν πεῖραν παριέναι δεῖ.

V. 17. Τὴν δὲ παρ' ἆσσον. Παραχρῆμα, εὐθέως. Ἢ λείπει τὸ καθημένην.

V. 19. Ἀπηλεγέως. Σημαίνει μὲν καὶ τὸ ἀληθῶς καὶ ἁπλῶς, ἔτι δὲ καὶ τὸ σαφῶς· νῦν δὲ ἀντὶ τοῦ ἀποτόμως. Ἐπιφέρει γὰρ, ἀλλά τοι οὔπω φράσσασθαι νοέω.

V. 23. Ἄνδιχα πορφύρουσαι. Διῃρημένως μεριμνῶσαι.

V. 25. Μετὰ Κύπριν. Πρὸς τὴν Κύπριν.

Ἐπιπλόμεναι. Παραγενόμεναι καὶ ἐπελθοῦσαι.

V. 26. Παιδὶ ἐῷ. Ἀπολλώνιος μὲν Ἀφροδίτης τὸν Ἔρωτα γενεαλογεῖ· Σαπφὼ δὲ, Γῆς καὶ Οὐρανοῦ· Σιμωνίδης δὲ, Ἀφροδίτης καὶ Ἄρεος,

Σχέτλιε παῖ δολόμηδες Ἀφροδίτας, τὸν Ἄρει δολομηχάνῳ τέκεν.

Ἴβυκος καὶ Ἡσίοδος ἐκ χάους λέγει τὸν Ἔρωτα. Ἐν δὲ τοῖς εἰς Ὀρφέα Κρόνου γενεαλογεῖται·

Αὐτὰρ Ἔρωτα Κρόνος καὶ πνεύματα πάντ' ἐτέκνωσε.

V. 28. *Θέλξαι ὀϊστεύσας.* Νῦν ἀντὶ τοῦ ἀπατῆσαι, τὸ μὴ κρατῆσαι ἑαυτῆς διὰ τὸν ἔρωτα.

V. 30. *Πυκινὴ δὲ,* ἄνευ τοῦ ἄρθρου, καλῶς. Ἀντὶ τοῦ, πυκνὴ καὶ συνετὴ ἤρεσεν αὐτῇ εἶναι ἡ βουλή.

V. 37. *Ὀῤῥά τέ οἱ δεῖμεν.* Ὀῤῥά τε. Οἱ Ἀριστάρχειοι δι᾽ ἑνὸς ρ̄ τὰ τοιαῦτα γράφουσιν· Ἡρακλέων δ᾽ ἐν δυσίν. Ὡς καὶ παρὰ τῷ ποιητῇ·

Τόῤῥα τότ᾽ ἐκ χηλοῖο λαβών.

V. 39. *Αἰθούσῃ.* Αἴθουσαν, τὴν παστάδα.

V. 41—43. *Ἀλλ᾽ ὁ μὲν ἐς χαλκεῶνα.* Τῶν ἐν Αἰόλου νήσων Ἱέρα καλουμένη, ἐν ᾗ φασὶ τὸν Ἥφαιστον χαλκεύειν. *Πλωτὴν* δὲ αὐτὴν εἴρηκεν, ἀκολουθήσας τοῖς περὶ Ἰταλίαν καὶ Σικελίαν μυθολογοῦσι τὴν Ὀδυσσέως πλάνην. Ἢ ὅτι τὸ παλαιὸν αἱ νῆσοι πᾶσαι ἐπλανῶντο, καὶ βάσεις οὐκ εἶχον. Καλλίας δὲ οὐ τὴν Ἱέραν φησὶν ἀνακεῖσθαι Ἡφαίστῳ, ἀλλὰ τὴν Λιπάραν·

Νήσῳ ἐνὶ Λιπάρῃ.

Εἰσὶ δὲ αἱ τοῦ Αἰόλου νῆσοι ἑπτὰ αὗται, Στρογγύλη, Εὐώνυμος, Ἱέρα, Λιπάρα, Διδύμη, Ἐρικώδης, Φοινικώδης, περὶ Σικελίαν.

Ἀλλ᾽ ὁ μέν. Τῶν Αἰόλου νήσων ἐστὶν ἡ Ἱέρα καλουμένη, ἐν ᾗ φασὶ τὸν Ἥφαιστον χαλκεύειν. Ἱστορεῖ Καλλίας ἐν δεκάτῳ τῶν περὶ Ἀγαθοκλέα λέγων εἶναι καὶ ὄροφον ὑψηλὸν, ἐφ᾽ οὗ κρατῆρες εἰσὶ δύο· ὧν ὁ ἕτερος ἐστὶ τὴν περίμετρον τριστάδιος, ἐξ οὗ πολὺ φέρεται φέγγος, ὥστε ἐπὶ πολὺν τόπον διήκειν φωτισμόν. Ἔπειτα ἐκ τοῦ χάσματος ἀναφέρονται διάπυροι λίθοι ἀπλετομεγέθεις. Καὶ τηλικοῦτος βρόμος γίνεται, καθ᾽ ὃν καιρὸν συμβαίνει ἐργάζεσθαι τὸν Ἥφαιστον, ὥστε ἐπὶ πεντακόσια στάδια ἀκούεσθαι τὸν ἦχον. Οἱ δὲ ἐκ τοῦ ἐκφυσήματος ἀναῤῥιπτούμενοι μύδροι, διὰ τὴν ἐκπύρω-

σιν πάντοτε ἰώδεις εἰσὶ καὶ διακεκαυμένοι τὴν ὄψιν, καὶ τὴν δύναμιν καθ' ἥλιον ἔχουσιν. Νύκτωρ μὲν οὖν πάντα τὰ περὶ τὴν ἐργασίαν τοῦ θεοῦ γινόμενα καλῶς δηλοῦται· μεθ' ἡμέραν δὲ ἐκ τῆς κορυφῆς, ὅθεν ἡ φλὸξ ἀνίησιν, ὥσπερ νέφος ὑπερκείμενον ὁρᾶται.

Διὰ δὲ τοῦ λέγειν, δαίδαλα χάλκευεν ῥιπῇ πυρὸς, ἐμφαίνει περὶ τῆς λεγομένης ὑπὸ τοῦ Καλλίου ἀναφυσήσεως τοῦ πυρὸς ἐκ τοῦ χάσματος.

Ἦρι. Ἕωθεν.

V. 48. Ἔσχεθεν. Ἐπαύσατο κτενίζεσθαι.

V. 50. Ἀψήκτους. Ἀκτενίστους.

V. 52. Ἠθεῖαι. Προσφώνησις παρ' Ὁμήρῳ νεωτέρων πρὸς πρεσβυτέρους. Ἀπολλώνιος δὲ συλληπτικῇ τῇ φράσει κέχρηται· τὸ γὰρ τῇ Ἥρᾳ πρασὸν καὶ κατὰ τῆς Ἀθηνᾶς ἔταξεν. Ταῦτα δὲ ἁρμόσει λέγεσθαι κατὰ τὴν Ὁμήρου ποίησιν. Κατὰ δὲ τοὺς νεωτέρους, οὐ μόνον Ἀθηνᾶς καὶ Ἥρας, ἀλλὰ καὶ Διὸς ἐστὶ πρεσβυτέρα ἡ Ἀφροδίτη. Ἡσίοδος γὰρ αὐτὴν ἐκ τῶν αἰδοίων τοῦ Οὐρανοῦ φησὶ γενέσθαι.

V. 53. Δηναιὰς δὲ, πολλοῦ χρόνου ὀφθείσας.

Οὔτι πάρος γε. Παραγράφει τὸ Ὁμηρικόν·

— — πάρος γε μὲν οὔτι θαμίζεις.

V. 56. Κερτομέεις. Εἰρωνεύῃ.

Συνορίνεται. Ταράσσεται, θορυβεῖται.

V. 62. Λυσόμενος χαλκέων. Τὸν Ἰξίονα παρείληφεν, ὅτι δοκεῖ ἐπικεχειρηκέναι τῇ Ἥρᾳ. Φλεγύου δὲ υἱὸς Ἰξίων, ὡς καὶ Εὐριπίδης·

Φλεγύου υἱὲ δέσποτ' Ἰξίων.

Φερεκύδης δὲ, Αἴτωνος. Φησὶ δὲ, ὡς γαμήσας Δίαν τὴν Ἠϊονέως θυγατέρα, πολλὰ ὑπέσχετο δώσειν δῶρα. Ἐλθόντος δὲ ἐπὶ ταῦτα τοῦ Ἠϊονέως, βέρεθρον ποιήσας

καὶ πυρακτώσας, σκεπάζει αὐτὸ λεπτοῖς ξύλοις καὶ κόνει λεπτῇ· ἐμπεσὼν δὲ ὁ Ἠϊονεὺς ἀπόλλυται. Λύσσα δὲ τῷ Ἰξίονι ἐνέπεσε διὰ τοῦτο, καὶ οὐδεὶς αὐτὸν ἤθελεν ἁγνίσαι οὔτε θεῶν οὔτε ἀνθρώπων· πρῶτος γὰρ ἐμφύλιον ἄνδρα ἀπέκτεινεν. Ἐλεήσας δὲ αὐτὸν ὁ Ζεὺς ἁγνίζει· καὶ ἁγνισθεὶς ἠράσθη τῆς Ἥρας. Ὁ δὲ Ζεὺς νεφέλην ὁμοιώσας Ἥρᾳ, παρακοιμίζει αὐτῷ. Καὶ ὕστερον ποιήσας τετράκνημον τροχὸν, καὶ δεσμεύσας αὐτὸν, τιμωρεῖται.

V. 68. Εὐνομίης. Εὐνομία, δικαιοσύνη· καὶ ἡ καλοπραγία.

V. 69. Νιφετῷ παλύνετο. Τῇ χιόνι ἐσκέπαστο.

V. 72. Ὀλοφύρατο. Ὅτι τὸ ὀλοφύρατο εἴληπται ἐπὶ τοῦ ἠλέησεν. Ὀλοφυρόμενος· συμπαθῶν, πάσχων.

V. 73. Διεκπροαλές. Κατώφορον, κατωφερές· καὶ ἐπὶ τὴν ἅλα προϊὸν, ῥοῶδες.

V. 76. Κύπριν. Λείπει τὸ ἀκούσασαν.

Νεοστασίη. Ἀντὶ τοῦ, ἐν ἐπιστάσει ἐγένετο νέων μύθων. Ἢ, μύθων ἐπίστασις εἷλεν αὐτὴν, καὶ νεωστὶ προσπεπτωκότος λόγου σύννοια.

V. 77. Ὁ δὲ νοῦς, ἐσέβετο δὲ, τιμωμένην ὑπὸ τῆς Ἥρας ἑαυτὴν βλέπουσα.

Ἀντομένην. Ἱκετεύουσαν, λισσομένην.

V. 86. Παρθένον Αἰήτεω. Ἀντὶ τοῦ θυγατέρα ἁπλῶς. Δύναται δὲ καὶ οὕτως ἀκούεσθαι, τῶν Αἰήτου θυγατρῶν τὴν οὖσαν παρθένον.

V. 89. Δολόεσσα. Ἀντὶ τοῦ φρονίμη. Ἔστι γάρ ποτε ὁ δόλος καὶ ἐπὶ τῆς φρονήσεως.

V. 95. Μενέηνα. Ὠργίσθην. Ὑπεράλγησα.

V. 97. Χαλεφθείς. Ὁ νοῦς, χαλεπῶς γάρ μοι

χαλεπαίνων, ἠπείλησεν, εἰ μὴ ἀποσχοίμην τὰς χεῖρας, ἕως ἔτι τοῦ θυμοῦ κρατεῖ, ὡς μεμφοίμην ἐμαυτῇ.

V. 99. Τὸ δὲ ἑοῖ οὐκ εὖ κεῖται· ἀντὶ τοῦ ἐμοὶ γὰρ λαμβάνεται.

V. 106. Ῥαδινῆς. Τρυφερῆς. Ἀνακρέων δὲ ἐπὶ τάχους ἔταξε τὸ ῥαδινόν·

Ῥαδινοὺς πώλους.

Ἴβυκος δὲ ἐπὶ τῶν τὸν οὐρανὸν βασταζόντων κιόνων ῥαδινοὺς ἀντὶ τοῦ εὐμεγέθεις λέγει. Στησίχορος ἐπὶ τοῦ εὐτόνου·

— — ῥαδινοὺς δ' ἐπέπεμπον ἄκοντας.

V. 107. Παραβλήδην. Ἀντὶ τοῦ παραβάλλουσα τοῖς εἰρημένοις. Οὐ γὰρ ἀκουστέον ἐπὶ τοῦ ἀπατᾷν. Παλαμήδης δὲ, ἐξ ἀντιβολῆς, ἢ παραλογιστικῶς. Νῦν δὲ, ἐξ ἀποκρίσεως.

V. 112. Παλίσσυτοι. Ὀπισθόρμητοι.

V. 114. Ἀπάνευθε Διός. Ἀμφίβολος ἡ φράσις. Τὸ μὲν γὰρ δηλοῖ ἀπάνευθε Διὸς, χωρὶς τοῦ Διός· ὃ καὶ μᾶλλον. Ἢ λείπει τὸ ἄλλων, ἵν' ᾖ, χωρὶς τῶν ἄλλων ἐν τῇ Διὸς ἀλωῇ.

V. 115. Τὸν δὲ Γανυμήδην Ὅμηρος οὐχ ὑπὸ Διὸς ἡρπάσθαι, ἀλλ' ὑπὸ θεῶν, φησίν· οὐδὲ δι' ἔρωτα καὶ πόθον, ἀλλ' ὥστε Διῒ οἰνοχοεύειν·

Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διῒ οἰνοχοεύειν.

V. 118. Ἑψιόωντο. Ἀντὶ τοῦ ἔπαιζον. Φίλων δὲ, ἀντὶ τοῦ ὡμίλουν, παρὰ τὸ ἔπος.

V. 120. Μάργος Ἔρως. Κατὰ μετωνυμίαν, ὁ μαργαίνειν ποιῶν. Ὡς καὶ, μαινομένου Διονύσου. Καὶ Ἀνακρέων·

Τακερὸς δ' ἔρως.

Καὶ Ὅμηρος, χλωρὸν δέος.

Ἡ δὲ λαιὰ ἐσχημάτισται ἀπὸ τοῦ λῴου, ὁ ἐστι βελτίονος. Ὅθεν καὶ εὐώνυμος.

V. 122. Ὀκλαδόν. Ἀντὶ τοῦ ὀκλάσας.

V. 123. Δοιώ. Λείπει τὸ ἀστραγάλους.

V. 125. Ἐπὶ προτέροισιν ὀλέσσας. Καὶ τούτους ἐπαπολέσας τοῖς προτέροις, κεναῖς χερσὶν ἀμηχανῶν, ἤτοι ἐν ἀπορίᾳ γενόμενος, μὴ δυνηθεὶς νικῆσαι τὸν Ἔρωτα, ἀπῆλθε. Συμπαίζει γὰρ ὁ Γανυμήδης τῷ Ἔρωτι.

V. 127. Ἐπιπλομένην. Ἀντὶ τοῦ ἐπελθοῦσαν. Ἢ ταρασσομένην ἐνταῦθα.

V. 129. Τίπτ' ἐπιμειδιάας. Τί γελᾷς κακὸν μέγα καὶ ἄῤῥητον; ἢ αὐτὸν ματαίως ἐξηπάτησας καὶ παρελογίσω, οὐδὲ δικαίως αὐτοῦ περιεγένου, ἀλλὰ παρελογίσω ἄπειρον αὐτὸν ὄντα;

V. 133. Ἀδρήστεια. Αὕτη τροφὸς Διός. Καλλίμαχος· Σὲ δὲ κοίμησεν Ἀδρήστεια ἀδελφὴ Κουρήτων.

V. 134. Ἄντρῳ ἐν Ἰδαίῳ. Ἢ τῷ τῆς Κρήτης, ἢ τῷ τῆς Τροίας. Ἀντιποιοῦνται γὰρ καὶ Τρῶες τῆς τοῦ Διὸς γενέσεως, καθά φησι Δημήτριος ὁ Σκήψιος.

V. 137. Κύκλα. Κύκλα λέγει τοὺς ῥόμβους, κυκλώματα. Ἰωνικῶς δὲ τὰ κύκλα ἀντὶ τοὺς κύκλους, ὡς λύχνα καὶ δίφρα.

V. 138. Ἁψῖδες δὲ, αἱ συναφαί.

Περιηγέες δὲ, περιφερεῖς, περίδρομοι.

V. 140. Ἑαῖς. Ἔδει τεαῖς εἰπεῖν.

V. 141. Ὁλκάν. Νῦν τὴν διαδρομὴν τοῦ ἀστέρος λέγει.

V. 143. Θέλξον. Ἀντὶ τοῦ λῦσον τὴν ψυχήν.

V. 144. Ἀμβολίαν, τὴν βραδυτῆτα.

Ἀφαυροτέρη. Ἐλάσσων.

V. 146. *Μείλια.* Τὰ παίγνια, δι' ὧν οἱ παῖδες μειλίσσονται. Ὅμηρος ἐπὶ τῶν ξενίων·

— — ἐγὼ δ' ἐπὶ μείλια δώσω
πολλὰ μάλα.

V. 148. *Ἀγανοῖσιν.* Οὕτω τὸ ἑξῆς, ἡ δὲ ἐπειρύσασα παρειὰς κῦσε, ποτισχομένη, περιλαβοῦσα καὶ ἁπτομένη, ἀγανοῖς μύθοις ἀμείβετο μειδιόωσα.

V. 153. *Ἐνισκίμψῃς.* Ἐνεργήσῃς, ἐπιβάλῃς.

V. 158. *Βῆ δὲ δι' ἐκ μεγάροιο.* Διὰ τούτων τῶν στίχων παραγράφει τὰ εἰρημένα ὑπὸ Ἰβύκου, ἐν οἷς περὶ τῆς Γανυμήδους ἁρπαγῆς εἶπεν, ἐπὶ τῇ εἰς Γοργίαν ᾠδῇ. καὶ ἐπιφέρει περὶ τῆς Ἠοῦς, ὡς ἥρπασε Τιθωνόν.

V. 166. *Ἐν αἰθέρι.* Ἀντὶ τοῦ ἀν' αἰθέρα.

V. 167. *Ἑῆς ἐπὶ σέλμασι νηός.* Ἑῆς ἔδει εἰπεῖν, ἢ σφῆς· ἵν' ᾖ, τῆς ἑαυτῶν. Τὸ μὲν γὰρ σφῆς, τῆς ἑαυτῶν· τὸ δὲ ἑῆς, τῆς ἑαυτοῦ.

V. 173. *Ξυνὴ γὰρ χρειώ.* Κοινὴ γὰρ ἡ χρεία καὶ οἱ λόγοι.

V. 174. *Ὁ δὲ σῖγα νόον.* Ὁ δὲ κατὰ σιγὴν πράττων καὶ ἐν ἑαυτῷ κρύπτων τὸ συμφέρον, οὗτος τὴν σωτηρίαν ἡμῶν παραιρεῖται.

V. 186. *Σφέτερον κτέρας.* Οὐκ ὀρθῶς τὸ *σφέτερον.* Ἔστι γὰρ τρίτον πρόσωπον πληθυντικόν. καὶ ἁμαρτάνει. Ἔδει γὰρ ἑνικὸν, καὶ οὐ πληθυντικόν· ἀποχωρίσαι ἑὸν κτέρας.

V. 187. *Λωΐτερον.* Ἀντὶ τοῦ λῷον, συγκριτικόν. Τὸ δὲ *λωΐτερον* παρῆκται διὰ τὸ μέτρον.

V. 190. *Ὅδε καὶ ποτέ.* Ἀπὸ ὀξείας τὴν πρώτην συλλαβήν. Κατὰ ἀναφορὰν γὰρ λέγεται ἐπὶ τοῦ Αἰήτου. Τὸ δὲ ἑξῆς, ὅδε καὶ ποτὲ Φρίξον ἔδεκτο πατρὸς φεύγοντα θυηλάς.

V. 199. *Ἐπὶ θρωσμοῦ πεδίοιο.* Τοῦ ὑπερκειμένου τοῦ ποταμοῦ τόπου, ὅπου ἐστὶ θορεῖν καὶ πηδῆσαι ἀπὸ τῆς νεώς.

V. 200. *Κιρκαῖον πεδίον.* Ἀπὸ Κίρκης. Τὴν δὲ Κίρκην τινὲς μὲν Αἰήτου ἀδελφὴν, τινὲς δὲ θυγατέρα φασὶν εἶναι. Ταύτην Διονύσιος ὁ Μιλήσιος ἐν πρώτῳ τῶν Ἀργοναυτικῶν θυγατέρα Αἰήτου καὶ Ἑκάτης τῆς Περσέως, ἀδελφὴν δὲ Μηδείας λέγει. Ἡλίῳ γάρ φησιν υἱοὺς γενέσθαι δύο ἐν τοῖς τόποις ἐκείνοις· οἷς ὀνόματα ἦν Περσεὺς καὶ Αἰήτης. Τούτους δὲ κατασχεῖν τὴν χώραν· καὶ Αἰήτην μὲν Κόλχους καὶ Μαιώτας, Περσέα δὲ τῆς Ταυρικῆς βασιλεῦσαι· καὶ γῆμαι γυναῖκα τῶν ἐγχωρίων τινὰ, καὶ γενέσθαι αὐτῷ θυγατέρα, ᾗ ὄνομα Ἑκάτη. Οἱ δὲ ἐκ νύμφης τινὸς ἐγχωρίας τὴν Ἑκάτην φασὶν αὐτῷ γενέσθαι, ἀνδρικὴν περὶ τὰ κυνηγετικὰ, καὶ πρώτην θανασίμους ῥίζας εὑρεῖν· καὶ ἐμπειροτάτην γεγονέναι τῶν τε δηλητηρίων καὶ τῶν ἰᾶσθαι δυναμένων, καὶ τὸν ἑαυτῆς πατέρα φαρμάκοις ἀποκτεῖναι. Ταύτην γήμασθαι πεμφθεῖσαν εἰς Κόλχους Αἰήτῃ τῷ πατραδέλφῳ· ἀφ' ἧς γενέσθαι Κίρκην καὶ Μήδειαν. Τὴν δὲ Κίρκην, πρεσβυτέραν οὖσαν, ὑπερβαλέσθαι τὴν ἑαυτῆς μητέρα, τὰ μὲν διακούσασαν παρ' αὐτῆς, τὰ δὲ καὶ αὐτὴν ἐφευρηκυῖαν, πολλὰ καὶ δεινά. Μήδειαν δὲ, νεωτέραν μὲν Κίρκης, οὐχ ἡττωμένην δὲ αὐτῆς. Ταῦτα μὲν οὗτοι. Ἡσίοδος δέ φησι τὴν Κίρκην τοῦ Ἡλίου θυγατέρα εἶναι ἐν τοῖσδε τοῖς ἔπεσι·

Κίρκη δ' Ἠελίου θυγάτηρ Ὑπεριονίδαο
τίκτεν Ὀδυσσῆϊ ταλασίφρονι ἐν φιλότητι
Ἄγριον ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε.

V. 202. *Τῶν καὶ ἐπ' ἀκροτάτων.* Τὰ τῶν ἀρσένων σώματα οὐ θέμις Κόλχοις οὔτε καίειν οὔτε θά-

πτειν· βύρσαις δὲ νεαραῖς εἰλοῦντες ἐκρέμων τῶν ἀρσένων τὰ σώματα, τὰ δὲ θήλεα τῇ γῇ ἐδίδοσαν, ὥς φησι Νυμφόδωρος, ᾧ ἠκολούθησε. Σέβονται δὲ μάλιστα οὐρανὸν καὶ γῆν.

V. 209. *Ἡ γάρ κε δίκη θεσμοῖο.* Ἀντὶ τοῦ, οὗτος γὰρ ὁ τρόπος τοῦ νόμου.

V. 215. *Τεθηπότες ἕρκε' ἄνακτος.* Τὴν ὀχύρωσιν τῆς οἰκήσεως. Τῶν οἰκημάτων τὴν ἀσφάλειαν.

V. 218. *Χαλκείαις ἐπὶ γλυφίδεσσιν.* Ἐπὶ χαλκοῖς τορεύμασιν, ἢ χαλκοῖς κιονοκράνοις.

V. 222. *Ἐλάχηνεν.* Ὤρυξεν, ἔσκαψεν. Καταστρέφει δὲ εἰς τὸ κατεσκεύασεν.

V. 224. *Θυώδει νᾶεν ἀλοιφῇ.* Ἀρώμασι μεμιγμένον ὕδωρ ἔῤῥει, ἢ εὐῶδες ἔλαιον.

V. 225. *Ἡ δ' ἄρ' ὕδωρ προρέεσκεν.* Ὁ Ἀπολλώνιος κατὰ τὴν Πλειάδων δύσιν λέγων τὴν κρήνην θερμὸν ῥεῖν, κατὰ δὲ τὴν ἐπιτολὴν ψυχρὸν, οὐ παρέστησεν εἰλικρινῶς τὸν καιρόν. Δύο γάρ εἰσιν ἐπιτολαὶ τῶν ἀπλανῶν ἄστρων, καὶ δύο δύσεις. Ἑῴα μέν ἐστιν ἐπιτολὴ, ὅταν ἔξω τῶν αὐγῶν τοῦ ἡλίου πρῶτον ἱστᾶταί τι ἄστρον, καὶ πρὸ αὐτοῦ ἀνατέλλον ὀφθῇ. Ἑῴα δὲ δύσις, ὅταν ἡλίου πρὸς τὴν ἀνατολὴν ὄντος ὁραθῇ τι ἄστρον περὶ τὰς δύσεις ὕστατον δύνον τῶν ὅσα κατ' ἐκείνην τὴν νύκτα δύνει. Ἑσπερία δὲ ἐπιτολὴ, ὅταν δύνοντος ἡλίου ὁραθῇ τι ἄστρον ἐπὶ τῆς ἀνατολῆς πρῶτον τῶν ὅσα κατ' ἐκείνην τὴν νύκτα ἀνίσχει. Ἑσπερία δὲ δύσις λέγεται, ὅταν ἡλίου δύνοντος ἄστρον ὁραθῇ τι πρὸ τῶν ἄλλων ἐγκαταδύνον αὐτὸ, ὡς ἂν ὑπὸ ταῖς αὐγαῖς τοῦ ἡλίου γένηται. Ὁ δὲ ὑπὸ ταῖς αὐγαῖς χρόνος πᾶς κρύψις ὀνομάζεται.

V. 226. *Αἱ δὲ Πληϊάδες,* Πληϊόνης τῆς Ὠκεανοῦ

καὶ Ἄτλαντος· ὡς μέν τινες, ἀπὸ τῆς μητρὸς ἔσχον τὴν ἐπωνυμίαν· ἢ μᾶλλον παρὰ τὸν πλειῶνα, ὅ ἐστιν ἐνιαυτός. Σημαντικαὶ γὰρ αὗται καὶ χειμῶνος καὶ θέρους. Αὗται δὲ τὴν ἐναντίαν ἀεὶ πορείαν ποιοῦνται τῷ Ὠρίωνι. Συναντῆσαι γάρ ποτε λέγεται τῇ Πληϊόνῃ μετὰ τῶν θυγατέρων κατὰ τὴν Βοιωτίαν· καὶ εἰς ἔρωτα ταύτης ἐκπεσὼν ἐδίωκεν, ἡ δὲ ἔφευγεν. Γενέσθαι δὲ τὸν δρόμον αὐτῶν φασὶν ἀδιάλειπτον· καὶ οὕτω καταστερισθῆναι τὰς Πληϊάδας τὸν Ὠρίωνα φεύγουσας.

V. 230. sq. *Ὅτι δὲ χαλκόποδες οἱ ταῦροι, καὶ πῦρ πνέοντες, καὶ Φερεκύδης φησί.*

V. 232. *Πρὸς δὲ καὶ αὐτόγυον. Δύο ἀρότρων εἰσὶν εἴδη. Τὸ μὲν, πηκτὸν, τὸ δὲ, αὐτόγυον. Πηκτὸν μὲν, τὸ ἐκ συμβολῆς ἔχον τὸ ἔλυμα. Ἔστι δὲ τὸ ἔλυμα, ἐν ᾧ ὁ ὕνις ἐντίθεται. Τὸ δὲ ξύλον τὸ ἀπὸ τοῦ ἐλύματος τεῖνον ἐπὶ τοὺς βόας γύης καλεῖται. Τὸ δὲ ἀπὸ τοῦ γύου, ἱστοβοεύς. Τοῦ δὲ ζυγοῦ τὰ ἐπὶ τοὺς αὐχένας τῶν βοῶν ἐπιτιθέμενα, οἱ μὲν ζεύγλας, οἱ δὲ μέσσαβα λέγουσι. Τοιοῦτον μὲν τὸ πηκτόν. Αὐτόγυον δέ ἐστιν, οὗτινος τὸ ἔλυμα οὐκ ἔστιν ἐκ συμβολῆς. Τὴν δὲ κατασκευὴν τῶν ἀρότρων Ἐρατοσθένης ἐν τῷ Ἀρχιτεκτονικῷ καταγράφει.*

V. 233. *Ἤλασεν ἠελίῳ τίνων χάριν. Πέπλασται ὁ μῦθος διὰ τὴν τῶν ποδῶν χωλότητα. Οὐ μέντοι πιθανῶς. Μείζονα γὰρ εἶχεν δύναμιν τῶν γιγάντων, δι᾽ ἧς αὐτοὺς ἐτρέψατο ἄν. Ὁ μέντοι Ἀπολλώνιος αἰτίαν ἀποδέδωκε, δι᾽ ἧς ὁ Ἥφαιστος κατεσκεύασε τῷ Αἰήτῃ τούς τε χαλκώνυχας ταύρους καὶ τὸ ἄροτρον. Ὅτι δὲ δυνατὸς ἦν Ἥφαιστος, Ὅμηρος ἔδειξεν ἐπὶ Ξάνθου τοῦ ποταμοῦ.*

V. 234. Φλεγραίη. Φλέγρα πεδίον Θράκης, περὶ Παλλήνην, ἔνθα οἱ θεοὶ τοὺς γίγαντας ἐπολέμησαν.

V. 235. Μέσσαυλος. Τὸ μέσον τῆς αὐλῆς, ὅπου τῶν βοῶν αἱ στάσεις. Μέσαυλον δὲ οἱ Ἀττικοὶ τὴν φέρουσαν εἴς τε τὴν ἀνδρωνῖτιν καὶ γυναικωνῖτιν.

V. 237. Δαιδαλέη δ' αἴθουσα. Στοὰ δὲ ποικίλη ἦν ἑκατέρωθεν τῆς οἰκίας.

V. 238. Λέχρις. Ἐκ πλαγίου δὲ τῆς αἰθούσης ὑψηλότεραι ἦσαν οἰκοδομαί· ὅ ἐστι πύργοι.

V. 242. Τὸν μὲν Καυκασίη. Ὁ τὰ Ναυπακτικὰ πεποιηκὼς Εὐρυλύτην αὐτὴν λέγει. Διονύσιος δὲ ὁ Μιλήσιος Ἑκάτην μητέρα Μηδείας καὶ Κίρκης, ὡς προείρηται. Σοφοκλῆς Νεαίραν, μίαν τῶν Νηρηΐδων. Ἡσίοδος δὲ Ἰδυῖαν·

Αἰήτης δ' υἱὸς φαεσιμβρότου Ἠελίοιο,
γῆμε θεῶν βουλῇσιν Ἰδυῖαν καλλιπάρῃον.

Ἐπιμενίδης δέ φησι Κορίνθιον τῷ γένει τὸν Αἰήτην· μητέρα δὲ αὐτοῦ Ἐφύραν φησί. Διοφάνης δὲ ἐν τῇ ᾱ τῶν Ποντικῶν ἱστοριῶν Ἀντιόπην φησὶν Αἰήτου μητέρα.

Προγενέστερον δέ φασι τὸν Ἄψυρτον Μηδείας γενέσθαι Αἰήτῃ ἐξ Ἀστεροδείης τῆς Ὠκεανοῦ καὶ Τηθύος θυγατρός.

V. 255. Ἔκτοθι πᾶσαι. Ἀντὶ τοῦ ἐκτὸς, ἵνα τὸ εἰς τόπον σημαίνῃ.

V. 257. Ὑψοῦ χάρματι. Ἔδει ὑψόσε. Τὸ γὰρ ὑψοῦ τοῦ ἐν τόπῳ δηλωτικόν ἐστι· τὸ δὲ ὑψόσε τοῦ εἰς τόπον. Ὅμηρος·

Ὑψοῦ ἐπὶ ψαμάθοιο.

V. 260. Οὐκ ἄρ' ἐμέλλετον. Ἀφροντίστως με καταλιπόντες, ὅμως οὐκ ἐμέλλετε μακρὰν πορεύεσθαι. Ὑποστρέψαι οὖν ὑμᾶς ἡ μοῖρα πεποίηκε.

V. 261. *Τηλόθι.* Κἀνταῦθα ἀντὶ τοῦ τηλόσε.

V. 262. *Ἔκ ποθεν ἄτης.* Ἀντὶ τοῦ, ἔκ τινος βλάβης.

V. 265. *Ὀρχομενοῖο.* Καὶ Ἑλλάνικος φησὶ τὸν Ἀθάμαντα Ὀρχομενὸν ᾠκηκέναι.

V. 267. *Ἑὴν μητέρα.* Ἀντὶ τοῦ ὑμετέραν.

V. 275. *Πολιοῖο.* Πολιὸν τὸ διαφανές.

V. 276. *Τετρηχώς.* Ὁ δεδαμασμένος.

Οἶστρος. Διαφέρει οἶστρος μύωπος. Ὁ μὲν γὰρ μύωψ ἀπογεννᾶται τῶν ξύλων, ὁ δὲ οἶστρος ἐκ τῶν ἐν τοῖς ποταμοῖς ἐπιπλεόντων ζωαρίων.

V. 277. *Τὸ δὲ τέλλεται,* κατὰ ἀφαίρεσιν ἐστὶ τοῦ σ, ἀντὶ τοῦ στέλλεται.

V. 281. *Ὀξέα δενδίλλων.* Ἀντὶ τοῦ, συστρέψας ἑαυτὸν καὶ ἀποκαλύψας, ὀξέως παρεπιστρεφόμενος, καὶ εἰς αὐτὸν τοῖς ὀφθαλμοῖς ἐπινεύων. Ὅμηρος δὲ ἐπὶ τοῦ στρέφειν τέθεικε τὴν λέξιν, τὸ ἐν ἐπιστροφῇ τοῦ προσώπου παρεκκλίνοντα τοῖς ὀφθαλμοῖς ἐπινεύειν, καθάπερ Ἀπολλόδωρος. Σοφοκλῆς δὲ ἐπὶ τοῦ περιβλέπειν τέθεικε τὴν λέξιν.

V. 288. *Ἀμαρύγματα.* Τὰς λαμπάδας τῶν ὀφθαλμῶν λέγει.

Καί οἱ ἄηντο. Πνοὴν ἔπεμπον, ἢ μετεωρίζοντο.

V. 291. *Ὡς δὲ γυνή.* Καὶ Ὅμηρος·

Ὡς δ' ὅτε τὶς δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ.

V. 294. *Ἀγχι μάλ' ἐγρομένη.* Ἀντὶ τοῦ ἐγγύς. Τίθεται δὲ καὶ ἐπὶ χρόνου. Μένανδρος·

Ἔγημεν ἔναγχος.

ἀντὶ τοῦ νῦν, ἢ ἀντὶ τοῦ ταχέως.

V. 296. *Εἰλυμένος.* Κεκαλυμμένος. Οἷον κεκρυμμένος· εἰς γὰρ τοῦτο καταστρέφει.

V. 298. Ἀκηδείῃσι. Ταῖς πολυκηδείαις. τοῦτ' ἔστι ταῖς λύπαις.

V. 302. Σφετέρης. Ἀντὶ τοῦ ἰδίας.

V. 306. sq. Ἠέ τις ἄτη. Οἷον, κακόν τι ὑμᾶς ἐνεπόδισε κατὰ τὸν πλοῦν. Τὸ γὰρ ἐνέκλασε, κατὰ μεταφορὰν, ἐνεπόδισε.

V. 311. Κίρκην Ἑσπερίης. Ἠκολούθησεν Ἀπολλώνιος τοῖς κατὰ τὸ Τυρσηνικὸν πέλαγος ὑποτιθεμένοις τὴν Ὀδυσσέως πλάνην· ὧν ἀρχηγὸς Ἡσίοδος, κατῳκηκέναι λέγων Κίρκην ἐν τῷ προειρημένῳ πελάγει.

Ἑσπερίης εἴσω χθονός. Περὶ τὴν Ἰταλίαν ᾤκησεν ἡ Κίρκη· ὅθεν ὄρος Κιρκαῖον ἀπ' αὐτῆς πολυφάρμακον. Φησὶ δὲ Ἀπολλώνιος, Ἡσιόδῳ ἑπόμενος, ἐπὶ τοῦ ἅρματος τοῦ ἡλίου εἰς τὴν κατὰ Τυῤῥηνίαν κειμένην νῆσον τὴν Κίρκην ἐλθεῖν. Ἑσπερίαν δὲ αὐτὴν εἶπεν, ἐπεὶ πρὸς δυσμὰς κεῖται.

V. 322. Ποτὶ ξερόν. Ἐπὶ τὸ ξηρὸν ἀπὸ τοῦ ὑγροῦ τῆς θαλάσσης. Ἡ δὲ ποτὶ πρόθεσις παρὰ μὲν Δωριεῦσι πρὸς, παρ' ἡμῖν δὲ καὶ Ἴωσιν εἴληπται ἀντὶ τῆς παρά. Ὅμηρος·

— — — ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ.

Καὶ ἡ Δωρικὴ παροιμία, τὸν λίθον ποτὶ τὸ σπάρτον ἄγοντας.

V. 327. Νηὸς ἑῆς. Κακῶς τὸ ἑῆς, ἐπὶ πλήθους. Ἔστι γὰρ ἑνικόν. Ἔδει δὲ εἰπεῖν σφετέρης.

V. 335. Σφωϊτέρη. Κακῶς εἶπεν ἐπὶ ἑνικοῦ. Ἔστι γὰρ δυϊκόν.

Ὁ δὲ Ἰάσων ἀπὸ Αἰόλου τὸ γένος κατάγει, ὡς Ἑλλάνικος.

V. 337. Στεῦται ἀμειλίκτοιο. Ὁ νοῦς, Ὁρίζεται δὲ τοὺς ἀπ' Αἰόλου οὐκ ἐκφεύξεσθαι τὸν ἀνεξί-

λαστον χόλον τοῦ Διὸς, οὐδὲ τὸ μίασμα καὶ τὴν Φρίξου ποινὴν, πρὶν τὸ κῶας εἰς τὴν Ἑλλάδα κομισθῆναι. Τὸ δὲ ἑξῆς, Στεῦται δὲ Αἰολιδῶν γενεὴν οὐχ ὑπαλύξειν ἀμειλίκτοιο Διὸς μῆνιν καὶ χόλον, πρὶν ἐς Ἑλλάδα ἱκέσθαι.

V. 342. Τάων. Τῶν Κολχικῶν κακίστης ἐτύχομεν νηός.

Ἐπεκύρσαμεν. Ἐνετύχομεν.

Ἤλιθα. Ἀθρόως.

V. 350. Αὐτῷ. Ἀντὶ τοῦ σοί.

V. 354. Δῆθεν. Παρέλκεται τὸ δῆθεν. Εἰ δὲ προαιρῇ (φησὶν) ἑκάστου γνῶναι τὴν γενεὰν καὶ τοὔνομα, πάντα ἐξείποιμι.

V. 356. Οἷόπερ. Οὗτινος χάριν.

V. 359. Οὕτω κεν γνωτός. Ἀντὶ τοῦ συγγενής· ἢ ἀνεψιδοῦς, διςεξάδελφος. Κρηθεὺς καὶ Ἀθάμας ἀδελφοὶ, Αἰόλου παῖδες. Κρηθέως Αἴσων, Αἴσονος Ἰάσων· Ἀθάμαντος δὲ Φρίξος, οὗ Ἄργος.

V. 368. Ἠερέθοντο. Μετεωρίζοντο τῷ νῷ χολουμένῳ. Ἀντὶ τοῦ οἰδαίνοντο, ἐφυσῶντο.

V. 375. Αὐτίκα. Ἀντὶ τοῦ νῦν.

V. 376. Ἐν δὲ τῷ νέεσθαι, ἀπὸ κοινοῦ τὸ ἔολπα.

Ἄλλως. Ἐν δὲ τῷ αὐτίχ' ὁμαρτήσαντες, προςεκτέον, ὅτι ἀσαφῶς εἴρηται. Ἴσως οὖν αὖθις ἀντὶ τοῦ αὐτίκα ῥητέον· καὶ ἀντὶ τοῦ ἀφ' Ἑλλάδος, εἰς Ἑλλάδα· ἵν' ᾖ, οὐκ ἄφαρ ὑποστρέψετε εἰς Ἑλλάδα. Ἢ στίξαντας εἰς τὸ Ἑλλάδα τελείαν, τὸ ἑξῆς ἐπιφέρειν δεῖ, οὐκ ἐπὶ κῶας δεῦρο νέεσθε, ἐπὶ τὰ σκῆπτρα δὲ καὶ τὴν βασίλειον τιμήν. Ὥστε οὐ γραπτέον, οὐδ' ἐπὶ κῶας, ἀλλ', οὐκ ἐπὶ κῶας· οὐδὲ, σκῆπτρά τε, ἀλλὰ, σκῆπτρα δέ. Οἱ δὲ σχολιογράφοι

ἐοίκασιν ἄλλῃ τινὶ γραφῇ ἐντυχεῖν· φασὶ γὰρ ἀπὸ κοινοῦ νοεῖσθαι τὸ ἔολπα. Οὐδαμοῦ δὲ εἴρηται τὸ ἔολπα.

V. 386. *Αἰήτη, σχέο μοι.* Ὦ Αἰήτη, ἐπίσχες ἢ ἀνάσχου μοι περὶ τούτου τοῦ στόλου.

V. 388. *Οὐδὲ μὲν ἱέμενοι.* Οὐδὲ ἐφιέμενοι τῆς σῆς βασιλείας.

V. 395. *Σφωϊτέροισι.* Κακῶς τῷ σφωϊτέροισιν ἐχρήσατο. Ἔδει γὰρ εἰπεῖν τεοῖσι.

V. 396. Τὸ δὲ *ἴσκεν* Ὁμηρικῶς.

V. 399. *Πειρήσαιτο βίην.* Πεῖραν λάβοι τῆς ἰσχύος τῶν ἡρώων.

V. 400. *Ὑποβλήδην.* Κακῶς τὸ ὑποβλήδην. Κεῖται γὰρ πρὶν ἢ καταλῆξαι τὸν ἕτερον λέγοντα.

V. 401. Τὸ δὲ, *διηνεκέως ἀγορεύεις,* ἀντὶ τοῦ μακρηγορεῖς.

V. 406. *Ἑλλάδι κοιρανέοντα.* Τὸν Πελίαν λέγει.

Τὸ δὲ ἄνω ῥηθὲν *μεγαίρω,* ἀντὶ τοῦ οὐ φθονῶ ὑμῖν, ὡς ὁ Πελίας. Πεῖραν δὲ λαβὼν τῆς σῆς ἀνδρείας παρέξω τὸ δέρας· οὐ γὰρ φίλον μοι τὸ φθονεῖν.

V. 408. *Ὀλοόν.* Τὸν ἄθλον.

V. 409. *Δοιώ μοι πεδίον.* Καὶ Ἀντίμαχος ἐν τῇ Λυδῇ ἡφαιστοτεύκτους τοὺς ταύρους ἀπεφήνατο.

V. 411. *Στυφελήν.* Τραχεῖαν.

V. 412. Πεντηκοντόγυον φησὶ Φερεκύδης ἐν τῇ ἕκτῃ.

V. 413. *Σπάρον.* Πυρόν.

Ὁλκοῖσι. Ταῖς ἐγχαράξεσιν. Ἑλκομένου γὰρ τοῦ ἀρότρου, ἡ γῆ διαῤῥήγνυται.

Δηοῦς. Δήμητρος.

V. 416. *Κείρω.* Κτείνω.

Περιστάδόν. Περιϊστῶτας καὶ ἐναντιουμένους. Ἢ ἐξισοῦντας.

V. 422. *Πάρος.* Νῦν ἐπὶ τόπου τὸ *πάρος.* Κεῖται δὲ καὶ ἐπὶ χρόνου.

V. 427. sqq. *Περιπολλὸν ἐέργεις.* Ὁ νοῦς, λίαν με τῷ δικαίῳ ἐγκλείεις, συνέχεις. Διόπερ ἐγὼ καίπερ ὑπερφέροντα τῇ βίᾳ τὸν ἆθλον ἐποίσω μέχρι θανάτου.

Ἀρσενικῶς δὲ εἶπε τὴν μοῖραν *μόρον.*

Οὐ γάρ ἔτ' ἄλλο. Οὐδὲν γὰρ ἀνθρώποις χεῖρον ἀνάγκης, καθ' ἣν ἀφίγμεθα πρὸς σὲ βιασθέντες ὑπὸ τοῦ βασιλέως.

V. 438. *Μετελθεῖν.* Ἡ *μετὰ* ἀντὶ τῆς πρός. πρὸς ἀμείνονα φῶτα ἐλθεῖν.

V. 439. *Ἀπηλεγέως.* Ἀποτόμως.

V. 441. sq. Τὸ *μεσσηγὺς* αἰτίας ἀποδοτικὸν, διὰ τί κατόπιν ἐκείνων ἐπορεύετο ὁ Ἄργος. Διότι, φησὶν, ἔνευσε τοῖς ἀδελφοῖς αὐτοῦ ἔτι λιπέσθαι καὶ μεῖναι ἐν τῇ οἰκίᾳ. Οἱ δ' ἤεσαν καὶ ἐξῆλθον, οἱ περὶ Ἰάσονα δηλαδή.

V. 444. *Ἐπ' αὐτῷ δ' ὄμματα.* Ἔχουσα οὖν τὰ ὄμματα ἐπ' αὐτῷ λοξὰ, παραθεμένη τὴν λιπαρὰν καλύπτραν, ἐθαύμαζε.

Ἐπ' αὐτῷ δ' ὄμματα. Ἐπ' αὐτῷ δὲ ἡ Μήδεια λοξὰ τὰ ὄμματα ἔχουσα, θηεῖτο, παραθεμένη τὴν καλύπτραν.

V. 446. *Κῆρ ἄχει.* Τῇ λύπῃ τὴν ψυχὴν καιομένη καὶ ἀλίσκουσα.

Νόος δέ οἱ. Ὁ νοῦς, τῷ δὲ νῷ ἀνεθεώρει τὸν Ἰάσονα. Οἷον, καθάπερ ὀνείρῳ μετέωρος ἐπορεύετο κατὰ τὰ ἴχνη τοῦ Ἰάσονος.

V. 453. *Προπρὸ δ' ἄρ.* Ἐμφαντικῶς αἱ προθέσεις τὴν συνεχῶς ἀνειδωλοποιοῦσαν τῷ νῷ ἐμφαίνουσι. Καὶ παρ' Ὁμήρῳ, προπροκυλινδόμενος.

V. 460. *Ὀδύρετο δ' ἠΰτε.* Ἐθρήνει δ' αὐτὸν ὡς ἤδη τεθνηκότα.

V. 461. sq. Ἐλέῳ δὲ συνεχομένη, ἔκλαιεν ἐπ' αὐτῷ λυπουμένη.

V. 464. *Εἴθ' ὅγε.* Τὸ εἴτε οὐ πρὸς τὸ φθίσεται, ἀλλὰ πρὸς τὸ προφερέστατος ἀναφέρειν δεῖ, ἵν' ᾖ, εἴτε ὅγε προφερέστατος τῶν ἡρώων φθίσεται, εἴτε χείρων, ἤγουν χείριστος. Κεῖται γὰρ τὸ συγκριτικὸν ἀντὶ ὑπερθετικοῦ.

V. 466. *Ἐῤῥέτω.* Φθειρέσθω. Ἢ ὤφελε χωρισθῆναι ἀπαθὴς, μηδὲν παθών. Τοῦτο γὰρ σημαίνει τὸ ἀκήριος.

V. 467. *Πότνα θεὰ Περσηΐ.* Περσηΐδα τὴν Ἑκάτην λέγει, ὡς τοῦ Περσέως θυγατέρα. Τινὲς δὲ αὐτὴν φασι Διὸς εἶναι παῖδα. Ἐν δὲ τοῖς Ὀρφικοῖς Δήμητρος γενεαλογεῖται·

Καὶ τότε δὴ Ἑκάτην Δηὼ τέκεν εὐπατέρειαν.

Βακχυλίδης δὲ Νυκτὸς φησὶν αὐτὴν θυγατέρα·

Ἑκάτα, δᾳδοφόρου Νυκτὸς μεγαλοκόλπου θύγατερ.

Μουσαῖος δὲ, Ἀστερίας καὶ Διός. Φερεκύδης δὲ, Ἀρισταίου τοῦ Παίονος.

V. 470. *Οὕνεκεν.* Ὅτι οὐκ ἐπιχαίρω ἐγὼ κακοῖς. Ὁ δὲ λόγος ἐρωτικός.

V. 471. *Ἐόλητο.* Ἐτετάρακτο καὶ ἐν ἀγωνίᾳ ἦν.

V. 474. Ὑπερβατόν ἐστι. Τὸν γὰρ Ἰάσονα ὁ Ἄργος προσέειπεν.

V. 478. *Ἑκάτης.* Εἰς ἣν αἱ φαρμακίδες ἀναφέρονται.

V. 482. *Ἀντιβολήσων.* Συναντήσων. Καταστρέφει δὲ εἰς τὸ κοινολογήσομαι, συντάξομαι.

V. 485. *Ὦ πέπον.* Ὦ γλυκύτατε, ἡδύτατε, προσφιλέστατε. Ἐπεὶ καὶ ὁ πέπων μελίχρους.

V. 490. *Παρεόντας.* Τὸν Ἰάσονα καὶ τοὺς σὺν αὐτῷ.

V. 493. *Ἀντικρύ.* Φανερώτατα, ἐναντιώτατα.

V. 494. *Διειρομένοισι.* Διερευνῶσιν, ἢ λέγουσιν. Ὁ γὰρ νοῦς, Ἐναντίως ἡμῖν ἔχει. οὐ γάρ ἐστι τελεσθησόμενον οὔτε ἐμοὶ λέγοντι, οὔτε ὑμῖν ἐρευνῶσι τὰ ἐπιτασσόμενα.

V. 497. *Ἐφίετο.* Ἐνετείλατο.

V. 500. *Ὁ δή νύ οἱ.* Τὸ ἑξῆς, ὅπερ αὐτῷ συντόμως ὑπεσχόμην. Οὐκ ἦν γὰρ ἄλλό τι σκέψασθαι βέλτιον.

V. 502. *Ἀνήνυτος.* Δυσκατόρθωτος.

V. 510. *Πεφυλαγμένος ἐντύναιο.* Φυλάττων τὴν ὑπόσχεσιν παρασκευάζου. Ἐντύνω γάρ, τὸ παρασκευάζω.

V. 511. *Ἑῇ.* Κακῶς τὸ ἑῇ· τρίτου γάρ ἐστι προσώπου. Ἔδει δὲ σῇ.

V. 513. *Οὐ γὰρ ἔγωγε.* Ἀντὶ τοῦ, ἐγὼ οὐκ ἀνέξομαι. Τί γὰρ πλέον ἢ θάνατός με περιμένει;

Ὁ μὲν Ἀπολλώνιος τούτους φησὶ προαιρεῖσθαι ζεῦξαι τοὺς βόας· ὁ δὲ τὰ Ναυπακτικὰ ποιήσας πάντας ἀριθμεῖ τοὺς ὑπ' αὐτοῦ φερομένους ἀριστεῖς.

V. 523. *Ἀλλά τιν' οἴω.* Δύναται (φησὶν) ἡ μήτηρ ἡ ἐμὴ πεῖσαι τὴν Μήδειαν συνεργῆσαι τὸν ἆθλον. Ἐν δὲ τοῖς Ναυπακτικοῖς Ἴδμων ἀναστὰς Ἰάσονα κελεύει ὑποστῆναι τὸν ἆθλον.

V. 529. *Δάε.* Ἀντὶ τοῦ ἐδίδαξε.

V. 530. *Νήχυτον ὕδωρ.* Τὸ πολύχυτον. Τὸ γὰρ νη καὶ στέρησιν σημαίνει καὶ ἐπίτασιν. Καὶ ἀχύνετον ὕδωρ, τὸ πολὺ, κατὰ Ἴωνας καὶ Σικελιώτας. Διονύσιος·

Πλαζομέναις ἵνα λύσσαν ἀχύνετον ἧκα βαλοῦσα.

V. 533. *Ἄστρά τε καὶ μήνης.* Τὸν παραδεδομένον μῦθον λέγει, ὡς αἱ φαρμακίδες κατάγουσι τὴν σελήνην. Τινὲς δὲ καὶ τὰς ἐκλείψεις ἡλίου καὶ σελήνης καθαιρέσεις ἐκάλουν τῶν θεῶν. Τὸ παλαιὸν ᾤοντο αἱ φαρμακίδες τὴν σελήνην καὶ τὸν ἥλιον καθαιρεῖν. Διὸ καὶ μέχρι τῶν Δημοκράτους χρόνων πολλοὶ τὰς ἐκλείψεις καθαιρέσεις ἐκάλουν. Σωσιφάνης ἐν Μελεάγρῳ·

Μάγοις ἐπῳδαῖς πᾶσα Θεσσαλὶς κόρη,
ψευδὴς σελήνης αἰθέρος καταιβάτις.

V. 539. *Τάχα.* Τὸ τάχα ἐν δισταγμῷ κεῖται. Τινὲς δὲ καὶ ἀντὶ τοῦ ταχέως.

V. 541. Ἀπολλόδωρος φησὶν ἐν τῷ περὶ θεῶν, ὅτι ἡ περιστερὰ ἱερὰ Ἀφροδίτης. διὸ καὶ λάγνον. παρὰ γὰρ τὸ περισσῶς ἐρᾷν λέγεται.

V. 551. *Κέαρ δέ μοι.* Ὡς δὲ ἡ ψυχή μου προορᾶται, οὕτως γένοιτο.

V. 564. *Μεμαώς.* Ἀντὶ τοῦ ὀργιζόμενος νῦν. Οὐ γὰρ ἐπὶ κακοῖς τὶς πρόθυμός ἐστι.

V. 579. *Στεῦτο.* Ἀπὸ κοινοῦ τὸ στεῦτο.

V. 583. *Ἀποφλύξωσιν.* Ἀντὶ τοῦ ἐκφυσήσωσιν. Καταστρέφει δὲ εἰς τὸ ἐκπνεύσωσιν. Ἔνθεν καὶ ὁ φλύαρος.

V. 584. sq. *Οὐδὲ γὰρ δέχθαι.* Λείπει τὸ ὑπέμεινεν.

V. 587. *Εἰ μή οἱ Ζεύς.* Ἄγγελον φησὶν Ἑρμῆν ὑπὸ Διὸς πεμφθῆναι, κελεύοντα δέξασθαι τὸν Φρίξον,

ἵνα τὴν Αἰήτου θυγατέρα γήμῃ. Ὁ δὲ τὸν Αἰγίμιον ποιήσας, διὰ τὸ δέρας αὐτὸν αὐθαιρέτως φησὶ προσδεχθῆναι. Λέγει δὲ, ὅτι μετὰ τὴν θυσίαν ἁγνίσας τὸ δέρας, οὕτως ἔστειχεν εἰς τοὺς Αἰήτου δόμους τὸ κῶας ἔχων.

V. 588. Ὥς κεν προσκηδέος. Ὅπως ἂν εὐμενοῦς ἀντιάσειεν ὁ Φρίξος τοῦ Αἰήτου.

V. 594. Νόσφιν δ' οἷ αὐτῷ μείλια τίσειν. Τιμωρίαν ἀποτίσειν. Χωρὶς δὲ αὐτῷ δώσειν τιμωρίαν ἔλεγεν τοὺς Φρίξου παῖδας. Τούτους γὰρ αὐτῷ κακοὺς ἄνδρας ἐπάγειν, ὅπως αὐτοῦ τῆς βασιλείας ἐγκρατεῖς γένωνται, ὡς καὶ παρὰ τοῦ ἰδίου πατρὸς Ἡλίου ἠκηκόει. Ὅτι δὲ χρησμὸς ἦν Αἰήτῃ δεδομένος, ὑπὸ τῶν αὐτοῦ ἐγγόνων ἀπολέσθαι, καὶ Ἡρόδωρος ἐν τοῖς Ἀργοναύταις ἱστορεῖ. Τούτου ἕνεκα καὶ τὴν ζεῦξιν τῶν ταύρων λέγει αὐτὸν ἐπινοῆσαι.

V. 597. Ἀκηδέες. Ἀκηδὴς, ὁ ἀφρόντιστος, καὶ ὁ μὴ φροντίζων ἑτέρων.

V. 599. Χρῆναι. Γράφεται χρειώ.

V. 600. Σφωϊτέρης. Κακῶς τὸ σφωϊτέρης δυϊκὸν ἐπὶ ἑνικοῦ ἐχρήσατο. Ἔδει γὰρ εἰπεῖν ἑῆς, ἵν' ᾖ, τῆς ἑαυτοῦ εἶναι δέος. Λείπει τὸ ὑπελάμβανεν.

V. 601. Τῷ κε καὶ ἐλδομένους. Παρατατικὸν εἴληφεν ἀντὶ ὑπερσυντελικοῦ. Καὶ ἔστιν ὑπερβατὸν ἡ φράσις, καὶ λείπει τὸ ὡς. Τὸ γὰρ ἑξῆς οὕτως ἐστὶ, διὸ καὶ ἐπιθυμοῦντας μακρὰν πλεῦσαι, προσεκδεκτέον καὶ τοῦτο, ὡς πατρὸς ἐντολῇ φράσαντος πέπομφεν αὐτούς.

V. 610. Παρηγορέεσκεν. Παρεκάλει. Ἐφιλοφρονεῖτο.

V. 615. Ἀμφαδά. Ἀκουστὰ, φανερά.

V. 616. *Κατελώφεεν.* Ἐκ τῶν λυπῶν αὐτὴν κατέπαυσεν ὁ ὕπνος.

V. 622. *Σφέτερον.* Καὶ νῦν κακῶς τὸ σφέτερον. Πληθυντικὸν γάρ ἐστιν ἑνικοῦ προσληπτικόν. Ἔδει δὲ ἑὸν δόμον εἰπεῖν.

V. 625. *Σφωϊτέρους.* Οὐχ ὑγιῶς οὐδὲ νῦν τὸ σφωϊτέρους. Δυϊκὸν γάρ ἐστιν ἐπὶ ἑνικοῦ. Ἔδει οὖν εἰπεῖν ἑούς.

V. 628. *Ἄμφω.* Ἀμφότεροι δὲ ἐπέτρεψαν τῇ κόρῃ τὴν δίκην, ὁμολογήσαντες ἐμμένειν οἷς ἂν δικάσῃ.

V. 629. *Ὥς κεν ἰθύσειεν.* Ὡς ἂν ταῖς διανοίαις ἐπιβάλοι.

V. 641. *Ἔμπα.* Ἀντὶ τοῦ ἔμπης.

V. 656. *Ὡς δ᾽ ὅτε τις.* Ὁ νοῦς, Καθάπερ δὲ νύμφη ἐκδοθεῖσα ὑπὸ τῶν γονέων καὶ τῶν ἀδελφῶν εἰς γάμον, ἀπολόμενον κατά τινα μοῖραν τὸν γήμαντα, πρὶν ἐπ᾽ ἀλλήλοις τερφθῆναι, διακαιομένη τὴν ψυχὴν ὑπὸ λύπης, ἐν τῷ θαλάμῳ κλαίει· αἰδουμένη καὶ τῶν θεραπαινίδων τὴν ἐντροπὴν, ἵνα μή τις αὐτῶν μωμήσηται, προσιουσῶν γυναικῶν.

V. 662. *Χῆρον.* Ἔρημον.

V. 663. *Ἐπιστοβέωσι.* Χλευάζουσαι λοιδορήσωσι. Μωμήσωνται.

V. 665. *Ἐπιπρομολοῦσα.* Περιττεύει ἡ ἐπὶ πρόθεσις. Ὡς ἐν τῷ ἐπιβουκόλος.

V. 666. *Ἐπέτις.* Ἀκόλουθος ἦν νεάζουσα.

Κουρίζουσα. Νεάζουσα.

V. 668. *Ἀρέσασθαι.* Πείσειν.

V. 676. *Θευμορίη.* Ἐκ θεῶν μεμοιραμένη νόσος περιέδραμεν.

V. 680. *Ἵνα.* Ὅπου.

V. 688. *Περί μοι παίδων.* Ὑπὸ τῶν υἱῶν σου ἄηται (τοῦτ' ἔστι τετάρακται) ἡ ψυχή μου, μὴ αὐτοὺς σὺν τοῖς ξένοις ὁ πατὴρ ἀποκτείνῃ.

V. 689. *Μή σφε.* Μὴ αὐτούς. Κατὰ ἀφαίρεσιν γὰρ ἐκ τοῦ σφέας.

V. 690. *Νέον.* Νεωστί.

V. 694. *Ἀντιάσειε.* Παρακαλέσειε. Δυσωπήσει.

V. 700. *Σύν τε δρήστειρα.* Ὅπέρ σοι εἴπω, φυλάξαι ἐν τῇ ψυχῇ, καὶ συνεργὸς γενέσθαι.

V. 724. *Ἀνέπτατο χάρματι.* Ἄνεσιν ἔσχεν αὐτῆς ἡ ψυχὴ ἐν χαρᾷ γενομένης. Πιθανῶς δὲ χαρακτηρίζει ἡμῖν τὸν ἔρωτα.

V. 730. *Εἰ ἔτι σῆς.* Εἴτι σου προκρίναιμι ἢ τῶν σῶν παίδων.

V. 730. *Οἴσομαι εἰς Ἑκάτης.* Ἔν τισι φέρεται μετὰ τὸν,

Οἴσομαι εἰς Ἑκάτης θελκτήρια φάρμακα ταύρων,

καὶ ἕτερος στίχος,

Οἰσομένη ξείνῳ ὑπὲρ οὗ τόδε νεῖκος ὄρωρε.

Ἔν τισι δὲ οὐ φέρεται, ὡς ἐνταῦθα.

V. 740. *Παισί τ' ἀρωγήν.* Τὰ ὁμολογηθέντα ὑπὸ τῆς Μηδείας τοῖς παισὶν αὐτῆς ἡ Χαλκιόπη διεσάφησεν.

V. 742. *Στυγερὸν δέος.* Κατὰ μετωνυμίαν εἶπεν τὸ φόβου ποιητικόν.

V. 743. *Τοῖα παρέξ.* Τοιαῦτα ἄνευ τῆς τοῦ πατρὸς γνώμης ἐπὶ τῷ Ἰάσονι βουλεύσασθαι.

V. 751. *Ἀλλὰ μάλ' οὐ Μήδειαν.* Παρέλκει τὸ μάλα. Τὸ δὲ ἑξῆς, ἀλλὰ μάλ' οὐ Μήδειαν ἐπέλαβε γλυκερὸς ὕπνος, δειδυῖαν ταύρων κρατερὸν μένος.

V. 752. *Αἰσονίδαο πόθῳ.* Οὐχ ὑγιῶς τέθεικεν

τὸν πόθον ἀντὶ τοῦ ἔρωτος. Πόθος γὰρ ἡ ἐπιζήτησις· ὁ δὲ ἔρως ἐπιτεταμένον ἐστὶ πάθος.

V. 753. Δειδυῖαν. Τοῦ δείδω ῥήματος παρακείμενος δείδια. Ἀφ' οὗ μετοχὴ κατὰ συγκοπὴν δειδώς· τὸ θηλυκὸν δειδυῖα.

V. 755. Ἔθυεν. Ὥρμα, ἐκινεῖτο. Ἔνθεν καὶ θυάδες, αἱ βάκχαι.

V. 756. Ἠελίου ὥς τίς τε δόμοις. Καθάπερ τὶς αὐγὴ ἡλίου κατ' οἶκον ἐξ ὕδατος ἀναφέρεται πρὸς τοῖχον, ὅπερ νεωστὶ κέχυται ἢ ἐν λέβητι ἢ ἐν κάδῳ· εἰς ἑκάτερα δὲ τὰ μέρη συνεχῶς κινεῖται στρεφομένη.

V. 762. Τεῖρ' ὀδύνη. Κατεπόνει αὐτὴν ἡ ὀδύνη καίουσα. Ὅμηρος·

— — κατασμύξαι πυρὶ νῆας.

V. 764. Ἔνθ' ἀλεγεινότατον. Καθ' ὃν τόπον ἄλγιστόν ἐστι μέρος τῆς ψυχῆς, ὅταν ἀδιαλείπτως τὶς τῷ ἔρωτι κατέχηται. Ἐπιμένει δὲ πιθανῶς τῷ χαρακτῆρι ἑλκομένης μὲν τῷ πάθει, λογισμῷ δὲ κρατουμένης.

V. 765. Ἐνισκήψωσιν. Ἐμπέσωσι.

V. 767. Καταφθίσθαι. Τῷ ἔρωτι δηλαδή.

V. 769. Ὀτλησέμεν. Ὑποφέρειν τὴν ἄτην ἐσκέψατο.

V. 775. Ἀχαιΐδα. Ἀντὶ τοῦ Θεσσαλικήν. Ὅμηρος· Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί.

V. 780. Φάρμακα μησαμένη. Λείπει τὸ δοῦναι. Περιττὴ δὲ ἡ ἐπὶ πρόθεσις.

V. 781. Τίς μῆτις. Τίς δέ μοι ἔσται παραλογιστικὴ βουλὴ τῆς βοηθείας.

V. 784. Ἄμμι. Ἀντὶ ἑνικοῦ τοῦ ἐμοὶ κεῖται τὸ ἄμμι.

V. 791. Ἐπιλλίζουσιν. Ἐπικαταμωμήσονται.

Κυρίως δὲ τὸ τοὺς ὀφθαλμοὺς ἐπικλίνειν καταμωκώμενον.

V. 796. Καὶ οὖς. Κακῶς τὸ οὖς. Βέλτιον δὲ τὸ ἑοὺς, ἵνα ἐκ τῶν γυναικῶν ᾖ ὁ λόγος.

V. 802. Φωριαμόν. Νῦν τὴν κοιτίδα λέγει. Σαφὲς δ᾽ ἐκ τοῦ, ἐνθεμένη ἐπὶ γούνασιν. Ἐτυμολογεῖ δὲ τὴν φωριαμὸν Ἐρατοσθένης ἐν τῷ Ἑρμῇ·

Φωριαμὸν δ᾽ ὀνόμηναν, ὅ μιν κύθε φώριον ἄγρην·
ἐκ τοῦ φωριαμὸς κικλήσκεται ἀνθρώποισιν.

V. 805. Ἀστεγές. Ἀντὶ τοῦ πολυστεγές. Τὸ γὰρ α νῦν ἐπιτατικόν· ὡς ἄξυλος ὕλη.

V. 807. Τόφρα πάσαιτο. Τὸ τόφρα ἀντὶ τοῦ ὄφρα κεῖται. Τὸ δὲ ὄφρα, ποτὲ μὲν τὸ ἵνα δηλοῖ, (Ὅμηρος·

Ὅρα μὴ ἄσπερμος γενεή —)

ποτὲ δὲ προηγούμενόν ἐστιν, ἀνταποδοτικὸν ἔχον τὸ τόφρα. Ὅμηρος·

Ὄφρα μὲν ἠὼς ἦν, καὶ ἀέξετο ἱερὸν ἦμαρ.

Τὸ πάσαιτο οὐχ ὑγιῶς. Οὐ γὰρ εἰς κόρον ἡ τούτου μετάληψις.

V. 813. Ἐνὶ ζωοῖσι. Τὰ ἐν τῷ ζῆν ἀρεστὰ ἐλογίζετο.

V. 836. Λήθη ἀχέων. Λήθην ποιουμένη τῶν τε παρουσῶν λυπῶν καὶ τῶν ἐπαυξηθησομένων.

V. 847. Δαίραν μουνογένειαν. Τὸ Δαίραν κατ᾽ ἔλλειψιν ἐστὶ τοῦ ε, διὰ τὸ μέτρον. Δάειρα γάρ ἐστι. Λέγει δὲ τὴν Περσεφόνην, ὡς δηλοῖ διὰ τὸ μουνογένειαν. Νυχίαν δὲ εἶπεν, ἤτοι διὰ τὸ χθονίων βασιλεύειν, (νύκτα γὰρ τὸν ἀφώτιστον τόπον φασὶν) ἢ ἣν νυκτὸς οὔσης ἐξιλάσκονται. Εὔλογον γὰρ τὴν τῶν νυ-

χίων τόπων κρατοῦσαν κατὰ τὴν τῆς νυκτὸς ὥραν ἱλάσκεσθαι. Ὅτι δὲ τὴν Δαίραν Περσεφόνην καλοῦσι, Τιμοσθένης ἐν τῷ Ἐξηγητικῷ συγκατατίθεται. Καὶ Αἰσχύλος ἐν Ψυχαγωγοῖς ἐμφαίνει, τὴν Περσεφόνην ἐκδεχόμενος Δαίραν.

V. 858. Τῆς οἵην τ᾽ ἐν ὄρεσσι. Τὸ ἀποφερόμενον ὑγρὸν, ὀπὸν εἶπε τῆς φηγοῦ.

V. 859. Κασπίῃ ἐν κόχλῳ. Κάσπιον πέλαγος παρὰ τῷ ὠκεανῷ· παρ᾽ ᾧ καὶ ἔθνος Κάσπιον, ὅμορον Πέρσαις. Ἔχει δὲ ὁ ὠκεανὸς μεγίστους κόχλους, ἐφ᾽ ὧν, φησὶ, τὸ φάρμακον εἵλετο. Ἰδίως δὲ ὁ ποιητὴς τερατεύεται τὰ περὶ τὴν ῥίζαν. Παρ᾽ οὐδενὶ γὰρ τῶν ῥιζοτόμων εἴρηται. Τὸ δὲ ἄνθος αὐτοῦ φησὶ παραπλήσιον Κωρυκίῳ κρόκῳ. Τὸ δὲ Κωρύκιον, καὶ χωρίον τῆς Κιλικίας, ἐν ᾧ διάφορος γίνεται κρόκος.

Περὶ τῆς Κασπίας θαλάσσης ἱστορεῖ Ἀρτεμίδωρος ἐν τῇ Ἐπιτομῇ τῶν Γεωγραφουμένων. Ἔστι δὲ πλησίον τοῦ ὠκεανοῦ· ᾗ παράκειται ἔθνος ὠνομασμένον Κάσπιον, ὅμορον δὲ Πέρσαις.

V. 860. Ἑπτὰ μέν. Ἐφ᾽ ἑπτὰ ποταμῶν λουσαμένη ὕδασι. Τερατεύεται δέ.

V. 861. Ἑπτάκι δὲ Βριμώ. Ἑπτάκις δέ φησι καὶ τὴν Ἑκάτην ἐπικαλέσασθαι. Δοκοῦσι γὰρ αἱ φαρμακίδες τὴν Ἑκάτην ἐπάγεσθαι. Βριμὼ δὲ αὐτὴν προσηγόρευσε, διὰ τὸ φοβερὸν καὶ καταπληκτικὸν τῆς δαίμονος, καὶ φάσματα ἐπιπέμπειν τὰ καλούμενα ἑκαταῖα· καὶ πολλάκις αὐτὰ μεταβάλλειν τὸ εἶδος, διὰ τὸ Ἔμπουσαν καλεῖσθαι. Ἢ παρὰ τὸν βρόμον, τὸν τοῦ πυρὸς ψόφον·

Τόσσος γὰρ πέλεται βρόμος.

Ἡ γὰρ θεὸς λαμπαδοῦχος. Τὸ δὲ βρι ἐπιτάσεως ἐστὶν, ὡς τὸ,

— — βριήπυος ὄβριμος Ἄρης.

Ἴσως οὖν Βριμὼ, ἡ μεγάλην ἔχουσα μῆνιν, βρίμηνίς τις οὖσα.

V. 865. Τιτηνίδος. Ἐπεὶ τῶν Τιτάνων ἦν ὁ Προμηθεὺς, δι' ὃ τὴν ῥίζαν ἔφη Τιτηνίδα, διὰ τὸ ἐκ Προμηθέως βεβλαστηκέναι, ὃς εἷς ἦν τῶν Τιτάνων. Διὰ τούτων δὲ τερατεύεται τὰ περὶ τὴν τομὴν τῆς ῥίζης, καὶ τὸ συμπάσχειν τὸν Προμηθέα ἐπὶ τῇ ταύτης τομῇ.

V. 876. Διαροῖσιν. Λαμπροῖς, ἢ καθαροῖς. Ὅμηρος δὲ ἀντὶ τοῦ θερμοῖς.

Παρθένιος δὲ, ποταμὸς Παφλαγονίας.

Παραγράφει δὲ τὰ ἐν Ὀδυσσείᾳ·

Οἵη δ' Ἄρτεμις εἶσι κατ' οὔρεος ἰοχέαιρα.

V. 881. Ἀμορβάδας τὰς ἀκολούθους φησί.

V. 890. Ἱεμένη. Ἀντὶ τοῦ ἱεμένως, προθύμως.

Ἡ δὲ μετὰ ἀντὶ τῆς πρός· ἵν' ᾖ, πρὸς τὰς δμωάς.

V. 891. Οὐδ' ἐνόησα. Ὁ δὲ ἀντὶ τοῦ γάρ.

V. 899. Λεξάμεναι. Ἀντὶ τοῦ συλλεξάμεναι. Ἢ ἀνακλιθεῖσαι. Ὡς καὶ Ὅμηρος·

Λέξεται ἐν μέσσησι νομεύς.

V. 902. Παρατρέπει. Προτρέπει.

V. 903. Σῖγα ἔχετε. Σιωπῇ κατέχετε, μαθοῦσαι ἐξ ἐμοῦ.

V. 905. Ὑπέστη. Κατεδέξατο ἐπὶ τοῖς βουσὶν ἀγωνίσασθαι.

Ἡ περὶ, ἀντὶ τῆς ὑπό.

V. 908. Εἰς ὠπήν. Εἰς ὄψιν μου, ἐναντίον ἐμοῦ.

V. 914. Κασιγνήτων. Λείπει ἡ παρά· ἵν' ᾖ, πα-

ρὰ τῶν κασιγνήτων εἰσήκουσε τὴν Μήδειαν κατὰ τὸν ὄρθρον ἀφίξεσθαι εἰς τὸν τῆς Ἑκάτης ναόν.

V. 917. Ἐσθλὸς μέν. Ὁ νοῦς, ἀγαθὸς μὲν καὶ ἐπιφανέντας καὶ ἀπιόντας εὖ σημειώσασθαι.

V. 929. Λακέρυζαι. Αἱ φλύαροι διέτριβον καὶ ἔμενον.

V. 932. Ἀκλειής. Ἄδοξος.

V. 935. Ἐπήλυδες. Οἱ ξένοι, καὶ οἱ ἀκόλουθοι.

V. 938. Ἴσκεν ἀτεμβομένη. Ἔλεγε μεμφομένη τῷ Μόψῳ.

V. 939. Ὀμφήν. Φήμην.

Θεήλατον. Τὴν ὑπὸ τῆς θεᾶς Ἥρας ἐλασθεῖσαν καὶ λεχθεῖσαν.

V. 942. Ἤ τοι συνέριθος. Ἥτις Κύπρις συνεργὸς καὶ συμπράκτρια τῶν σῶν κινδύνων γενήσεται.

V. 946. Λίσσεό μιν. Εἶπε γὰρ Φινεύς·

— — ἐν γὰρ τῇ κλυτὰ πείρατα κεῖται ἀέθλου.

Παρατροπέων. Παρατρέπων, παραπείθων.

V. 949. Ἀθύροι. Παίζοι.

V. 955. Δοάσσαι. Ἔδοξεν ἀκούειν παραδραμόντα. Τοῦ δὲ δοάσσαι τὸ θέμα δοάζω. Σημαίνει δὲ τὸ νομίσαι.

V. 963. Θερμὸν δέ. Καὶ τὸ ἐρύθημα δὲ τὸ θερμὸν τὰς παρειὰς κατέλαβεν. Οἷον, ἐρυθρὰ ἐγένετο.

V. 971. Ὁμάδησαν. Κατεχρήσατο· ὅμαδος γὰρ κυρίως ἐπὶ ἀνδρῶν, ὁμόαυδός τις ὤν.

V. 974. Θευμορίῃ. Τῇ ἐκ θεῶν μεμοιραμένῃ αὐτῇ ἄτῃ.

V. 976. Οἷοί τε δυσαυχέες. Οἱ καυχώμενοι ἀλαζονικῶς ἐν ἑτέρων διαβολαῖς.

V. 982. Τερπνοῖς. Παραλογιστικοῖς.

V. 983. Φηλώσῃς. Ἀπατήσῃς. Ἀπὸ τοῦ φήληκος, τοῦ ἀώρου σύκου.

V. 993. Ἐς Ἑλλάδα. Ἑλλάδα νῦν τὴν Φθιωτικὴν ὅλην χώραν, ὁμωνύμως τῇ πόλει· ὃν τρόπον Ἄργος, καὶ ἡ πόλις καὶ ἡ χώρα.

V. 997. Δή ποτε καὶ Θησῆα. Διὰ τούτων ἠθικῶς προκαλεῖται τὴν Μήδειαν εἰς τὸ ἀποπλεῦσαι σὺν αὐτῷ· παράδειγμα φέρων τὴν Ἀριάδνην τὴν Θησέως σώτειραν: στέφανον αὐτῆς κατηστερίσθαι λέγων· οὐ πάντα ἀληθεύων. Καταλέλειπται γὰρ ὑπὸ Θησέως ἐν Νάξῳ, πεπαρθένευται δὲ ὑπὸ Διονύσου κατά τινας. ἐξ ἧς παιδοποιεῖ Οἰνωπίονα, Θόαντα, Στάφυλον, Λάτραμυν, Εὐάνθη, Ταυρόπολιν. Ὅτι δὲ οὐδὲ ἤγαγεν αὐτὴν εἰς Ἀθήνας, τελευτῆσαί τε καταλειφθεῖσαν ὑπὸ Θησέως, Ὅμηρος μαρτυρεῖ, δι' ὧν ὁ Ὀδυσσεύς φησι·

Φαίδρην τε Πρόκριν τε ἴδον, καλήν τ' Ἀριάδνην,
κούρην Μίνωος ὀλοόφρονος, ἥν ποτε Θησεὺς
γήμας οὐδ' ἀπόνητο.

Ὅτι δὲ ὁ στέφανος ὑπὸ Διονύσου κατηστέρισται, Ἄρατος φησίν·

Αὐτοῦ κἀκεῖνος στέφανος, τὸν ἀγαυὸν ἔθηκεν
σῆμ' ἔμεναι Διόνυσος ἀποιχομένης Ἀριάδνης.

V. 1000. Ἀλλ' ἡ μέν. Διὰ τούτων προτρέπεται τὴν Μήδειαν πλεῖν σὺν αὐτῷ· παράδειγμα φέρων τὸν Ἀριάδνης ἔρωτα, ὅτι συναπῆρε τῷ Θησεῖ εἰς Ἀθήνας.

V. 1007. Ἐπητείῃσιν. Ἐπιστήμαις, φρονήσεσιν. Καὶ Ὅμηρος·

— — ἐπήτῃ δ' ἀνδρὶ ἔοικας.

V. 1009. Νεκτάρεον. Ἀντὶ τοῦ προσηνές. Ἐγὼ δέ φημι λαρὸν, παρὰ τὸ νέκταρ.

V. 1013. Προπρὸ δ' ἀφειδήσασα. Γράφεται,

προπρὸ δὲ μειδήσασα. Ἐμφαντικὴ ἡ ἐπαναδίπλωσις τῆς προθέσεως· ἐμφαίνει γὰρ μᾶλλον τὸ μετὰ σπουδῆς καὶ προχείρως γεγενῆσθαι τὴν δόσιν.

Ἀφειδήσασα. Ἀφροντιστήσασα πρὸς τοῦτον εἰπεῖν. Ἀντὶ τοῦ, μηκέτι ἀκριβωσαμένη, ἢ πολυπραγμονήσασα, ἀφεῖλεν ἐκ τῆς στηθοδεσμίδος τὸ φάρμακον. Διὰ δὲ τούτου φαίνεται ἡ ἐπίτασις τοῦ ἔρωτος.

V. 1015. Ἀρύσασα. Ἀντὶ τοῦ ἀφελομένη, ἀπαντλήσασα. Ἢ ἐκκενώσασα.

V. 1018. Ἀμαρυγάς. Τὰς οἷον συνεχεῖς κινήσεις. Καὶ ἐπὶ τοῦ πυρὸς λέγεται ἀμαρύσσειν, ἀπὸ τοῦ τὴν φλόγα συνεχῶς ἀΐσσειν. Ὅμηρος·

Μαρμαρυγὰς θηεῖτο ποδῶν —

τὴν κατεπάλληλον δηλῶν κίνησιν.

V. 1020. Τηκομένη. Τὸ Ὁμηρικὸν παρέφρασεν·

Ἰάνθη δ' ὡσεί τε περὶ σταχύεσσιν ἐέρση
ληΐου ἀλδήσκοντος.

Τὸ μὲν οὖν τηκόμενον πάντως καταχεῖται. Ὅμηρος·

Αἶψα δ' ἰαίνετο κηρὸς, ἐπεὶ κέκλετο μεγάλη ἲς
ἠελίοιο.

Οὐ πάντως δὲ, εἴ τι ἰαίνεται, τοῦτο καὶ τήκεται. Ὅθεν Ὅμηρος, εἰπὼν ἰάνθη, ἐπήνεγκεν ὡσεί τε, μεταφορικῶς λέγων, ὅτε ὀρθὸν ἔχουσι τὸν στάχυν, οἷον μετεωριζόμενον. ὥστε εἶναι τὸ νοούμενον ἐμφατικὸν τῆς τῶν σταχύων ἡδονῆς, καθάπερ ἐμψύχων, τῆς δρόσου ἀντεχομένης τῶν καρπῶν. οὕτω καὶ τὴν ψυχὴν τοῦ Μενελάου εἰς τέρψιν μετῆχθαι τοῖς λόγοις τοῦ Ἀντιλόχου. Τὸ δὲ τήξει παραβάλλειν τὴν τερπομένην ψυχὴν οὐ πιθανόν. Δύναται μὲν οὖν ἀναγινώσκεσθαι καὶ τὸ τήκεται ἐπὶ τέρψεως· τὸ γὰρ τηκόμενον πάντως λύεται καὶ μαλάσ-

σεται. Ἔστιν οὖν εἰπεῖν, ὅτι πᾶσα διελύθη, ἐφηπλώθη ἡ Μήδεια.

V. 1029. *Διαμμοιρηδὰ φυλάξας.* Τινὰ λέγει τῶν ζωδίων μεσουρανοῦντα παραφυλάττεσθαι κατὰ τὸ μεσονύκτιον, τῶν πρὸς τῷ ὁρίζοντι, ἃ μὲν δύνοντα, ἃ δὲ ἀνατέλλοντα, ἢ τοῦ τῆς ἄρκτου ὑψώματος. Ἄλλως. Τὸ *διαμμοιρηδὰ*, ἀντὶ τοῦ, κατὰ ἴσας μοίρας εἰς ζώδια διαιρεῖσθαι τὸν οὐρανὸν, ὡς εἶναι μεσουρανοῦντα τῶν ζωδίων τὰ κατὰ τὴν ἑσπέραν ἀνατέλλοντα.

V. 1032. *Περιηγέα.* Τὸν περιφερῆ καὶ στρογγύλον.

V. 1033. *Ἀρνειὸν σφάζειν.* Ἀντὶ τοῦ σφάξον καὶ ἀδιαμέριστον θὲς ἐπὶ τὸ πῦρ.

Ὠμοθετεῖν δέ ἐστι, τὸ τοῦ ἱερείου ὤμου ἀπάρχεσθαι τῶν μελῶν.

V. 1035. *Μουνογενῆ.* Ἡσίοδος·

Οὐδέ τι μουνογενὴς ἧσσον θεὰ ἔμμορε τιμῆς.

Μουσαῖος ἱστορεῖ Δία ἐρασθέντα Ἀστερίας, μιγῆναι· καὶ μιγέντα δοῦναι τῷ Περσεῖ, ἐξ ἧς τεχθῆναι αὐτῷ τὴν Ἑκάτην.

V. 1040. *Κολούσας.* Ἀτελῆ καὶ ἄπρακτα ποιήσας ἕκαστα τῶν ἐνεργουμένων. Σοφοκλῆς δὲ ἐν ταῖς Κολχίσιν εἰσάγει τὴν Μήδειαν ὑποτιθεμένην τῷ Ἰάσονι περὶ τοῦ ἄθλου δι' ἀμοιβαίων.

V. 1057. Τὸ δὲ *στιβαρώτερον* ἀντὶ τοῦ στιβαροῦ· τὸ συγκριτικὸν ἀντὶ τοῦ ἁπλοῦ.

V. 1065. *Ἑοῖο.* Τῇ κτητικῇ ἀντὶ τῆς πρωτοτύπου· ἐμοῖο γὰρ, σοῖο. ἧς τὸ ἀκόλουθον οἷο, ἀντὶ τοῦ αὐτῆς.

V. 1074. *Ἠὲ καὶ Αἰαίης.* Νῆσος ἐν τῷ Φάσιδι ἐστὶν ἡ Αἰαία, ἐν ᾗ τὸ δέρας ἔκειτο. Αὕτη δέ ἐστι Κόλχων μητρόπολις.

V. 1085. *Ἔστι τὶς αἰπεινοῖσιν.* Ὅτι ἡ Θεσσαλία περιέχεται ὄρεσι κυκλόθεν, Ἡρόδοτος ἱστορεῖ. Ὅτι δὲ Προμηθέως υἱὸς Δευκαλίων ἐβασίλευσε Θεσσαλίας, Ἑλλάνικος φησί· καὶ ὅτι δώδεκα θεῶν βωμὸν ἱδρύσατο. Εἰς αὐτὴν δὲ καὶ ἄλλων ποταμῶν εἰσβαλλόντων, τεσσάρων δὲ μάλιστα τῶν δοκίμων, Πηνειοῦ, καὶ Ἀπιδανοῦ, καὶ Πανισοῦ, καὶ Ἐνιπέως, τούτων συμμιγνυμένων, ὁ Πηνειὸς τῷ ὀνόματι κατακρατῶν, ἀνωνύμους τοὺς ἄλλους ποιεῖ.

V. 1086. *Καὶ εὔβοτος.* Πρὸς τὸ βόσκειν ἐπιτηδεία· ἢ καλὰ θρέμματα ἔχουσα.

Ἔνθα Προμηθεύς. Ὅτι Προμηθέως καὶ Πανδώρας υἱὸς Δευκαλίων, Ἡσίοδος ἐν πρώτῳ Καταλόγων φησί· καὶ ὅτι Προμηθέως καὶ Πύῤῥας Ἕλλην. Ὅτι δὲ καὶ ὁ Δευκαλίων ἐβασίλευσε Θεσσαλίας, Ἑλλάνικος ἐν πρώτῳ τῆς Δευκαλιωνίας φησίν. Καὶ ὅτι δώδεκα θεῶν βωμοὺς ὁ Δευκαλίων ἱδρύσατο, Ἑλλάνικος ἐν τῷ αὐτῷ φησὶ συγγράμματι.

V. 1087. *Ἰαπετιονίδης.* Ἐκ τίνος γυναικὸς ὁ Δευκαλίων ἐγένετο Προμηθεῖ, σεσιώπηται. Ἔστι δὲ καὶ ἕτερος Δευκαλίων, περὶ οὗ Ἑλλάνικος ἱστορεῖ· καὶ ἄλλος, ὁ Μίνωος, περὶ οὗ Φερεκύδης· καὶ τέταρτος, ὁ Ἄβαντος, οὗ μνημονεύει Ἀρίστιππος ἐν Ἀρκαδικοῖς.

V. 1090. *Αἱμονίην δή.* Αἱμονία τοπρότερον ἡ Θεσσαλία ἐκαλεῖτο· καὶ ἄλλας δὲ ἔσχεν ὀνομασίας. Ἐλέγετο δὲ καὶ Πυῤῥοδία ἀπὸ Πύῤῥας τῆς Δευκαλίωνος. Ἡ Θεσσαλία ἐκαλεῖτο τοπαλαιὸν Πύῤῥα, ὡς Ῥιανός·

Πύῤῥαν δή ποτε τήνγε παλαιότεροι καλέεσκον,
Πύῤῥης Δευκαλίωνος ἀπ' ἀρχαίης ἀλόχοιο·
Αἱμονίην δ' ἐξαῦτις ἀφ' Αἵμονος, ὅν ῥα Πελασγὸς

γείνατο φέρτατον υἱόν. ὁ δ' αὖ τέκε Θεσσαλὸν Αἵμων.
τοῦ δ' ἄπο Θεσσαλίην λαοὶ μετεφημίξαντο.

Οἱ δὲ ἀπὸ Θεσσαλοῦ τοῦ Φειδίππου πατρὸς, τοῦ Ἡρακλείδου, μετὰ τὰ Τρωϊκὰ κληθῆναι φασί. Διαιρεῖται δὲ εἰς μέρη τέσσαρα, Πελασγιῶτιν, Θεσσαλιῶτιν, Ἰωλκῖτιν, Φθιῶτιν. Ταῦτα παρατίθεται Ἀπολλόδωρος ἐν Νεῶν καταλόγῳ.

V. 1094. Αἰολίδην. Οὐκ ἀπὸ Αἰόλου, ἀλλ' ἀπὸ τῶν Αἰόλου. Σισύφου γὰρ παῖδες ἐγένοντο Ἄλμος καὶ Πορφυρίων· Χρυσογόνης δὲ τῆς Ἄλμου καὶ Ποσειδῶνος Μινύας, ὁ τὸν Ὀρχομενὸν κτίσας. Καὶ κατὰ τοῦτο εἴρηται Αἰολίδης, ὅτι Σίσυφος Αἰόλου ἐγένετο. Μινύας δὲ κατὰ μητέρα Αἰολίδης, πατρὸς δὲ Ποσειδῶνος. Τοῦτον οὖν Ἀπολλώνιος φησὶν εἰς τὴν Βοιωτίαν εἰσβαλόντα, ὅμορον Θηβαίοις Ὀρχομενὸν κτίσαι.

V. 1100. Αἴθε γὰρ ὡς Θησῆϊ. Πιθανῶς ἄγαν προτρέπεται αὐτὴν εἰς τὸ ὁμολογήσασθαι τῷ Ἰάσονι τὴν προαίρεσιν αὐτῆς, κατεστοχασμένος τὸν ἔρωτα.

V. 1102. Καταψύχων. Καταμαλάττων.

V. 1104. Ἀδινῷ. Ἀδινὸν ἐνταῦθα μὲν τὸ οἰκτρὸν καὶ λυπηρόν.

V. 1124. Πορσανέουσι. Νῦν ἀντὶ τοῦ τιμήσουσι, καὶ ὡς θεὸν νομίσουσι σεπτήν· ὅταν δὲ λέγῃ ὁ Ἰάσων,

Ἡμέτερον δὲ λέχος θαλάμοις ἔνι κουριδίοισι
πορσανέεις,

δηλοῖ ὅτι προςκτήσῃ κ. τ. ἑ.

V. 1129. Πορσανέεις. Δηλοῖ ὅτι προςκτήσῃ καὶ αὐξήσεις· δι' οὗ τὴν συμβίωσιν σημαίνει.

V. 1131. *Κατείβετο.* Κατετήκετο, τῶν Ἰάσονος ἀκούουσα ῥημάτων.

V. 1138. *Ἐδεύετο.* Ἐδέετο. Ἔχρηζεν. Ἀπῄτει. Ἢ ὅτι ἐνελείπετο ὁ τῆς ἡμέρας καιρός.

V. 1145. *Ἀβολήσομεν.* Συντευξόμεθα.

V. 1150. *Περιπλομένας.* Παριούσας. Ἐπεὶ καὶ πλόος λέγεται ἡ ὁδός. Καλλίμαχος·

Ἔγρει καί τιν᾽ ἔχοντα περίπλοον.

V. 1151. *Μεταχθονίη.* Οὐχ ἡνιοχοῦντος τοῦ νοῦ.

V. 1157. *Παλιντροπίῃσιν.* Ἤτοι ταῖς παρεπιστροφαῖς· ἢ διὰ τὸ ἔμπαλιν τετράφθαι αὐτῆς τὴν ψυχήν. ἡ δὲ τῇ ὑποστροφῇ ἐν ἀπόρῳ καταστᾶσα.

V. 1169. *Οἰόθεν οἶος ἑταίρων.* Οὐχ ἁρμόζει νῦν τὸ *οἰόθεν οἶος.* Μόνος γὰρ ἀπὸ πολλῶν. Ἦν δὲ εἰπεῖν, οἶος ἀπ᾽ ἄλλων.

V. 1172. *Εὔκηλοι μέλλοντο.* Σολοικισμός. Ὁ γὰρ λόγος, ἥσυχοι ἐμέλλοντο αὐτοῖς, ὡς ἀλλήλων τινῶν μελλόντων αὐτοῖς. Ἔδει δὲ εἰπεῖν, ἐμέλλοντο σφέων, ὅ ἐστιν ἑαυτῶν.

V. 1178. *Ἀονίοιο δράκοντος.* Ἀντὶ τοῦ, Βοιωτικοῦ. Ἀονία γὰρ τοπρότερον ἡ Βοιωτία.

Ὠγυγίας δὲ τὰς Θήβας ἀπὸ Ὠγύγου τοῦ βασιλεύσαντος αὐτῶν. Κορίννα δὲ τὸν Ὤγυγον Βοιωτοῦ υἱὸν εἶπεν. Ἀπὸ τούτου δὲ καὶ Ὠγύγιαι τῶν Θηβῶν πύλαι.

V. 1179. Περὶ δὲ Εὐρώπης καὶ τῆς Κάδμου εἰς Θήβας παρουσίας Λυσίμαχος ἐν τῇ πρώτῃ τῶν Θηβαϊκῶν παραδόξως συνείλεχε πολλὴν τὴν ὕλην διαφωνοῦσαν.

Κάδμος ὅτ᾽ Εὐρώπην. Περὶ τῆς Κάδμου εἰς Θήβας παρουσίας Λυσίμαχος ἐν τῇ συναγωγῇ τῶν Θηβαϊκῶν παραδόξως ἱστορεῖ; καὶ Ἑλλάνικος ἐν ᾱ Φο-

ρωνίδος· ἱστορῶν ὅτι καὶ τοὺς ὀδόντας ἔσπειρε τοῦ δράκοντος κατὰ Ἄρεος βούλησιν, καὶ ἐγένοντο πέντε ἄνδρες ἔνοπλοι; Οὐδαῖος, Χθόνιος, Πέλωρ, Ὑπερήνωρ, Ἐχίων. Ὁ δὲ Ἀπολλώνιος πολλοὺς οἴεται καὶ ἄλλους πολλοῖς πεπολεμηκέναι. Ἐν δὲ τῷ τρίτῳ τῆς Μουσαίου Τιτανογραφίας λέγεται, ὡς Κάδμος ἐκ τοῦ Δελφικοῦ ἐπορεύετο, προκαθηγουμένης αὐτῷ τῆς βοός. Ἱππίας δὲ ὁ Δήλιος ἐν Ἐθνῶν ὀνομασίαις φησὶν, ἔθνος τὶ καλεῖσθαι Σπαρτούς· καὶ ὁμοίως Ἀτρόμητος. Φερεκύδης δὲ ἐν τῇ πέμπτῃ οὕτω φησίν· Ἐπειδὴ Κάδμος κατῳκίσθη ἐν Θήβησιν, Ἄρης διδοῖ αὐτῷ καὶ Ἀθηναίη τοῦ ὄφιος τοὺς ἡμίσεις ὀδόντας, τοὺς δὲ ἡμίσεις Αἰήτῃ. καὶ ὁ Κάδμος αὐτίκα σπείρει αὐτοὺς εἰς τὴν ἄρουραν, Ἄρεος κελεύσαντος. καὶ αὐτῷ ἀναφύονται ἄνδρες ὡπλισμένοι. ὁ δὲ Κάδμος δείσας βάλλει αὐτοὺς λίθοισιν. οἱ δὲ, δοκέοντες ὑφ' ἑαυτῶν βάλλεσθαι, κτείνουσί τε ἀλλήλους, καὶ θνήσκουσι· πλὴν πέντε ἀνδρῶν, Οὐδαίου, Χθονίου, Ἐχίονος, Πέλωρος καὶ Ὑπερήνορος. καὶ αὐτοὺς ὁ Κάδμος ποιεῖται πολίτας, κατοικίσας αὐτοὺς ἐν Θήβαις.

V. 1186. Κάδμος Ἀγηνορίδης. Τοὺς περιλειφθέντας ἐν τῇ μάχῃ σὺν Κάδμῳ κατοικῆσαι ἐν Θήβαις φησί. Λέγει δὲ καὶ Ἑλλάνικος, ὅτι Κάδμος ἐξελὼν τοῦ ὄφεως τοὺς ὀδόντας ἔσπειρεν. ἐκ δὲ αὐτῶν πέντε ἄνδρες ἔφυσαν, Οὐδαῖος, Χθόνιος, Πέλωρ, Ἐχίων, Ὑπερήνωρ. Καὶ ὁ μὲν Ἑλλάνικος μόνους φησὶ τούτους βεβλαστηκέναι, ὁ δὲ Ἀπολλώνιος πολλοὺς καὶ ἄλλους, (Ἵδρυσεν ὄχλον γηγενῆ Ἄρεος ἀμώοντος ὅσοι ὑπὸ δουρὶ λίποντο) καὶ ἀλλήλους πεφονευκέναι. Ἄλλως. Οἱ μὲν Ἀγήνορος λέγουσι τὸν Κάδμον, οἱ δὲ Φοίνικος. Φερεκύδης δὲ ἐν δ οὕτω φησίν· Ἀγήνωρ δὲ ὁ Ποσειδῶνος γαμεῖ Δαμνὼ τὴν Βήλου. τῶν δὲ γίνονται Φοίνιξ καὶ Ἰσαίη, ἣν ἴσχει

Αἴγυπτος· καὶ Μελία, ἣν ἴσχει Δαναός. ἔπειτα ἐγίσχει Ἀγήνωρ Ἀργιόπην τὴν Νείλου τοῦ ποταμοῦ, τοῦ δὲ γίνεται Κάδμος.

V. 1191. sq. Ἠέλιος μὲν ἄπωθεν. Ἐρεμνὴν γαῖαν λέγει τὴν ὑπὸ τὸν ὁρίζοντα. Δύσιν γὰρ εἴρηκε τὸν ὑπὸ τῶν ἀρχαίων παραδεδομένον ὁρίζοντα. Αἰθίοπας δὲ λέγει τοὺς πρὸς τῇ δύσει. Ἐρεμνὴν δὲ γῆν, τὸ ἀφανὲς ἡμισφαίριον τὸ περὶ τὸ ἔρεβος. Τοιοῦτον δὲ ἀκουστέον τὸν ὑπὸ τὸν ὁρίζοντα τόπον παρ' Ἀπολλωνίῳ. Ἑσπέριον δὲ τὸν ἥλιον εἴρηκε, τὴν ὥραν σημαίνων, καθ' ἣν ὥραν παρέπεται αὐτῷ τὸ δύνειν. Νεάτας δὲ ἄκριας τῶν Αἰθιόπων, τὰς ἐσχατιὰς, ὡς ὑπερκειμένας τὴν οἰκουμένην. Οὐκ ὀρθῶς δὲ εἴρηκεν, ὑπὲρ ἄκριας Αἰθιόπων τὸν ἥλιον δύνειν. Ὁ γὰρ ὁρίζων κύκλος, οὐκ ὢν τῇ φύσει, τῇ ὄψει ἐπισημαίνεται.

V. 1193. Νὺξ δ' ἵπποισιν. Νεώτερος τῶν Ὁμήρου χρόνων ἡ τοῦ ἅρματος ὑπόζευξις.

V. 1195. Αὐτίκ' ἐπεί. Πρὸς τὸ κλίμα τῆς Ἑλίκης φησὶν ἀναβλέψαντα τὸν Ἰάσονα σημειώσασθαι τὸν καιρὸν τὸν εἰρημένον ὑπὸ τῆς Μηδείας αὐτῷ.

V. 1202. Ὑπεύδιος. Ὑπ' ἀνθρώπων εὔδιος. Ἀντὶ τοῦ, ἐν εὐδίᾳ καὶ ἡσυχίᾳ τυγχάνων ἀνθρώπων ὑγρὸς τόπος.

V. 1206. Ἀδινῆς εὐνῆς. Νῦν οἰκτρᾶς, λυπηρᾶς, διὰ τὴν ἀπόλειψιν.

V. 1210. Ἐπὶ δὲ μιγάδας. Τὰς μεμιγμένας· ἢ τὰς συμμιγεῖς ἔκ τινων.

V. 1213. Κευθμὸς δὲ, ὁ κρύφιος τόπος.

Ὕπατος, ὁ ὑψηλός· ἢ ὁ ἐνδότατος.

V. 1214. Πέριξ δέ μιν ἐστεφάνωντο. Ὅτι δράκουσι καὶ δρυΐνῳ κλάδῳ στέφεται ἡ Ἑκάτη, καὶ Σο-

φοκλῆς ἐν Ῥιζοτόμοις τὸν χορὸν πεποίηκε λέγοντα· Ἥλιε δέσποτα καὶ πῦρ ἱερὸν τῆς εἰνοδίας Ἑκάτης, ἔγχος τὸ δι' Ὀλύμπου πολλὸν φέρει καὶ γῆς ναίουσ' ἱερὰς τριόδους, στεφανωσαμένη δρυσὶ καὶ πλείστοις ὤμῳ σπειρήμασι δρακόντων.

V. 1219. Ἐλειονόμοι νύμφαι. Αἱ ἐν τοῖς ἕλεσιν ἀναστρεφόμεναι.

V. 1220. Εἱαμενή. Ὁ κάθυγρος τόπος.

Ἀμαραντίου. Ἀμαράντιοι, ἔθνος βάρβαρον ὑπὲρ Κόλχων ἐν τῇ ἠπείρῳ· ὅθεν αἱ τοῦ Φάσιδος πηγαὶ ἐξερεύγονται. Ἢ ὄρος Κολχικὸν καλούμενον Ἀμαράντιον, ὅθεν ὁ Φᾶσις καταφέρεται.

V. 1226. Θώρηκα στάδιον. Ὅτι οὐκ ἦν ἁλυσιδωτὸς, ἀλλὰ σταδιαῖος. Ἀπὸ τῆς στάσεως ἐσχημάτισται. Τινὲς δὲ στάδιον τὸν εὐπαγῆ· ὃν καὶ ὁ Καλλίμαχος λέγει·

— — στάδιον δ' ὑφίεστο χιτῶνα.

V. 1227. Σφωϊτέραις χερσί. Ταῖς ἑαυτοῦ, ἰδίαις.

Φλεγραῖον. Τὸ ἀπὸ Φλέγρας. Φλέγρα δὲ πεδίον Θράκης περὶ Παλλήνην.

Μίμας δὲ, τὸ κύριον τοῦ Γίγαντος.

V. 1231. Πολύῤῥινον σάκος, τὸ πολύβυρσον.

V. 1236. Φαέθων. Ὅτι ὁ Ἄψυρτος καὶ Φαέθων ἐκαλεῖτο, ὥς φησι Τιμώναξ ἐν δευτέρῳ Σκυθικῶν.

V. 1240. Οἷος δ' Ἴσθμιον. Ἴσθμια τὰ ἐν Ἰσθμῷ τελούμενα τῆς Κορίνθου, πρότερον μὲν τῷ Ποσειδῶνι, ὕστερον δὲ Μελικέρτῃ, κατὰ κέλευσιν τοῦ τότε τῆς Κορίνθου βασιλεύοντος Σισύφου τοῦ Αἰόλου· ὅτε προσβρασθὲν τὸ τοῦ Μελικέρτου σῶμα ἰδὼν τῇ Κορίνθῳ, ἐπέγνω ἀδελφιδοῦν ὄντα, καὶ Ἀθάμαντος τοῦ Αἰόλου

υἱὸν ἐτίμησεν, ὡς ἔδει, τῷ ἀγῶνι τῷ Ἰσθμικῷ, ἐν ᾧ οἱ νικῶντες πίτυϊ ἐστέφοντο πάλαι, ὕστερον δὲ ξηρῷ σελίνῳ. Μουσαῖος δὲ ἐν τῷ περὶ Ἰσθμίων δύο φησὶ γίνεσθαι ἀγῶνας ἐν τῷ Ἰσθμῷ· καὶ τὸν μὲν Ποσειδῶνος εἶναι, τὸν δὲ Μελικέρτου.

V. 1241. Ἢ Ταίναρον. Ταίναρον ἀκρωτήριον τῆς Λακωνικῆς.

Λέρνη δὲ, κρήνη τοῦ Ἄργους, ἱερὴ Ποσειδῶνος·

Λερναίων ἀδύτων περιώσιος ὀργιοφάντης.

V. 1242. Ὑαντίου Ὀγχηστοῖο. Τοῦ Εὐβοϊκοῦ. Ὕαντες γὰρ τὸ πρὶν ᾤκουν τὴν Βοιωτίαν. Ὀγχηστὸς δὲ, πόλις τῆς Βοιωτίας, ἱερὰ Ποσειδῶνος. Ὅμηρος·

Ὀγχηστόν θ' ἱερὸν Ποσιδήϊον ἀγλαὸν ἄλσος.

Ὑάντιον δὲ, ἀντὶ τοῦ Βοιώτιον. Ὕαντες γὰρ Βοιωτίας ἔθνος βάρβαρον. Ὅθεν καὶ παροιμία, Βοιωτία ὗς.

V. 1243. Καὶ ἡ Καλαύρια δὲ ἱερά ἐστι Ποσειδῶνος, ὥς φησι Φιλοστέφανος. Ἦν δὲ πρότερον μὲν Ἀπόλλωνος, ἡ δὲ Πυθὼ Ποσειδῶνος· καὶ ἀντήμειψαν, ἤγουν κατήλλαξαν.

V. 1244. Πέτρην θ' Αἱμονίην. Τὴν Θεσσαλίαν πέτραν. Χωρίον δέ ἐστιν, ἐν ᾧ Ποσειδῶνος ἄγεται ἀγών· ὡς ἀπὸ τοῦ τόπου Πετραῖον καλεῖσθαι. Πίνδαρος·

Παῖ Ποσειδῶνος Πετραίου.

Γεραιστὸς, ἀκρωτήριον Εὐβοίας.

V. 1251. Ἀαγές. Τὸ ἀκαμπές.

V. 1258. Περὶ σθένεϊ σφριγόωσαι. Ἀκμάζουσαι. Ῥωμαλεώτεραι τῇ δυνάμει ἐγένοντο. Εὐτονοῦσαι ἐῤῥωμένως ἐκινοῦντο. Τεταμέναι τῇ δυνάμει, σφριγῶσαι. Σφριγανὸν γάρ ἐστι τὸ ἰσχυρὸν καὶ στερεόν.

V. 1260. Σκαρθμῷ. Τῷ ποδί.

V. 1262. Ἐπαγαίετο. Ἔχαιρε, ἐγαυρία.

V. 1266. Μεταπαιφάσσεσθαι. Γράφεται μεταπαιφάσσουσαν. Ἑκατέρως τὸ διαλάμπον σημαίνει.

V. 1268. Καὶ τότε. Οὐκ ἐπὶ πολὺν καιρὸν ἀφέξεσθαι ἔμελλον τῶν ἄθλων.

Σχήσεσθαι. Ἀφέξεσθαι.

V. 1269. Κληῗδες. Τὰ ζυγὰ, ἐφ' ὧν οἱ ἐρέται κάθηνται.

V. 1270. Ἀρήϊον. Τὸ πλησίον τοῦ ἱεροῦ τοῦ Ἄρεος, ὅπου καὶ τὸ κῶας.

V. 1272. Ἐκ βαλβῖδος. Βαλβίς ἐστιν ἣ ἐπιβάλλουσιν οἱ δρομεῖς γραμμή. Σημαίνει δὲ καὶ τὴν ἐκκοπὴν τοῦ φρέατος. Ὁ δὲ νοῦς, τοσοῦτον δὲ τῆς πόλεως ἀφέστηκεν, ὅσον ἡ νύσσα ἀπὸ τῆς βαλβῖδος, ἤτοι τῆς ἀφετηρίας.

V. 1286. Χρίμψαι. Τὸ πλησίον γενέσθαι.

V. 1288. Νήριτον. Τὸ πολὺ καὶ ἀνάριθμον.

V. 1290. Κευθμών. Τὸ κοίλωμα.

Βόαυλα. Ἡ βούστασις.

V. 1291. Καπνῷ. Κεκαπνίσθαι φησὶ τὴν βοόστασιν ἐκ τῆς τοῦ πυρὸς ἀποφορᾶς τοῦ στόματος τῶν ταύρων.

V. 1299. Εὐῤῥίνοις. Τοῖς εὐβύρσοις καὶ καλῶς ἐῤῥινημένοις. Ἢ εὐπνόοις. Διὰ γὰρ τῆς ῥινὸς τὸ πνεῦμα πέμπεται.

V. 1300. Μαρμαίρουσι. Κυρίως καίουσι· μετενήνοχε δὲ τὴν φωνὴν ἀπὸ τῆς σφοδροτάτης φυσήσεως ἐνεργούσης ἔσωθεν.

V. 1304. Αἶθος λέγεται τὸ πῦρ καὶ ἡ φλόξ.

V. 1308. Ὀκλάξ. Ἐπὶ τὰ γόνατα. Καὶ ὀκλάζειν ῥῆμα.

V. 1310. Σφῆλε γνύξ. Σφαλῆναι ἐποίησε, καὶ ἤνεγκεν ἐπὶ τὰ γόνατα.

Βεβολημένον. Πληγέντα.

V. 1313. Ἐλυσθείς. Ἐκταθείς.

V. 1318. Θοῇ. Τῇ εἰς ὀξὺ ληγούσῃ κορώνῃ.

Ἄρασσε. Συνήρμοσε.

Λόφους. Τοὺς ἱμάντας.

Κορώνῃ. Τῷ τοῦ ζυγοῦ κρίκῳ συνήρμοσεν.

V. 1319. sq. Οἱ Τυνδαρίδαι (φησὶν) ἀπὸ τοῦ πυρὸς ἐχωρίσθησαν εἰς τὴν ναῦν.

Χαζέσθην. Εἰς τοὺς Τυνδαρίδας ἀνενεγκτέον· οὓς ἀναχωρῆσαι φησὶν εἰς τὴν ναῦν ὑπὸ τῆς τοῦ πυρὸς ῥύμης.

V. 1321. Θοοὺς ὀδόντας, τοὺς ὀξεῖς.

V. 1323. Ἐργατίνης. Ὁ ἐργάτης, ἢ ὁ γεωργός.

Ἀκαίνῃ. Ἀντὶ τοῦ κέντρῳ. Ἄκαινα δέ ἐστι μέτρον δεκάπουν, Θεσσαλῶν εὕρεμα· ἢ ῥάβδος ποιμενικὴ, παρὰ Πελασγοῖς εὑρημένη. περὶ ἧς Καλλίμαχος φησίν·

Ἀμφότερον, κέντρόν τε βοῶν καὶ μέτρον ἀρούρης.

V. 1331. Ὀκρυόεσσα δ' ἐρείκετο. Νῦν ἀντὶ τοῦ, τραχεῖα διεσχίζετο γῆ.

V. 1345. Διεπτοίησε φέβεσθαι. Ἐθορύβησεν, ὥστε φεύγειν.

V. 1355. Φρίξαν. Ἐξωρθοῦντο. Φοβεροὶ ἐφαίνοντο.

V. 1358. Οὔλυμπόνδε. Τὸν οὐρανὸν λέγει, κατὰ τοὺς νεωτέρους.

V. 1363. Ἀναλδήσκοντες. Ἀναδιδόμενοι, αὐξανόμενοι.

V. 1365. *Περιηγέα.* Περιφερῆ.

V. 1366. *Σόλος.* Ὁ δίσκος.

V. 1372. *Τὸν δ' ἕλεν ἀμφασίη.* Οὗτος καὶ οἱ ἑξῆς στίχοι εἰλημμένοι εἰσὶ παρ' Εὐμήλου, παρ' ᾧ Μήδεια πρὸς Ἴδμονα διαλέγεται. Καὶ Σοφοκλῆς δὲ ἐν Κολχίσι πεποίηκε τὸν ἄγγελον τοῦ Αἰήτου πυθόμενον περὶ τῶν προειρημένων, οὕτως·

Η βλαστὸς οὐκ ἔβλαστεν οὔπιχώριος,
καὶ κάρτα φρίξας εὐλόφῳ σφηνώματι,
χαλκηλάτοις ὅπλοισι μὴ προσεξέδυ.

Ταῦτα δὲ Ἀπολλώνιος παρέγραψε.

V. 1377. *Οἷος δ' οὐρανόθεν πυρόεις ἀναπάλλεται.* Γράφεται καὶ *ἀπολάμπεται.*

Περὶ τῶν διατρεχόντων ἀστέρων καὶ ῥαδίως ἀφανιζομένων τὸν λόγον ποιεῖται, οἳ τῇ τῆς ὀξύτητος φορᾷ παραπλήσιόν τι ἔχουσιν ὑποβούλημα.

V. 1378. sq. *Ὁλκὸν* δὲ λέγει τὸ ὑπὸ τὴν ὀξύτητα παρασυρόμενον αὐτῷ φέγγος.

Τὰς δὲ τοιαύτας φαντασίας ὁ Μουσαῖος ἀναφερομένας φησὶν ἐκ τοῦ ὠκεανοῦ κατὰ τὸν αἰθέρα ἀποσβέννυσθαι. Τοὺς δὲ ὑπὸ Μουσαίου ἀστέρας εἰρημένους Ἀπολλώνιος πιθανῶς *μαρμαρυγὰς* εἴρηκε. Τὰς γὰρ γινομένας ἀκαταλήπτους διὰ τὴν ὀξύτητα ἀποστίλψεις μαρμαρυγὰς καλοῦσιν. Ἀπίθανον δὲ τῷ τοιούτῳ ἀστέρι παραβαλεῖν τὸν Ἰάσονα πρὸς ἐπικίνδυνον ἆθλον πορευόμενον, τῷ ἅμα τῷ φανῆναι εὐθέως σβεννυμένῳ. Εἰ δέ τις λέγει τῷ πυρόεντι αὐτὸν ὡμοιωκέναι, περὶ οὗ Περιγένης ἐν τῷ περὶ τῆς Χαλκιδικῆς τῶν μαθηματικῶν, προειπὼν περὶ τῶν πλανήτων, λέγων ὑφ' ἓν εἶναι τὸν πυρόεντα· προσαγορευόμενον δὲ ὑπὸ Ἑλλήνων Ἄρεος, ὑπὸ δὲ Χαλκιδέων Ἡρακλέους· ἐπισυρομένου γε μὴν αὐ-

τοῦ, μαρμαρυγὰς καὶ σπινθῆρας γίνεσθαι. ὁ δὲ πυρόεις δυσκίνητος ἐστίν.

Ὁλκὸν λέγει τὴν αὔλακα.

V. 1390. Ὡραίην. Παραγώγως εἶπεν ἀντὶ τοῦ εἰς ὥραν καὶ τὸν δέοντα καιρόν. Ὅμηρος·

— — ἀναγκαίη γὰρ ἐπείγει.

Τὸ δὲ ἑξῆς, οὐδὲ μίμνει, ὥστε εἰς ὥραν τερσήμεναι βολαῖς ἠελίοιο.

V. 1395. Δομήν. Τὴν τοῦ σώματος σύστασιν, καὶ χροιάν.

V. 1397. Προὔτυψαν. Προῆλθον. Ὅσον οὖν προῆλθον ἢ πρόεσχον ὑπὲρ τῆς γῆς, τόσον καὶ ὑπὸ γῆν.

V. 1398. Πλαδαρόν. Τὸ δίυγρον.

V. 1403. Σημαντῆρα. Τὸν δεσπότην.

ΣΧΟΛΙΑ
ΕΙΣ ΤΟ ΤΕΤΑΡΤΟΝ
ΤΩΝ
ΑΠΟΛΛΩΝΙΟΥ
ΑΡΓΟΝΑΥΤΙΚΩΝ.

Τοῦ τετάρτου τῶν Ἀργοναυτικῶν τὰ κεφάλαια ἐστὶ ταῦτα. Οἱ Ἀργοναῦται διαπεράσαντες τὸν Πόντον ἀφίκοντο ἐς τὸν Ἴστρον, καὶ δι' αὐτοῦ κατηνέχθησαν εἰς τὸν Ἀδρίαν, καὶ ἐπεραιώθησαν εἰς τὸ πάλαι καλούμενον Κρόνιον· ἔνθα καὶ ἀναιροῦσι τὸν Ἄψυρτον δόλῳ. Ἀγανακτοῦντος δὲ τοῦ Διὸς ἐπὶ τούτῳ, καὶ δυσπνοίᾳ θέλοντος παρατρέψαι τοὺς Ἀργοναύτας, Ἥρα ἐπιπέμπει ἀνέμους· καὶ διὰ τοῦ Ἠριδανοῦ εἰς τὴν περὶ Σαρδὼ καταφέρονται θάλασσαν. Καθαίρονται δὲ ὑπὸ Κίρκης, καὶ διαπλέουσι τὰς πλαγκτὰς πέτρας, Θέτιδος μετὰ τῶν ἄλλων Νηρεΐδων προπεμπούσης αὐτούς· τὰς δὲ Σειρῆνας ἀποπλέουσι. Διασωθέντες δὲ εἰς τὴν πάλαι μὲν Δρεπάνην, αὖθις δὲ κληθεῖσαν Κέρκυραν, τοὺς διὰ τῶν Συμπληγάδων διώκοντας αὐτοὺς Κόλχους καταλαμβάνουσιν, οἵτινες τὸν Ἀλκίνουν ἐξῃτοῦντο τὴν Μήδειαν. Ὁ δὲ ὑπερθέμενος τὴν κρίσιν εἰς τὴν αὔριον, ἔφη, παρθένον μὲν οὖσαν τῷ πατρὶ ἀποστέλλεσθαι δεῖν· εἰ δὲ γυνὴ εἴη, παραδίδοσθαι τῷ ἀνδρί. Γίγνεται οὖν ὁ γάμος ἐκείνῃ

τῇ νυκτί. Καὶ οὕτως ἄπρακτοι γενόμενοι οἱ Κόλχοι, μένουσι μὲν ἐν τῇ Σχερίᾳ, δεδοικότες ἐπανελθεῖν πρὸς Αἰήτην· ἀποπλεύσαντες δὲ οἱ Ἀργοναῦται, κατασύρονται τῆς Λιβύης εἰς Σύρτιν· καὶ τελευτῶσιν ἐκεῖ Κάνθος καὶ Μόψος. Ἀποροῦσι δὲ περὶ σωτηρίας τοῖς Ἀργοναύταις ἐπιφαίνεται Τρίτων, καὶ ὡς διασωθήσονται δηλοῖ. Βαστάσαντες οὖν τὴν ναῦν, ἐκόμισαν εἰς τὴν Τριτωνίδα λίμνην. Εἶτα γίνονται ἐν Κρήτῃ, ᾗ εἴργοντο προσχεῖν ὑπὸ Τάλω· ὃν ἐπῳδαῖς ἠφάνισε Μήδεια. Μετὰ δὲ ταῦτα παραγίνονται εἰς Αἴγιναν, κἀκεῖθεν διασώζονται εἰς Θεσσαλίαν.

V. 1. Αὐτὴ νῦν κάματόν γε. Ἐλλείπει τὸ ὦ μόριον, ἵνα ᾖ, ὦ θεά. Ὁ δὲ νοῦς, αὐτὴ νῦν ἐμοὶ εἰπὲ, ὦ Μοῦσα, τόν γε μόχθον καὶ τὰς βουλὰς Μηδείας, ἀποροῦντός μου, πότερον ἐρωτικῷ πάθει, ἢ κακώσεως φυγὴν ποιουμένη, κατέλιπε τὴν πατρίδα.

V. 2. sq. Ἦ γὰρ ἔμοιγε ἀμφασίῃ. Ἀντὶ τοῦ ἀπορίᾳ, ἀμφασίᾳ. ὥστε μὴ δύνασθαι εἰπεῖν, πότερον ἐρωτικῷ πάθει, ἢ κακώσεως φυγὴν ποιουμένη (ἤγουν, φοβηθεῖσα μήπως κακωθῇ ὑπὸ τοῦ πατρὸς) ἀπέλιπε τὴν πατρίδα. Ἐν μὲν οὖν τῷ ἀμφασίῃ τοῦ ᾱ στέρησιν σημαίνοντος, ἐπεντέθη *) τὸ μ̄.

V. 5. Τὸ δὲ ἀεικελίην, ἐπιθετικῶς μὲν λέγεται κατὰ τὸ φύζαν, καὶ διὰ τοῦτο ὁμοιοπτώτως· μεταλαμβάνειν γε μὴν εἰς προσηγορικὴν γενικὴν αὐτὸ δεῖ, ἵν' ᾖ, φύζαν ἀεικελίης. Οὕτω γὰρ ὁ νοῦς σώζεται.

V. 8. Στυγερῷ ἐπὶ θυμὸν ἀέθλῳ. Στυγερὸν εἶπε τὸν ἆθλον, ἐφ' ᾧ αὐτὸς κατεστύγναζε δυσφορῶν.

*) Sic etiam Schol. Paris. ad I. v. 312.

V. 11. *Ἀλεγεινότατον.* Ἤτοι κατὰ πρόσθεσιν τοῦ ε, (ἔστι γὰρ ἀλγεινότατον, παρὰ τὸ ἀλγεῖν εἰρημένον) ἢ εἴρηται τὸ τὰς φροντίδας ἔχον, ὥστε τὴν λέξιν εἶναι παρὰ τὸ ἀλέγειν.

V. 12. *Κεμάς.* Κεμάς ἐστιν ἡ νέα ἔλαφος. Διαφορὰν δέ φασιν εἶναι κεμάδος καὶ νεβροῦ. Κεμάδα γὰρ εἶναι τὴν ἔτι κοιμωμένην ἐν τῷ σπηλαίῳ, οἷον κοιμάδα τινὰ οὖσαν· νεβρὸν δὲ, τὸν ἤδη μείζονα, καὶ ἐπὶ βορὰν ἐξιόντα, καὶ νεμόμενον.

V. 13. *Τάρφεσι.* Πυκνώμασιν.

V. 14. *Ὀΐσατο.* Ἀπὸ τοῦ οἴω γέγονε ῥήματος κατὰ διαίρεσιν ὀΐω. Μήποτε καὶ τὸ δοάσσατο, ἅμα τῇ τροπῇ τοῦ διχρόνου, καὶ περισσῷ κέχρηται τῷ δ. Ὡς καὶ τὸ δνοφερὸν ὕδωρ παρὰ τὸ νέφος πεποίηται· καὶ παρὰ τὸ ἴψαι Σοφοκλῆς ἐν Ἰξίονι δίψιον φησὶ τὸ βεβλαμμένον. Καὶ Ὅμηρος·

— — πολυδίψιον Ἄργος ἱκοίμην,

πολλάκις βεβλαμμένον.

V. 16. *Ἐπιΐστορας.* Συνίστορας, συνειδυίας.

V. 17. *Περιβρομέεσκον ἀκουαί.* Ἐνήχουν αἱ ἀκουαὶ, ὥσπερ ἐρχομένων τινῶν ἀξόντων αὐτὴν πρὸς τὸν πατέρα.

V. 18. *Πυκνὰ δὲ λαυκανίης.* Λαυκανίας, τῆς ἀρτηρίας, δι' ἧς τὸ πνεῦμα ἑλκόμενον φέρεται.

Κουρὶξ δὲ, κατὰ κόῤῥης.

V. 23. *Πτερόεις δέ οἱ.* Οἷον κοῦφος. ἐκουφίσθη. τοῦ πρότερον λογισμοῦ ταχέως μετέπεσεν αὐτῆς ἡ ψυχή. εἰς ἱλαρότητα μετετράπη.

V. 35. *Διειλυσθεῖσα.* Λάθρα διεξελθοῦσα τοῦ δόμου· ἀποδράσασα, φυγοῦσα.

V. 36. *Ληϊάς.* Αἰχμάλωτος· δοριάλωτος.

V. 38. *Ἀηθέσσουσα.* Ἀήθης οὖσα.

Δύης δὲ, κακοπαθείας.

V. 42. *Ἀοιδαῖς.* Ταῖς διὰ φαρμάκων ἐπῳδαῖς.

V. 46. *Πέζαν.* Τὸ ἀπολῆγον τοῦ χιτῶνος· ὃ ἡμεῖς ᾤαν λέγομεν. Τὸ γὰρ πρότερον, ὑπὲρ τοῦ μὴ τρίβεσθαι, δέρμα προσέῤῥαπτο.

V. 52. *Ἀμφί τε δυσπαλέας.* Χαλεπὰς καὶ κακάς· ἢ τὰς ἐπὶ κακῷ ἀναδιδομένας ἐκ τῆς γῆς. Πλείονα γὰρ τῶν σωτηρίων τὰ φθοροποιὰ φάρμακα. Ἢ τὰς δυσχερῶς ἀνασπωμένας.

V. 54. *Τιτηνίς.* Ἥλιός καὶ Σελήνη Ὑπερίονος τοῦ Τιτᾶνος καὶ Θείας εἰσὶ παῖδες, ὡς Ἡσίοδος φησί·

Θεία δ' Ἠέλιον τέκε λαμπράν τε Σελήνην.

V. 55. *Φοιταλέην.* Ἐμμανῆ, μανιωδῶς πορευομένην. Φοῖτος γὰρ ἡ μανία λέγεται. Καὶ Εὐφορίων·

Φοιταλέος διὰ πᾶσαν ἄδην ἐπάτησε κοθόρνῳ.

Μήποτε διὰ τοῦτο καὶ τὰς ἑταίρας φοιτάδας λέγουσιν.

V. 57. *Οὐκ ἄρ ἐγὼ μούνη μετὰ Λάτμιον.* Λάτμον, ὄρος Καρίας, ἔνθα ἐστὶν ἄντρον, ἐν ᾧ διέτριβεν Ἐνδυμίων. Ἔστι δὲ καὶ πόλις ἡ λεχθεῖσα Ἡράκλεια. Τὸν δὲ Ἐνδυμίωνα Ἡσίοδος μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλίκης παῖδα λέγει, παρὰ Διὸς εἰληφότα δῶρον, αὐτὸν ταμίαν εἶναι θανάτου, ὅτε θέλοι ὀλέσθαι. Καὶ Πείσανδρος δὲ τὰ αὐτὰ φησὶ, καὶ Ἀκουσίλαος, καὶ Φερεκύδης, καὶ Νίκανδρος ἐν δευτέρῳ Αἰτωλικῶν, καὶ Θεόπομπος ἐν Ἐποποιοῖς. Ἐν δὲ ταῖς Μεγάλαις Ἠοίαις λέγεται τὸν Ἐνδυμίωνα ἀνενεχθῆναι ὑπὸ Διὸς εἰς οὐρανόν· ἐρασθέντα δὲ Ἥρας, εἰδώλῳ παραλογισθῆναι τὸν ἔρωτα Νεφέλης, καὶ ἐκβληθέντα κατελθεῖν εἰς ᾅδου. Περὶ δὲ τοῦ τῆς Σελήνης ἔρωτος ἱστορεῖ Σαπφὼ καὶ

Νίκανδρος ἐν δευτέρῳ Εὐρώπης. Λέγεται δὲ κατέρχεσθαι εἰς τοῦτο τὸ ἄντρον τὴν Σελήνην πρὸς Ἐνδυμίωνα. Ἐπιμενίδης δὲ αὐτὸν παρὰ θεοῖς διατρίβοντα ἐρασθῆναι φησὶ τῆς Ἥρας· διόπερ Διὸς χαλεπήναντος αἰτήσασθαι διαπαντὸς καθεύδειν. Ἴβυκος δὲ ἐν πρώτῳ Ἤλιδος αὐτὸν βασιλεῦσαι φησί. Τινὲς δὲ διὰ πολλὴν δικαιοσύνην ἀποθεωθῆναι φασὶν αὐτὸν, καὶ αἰτήσασθαι παρὰ Διὸς ἀεὶ καθεύδειν. Φασὶ δὲ αὐτὸν οἱ μὲν Σπαρτιάτην, οἱ δὲ Ἠλεῖον. Ἔνιοι δὲ ἀναιροῦσι τὸν ἐπὶ τῷ Ἐνδυμίονος ὕπνῳ μῦθον. Φιλοκύνηγον γὰρ αὐτὸν γενόμενον, νύκτωρ πρὸς τὴν σελήνην κυνηγεῖν, διὰ τὸ ἐξιέναι τὰ θηρία κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ τὰς νομάς· τὰς δὲ ἡμέρας ἐν σπηλαίῳ αὐτὸν ἀναπαύεσθαι, ὥς τινα οἴεσθαι πάντοτε αὐτὸν κοιμᾶσθαι. Οἱ δὲ ἀλληγοροῦσι τὸν μῦθον, λέγοντες, ὡς ἄρα Ἐνδυμίων πρῶτος ἐπεχείρησε τῇ περὶ τὰ μετέωρα φιλοσοφίᾳ· παρασχεῖν δὲ αὐτῷ τὰς ἀφορμὰς τὴν σελήνην ἔν τε φωτισμοῖς καὶ κινήσεσι· δι' ὃ καὶ νύκτωρ σχολάζοντα τούτοις, ὕπνῳ μὴ χρῆσθαι, κοιμᾶσθαι δὲ μεθ' ἡμέραν. Τινὲς δὲ τῷ ὄντι φίλυπνον τινὰ γεγονέναι τὸν Ἐνδυμίωνα. Ἀφ' οὗ καὶ παροιμία, Ἐνδυμίωνος ὕπνος, ἐπὶ τῶν πολὺ κοιμωμένων, ἢ ἀμελῶς τι πραττόντων, ὡς δοκεῖν κοιμᾶσθαι. Καὶ Θεόκριτος μέμνηται·

Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων
Ἐνδυμίων.

V. 59. Ἠ θ α μ ά. Μεμύθευται, ὡς ἄρα αἱ φαρμακίδες τὴν σελήνην ταῖς ἐπῳδαῖς κατασπῶσι. Τοῦτο δὲ ποιεῖν δοκοῦσιν αἱ Θεσσαλαὶ, σφαλεῖσαι τῆς ὑπολήψεως. καθὸ Ἀγλαονίκη Ἡγεμόνος θυγάτηρ, ἔμπειρος οὖσα τῆς ἀστρολογίας, καὶ εἰδυῖα τὰς ἐκλείψεις τῆς σελήνης, ὁπότε μέλλοιεν γενήσεσθαι, ἔφασκε τὴν θεὸν

κατασπᾶν. καὶ παραχρῆμα περιέπιπτε συμφοραῖς, τῶν οἰκείων τινὰ ἀποβάλλουσα, καὶ δίκην διδοῦσα τοῦ ἁμαρτήματος. Ὅθεν κατὰ τὸν βίον λέγεται παροιμία ἐπὶ τῶν συμφοραῖς κεχρημένων, ὅτι τὴν σελήνην κατασπᾷ.

Παρὰ δὲ τῷ τὰ Ναυπακτικὰ πεποιηκότι οὐκ ἔστι κατὰ τὴν ἰδίαν προαίρεσιν ἐξιοῦσα ἡ Μήδεια, ἀλλ᾽ ἐφ᾽ ἑστίαν καλουμένη. Οἱ γὰρ Ἀργοναῦται, κατ᾽ ἐπιβουλὴν ἐνστάντος τοῦ τῆς ἀναιρέσεως αὐτῶν καιροῦ, προτραπομένου δὲ τοῦ Αἰήτου ἐπὶ τὴν Εὐρυλύτης τῆς γυναικὸς συνουσίαν, Ἴδμονος ὑποθεμένου αὐτοῖς, ἀποδιδράσκουσιν, καὶ Μήδεια συνεκπλεῖ.

V. 60. *Μνησαμένη φιλότητος.* Τῆς τοῦ Ἐνδυμίωνος, διὰ τῶν σῶν ἐπῳδῶν.

Σκοτίῃ δὲ, ἐν ἀσελήνῳ, διὰ τὴν ἐμὴν περὶ τὸν ἐρώμενον ἀσχολίαν. Διαλαμβάνουσι δὲ ἔνιοι, τὴν τῆς σελήνης ἔκλειψιν ὑπὸ φαρμακίδων γίνεσθαι καθαιρουμένης. Διὸ καὶ οἱ παλαιοὶ καθαιρέσεις ἐκάλουν τὰς ἐκλείψεις.

Ἄλλως. *Ἦ θαμὰ δὴ*, καὶ τὰ ἑξῆς, οὕτω συντακτέον, ὄντως θαμὰ ἐγὼ φοιτῶ εἰς τὸ ἄντρον, μνησαμένη τῆς τοῦ Ἐνδυμίωνος φιλότητος, καὶ σεῖο, ὦ κύον, μνησαμένη, ἵνα εὔκηλος φαρμάσσῃς ἐν σκοτίῃ νυκτὶ δολίαισιν ἀοιδαῖς, ἅ τοι φίλα ἔργα τέτυκται.

V. 63. *Ἀνιηρὸν* δὲ λέγει τὸν ἀθεράπευτον.

V. 69. *Ἔδαιον.* Ἀντὶ τοῦ ἔκαιον, καὶ ἀνῆπτον.

V. 70. *Ὄρθια.* Ἐπιτεταμένως, μεγάλως.

V. 71. *Περαιόθεν.* Γέγονε μὲν ἀπὸ τοῦ περαία καὶ πέρας καὶ τὸ περαιόθεν. Ὅθεν καὶ ἤπειρος λέγεται πᾶσα γῆ καταχρηστικῶς· κυρίως δὲ ἡ εἰς ἄπειρον ἐκβάλλουσα, ὡς φανερὸν Εὐριπίδης πεποίηκεν·

Ἤπειρον ὡς ἄπειρον ἐκβάλλων χθόνα.

V. 86. *Φεύγωμεν, πρὶν τόνδε θοῶν.* Ὁ μὲν Ἀπολλώνιος νυκτὸς φησὶ πεφευγέναι τὴν Μήδειαν ἐπὶ τὴν ναῦν, Αἰήτου συνέδριον ἔχοντος Κόλχων περὶ διαφθορᾶς τῶν ἡρώων· ὁ δὲ τὰ Ναυπακτικὰ πεποιηκὼς ὑπὸ Ἀφροδίτης φησὶ τὸν Αἰήτην κατακοιμηθῆναι, ἐπιθυμήσαντα τῇ αὐτοῦ γυναικὶ συγγενέσθαι, δεδειπνηκότων παρ' αὐτῷ τῶν Κόλχων καὶ κοιμωμένων· διὰ τὸ βουλεύεσθαι αὐτὸν τὴν ναῦν ἐμπρῆσαι.

Δὴ τότ' ἄρ Αἰήτῃ πόθον ἔμβαλε δῖ' Ἀφροδίτη,
Εὐρυλύτης φιλότητι μιγήμεναι, ἧς ἀλόχοιο,
κηδομένη φρεσὶν ᾗσιν, ὅπως μετ' ἄεθλον Ἰήσων
νοστήσῃ οἶκόνδε σὺν ἀγχεμάχοις ἑτάροισιν.

Ὁ δὲ Ἴδμων συνῆκε τὸ γεγονὸς, καὶ φησί·

Φευγέμεναι μεγάροιο θοὴν διὰ νύκτα μέλαιναν.

Τὴν δὲ Μήδειαν τὴν ποδοψοφίαν ἀκούσασαν, ἀναστᾶσαν ἐξορμῆσαι. Λέγει δὲ καὶ Ἡρόδωρος ταῦτα.

V. 87. *Δώσω δὲ χρύσειον.* Ὁ μὲν Ἀπολλώνιος μετὰ τὸ φυγεῖν τὴν Μήδειαν ἐκ τοῦ Αἰήτου οἴκου πεποίηται ὑπισχνουμένην τὸ κῶας τῷ Ἰάσονι· ὁ δὲ τὰ Ναυπακτικὰ γράψας συνεκφέρουσαν αὐτὴν ποιεῖ τὸ κῶας κατὰ τὴν φυγὴν, ἐν τῷ οἴκῳ κείμενον τοῦ Αἰήτου. Ὁ δὲ Ἡρόδωρος, μετὰ τὴν ἀνάζευξιν τῶν Ἀργοναυτῶν ἀποσταλῆναι τὸν Ἰάσονα ὑπὸ τοῦ Αἰήτου ἐπὶ τὸ κῶας· τὸν δὲ πορευθέντα φονεῦσαί τε τὸν δράκοντα, καὶ τὸ κῶας ἀπενεγκεῖν πρὸς Αἰήτην· τὸν δὲ δόλῳ καλέσαι αὐτοὺς ἐπὶ δεῖπνον.

V. 89. *Ἐπιΐστορας.* Μάρτυρας.

V. 91. *Ὀνοτήν.* Μεμπτήν.

V. 94. *Προσπτύξατο.* Περιέλαβε.

V. 102. *Παρὲκ νόον.* Παρὰ τὴν βουλήν.

V. 106. Ἔμπαλιν ἀΐσσουσα. Εἰς τοὐπίσω ὁρμῶσα.

V. 111. Ἄγχαυρον. Τὸν καιρὸν τὸν πλησίον καὶ ἐγγὺς τῆς ἡμέρας, ὥσπερ τὸ καλούμενον λυκόφως. Περὶ γὰρ τὸν τοιοῦτον καιρὸν αἱ αὖραι πνέουσι. Καὶ τοῦτο δὲ ἐκ τοῦ ποιητοῦ·

Αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πέλει ἠῶθι πρό.

Κνώσσειν, τὸ ὑπνώττειν.

V. 115. sq. Εὐνὰς δέ φησι κριοῦ, ὅπου πρῶτον τὸν Φρίξον κομίσας ὁ κριὸς ἀνεπαύσατο.

Ἵνα κριοῦ. Ἐν Κόλχοις, ὅπου πρῶτον τὸν Φρίξον κομίσας ὁ κριὸς ἀνεπαύσατο.

V. 119. Ὅν ῥά ποτ' Αἰολίδης. Διονύσιος ἐν τοῖς Ἀργοναυτικοῖς λέγει, Κριὸν γεγονέναι Φρίξῳ παιδαγωγόν· ὃν πρῶτον αἰσθόμενον τὴν ἐκ τῆς μητρυιᾶς ἐπιβουλὴν, ὑποθέσθαι φυγεῖν. Ὑφ' οὗ καὶ σωθέντος τοῦ νεανίου, διαδεδόσθαι, ὡς ἄρα ἐπὶ κριοῦ μέχρι Κόλχων διασωθείη ὁ Φρίξος.

V. 131. Ἔκλυον οἳ καὶ πολλόν. Ὑπερβολῇ κέχρηται περὶ ποσότητα, εἴγε φησὶ τὴν τοῦ δράκοντος φωνὴν τοῖς μὲν μακρὰν οὖσι τῶν Κόλχων ἀκούεσθαι, αὐτοῖς δὲ μή.

Τιτηνίδος αἴης. Τοῦ Τιτῆνος ποταμοῦ, ἀφ' οὗ καὶ ἡ χώρα Τιτηνὶς κέκληται, μνημονεύει Ἐρατοσθένης ἐν Γεωγραφίᾳ.

V. 132. Ὁ δὲ Λύκος ποταμὸς ἀπὸ Ἀράξου φερόμενος συγκιρνᾶται Φάσιδι· καὶ οὕτως ἀπολέσας τὸ ἴδιον ὄνομα, ἐκδίδωσιν εἰς θάλασσαν. Τὸ δὲ αὐτὸ τοῦτο γίνεται ἐπί τε Ὀνοχώνου τοῦ κατὰ Θεσσαλίαν καὶ Παρμισοῦ καὶ Σπερχειοῦ· ὅταν γὰρ εἰς ταυτὸ συῤῥεύσωσι πάντες, Σπερχειὸς καλοῦνται.

V. 133. Ὁ δὲ Ἀράξης, ποταμὸς Σκυθίας. Μητρόδωρος δὲ ἐν πρώτῳ τῶν περὶ Τιγράνην τὸν Θερμώδοντα Ἀράξην φησὶ λέγεσθαι.

V. 135. Καυκασίαν δὲ θάλασσαν τὴν Κασπίαν φησὶ, διὰ τὸ συνάπτειν τῷ Καυκάσῳ. Ἄλλως. Βέλτιον Καυκασίαν θάλασσαν νῦν τὸν Εὔξεινον νοεῖν, τὸν πλησιάζοντα τῷ Καυκάσῳ. Οὐ γὰρ ἐς τὴν Καυκασίαν, ἀλλ' εἰς τὸν Εὔξεινον ἐκδίδωσιν ὁ Φᾶσις.

V. 140. Καπνοῖο στροφάλιγγες. Αἱ τοῦ σφοδροῦ καπνοῦ εἰλήσεις, κατὰ ἀναφοράν.

V. 141. Διὰ δὲ τοῦ, ἄλλη δ' αἶψ' ἑτέρῃ ἐπιτέλλεται, δηλοῖ τὸ συνεχὲς τῆς ἐπαναφορᾶς.

V. 142. Εἰλίγγοις. Ταῖς εἰλήσεσι καὶ συστροφαῖς τοῦ σφοδροῦ καπνοῦ.

Ἐπήορος. Μετέωρος.

V. 143. Ἀπειρεσίας ἐλέλιξε. Πολλάς. Ὑπερβολικῶς καὶ τοῦτο εἴρηκε, διαγράφων τὸ τερατῶδες μέγεθος τοῦ δράκοντος.

V. 144. Ῥυμβόνας δὲ, τὰς εἰλήσεις τῆς σπείρας, τὰς περιδινήσεις. Καὶ Εὐριπίδης ἐν Πειρίθῳ·

Σὲ τὸν αὐτοφυῆ πάντων θεῶν αἰθέρα ῥύμβῳ.

τοῦτ' ἔστι κινήσει. Ὅθεν καὶ τὸ κινούμενον τροχίσκιον ὑπὸ τῶν φαρμακίδων ῥυμβίον καλεῖται. Οὕτω δὲ λέγουσι τὰς περιφερεῖς κινήσεις. Καὶ παρ' Εὐπόλιδι·

Ὦ ῥύμβοις μαστίξας ἐμέ.

Ἀζαλέαις. Ξηραῖς.

Ἐπηρεφέας. Ἐσκεπασμένας.

V. 145. Εἴσατο. Ὥρμησε.

V. 147. Θέλξαι. Κοιμῆσαι.

V. 148. Νυκτιπόλον. Ὡς καὶ ὑπὸ γῆν διατρίβουσαν.

Εὐαντέα δὲ, τὴν εὐάντητον καὶ εὐεξίλαστον, ἢ εὐαπάντητον.

V. 150. *Οἴμῃ θελγόμενος.* Τῇ ἐπῳδῇ ταπεινούμενος.

Ἄκανθαν. Τὰ τῶν ὄφεων ὀστᾶ ἄκανθαι λέγεται.

V. 151. Κατὰ κοινοῦ δὲ τὸ *γηγενέος*, ὡς καὶ ἄλλων ἑρπετῶν.

V. 155. *Περιπτύξαι.* Περιλαβεῖν.

V. 156. *Ἡ δέ μιν.* Ἐν τούτοις καὶ τοῖς ἑξῆς φησὶ τὴν Μήδειαν ἐπιῤῥαίνουσαν ἀρκεύθῳ τὸ φάρμακον κοιμίσαι τὸν δράκοντα, ἐπᾴδουσαν, καὶ οὕτω τὸ κῶας ἀνελέσθαι· καὶ χωρῆσαι ἀμφοτέρους ἐπὶ τὴν ναῦν, κοιμωμένου τοῦ θηρίου· συμφώνως Ἀντιμάχῳ. Φερεκύδης δέ φησιν ἐν ἑβδόμῳ, φονευθῆναι τὸν δράκοντα ὑπὸ Ἰάσονος.

Ἡ δὲ *ἄρκευθος*, δένδρον τὶ ἀκανθῶδες, Ἀπόλλωνος ἴδιον, ὡς ἱστορεῖται ἐν τρίτῳ τῶν εἰς Μουσαῖον ἀναφερομένων.

V. 158. *Νήριτος.* Ἡ πολλή.

V. 161. *Πολύπρεμνος.* Ὁ πολυστέλεχος.

V. 175. *Ἀγρῶσται.* Οἱ κυνηγοί. Ἀπὸ τοῦ ἀγρώσσω ῥήματος πέπτωκεν. Ὅμηρος·

Ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμῃ.

Ἀχαιϊνέην. Ἀχαία ἐστὶ τῆς Κρήτης πόλις, ἐν ᾗ γίνονται ἀχαιϊνέαι λεγόμεναι ἔλαφοι, αἳ καὶ σπαθιναῖαι καλοῦνται. Οἱ δὲ κέρατα μεγάλα ἔχοντες ἔλαφοι, κεράσται.

V. 177. *Βεβρίθει λήνεσσιν.* Τοῖς ἐρίοις. Ὅθεν καὶ λανάριοι καλοῦνται οἱ κτενισταί. Πολλοὶ δὲ χρυσοῦν τὸ δέρας εἰρήκασιν (οἷς Ἀπολλώνιος ἠκολούθησεν),

ὁ δὲ Σιμωνίδης ποτὲ μὲν λευκὸν, ποτὲ δὲ πορφυροῦν. Διονύσιος δὲ ὁ Μιτυληναῖος ἄνθρωπον φησὶ γεγενῆσθαι παιδαγωγὸν τοῦ Φρίξου ὀνόματι Κριόν.

V. 181. Ἀφασσόμενος. Ψηλαφῶν.

V. 182. Νοσφίσσεται. Ἀφαιρήσεται.

V. 190. Μηκέτι νῦν χάζεσθε. Ἀναχωρεῖτε καὶ μεριμνᾶτε περὶ τῆς εἰς τὴν πατρίδα ἀνακομιδῆς. Τινὲς δὲ γράφουσι φράζεσθε.

V. 191. Ἤδη γὰρ χρειώ. Ἡ γὰρ χρεία (φησὶν), ἧς χάριν τοῦτον τὸν πλοῦν ὑπέστημεν τὸν χαλεπὸν, εὐκόλως ταῖς βουλαῖς τῆς κόρης τετέλεσται.

V. 200. sq. Πηδοῖσι. Τοῖς πλάτεσι τῶν κωπῶν. Δι' οὗ δηλοῖ τὰς κώπας ἀπὸ μέρους. Πηδὸν γὰρ καλεῖται τὸ πλατὺ τῆς κώπης. Θεόφραστος δὲ, εἶδος ξύλου, τὸ πηδόν.

Τοὶ δὲ βοείας ἀσπίδας ἡμίσεες. Οἱ δὲ ἡμίσεις ὁπλισθέντες, ἀμύνεσθε τοὺς ἐπιόντας.

Θοόν. Ἀντὶ τοῦ θοῶς. Ὄνομα ἀντὶ ἐπιῤῥήματος.

Ἔχμα δὲ βολάων εἴρηκε τὰς ἀσπίδας. Ἔχμα γὰρ τὸ κώλυμα.

V. 213. Περίπυστος. Περιβόητος.

V. 214. Ἐς δ' ἀγορὴν ἀγέροντο. Συνηθροίζοντο πρὸς μάχην. καὶ *) φησὶν, οὐκ ἔστι χειμῶνος τὰ κύματα τῆς θαλάσσης τεκμήρασθαι, οὕτως οὐδὲ τὸ πλῆθος τῶν ὁπλισθέντων Κόλχων.

V. 218. Παρεμέτρεον. Παρέπλεον.

---

*) Pro καὶ leg. ὡς. Plato Gorg. c. 147. p. 230. Heind. ἀλλ' ἐὰν πολλάκις ἴσως καὶ βέλτιον ταῦτα ταυτὰ διασκοπώμεθα, πεισθήσῃ. Ἴσως delendum puto, natum illud ex antecedentibus litteris ις maleque intellectâ notâ copulae sequentis.

V. 223. *Πεύκην περιμήκεα.* Τὴν λαμπάδα. ὡς ἐμπρήσων τὴν ναῦν.

Ὁ μὲν Ἀπολλώνιος ἄπρακτον ἀναχωρῆσαι φησὶ τὸν Αἰήτην σὺν ὀχήματι, ἡνιοχοῦντος Ἀψύρτου· Διονύσιος δὲ ὁ Μιλήσιος φησὶν, ὅτι καταλαβὼν τὴν ναῦν ὁ Αἰήτης, παραταξαμένων τῶν ἀριστέων, Ἶφιν ἀνεῖλεν Εὐρυσθέως ἀδελφὸν, καὶ αὐτὸς πολλοὺς ἀπέβαλε. Φερεκύδης δὲ ἐν ἑβδόμῳ τὴν Μήδειαν φησὶν ἆραι τὸν Ἄψυρτον ἐκ τῆς κοίτης, Ἰάσονος εἰπόντος αὐτῇ, καὶ ἐνεγκεῖν πρὸς τοὺς Ἀργοναύτας· ἐπεὶ δὲ ἐδιώχθησαν, σφάξαι, καὶ μελίσαντας ἐκβαλεῖν εἰς τὸν ποταμόν. Ἐν δὲ τοῖς Σκύθαις ὁ Σοφοκλῆς ἑτερομήτορα τῆς Μηδείας τὸν Ἄψυρτον λέγει· Οὐ γὰρ ἐκ μιᾶς κοίτης ἔβλαστον· ἀλλ' ὁ μὲν Νηρηΐδος τέκνον ἄρτι βλαστάνεσκε, τὴν δ' Εἰδυῖα πρίν ποτ' Ὠκεανοῦ κόρη τίκτεν.

V. 226. *Νηῦς ἤδη κρατεροῖσιν.* Ἡ ναῦς (φησὶν) βιαίᾳ ὁρμῇ τὸν πλοῦν ἤνυεν, τῇ τε τῶν ἐρετῶν δυνάμει βιαζομένη καὶ τῷ τοῦ ποταμοῦ καθέλκοντι καὶ καταφόρῳ ῥεύματι.

V. 228. *Αὐτὰρ ἄναξ.* Ὁ δὲ Αἰήτης (φησὶν) ἐν πολλοῖς κακοῖς γεγενημένος τὸν Ἥλιον καὶ τὸν Δία μάρτυρας τῶν πεπραγμένων ἐπεκαλεῖτο.

Φησὶ δὲ ὁ Ἀπολλώνιος διὰ τούτων, τὸν Αἰήτην ἄπρακτον ὑποστρέψαι. Διὰ δὲ τῶν ἑξῆς φησὶ τὸν Ἄψυρτον νέον ὄντα ἡνιοχεύειν, παραβεβηκότα τῷ πατρί. Διονύσιος δὲ ὁ Μιλήσιος φησὶν, ὅτι Αἰήτης ἐδίωξεν αὐτούς· οἱ δὲ ἀριστεῖς ἠγωνίζοντο ἀκοντίζοντες, οἱ δὲ περὶ τὸν Αἰήτην ἵππευον. Ἔνθα καὶ Ἶφιν τελευτῆσαι, τὸν Σθενέλου μὲν υἱὸν, Εὐρυσθέως δὲ ἀδελφόν· καταβαλόντα γὰρ δύο τῶν περὶ Αἰήτην ἱππέων, περικατάληπτον γενέσθαι ὑπὸ τοῦ Αἰήτου, περιστάντος αὐτὸν βρό-

χῳ. Ἐν δὲ τοῖς ἑξῆς φησὶν, ὡς οἱ Κόλχοι εἰς φυγὴν ἐτράπησαν. Φερεκύδης δὲ ἐν ἑβδόμῳ, διωκομένους ἀναβιβάσαι ἐπὶ τὴν ναῦν τὸν Ἄψυρτον, καὶ μελίσαντας ῥίψαι εἰς τὸν ποταμόν. Σοφοκλῆς δὲ ἐν Κολχίσι φησὶ κατὰ τὸν οἶκον τοῦ Αἰήτου τὸν παῖδα σφαγῆναι.

Ἑξῆς δὲ Ἀπολλώνιος τὴν ἀπειλὴν τάσσει τὴν πρὸς τοὺς Κόλχους.

V. 247. sq. *Καὶ δὴ τὰ μὲν ὅσσα θυηλῇ.* Ἐκ τούτου βούλεται δηλῶσαι, ὅτι τοιαύτην θυσίαν ἐβούλετο τελέσαι, ὁποίαν αἱ φαρμακίδες εἰώθασι. Νύμφις δὲ ἐν τῷ ἕκτῳ περὶ Ἡρακλείας Ἑκάτης φησὶν ἱερὸν εἶναι ἐν τῇ Παφλαγονίᾳ, Μηδείας ἱδρυσαμένης. Κατὰ δὲ τὴν ἀποσιώπησιν ἐμφάσει κέχρηται, τὴν ταῖς φαρμακίσι τελουμένην θυσίαν μὴ ἐπεξεργάζεσθαι.

V. 257. *Νεισόμεθ' Ὀρχομενόν.* Διὰ τούτων φησὶν ὁ Ἄργος ἀληθῆ αὐτοῖς εἰρῆσθαι ὑπὸ Φινέως· εἶναι γὰρ πλοῦν ἕτερον ἔξω φέροντα, ὃν Αἰγύπτιοι ἱερεῖς ἐσημήναντο. Ἐγίνωσκε γὰρ τὰ μέρη ἐκεῖνα ὁ Ἄργος. Διό φησιν, ὄντως δὴ τῇ ἐσωτάτῃ ὁδῷ κεχρημένοι, ᾗ καὶ ἡμεῖς εἰς Ὀρχομενὸν ἐπορευόμεθα, πορεύεσθε.

V. 259. *Ἔστι γὰρ πλόος ἄλλος.* Ἡρόδωρος ἐν τοῖς Ἀργοναύταις φησὶ διὰ τῆς αὐτῆς θαλάσσης ἐπανελθεῖν, δι' ἧς καὶ ἐπορεύθησαν εἰς Κόλχους. Ἑκαταῖος δὲ ὁ Μιλήσιος ἐκ τοῦ Φάσιδος διελθεῖν εἰς τὸν ὠκεανὸν, εἶτα ἐκεῖθεν εἰς τὸν Νεῖλον· ὅθεν εἰς τὴν ἡμετέραν θάλασσαν. Τοῦτο δὲ ὁ Ἐφέσιος Ἀρτεμίδωρος ψεῦδος φησὶν εἶναι· τὸν γὰρ Φᾶσιν μὴ συμβάλλειν τῷ ὠκεανῷ, ἀλλ' ἐξ ὀρέων καταφέρεσθαι. Τὸ αὐτὸ καὶ Ἐρατοσθένης ἐν γ̄ Γεωγραφικῶν φησί. Τιμάγητος δὲ ἐν ᾱ περὶ λιμένων τὸν Ἴστρον φησὶ καταφέρεσθαι ἐκ τῶν Κελτι-

κῶν ὀρῶν, εἶτα ἐκδιδόναι εἰς Κελτικὴν λίμνην· μετὰ δὲ ταῦτα εἰς δύο σχίζεσθαι τὸ ὕδωρ, καὶ τὸ μὲν εἰς τὸν Εὔξεινον πόντον εἰσβάλλειν, τὸ δὲ εἰς τὴν Κελτικὴν θάλασσαν· διὰ δὲ τούτου τοῦ στόματος πλεῦσαι τοὺς Ἀργοναύτας, καὶ ἐλθεῖν εἰς Τυῤῥηνίαν. Κατακολουθεῖ δὲ αὐτῷ καὶ Ἀπολλώνιος. Ἡσίοδος δὲ, καὶ Πίνδαρος ἐν Πυθιονίκαις, καὶ Ἀντίμαχος ἐν Λυδῇ διὰ τοῦ ὠκεανοῦ φησὶν ἐλθεῖν αὐτοὺς εἰς Λιβύην, καὶ βαστάσαντας τὴν Ἀργὼ εἰς τὸ ἡμέτερον πέλαγος γενέσθαι.

V. 262. *Οὐδέ τι πω Δαναῶν.* Τοὺς Αἰγυπτίους παλαιοτάτους εἶναι φησὶν, Ἡρόδοτος δὲ Φρύγας. Κόσμης δὲ ἐν πρώτῳ Αἰγυπτιακῶν, καὶ Λέων ἐν πρώτῳ τῶν πρὸς τὴν μητέρα, καὶ Κνωσσὸς ἐν ᾱ Γεωγραφικῶν τῆς Ἀσίας, πάντων ἀρχαιοτάτους Αἰγυπτίους φασί· καὶ ἐν Αἰγύπτῳ πρώτην κτισθῆναι πόλιν Θήβας. Καὶ Νικάνωρ δὲ τούτοις συμφωνεῖ, καὶ Ἀρχέμαχος ἐν ταῖς Μετωνυμίαις, καὶ Ξεναγόρας ἐν πρώτῳ Χρόνων. Καὶ Ἵππυς δὲ τοὺς Αἰγυπτίους ἀρχαιοτάτους γεγονέναι λέγει, καὶ πρώτους στοχάσασθαι τῆς τοῦ ἀέρος κράσεως· καὶ γονιμώτατον εἶναι τὸ τοῦ Νείλου ὕδωρ. Γεγονέναι δὲ αὐτοὺς φησὶν ὁ Ἀπολλώνιος πρὸ τοῦ πάντα τὰ ἄστρα φανῆναι· καθὸ τήν τε φύσιν κατανοῆσαι αὐτῶν δοκοῦσι καὶ τὰ ὀνόματα θεῖναι. Καὶ τὰ μὲν δώδεκα ζώδια θεοὺς βουλαίους προσηγόρευσαν· τοὺς δὲ πλανήτας ῥαβδοφόρους. Ἡρόδοτος δέ φησι Φρύγας πρώτους γεγενῆσθαι. Ψαμμίτιχον γὰρ τῶν Αἰγυπτίων βασιλέα, βουλόμενον διαγνῶναι, τίνες τῶν ἀνθρώπων προγενέστεροι, παραδοῦναι ποιμένι δύο βρέφη· κελεύσαντα μηδένα μηδὲν αὐτοῖς φθέγγεσθαι, μόνον δὲ αὐτοῖς αἰγὸς θηλὴν δίδοσθαι. Οἱ δὲ, δύο ἐτῶν διελθόντων, πρώτην φωνὴν ἀφῆκαν τὸ βέκ. Οὕτω δὲ λέγεται παρὰ Φρυξὶν ὁ ἄρτος. Ἐγνώ-

σθῆσαν οὖν ἀπὸ τούτου οἱ Φρύγες γηγενεῖς. Οἱ δέ φασιν, ὅτι εὔηθές ἐστιν ὑπολαμβάνειν τοῦτο· ἀκούοντες γὰρ οἱ παῖδες βληχωμένων τῶν προβάτων, ὡς ἂν ὑπὸ τῆς φύσεως ἐνεργούμενοι, πρὸς τὸ ἔναρθρον τὴν φωνὴν ἀπέτρεψαν.

V. 263. Οἷοι δ' ἔσαν Ἀρκάδες. Μόνοι δὲ ἦσαν Ἀρκάδες (φησὶν) τῶν Ἑλλήνων ἀρχαιότεροι.

Ἀπιδανήων δὲ, τῶν Πελοποννησίων, ἀπὸ Ἄπιδος τοῦ Φορωνέως.

V. 264. Ἀρκάδες, οἳ καὶ πρόσθε. Οἱ Ἀρκάδες δοκοῦσι πρὸ τῆς σελήνης γεγονέναι, ὡς καὶ Εὔδοξος ἐν τῇ Περιόδῳ. Θεόδωρος δὲ ἐν εἰκοστῷ ἐννάτῳ, ὀλίγῳ πρότερον φησὶ τοῦ πρὸς τοὺς γίγαντας πολέμου Ἡρακλέους τὴν σελήνην φανῆναι. Καὶ Ἀρίστων ὁ Χῖος ἐν ταῖς Θέσεσι, καὶ Διονύσιος ὁ Χαλκιδεὺς ἐν πρώτῳ Κτίσεως τὰ αὐτά φασι· καὶ ἔθνος δὲ Ἀρκαδίας Σεληνίτας εἶναι. Μνασέας δέ φησι πρὸ σελήνης Ἀρκάδας βασιλεῦσαι. Ἀριστοτέλης δὲ ἐν τῇ Τεγεατῶν πολιτείᾳ φησὶν, ὅτι βάρβαροι τὴν Ἀρκαδίαν ᾤκησαν, οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν Ἀρκάδων ἐπιθεμένων αὐτοῖς, πρὸ τοῦ ἐπιτεῖλαι τὴν σελήνην. διὸ κατωνομάσθησαν προσέληνοι. Δοῦρις δὲ ἐν πέμπτῳ καὶ δεκάτῳ τῶν Μακεδονικῶν Ἀρκάδα φησὶν, ἀφ' οὗ ἡ Ἀρκαδία καλεῖται, Ὀρχομενοῦ υἱόν. διὸ καὶ πόλιν τῆς Ἀρκαδίας Ὀρχομενόν. Τινὲς δέ φασιν, Ἐνδυμίωνα εὑρηκέναι τὰς περιόδους καὶ τοὺς ἀριθμοὺς τῆς σελήνης. ὅθεν καὶ προσελήνους τοὺς Ἀρκάδας κληθῆναι. Ἀρκὰς γὰρ ὁ Ἐνδυμίων. Ἔνιοι δὲ ὑπὸ τοῦ Τυφῶνος. Ὑπὸ δὲ Ἄτλαντος Ξεναγόρας εἴρηκεν.

V. 266. Ἀνάσσετο Δευκαλίδῃσιν. Οἱ ἀπὸ Δευκαλίωνος τὸ γένος ἔχοντες ἐβασίλευον Θεσσαλίας, ὡς

φησὶν Ἑκαταῖος καὶ Ἡσίοδος. Ἡ Θεσσαλία δὲ Πελασγία ἐκαλεῖτο, ἀπὸ Πελασγοῦ τοῦ βασιλεύσαντος.

V. 269. Καὶ ποταμὸς Τρίτων. Περὶ τῆς τοῦ Νείλου ἀναδόσεως διάφοροι αἰτίαι παρὰ τοῖς παλαιοῖς ἐλέγοντο. Ἀναξαγόρας μὲν γάρ φησι διὰ τὴν τῆξιν τῆς χιόνος πληθύειν αὐτόν. Ὧι ἕπεται καὶ Εὐριπίδης, λέγων·

Εἱλουμένη δὲ καλλιπάρθενος ῥοὴ
λευκῆς τακείσης χιόνος ὑγραίνει γύην.

Καὶ Αἰσχύλος δὲ καὶ Σοφοκλῆς ὑπέλαβον τοὺς κατ' Αἴγυπτον χιονίζεσθαι τόπους, καὶ τηκομένης τῆς χιόνος τὴν χύσιν εἰς τὸν Νεῖλον ἐκδίδοσθαι. Νικαγόρας δέ φησιν, ἀπὸ τῶν ἀντοίκων αὐτὸν ῥεῖν. Δημόκριτος δὲ ὁ φυσικὸς, ἀπὸ τοῦ κατὰ μεσημβρίαν ὑπερκειμένου πελάγους λαμβάνειν τὸν Νεῖλον τὴν ἐπίχυσιν. ἀπογλυκαίνεσθαι δὲ τὸ ὕδωρ, διὰ τὸ διάστημα καὶ τὸ μῆκος τοῦ πόρου, καὶ ὑπὸ τοῦ καύματος ἀφεψόμενον. δι' ὃ καὶ ἐναντίαν (φησὶν) ἔχει τὴν γεῦσιν. Ἀρίστων δὲ ὁ Χῖος, ὅτι χειμῶνος ὢν ὑπὸ γῆν ὁ ἥλιος εἰσπέμπει τὸ ὕδωρ· τοῦ δὲ θέρους γινόμενος ὑπὲρ γῆν, οὐκ ἔτι, διὰ τὸ μᾶλλον θερμαίνεσθαι αὐτήν. διὸ καὶ χαλωμένη ἡ γῆ πλέον ὕδωρ ἀναδίδωσιν. Ἔφορος δὲ ποταμόχωστον εἶναι φησὶ τὴν Αἴγυπτον· ῥηγνυμένης δὲ τῆς γῆς ὑπὸ τοῦ ἡλίου τῷ ἔαρι ἀναπηδᾷν τὸ ὕδωρ, καὶ ἐπαύξεσθαι τὸ ῥεῦμα. Θαλῆς δὲ ὁ Μιλήσιος φησὶν ὑπὸ τῶν ἐτησιῶν συνελαυνόμενα τὰ νέφη κατὰ τὰ ὄρη τῆς Αἰθιοπίας, αὐτόθι ῥήγνυσθαι. ὅταν γὰρ τοῦ ποταμοῦ ἐξεναντίας συστῶσιν αἱ πνοαὶ προσπίπτουσαι τῇ θαλάσσῃ ἐκ τῆς ἀποπεμπομένης πλήμμης, τὰς ὑπερχύσεις ἀναδέχεσθαι τὸν Νεῖλον. Διογένης δὲ ὁ Ἀπολλωνιάτης, ὑπὸ ἡλίου ἁρπάζεσθαι τὸ ὕδωρ τῆς θαλάσσης, ὃ τότε εἰς τὸν Νεῖλον καταφέρε-

σθαι. Οἴεται γὰρ πληροῦσθαι τὸν Νεῖλον ἐν τῷ θέρει διὰ τὸ τὸν ἥλιον εἰς τοῦτον τὰς ὑπὸ γῆς ἰκμάδας τρέπειν. Ὁ δὲ Νεῖλος οὕτω τοπρότερον ἐκαλεῖτο, Τρίτων· μετωνομάσθη δὲ ἀπὸ Νείλου τοῦ Κύκλωπος, τοῦ Ταντάλου, βασιλεύσαντος τῆς χώρας, ὡς Ἕρμιππος φησίν.

V. 271. Ὄμβρος ἅλις. Ἀμφιβολία περὶ τὴν σύνταξιν. Σημαίνει γὰρ ἤτοι, ἅλις ἀνασταχύουσιν, ἢ ὅτι οὐ δεύει ὄμβρος ἅλις· ἐπεὶ οὐ βρέχει συνεχῶς κατ' Αἴγυπτον.

V. 272. Ἔνθεν δή τινα. Σεσόγχωσις, Αἰγύπτου πάσης βασιλεὺς, μετὰ Ὧρον τὸν Ἴσιδος καὶ Ὀσίριδος παῖδα, τὴν μὲν Ἀσίαν ὁρμήσας πᾶσαν κατεστρέψατο, ὁμοίως καὶ τὰ πλεῖστα τῆς Εὐρώπης. Ἀκριβέστερον δέ ἐστι τὰ περὶ αὐτοῦ παρὰ Ἡροδότῳ. Θεόπομπος δὲ ἐν τρίτῳ Σέσωστριν αὐτὸν καλεῖ. Ἡρόδοτος δὲ προστίθησιν, ὅτι, εἰ μέν τινας πολέμῳ κατέστρεψεν, στήλας ἐτίθει, πῶς ἐνίκησεν· εἰ δὲ παρεχώρουν, γυναικεῖον ταῖς στήλαις αἰδοῖον προσετίθει, σύμβολον τῆς μαλακίας. Περὶ δὲ τῶν χρόνων, καθ' οὓς ἐγένετο Σεσόγχωσις, ὁ μὲν Ἀπολλώνιος τοῦτο μόνον φησὶ, πολὺς γὰρ ἄδην ἐπενήνοθεν αἰών· φησὶ δὲ Δικαίαρχος ἐν δευτέρῳ, καὶ Ἑλληνικοῦ βίου Σεσογχώσιδι μεμεληκέναι· καὶ νόμους αὐτὸν θέσθαι λέγει, ὥστε μηδένα καταλιπεῖν τὴν πατρῴαν τέχνην. Τοῦτο γὰρ ᾤετο ἀρχὴν εἶναι πλεονεξίας. Καὶ πρῶτον φασὶν αὐτὸν εὑρηκέναι ἵππων ἄνθρωπον ἐπιβαίνειν. Οἱ δὲ ταῦτα εἰς Ὧρον ἀναφέρουσιν.

V. 276. Ἠὲ καὶ οὔ. Ἢ γὰρ ἐκλελοίπασι τινὲς τῶν πόλεων, ἢ μετονομασθεῖσαι ἀγνοοῦνται, ὑφ' οὗ τυγχάνουσιν ἐκτισμέναι. Τούτου δὲ τὸν χρόνον αἴτιον γεγενῆσθαι. Δικαίαρχος ἐν πρώτῳ μετὰ τὸν Ἴσιδος καὶ Ὀσίριδος Ὧρον βασιλέα γεγονέναι Σεσόγχωσιν λέγει. ὥστε

γίγνεσθαι ἀπὸ τῆς Σεσογχώσιδος βασιλείας μέχρι τῆς Νείλου ἔτη δισχίλια φ̄, ἀπὸ δὲ τῆς Νείλου βασιλείας μέχρι τῆς πρώτης ὀλυμπιάδος ἔτη ῡλ̄ς̄. ὡς εἶναι τὰ πάντα ὁμοῦ ἔτη δισχίλια ἐννακόσια, λ̄ς̄.

V. 277. *Αἶα γε μήν.* Τὴν Αἶαν φησὶν ἀπὸ τῶν Σεσογχώσιδος χρόνων μέχρις αὐτοῦ μένειν ἄθραυστον, καὶ τοὺς ἐκείνων ἀπογόνους τοὺς ἀπὸ Σεσογχώσιδος κατοικισθέντας. Τούτους γὰρ υἱωνοὺς εἴρηκε καταχρηστικῶς· ὡς Ἡρακλεῖδαι λέγονται οὐ μόνον οἱ Ἡρακλέους παῖδες, ἀλλὰ καὶ οἱ ἐκείνων ἀπόγονοι. Ὅτι δὲ Κόλχοι Αἰγυπτίων ἄποικοι, ὡς φησιν Ἀπολλώνιος, καὶ Σκύμνος ἐν τοῖς περὶ Ἀσίας λέγει· καὶ Ἡρόδοτος βεβαιοῖ, ὅς γε καὶ αὐτῶν τῶν αἰδοίων τῆς περιτομῆς μέμνηται, καὶ τῆς τῶν λίνων ὑφῆς, καὶ νόμοις αὐτοὺς χρῆσθαι τοῖς Αἰγυπτίων λέγει.

V. 279. *Οἵ δή τοι γράπτυς.* Γράπτυς τοὺς νόμους λέγει. Εἰσὶ δὲ (φησὶ) καὶ νόμοι παρ' αὐτοῖς τῶν προγόνων, καὶ στῆλαι, ἐν αἷς γῆς καὶ θαλάσσης ἀναγραφαί εἰσι.

V. 280. *Κύρβιας.* Στήλας. Λέγει δὲ τοὺς ἄξονας, ἐν οἷς οἱ νόμοι γράφονται, ὡς Ἀριστοφάνης ὁ κωμικός. Ἀπολλόδωρος δέ φησι, πᾶσαν δημοσίαν γραφὴν καὶ νόμους κύρβιν καλεῖσθαι, ὅτι οἱ ἀρχαῖοι λίθους ἱστάντες εἰώθεσαν τὰ δόξαντα ἐν αὐτοῖς ἀναγράφειν. *Κύρβεις*, οἱονεὶ κορύφεις, κατὰ συγκοπὴν, καὶ μεταθέσει καὶ τροπῇ τοῦ φ εἰς β, κύρβεις. Ὕστερον δὲ ξύλα λελευκωμένα γράφοντες, κύρβεις ὁμοίως ἐκάλεσαν καὶ αὐτά. Κύρβεις μὲν οὖν, αἱ περιέχουσαι τὰς ἱερὰς ἀναγραφάς. Κύρβεις λέγουσιν, ὡς Ἐρατοσθένης φησὶ, καὶ τοὺς ἄξονας καλουμένους Ἀθήνῃσιν, ἐν οἷς οἱ νόμοι περιέ-

χονται. Οἱ δὲ ἀκριβέστεροι, ἄξονας μὲν, τετραγώνους λίθους· κύρβεις δὲ, τριγώνους. Ἐν ἀμφοτέροις δὲ νόμοι ἦσαν γεγραμμένοι Ἀθήνησι.

V. 282. Κέρας. Κέρατα γὰρ λέγουσι τοῦ ὠκεανοῦ πάντας τοὺς ποταμοὺς τοὺς ἀπ᾽ αὐτοῦ καταφερομένους. Ὁ δὲ Ἴστρος ποταμὸς Σκυθίας. Ὁ δὲ λόγος, μακρόθεν ὄντα διετεκμήραντο τὸν ποταμὸν, καὶ ἔγνωσαν.

V. 284. Ἴστρον μιν καλέοντες. Τὸν Ἴστρον φησὶν ἐκ τῶν ὑπερβορέων καταφέρεσθαι καὶ τῶν Ῥιπαίων ὀρῶν, (οὕτω δὲ εἶπεν, ἀκολουθῶν Αἰσχύλῳ ἐν λυομένῳ Προμηθεῖ, λέγοντι τοῦτο,) γενόμενον δὲ μεταξὺ Σκυθῶν καὶ Θρακῶν, σχίζεσθαι· καὶ τὸ μὲν εἰς τὴν καθ᾽ ἡμᾶς θάλασσαν ἐκβάλλειν ῥεῖθρον· τὸ δὲ εἰς τὴν Ποντικὴν θάλασσαν ἐκπίπτειν· τὸ δὲ εἰς τὸν Ἀδριατικὸν κόλπον. Σκύμνος δὲ ἐν τῇ ἑκκαιδεκάτῃ περὶ Εὐρώπης αὐτὸν μόνον φησὶν ἀπὸ ἐρήμου φέρεσθαι τὸν Ἴστρον. Ῥίπαια δὲ ὄρη ἐν ταῖς ἀνατολαῖς, ὡς Καλλίμαχος·

Ῥιπαίου πέμπουσιν ἀπ᾽ οὔρεος, ἧχι μάλιστα.

Ἐρατοσθένης δὲ ἐν τρίτῳ Γεωγραφικῶν, ἐξ ἐρήμων τόπων ῥεῖν, περιβάλλειν δὲ νῆσον Πεύκην. Οὐδεὶς δὲ ἱστορεῖ, διὰ τούτου τοὺς Ἀργοναύτας εἰσπεπλευκέναι εἰς τὴν ἡμετέραν θάλασσαν, ἔξω Τιμαγήτου, ᾧ ἠκολούθησεν Ἀπολλώνιος. Ὁ μὲν γὰρ Σκύμνος, αὐτοὺς διὰ Ταναΐδος πεπλευκέναι ἐπὶ τὴν μεγάλην θάλασσαν, ἐκεῖθεν δὲ εἰς τὴν ἡμετέραν θάλασσαν ἐληλυθέναι. καὶ παρεκβολεύεται, ὡς ἄρα ἐλθόντες ἐπὶ τὴν ἤπειρον οἱ Ἀργοναῦται ἐπὶ σαυρωτήρων ἐκόμισαν τὴν Ἀργὼ, μέχρις οὗ ἐπὶ θάλασσαν παρεγένοντο. Ἡσίοδος δέ φησι, διὰ Φάσιδος αὐτοὺς πεπλευκέναι. Ἑκαταῖος δὲ ἐλέγχων αὐτὸν ἱστορεῖ, μὴ ἐκδιδόναι εἰς τὴν θάλασσαν τὸν Φᾶσιν, οὐδ᾽ ὡς διὰ Ταναΐδος ἔπλευσαν, ἀλλὰ κατὰ τὸν αὐτὸν πλοῦν,

καθ' ὃν καὶ πρότερον· ὡς Σοφοκλῆς ἐν Σκύθαις ἱστορεῖ, καὶ Καλλίμαχος· ὅθεν καὶ τῶν Σκυθῶν τοὺς μὲν εἰς τὸν Ἀδρίαν πεπλευκότας μὴ εὑρεῖν τοὺς Ἀργοναύτας· τοὺς δὲ διὰ τῶν Κυανέων εὑρεῖν ἐπὶ τὴν Κέρκυραν καταπεπλευκότας. Ὁ δὲ Ἴστρος, καταφερόμενος ἐξ ὑπερβορέων, ὅταν φθάσῃ ἐπὶ τὸν μεταξὺ Σκυθίας καὶ Θράκης τόπον, σχίζεται εἰς δύο· καὶ τὸ μὲν αὐτοῦ εἰς τὸν Εὔξεινον πόντον βάλλει, τὸ δὲ ἕτερον εἰς τὴν Τυῤῥηνικὴν θάλασσαν.

V. 291. *Τ ρ ι ν α κ ρ ί ο υ.* Τὸ Τυῤῥηνικὸν πέλαγος παράκειται τῇ Σικελίᾳ. Ἐκαλεῖτο δὲ Τρινακρία τοπρότερον, διὰ τὸ τρεῖς ἄκρας ἔχειν, Πάχυνον, Λιλύβαιον, Πέλωρον. Βουλόμενος δὲ ὁ Ἀπολλώνιος καινότερόν τι περὶ τοῦ Ἴστρου εἰπεῖν, τὸ εἰς τὸν Ἀδρίαν καταφερόμενον ῥεῦμα αὐτοῦ ὑποδιαιρεῖ αὖθις εἰς δύο· καὶ τὸ μὲν εἰς τὸν Ἀδρίαν φέρεσθαι, τὸ δὲ εἰς Τυῤῥηνικὸν πέλαγος λέγει· ὅπερ, καταχρώμενος, *Τ ρ ι ν ά κ ρ ι ο ν* εἶπε.

V. 292. *Γ α ί ῃ ὅ ς ἡ μ ε τ έ ρ ῃ.* Ἐὰν μὲν οὕτω γράφηται, *γ α ί ῃ ὅ ς ὑ μ ε τ έ ρ ῃ*, ἔσται τῆς Ἑλλάδος· ἐὰν δὲ *ἡ μ ε τ έ ρ ῃ*, ἔσται τοῦ Ἴστρου. Παράκειται γὰρ τοῖς Κόλχοις οὗτος.

V. 293. *Ὑ μ ε τ έ ρ η ς γ α ί η ς.* Ὁ Ἀχελῷος τῶν τῆς Ἑλλάδος ποταμῶν τῶν ἄλλων διαπρεπέστατος. Τὸ δὲ Τρινάκριον πέλαγος παράκειται τῇ τῶν Ἑλλήνων γῇ. Εἰ οὖν ἐστιν ὁ Ἀχελῷος, παρ' ὑμῖν ἐστιν. τὸ γὰρ ὄνομα ἀκούομεν. ἀγνοεῖ γὰρ ὁ Ἄργος, ὡς αὐτῆς ἐκ τῆς χώρας ἀναπηδύει. φησὶν οὖν, τὸν Ἴστρον εἰς τὸν Ἀχελῷον εἰσβάλλειν, διὰ τὸ τὰς πηγὰς αὐτῷ παρέχεσθαι.

V. 295. *Α ἴ σ ι ο ν.* Τὸ καθῆκον.

V. 296. *Ὁ λ κ ὸ ν* τὴν διαδρομὴν τοῦ ἀστέρος.

V. 301. *Ἐπεὶ πνοιαί τε.* Ἐπέμενον γὰρ αἱ αὐταὶ τῶν ἀνέμων πνοαί. καὶ ἡ φανεῖσα αὐτοῖς οὐρανία λαμπηδὼν ἡ τὸν ἐπὶ Ἴστρον διάπλουν σημαίνουσα. Διαφωνοῦσι δὲ οἱ περὶ τοῦ ἔκπλου τῶν Ἀργοναυτῶν καὶ τῶν Κόλχων γεγραφότες.

V. 303. *Κόλχοι δ' αὖτ' ἄλλοι.* Τῶν Κόλχων οἱ μὲν διὰ τῶν Κυανέων πετρῶν ἔπλευσαν, ὡς καὶ Καλλίμαχος, (φησὶ δὲ Ἀπολλώνιος ὑποστρέψαι αὐτοὺς, ἐναντίως Καλλιμάχῳ,) οἱ δὲ εἰς τὸν Ἴστρον μετὰ Ἀψύρτου ἦλθον.

V. 306. *Καλὸν δὲ διὰ στόμα.* Τρία στόματα ἔχει ὁ Ἴστρος· ὧν ἓν λέγεται Καλὸν στόμα, ὥς φησι Τιμάγητος ἐν τῷ περὶ λιμένων· εἰς ὅ φησι πλεῦσαι τὸν Ἄψυρτον.

V. 308. *Πανέσχατον Ἰονίοιο.* Τὸ Ἰόνιον πέλαγος τῆς Ἰταλίας, εἰς ὃ ἐκδίδωσιν ὁ Ἀδρίας. Διὸ καί τινες αὐτὸ Ἀδρίαν ὀνομάζουσι, κατὰ μετάδοσιν τοῦ ὀνόματος. Ἐπεὶ γὰρ συνάπτει ὁ Ἀδρίας τῷ Ἰονίῳ, διὰ τοῦτο ποτὲ μὲν τὸν Ἀδρίαν, Ἰόνιον, ποτὲ δὲ τὸν Ἰόνιον, Ἀδρίαν καλοῦσιν. Ὠνομάσθη δὲ ἀπὸ Ἰονίου τὸ γένος Ἰλλυριοῦ, ὥς φησι Θεόπομπος ἐν εἰκοστῷ πρώτῳ. Ἰόνιον πέλαγος πρὸς τῇ Ἰταλίᾳ οὕτω καλούμενον ἀπὸ Ἰονίου, ἀνδρὸς Ἰλλυριοῦ. τινὲς δὲ, ἀπὸ τῆς γενομένης πλάνης τῇ Ἰοῖ.

V. 310. *Τριγλώχιν.* Ἐρατοσθένης ἐν γ̄ Γεωγραφικῶν, νῆσον εἶναι ἐν τῷ Ἴστρῳ φησὶ τρίγωνον, ἴσην τῇ Ῥόδῳ· ἣν Πεύκην λέγει διὰ τὸ πολλὰς ἔχειν πεύκας. Καὶ τὴν μὲν κορυφὴν τοῦ τριγώνου αὐτῆς πρὸς τὸ ῥεῦμα οὖσαν τοῦ ποταμοῦ, ἀγκῶνα ἐκάλεσε· τὴν δὲ βάσιν τὴν πρὸς τὴν θάλασσαν, εὖρος.

V. 311. *Ἀμφὶ δὲ δοιαί.* Περὶ τὸν περὶ τὴν Πεύ-

κην ἀγκῶνα δύο εἶναι φησὶ στόματα τοῦ Ἴστρου· ὧν τὸ μὲν καλεῖται Ἄρηκος, τὸ δὲ, Καλὸν στόμα· ἐν ᾧ τάχιον οἱ Κόλχοι σὺν Ἀψύρτῳ ἔπλευσαν.

V. 315. Οἱ δ᾽ ὑψοῦ νήσοιο. Οἱ περὶ τὸν Ἰάσονα ἄνωθεν τῆς νήσου διὰ τοῦ Ἄρηκος στόματος ἔπλευσαν· οἱ δὲ νομεῖς (πάντας ἀκουστέον) δόξαντες τὰς ναῦς θαλάσσια θηρία εἶναι, δείσαντες εἰς φυγὴν ἐτράπησαν.

V. 316. Εἱαμεναὶ, οἱ κάθυγροι τόποι καὶ στεγανώδεις.

Δεῖ δὲ ἀκούειν ἑκατέρωθεν τοὺς νομεῖς πεφευγότας.

V. 320. Θρήϊξι μιγ. Τοῖς ἐπὶ τῆς Εὐρώπης Θραξὶν ὅμοροι εἰσὶν οἱ Σκύθαι.

V. 321. sq. Οὔθ᾽ οἱ περὶ Λαύριον. Λαύριον πεδίον τῆς Σκυθίας. Τῆς δὲ Σκυθίας ἔθνη πεντήκοντα Τιμώναξ ἀναγράφει ἐν πρώτῳ περὶ Σκυθῶν. Κατὰ δὲ τὸ τῶν Σίνδων πεδίον σχίζεται ὁ ποταμὸς Ἴστρος· καὶ τὸ μὲν αὐτοῦ ῥεῦμα εἰς τὸν Ἀδρίαν, τὸ δὲ εἰς τὸν Εὔξεινον πόντον εἰςβάλλει.

Τὸ δὲ Σίνδοι Ἡρωδιανὸς ἐν τῷ ἕκτῳ τῆς καθόλου βαρυτονεῖν φησὶ δεῖν· τινὲς δὲ ὀξύνουσιν, οὐκ εὖ.

Καὶ Ἱππῶναξ δὲ μνημονεύει· πρὸς τὸ Σινδικὸν διάσφαγμα. Ἑλλάνικος δὲ ἐν τῷ περὶ ἐθνῶν φησί· Βόςπορον δὲ πλεύσαντι Σινδοί· ἄνω δὲ τούτων Μαλιῶται Σκύθαι.

Ἔστι δὲ καὶ σίγυννος εἶδος δόρατος, παρώνυμον τῷ ἔθνει. *)

V. 324. Ἀγγούρου ὄρεος. Πλησίον Ἴστρου ποταμοῦ. Μνημονεύει δὲ αὐτοῦ Τιμάγητος ἐν λιμέσιν.

Ὁ δὲ Καυλιακὸς σκόπελος τῆς Σκυθίας, πλη-

*) Ad v. 320.

σίου τοῦ Ἴστρου, οὗ μνημονεύει Πολέμων ἐν κτίσει Ἰταλικῶν καὶ Σικελικῶν.

Πολλοὶ γράφουσιν Ἄγγουρον ὄρος, καὶ Ἄγγυρον ὄρος, καὶ Ἀγγύρου ὄρεος· ἀντὶ δὲ τοῦ Καυκασίοιο, Καυλιακοῖο.

Φησὶ δὲ κατὰ τοῦτο τὸ ὄρος τὸν Ἴστρον διασχιζόμενον, τῇ μὲν εἰς τὸν Ἀδρίαν, τῇ δὲ εἰς τὸν Εὔξεινον εἰσβάλλειν.

V. 327. Κρονίην ἅλα. Τὸν Ἀδρίαν φησίν. ἐνταῦθα γὰρ τὸν Κρόνον κατῳκηκέναι.

V. 338. Ἔνθα κε. Κατ' ἐκεῖνον τὸν τόπον φησὶ τοὺς Ἀργοναύτας τὸ πλῆθος τῶν Κόλχων φοβηθέντας, εἴκειν αὐτοῖς· καὶ βούλεσθαι μὲν τὸ κῶας ἔχειν καὶ μὴ παρασχεῖν· τὴν δὲ Μήδειαν (ἦν γὰρ τὸ κατ' αὐτὴν δίκαιον ἀμφήριστον) παραθέσθαι τῇ Ἀρτέμιδι ἐν τῷ αὐτῆς ἱερῷ, ἕως τὶς δικάσῃ, πότερον αὐτὴν ἀποδοτέον τῷ πατρὶ ἢ τοῖς Ἀργοναύταις.

V. 374. Φασγάνῳ αὐτίκα. Ὀνειδίζουσα τῷ Ἰάσονι φησὶ ξίφει αὐτὸν αὐτὴν διαχειρίσασθαι, ἵνα ἀξίαν ἀπολάβῃ χάριν τοῦ πρὸς αὐτὸν ἔρωτος. Ἐν ἤθει δὲ τοῦτο εἶπεν.

V. 384. Στρευγόμενος. Ἀντὶ τοῦ καταπονούμενος καὶ στρεβλούμενος.

V. 387. Ἀτροπίῃ. Τῇ σῇ κακοτροπίᾳ καὶ ἀβουλίᾳ, ὅτι ἐπιώρκησας.

V. 411. Ἀεικελίοισιν. Ἐπὶ γὰρ τοῖς κακοῖς (φησὶ) κακὰ δεῖ βουλεύεσθαι. Προείρηται οὖν καὶ τὸν Ἄψυρτον ἀνελεῖν ἐπὶ τοῖς προγεγενημένοις ἁμαρτήμασιν ὑπ' αὐτῆς.

V. 417. Εἴ κέν πως. Εἴπως (φησὶ) πείσαιμι τὸν

Ἄψυρτον μόνον πρὸς μόνην ἥκειν, φιλίαν πρὸς αὐτὸν συνθεμένη.

V. 425. *Δίῃ.* Ἐν τῇ Νάξῳ. Καλλίμαχος·

Ἐν Δίῃ· τὸ γὰρ ἔσκε παλαίτερον οὔνομα Νάξῳ.

V. 428. *Γλήνεσιν.* Ποικίλμασιν.

Οὔ μιν ἀφάσσων. Οὐδαμῶς ἂν τὸν πέπλον ἐκεῖνον ψηλαφῶν, ἢ καθορῶν, τὴν ἐπιθυμίαν πληρώσειας.

V. 432. *Ἀκροχάλιξ.* Ἄκρως μεθύων ἀκράτῳ ἢ νέκταρι.

V. 433. *Μινωΐδος.* Τῆς Ἀριάδνης.

V. 445. *Μέγα στύγος.* Τὸν ἔρωτα εἶναι μέγα στύγημα τοῖς ἀνθρώποις λέγει.

V. 459. *Οἰόθι δ' ἀντικρύ.* Μόνος δὲ πρὸς τὴν Μήδειαν μετιὼν ὁ Ἄψυρτος, πεῖραν ἐλάμβανεν, ὡς ἔτι ὢν ἀταλὸς καὶ δόλων ἄπειρος, εἰ βουληθείη προδοῦναι τοὺς Ἀργοναύτας, τὸν καθ' αὐτοῦ δόλον οὐκ ἐπιστάμενος.

V. 466. *Ἔμπαλιν ὄμματ' ἔνεικεν.* Ἡ Μήδεια ἀπεστράφη τοῦ Ἀψύρτου ἀναιρουμένου, ἵνα μὴ τὸν φόνον αὐτοῦ ἴδῃ.

V. 468. *Τὸν δ' ὅγε, βουτύπος.* Τὸν δὲ Ἄψυρτον ὁ Ἰάσων ἔπληξεν, ὥς τις βοῦς καταβάλλων.

V. 471. Καταχρηστικῶς *πρόδομον* εἶπε τὸν πρόναον.

V. 473. *Τῆς δὲ καλύπτρην.* Τῆς δὲ Μηδείας ὁ Ἄψυρτος ἀποθνήσκων τὴν καλύπτραν καὶ τὸν πέπλον ἐρύθηνε τῷ ἑαυτοῦ αἵματι.

V. 477. *Ἐξάργματα τάμνε.* Τῶν ἀποθανόντων οἱ δολοφονοῦντες ἀρχαίως ἀκρωτηριάσματα τινὰ ἐποίουν τοῦ ἀναιρουμένου· καὶ ταῦτα λαβόντες ἐξήρτων τοῦ τραχήλου αὐτῶν. Τῶν δὲ καλουμένων ἀκρωτηριασμάτων

ἄπειρα καὶ πολλὰ ἐξάργματα. Ἔπειτα τοῦ αἵματος αὐτοῦ λαβόντες, τρὶς εἰς τὸ στόμα ἔπτυον. Τοῦτο δὲ ἐποίουν πρὸς τὸ ἐξιλάσασθαι τὴν δολοφονίαν.

V. 481. Ἀψυρτεῦσιν. Ἔθνος ἀπὸ Ἀψύρτου εἰρημένον.

V. 495. Ἤδη νῦν. Ὁ Πηλεὺς ξυμβουλεύει μετὰ τὸν Ἀψύρτου θάνατον ἀποπλεῖν. Οὐδεὶς γὰρ λόγος (φησὶ) πείσει τοὺς Κόλχους διῶξαι ἡμᾶς, ἰδόντας τὸ πεπραγμένον.

V. 505. Ἠλεκτρίδα. Αὕτη ἡ Ἠλεκτρὶς ἐγγύς ἐστι τοῦ Ἠριδανοῦ ποταμοῦ.

V. 507. Οἱ Κόλχοι ἀφορμηθέντες τῆς Ἀργοῦς οὐκ ἐπανῆλθον, φοβούμενοι τὸν Αἰήτην· ἀλλ' οἱ μὲν αὐτῶν ᾤκησαν ὅπου ὁ Ἄψυρτος ἐδολοφονήθη, μετὰ τῶν κληθέντων ἀπ' αὐτοῦ Ἀψυρτέων· οἱ δὲ ἐν Ἰλλυρίᾳ, ὅπου οἱ Ἐγχέλυες, περὶ τὰ Κεραύνια ὄρη.

V. 524. Ὑλλήων. Ἔθνος περὶ τὴν Ἰλλυρίαν, ἀπὸ Ὕλλου, τοῦ Ἡρακλέους καὶ Μελίτης, ὠνομασμένον.

V. 531. Πευσόμενος. Πεῦσιν, χρησμὸν αἰτησόμενος παρὰ τοῦ Ἀπόλλωνος.

V. 532. Ὄπη χθονός. Οἱ Ὑλληεῖς λαβόντες μισθὸν παρὰ Ἰάσονος τρίποδα τῆς μηνύσεως τῆς ὁδοῦ, ἔκρυψαν ὑπὸ γῆν, ἐπεὶ ὁ χρησμὸς ἐκέλευσεν, ἔνθα ἂν ὁ τρίπους ᾖ, ἀπόρθητον εἶναι τὴν πόλιν.

V. 534. Τὸ οὖν, ὃ δὲ κεύθεται, πρὸς τὸν τρίποδα.

V. 540. Μάκριν τ' εἰσαφίκανε. Μάκρις τοπαλαιὸν ἐλέγετο ἡ Σχερία, ὠνομασμένη ἀπὸ τῆς Διονύσου τροφοῦ. Ἔνθα φησὶ τὸν Ἡρακλέα παραγενόμενον τὸν τῶν παίδων αὐτοῦ φόνον καθαρθησόμενον, Μελίτην τὴν Αἰγαίου τοῦ ποταμοῦ θυγατέρα γεγαμη-

κέναι· ἐξ ἧς ἔσχε τὸν Ὕλλον, ὃς ἀκμάσας οὐκ ἠθέλησε τῷ Ναυσιθόῳ ὑποταγῆναι, ἀλλὰ τινὰς τῶν Φαιάκων συναγαγὼν, εἰς τὴν Κρονίαν θάλασσαν κατῴκησεν.

V. 552. *Ἀλλὰ θεαὶ πῶς.* Πυνθάνεται τῆς Μούσης ὁ ποιητὴς, πῶς τὸν πλοῦν ἐποίησαν οἱ Ἀργοναῦται μετὰ τὸν Ἀψύρτου θάνατον, καὶ πῶς εἰς θάλασσαν ἦλθον.

V. 553. Μέμφονται δέ τινες τὸν Ἀπολλώνιον, ὡς περὶ τούτους τοὺς χρόνους εἰρηκότα τὴν Ἰταλίαν *Αὐσονίαν.* Ὑστέροις γὰρ χρόνοις τῶν Ἀργοναυτῶν οὕτω κέκληται, ἀπὸ Αὔσονος τοῦ Ὀδυσσέως καὶ Καλυψοῦς. Ἐροῦμεν δὲ, ὅτι, εἰ καὶ μὴ κατὰ τοὺς χρόνους ἐκείνους Αὔσονες ὠνομάζοντο, ἀλλὰ τοῖς τοῦ ποιητοῦ χρόνοις ἐκαλοῦντο οὕτως.

Νήσους τε Λιγυστίδας. Περὶ τὴν Ἰταλίαν εἰσὶ τρεῖς Λιγυστίδες, καλούμεναι Στοιχάδες, διὰ τὸ στοίχῳ τετάχθαι· αἵτινες οἰκοῦνται ὑπὸ τῶν Λιγύων.

V. 557. *Αὐτόν που.* Μετὰ τὴν πεῦσιν ἐμπνευσθεὶς, ἐντεῦθεν ἄρχεται τοῦ διηγήματος.

V. 564. sqq. *Ἑξείης πλήθοντο.* Λίβυρνοι, ἔθνος, οἰκοῦντες ταύτας τὰς νήσους, Ἴσσαν τε δυσκέλαδον καὶ Πιτύειαν. Μεθ' ἃς εἰς Κόρκυραν ἦλθον.

Τὴν δὲ Πιτυοῦσαν καλουμένην *Πιτύειαν* εἶπεν, Ὁμήρῳ ἑπόμενος.

V. 576. *Δοιάζοντο.* Ἐστοχάζοντο.

V. 577. *Χόλον ἐφράσαθ' Ἥρη.* Ἡ Ἥρα (φησὶ) τὴν Διὸς ὀργὴν ἐπισταμένη πρὸς τοὺς Ἀργοναύτας, σφοδροὺς ἀνέμους ἐποίησε κατ' ἐκείνους τοὺς τόπους, ὅπως ἀποσταῖεν μὲν αὐτῶν, φέροιντο δὲ εἰς τὴν Ἠλεκτρίδα νῆσον.

V. 585. *Οὐ γὰρ ἀλύξειν.* Ἡ στεῖρα τῆς Ἀργοῦς

(φησὶ) φωνῆεν ἔχουσα ξύλον, μεταδέδωκεν αὐτοῖς τὸν Διὸς χόλον φεύγειν, καὶ πρὸς Κίρκην ἀφικέσθαι, τὸν Ἀψύρτου θάνατον καθαρθησομένους.

V. 596. Εἰς δὲ τὸν Ἠριδανὸν εἰσέβαλλον, ὅς ἐστι τῆς Κελτικῆς ποταμός· εἰς ὃν λέγουσι πεπτωκέναι τὸν Φαέθοντα.

Δήουσιν. Εὑρήσουσιν. Ἀεὶ γὰρ ἐπὶ μέλλοντος κεῖται. *)

V. 604. sqq. Λέγεται, τῶν Ἡλιάδων θρηνουσῶν τὸν Φαέθοντα, καὶ εἰς αἰγείρους μεταβεβλημένων, τὸ ἀποστάζον δάκρυον εἶναι ἤλεκτρον.

V. 611. Κελτοὶ δ' ἐπί. Οἱ Κελτοὶ ἐφήμισαν τὸ ἤλεκτρον εἶναι μὴ τῶν Ἡλιάδων, ἀλλὰ δάκρυον εἶναι Ἀπόλλωνος, ἡνίκα διὰ τὸν Ἀσκληπιοῦ θάνατον ἀνιαθεὶς εἰς τοὺς Ὑπερβορέους ἀφίκετο, διὰ τὴν τοῦ πατρὸς ἐπιτίμησιν· ἢ ὅτε ἐκελεύσθη θητεύειν ἐπὶ τῷ φόνῳ τῶν Κυκλώπων.

V. 625. Τὰ δὲ δάκρυα. Θρηνουσῶν δὲ τῶν Ἡλιάδων τὸ δάκρυον ἀναμίσγεται τοῖς ὕδασιν, ὡσεὶ σταγόνες ἐλαίου.

V. 626. Στάγες. Ὡς ἀπὸ τῆς στὰξ σταγός.

V. 627. Ῥοδανοῖο βαθὺν ῥόον. Ῥοδανὸς, ποταμὸς τῆς Κελτικῆς, τῷ Ἠριδανῷ συμμιγνύμενος, καὶ σχιζόμενος, τῇ μὲν εἰς Ὠκεανὸν φέρεται· τῇ δὲ, εἰς τὸν Ἰόνιον κόλπον· τῇ δὲ, εἰς τὸ Σαρδόνιον πέλαγος.

V. 640. Ἑρκυνίου. Ἑρκύνιον ὄρος Κελτῶν, ἢ δρυμός.

V. 647. Ἀδήϊοι. Ἄγνωστοι. Ἀζήτητοι. Ἀνενόχλητοι.

---

*) Ad v. 591.

V. 650. sq. *Εἵνεκα κούρων Ζηνός.* Τῶν Διοσκούρων, οἵτινες ηὔξαντο ὑπὲρ αὐτῶν.

V. 653. *Πόρε νῆας.* Σώζειν δηλονότι. Ὁ τρόπος ἔλλειψις.

V. 661. *Αἰαίης λιμένα.* Ἔοικεν Ἀπολλώνιος ἐκδεδέχθαι τὴν Ὀδυσσέως πλάνην περὶ Τυῤῥηνίαν καὶ Ἰταλίαν· ἐκεῖ γὰρ ὑποτίθεται τὴν Κίρκην οἰκεῖν.

V. 662. *Ἔνθα δὲ Κίρκην.* Ἡ Κίρκη (φησὶ) κατελήφθη ἐπὶ θαλάσσης ἡμέρας γενομένης, ἀποτρεπομένη φοβερὸν ὄναρ, ὃ νυκτὸς εἶδεν, αἵματι τὸν οἶκον αὐτῆς μεμολυσμένον.

V. 694. *Ἧτε δίκη λυγροῖς.* Ὡς νόμος ἐστὶ τοῖς ἱκέταις, ὥστε αὐτοὺς ἐπὶ τῆς ἑστίας καθημένους μὴ φθέγγεσθαι.

V. 699. *Φύξιον οἶτον.* Φύξιος μὲν Ζεὺς, ὁ βοηθῶν τοῖς φυγάσι, καὶ πρὸς ὃν καταφεύγουσι· φύξιος δὲ οἶτος ἐνταῦθα ὁ θάνατος, δι' ὃν καταφεύγουσιν. Ἔγνω δὲ (φησὶν) ἡ Κίρκη τὸν Ἰάσονα φόνον δεδρακότα.

V. 704. *Ἀτρέπτοιο λυτήριον ἧγε φόνοιο.* *Λυτήριον* τὸ καθάρσιον λέγει, ὅ ἐστι χοιρίδιον μικρὸν, ὅπερ οἱ ἁγνίζοντες θύσαντες, τὰς χεῖρας τοῦ ἁγνιζομένου τῷ αἵματι αὐτοῦ βρέχουσιν.

V. 708. *Ἀγκαλέουσα.* Ἐπικαλουμένη.

V. 709. *Παλαμναίων τιμήορον ἱκεσιάων.* *Παλαμναῖος* λέγεται ὁ φόνον εἰργασμένος· ἐνταῦθα δὲ *παλαμναίας ἱκεσίας* λέγει τὰς ὑπὲρ φόνου γιγνομένας· ὧν τὸν Δία *τιμήορον*, ἤγουν τιμητὴν, φησίν.

V. 712. *Ἡ δ' εἴσω.* Ἡ δὲ Κίρκη πέμματα τινὰ ἐπέκαιεν, ὕδωρ ἐπιχέουσα κατὰ τὸν νόμον.

V. 720. Ἐνωπαδίς. Κατ' ὄψιν, ἐξ ἐναντίας. Ὅτι ἁγνίσασα αὐτοὺς ἐκάθισεν ἐπὶ θρόνων, καὶ αὐτὴ ἐναντίον αὐτῶν ἐκαθέσθη.

V. 725. Ἵετο δ' αὖ κούρης. Προεθυμεῖτο φωνὴν ἀκοῦσαι, συμβάλλουσα, ὅτι ἀπὸ Ἡλίου ἐστὶν, ἀπὸ τῆς τῶν ὀφθαλμῶν διαυγείας.

V. 728. Ἐπεὶ βλεφάρων. Ἐπεὶ πάνυ πόῤῥω ἀπὸ τῶν ὀμμάτων ἔλαμπον ταῖς λαμπηδόσιν.

V. 734. sq. Ἐπλάσατο ἡ Μήδεια, λέγουσα διὰ τοῦτο πεφευγέναι, διὰ τὸ φοβεῖσθαι τὸν πατέρα· ὅτι ἐβοήθησε τῷ Ἰάσονι κατ' ἔλεον τῆς ἀδελφῆς Χαλκιόπης.

V. 746. Ἄϊστον. Ἀφανῆ. Ἄγνωστον.

V. 747. Ἐφέστιον. Ἐπὶ τῇ ἑστίᾳ ὄντα.

V. 761. Ἐλθεῖν εἰς ἀκτάς. Ἀγαθοκλῆς ἐν τοῖς ὑπομνήμασι περὶ τῶν χαλκείων τοῦ Ἡφαίστου ἱστορῶν, φησὶ κατὰ Σικελίαν δύο εἶναι νήσους· ὧν ἡ μὲν καλεῖται Ἱέρα· ἡ δὲ, Στρογγύλη· αἵτινες ἡμέρας καὶ νυκτὸς πῦρ ἀφιᾶσιν. Ὁ δὲ αὐτὸς φησὶν ἐν ἑβδόμῳ· Ἐν Σικελίᾳ νῆσοι ὑπάρχουσι. Τούτων δύο πῦρ ἀφιᾶσι. Καλεῖται δὲ ἡ μὲν, Αἰόλου· ἡ δὲ, Ἡφαίστου, ἐν ᾗ πυρὸς ποταμοὺς φασὶν ἀνιέναι.

Ὅθι τ' ἄκμονες Ἡφαίστοιο. Ἐν τῇ Λιπάρᾳ καὶ Στρογγύλῃ (τῶν Αἰόλου δὲ νήσων αὗται) δοκεῖ ὁ Ἥφαιστος διατρίβειν. Δι' ὃ καὶ πυρὸς βρόμον ἀκούεσθαι καὶ ἦχον σφοδρόν. Τὸ δὲ παλαιὸν ἐλέγετο, τὸν βουλόμενον ἀργὸν σίδηρον ἀποφέρειν, καὶ ἐπὶ τὴν αὔριον ἐλθόντα λαμβάνειν ἢ ξίφος, ἢ εἴ τι ἄλλο ἤθελε κατασκευάσαι, καταβαλόντα μισθόν. Ταῦτα φησὶ Πυθέας ἐν γῆς περιόδῳ, λέγων καὶ τὴν θάλασσαν ἐκεῖ ζεῖν.

V. 765. Αἰθρηγενέεσσιν ἀνάσσει. Τοῖς αἴθραν καὶ ψῦχος ποιοῦσι.

Ὅτι δὲ Αἰόλος ἐξουσίαν εἶχεν ἀνέμων, καὶ Ὅμηρος φησίν·

Κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων.

Ὅτι δὲ αἴθραν τὸ ψύχος λέγουσιν, ὁ αὐτός φησι ποιητής·

Αἴθρῃ καὶ καμάτῳ δεδμημένον.

Καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ φαμὲν ὕπαιθρα, τὰ ὑπὸ ἀνέμου καταπνεόμενα.

V. 786. Διὰ πλαγκτὰς περόωντας. Πλαγκταὶ πέτραι ἐν τῷ πορθμῷ εἰσὶν, ὡς Τίμαιος καὶ Πεισίστρατος ὁ Λιπαραῖος· νῦν δὲ τὰς Κυανέας λέγει. Ἐν ὑπερβατῷ δὲ ἀναγνωστέον· ἔστι γὰρ διαπερῶντας.

V. 788. Περιβλύει. Περικλύζει, κατὰ μίμησιν ἤχου.

Σπιλάδες δὲ αἱ πέτραι, ἀπὸ τοῦ συμπεπλῆχθαι.

V. 807. Φυτήσαιο. Φυτῆσαι, φυτεῦσαι, βλαστῆσαι.

V. 808. Αὐτὴ δὲ σέλας. Ὅτι τοπαλαιὸν τὰς μητέρας τῶν γαμούντων ἐν τοῖς γάμοις δᾳδουχεῖν ἔθος ἦν, καὶ Εὐριπίδης ἐν Φοινίσσαις φησίν· Ἐγὼ δ᾽ οὔτέ σοι πυρὸς ἀνῆψα φῶς νόμιμον ἐν γάμοις, ὡς πρέπει μητρὶ μακαρίᾳ. Ἥρα οὖν φησὶ δᾳδουχῆσαι τῇ Θέτιδι, διὰ τὴν πρὸς αὐτὴν εὔνοιαν μητρὸς ἔργον ἐπιτελοῦσα.

V. 813. Νηϊάδες κομέουσι. Τὴν Χαρικλὼ λέγει καὶ τὴν Φιλύραν, ὑφ᾽ ὧν ἐτράφη ὁ Ἀχιλλεύς· ὧν ἡ μὲν Χαρικλὼ, γυνὴ Χείρωνος· Φιλύρα δὲ, μήτηρ.

Λίπτοντα. Ἐπιθυμοῦντα.

V. 815. Ἄρηγε. Ἀρήγειν, βοηθεῖν.

Χρειώ μιν. Ἀναξαγόρας φησὶν, ὅτι ταῖς ἀληθείαις Ἀχιλλέα τιμῶσι τοῖς περὶ Λακωνικὴν ταῦτα πέπλασται. Οἱ δέ φασιν, ὅτι συμπαθήσαντες οἱ θεοὶ τῇ

Θέτιδι ἀπεθανάτισαν αὐτόν. Ὅτι δὲ Ἀχιλλεὺς εἰς τὸ Ἠλύσιον πεδίον παραγενόμενος ἔγημε Μήδειαν, πρῶτος Ἴβυκος εἴρηκε· μεθ᾽ ὃν Σιμωνίδης. *)

V. 816. Ἠδ᾽ αὐτῷ Πηλῆϊ. Ὁ τὸν Αἰγίμιον ποιήσας ἐν δευτέρῳ φησὶν, ὅτι ἡ Θέτις εἰς λέβητα ὕδατος ζέοντα ἐνέβαλε τοὺς ἐκ Πηλέως γενομένους αὐτῇ παῖδας, βουλομένη εἰδέναι, εἰ θνητοί εἰσιν· ἑτέρους δὲ εἰς πῦρ, ὡς Ἀπολλώνιος φησί. Καὶ δὴ πολλῶν διαφθαρέντων, ἀγανακτῆσαι τὸν Πηλέα, καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖς φησὶν, ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν καταλιπεῖν αὐτόν. Στάφυλος δὲ ἐν τρίτῳ τῶν περὶ Θεσσαλίαν ἱστορεῖ, Χείρωνα, σοφὸν ὄντα καὶ ἀστρονομίας ἔμπειρον, βουλόμενον τὸν Πηλέα ἔνδοξον ποιῆσαι, μεταπέμψασθαι τὴν Ἄκτορος θυγατέρα τοῦ Μυρμιδόνος, καὶ λόγους διασπεῖραι, ὅτι μέλλει γαμεῖν τὴν Θέτιν ὁ Πηλεὺς, Διὸς διδόντος αὐτῷ· οἱ δὲ θεοὶ μετ᾽ ὄμβρου καὶ χειμῶνος ἥξουσιν εἰς τὸν γάμον. Ταῦτα φημίσας, παρετήρει τὸν χρόνον, ἐν ᾧ ὑδάτων ἔμελλεν ἔσεσθαι ἐπομβρία καὶ πνεύματα ἐξαίσια· καὶ δίδωσι Πηλεῖ Φιλομήλαν. Καὶ οὕτως ἐπεκράτησεν ἡ φήμη, ὅτι τὴν Θέτιν ἔγημεν.

V. 820. Ἀΐκας. Ἀΐκες, αἱ ἐν τῷ πολέμῳ ἐφ᾽ ἑκάτερα κινήσεις καὶ ὁρμαί. Ὁ δὲ Ἀπολλώνιος τὰς ἀντιπνοὰς τῶν ἀνέμων εἴρηκεν.

V. 825. Μηδὲ σύγ᾽ ἠὲ Χάρυβδιν. Ἡ Σικελία ἀντικρὺ κεῖται τῆς Ἰταλίας· ἔστι δὲ τούτων μέσον πορθμὸς, διέχων σταδίους ἑπτὰ ἀπὸ Σικελίας εἰς Ἰταλίαν. Τῶν δὲ τριῶν αὐτῆς ἀκρωτηρίων ἀφορᾷ πρὸς Ἰταλίαν ἡ

*) Ad v. 814.

Πελωρίς· ὑπόκειται δὲ αὐτῇ Χάρυβδις· ἡ δὲ Σκύλλα ἐν τῇ Ἰταλίᾳ ἀντικρὺ ταύτης. Ἀκρωτήριον δέ ἐστιν ἡ Σκύλλα, ἐξέχον εἰς θάλασσαν, ὁμοίωμα καὶ πρόσωπον ἔχον γυναικός. Κάτω δὲ τοῦ ἀκρωτηρίου εἰσὶ πέτραι πολλαὶ καὶ μεγάλαι, ἔχουσαι κοίλους τόπους καὶ σπήλαια, ἐν οἷς θαλάσσια θηρία μένουσιν. Ὅσα μὲν οὖν τῶν πλοίων τὰς πέτρας ἐκκλίνοντα ὑπὸ τοῦ κλύδωνος εἰς τὴν Χάρυβδιν ἀπωσθῶσιν, ἀναῤῥοφοῦνται ὑπ᾽ αὐτῆς, συγκαταφερόμενα τῇ θαλάσσῃ· ὅσα δ᾽ αὖ ὑπὸ τῆς ἐν Χαρύβδει θαλάσσης εἰς τὰς πέτρας τῆς Σκύλλης ὑφάλους καὶ τραχείας οὔσας ἀπωσθῶσι, συγκατακλᾶται καὶ διαφθείρεται· εἶτα ἐξιόντες θαλάσσιοι κύνες καὶ ἕτερα διάφορα θηρία ἐσθίουσι τοὺς ἐκ τῶν νεῶν ἄνδρας. Δοκεῖ δὲ ἡ Σκύλλα καὶ λέγεται παρὰ τοῖς ποιηταῖς ἔχειν κύνας ἐξέχοντας ἀπὸ τῶν πλευρῶν καὶ τοῦ στήθους, καὶ ἀναιρεῖν τοὺς δι᾽ αὐτῆς πλέοντας, ἐπεὶ κάτωθεν ἐκ τῶν κοίλων μερῶν τῶν πετρῶν, ἐφ᾽ ὧν μένουσιν, ἄνω ἀνιόντες ὑπονοοῦνται καὶ ὁρῶνται, ὡς ἐξιόντες ἐκ τοῦ στήθους αὐτῆς ἔσωθεν καὶ τῶν πλευρῶν. Καὶ τὴν ἐν τῷ Μινωταύρῳ δὲ κατάβασιν Χάρυβδιν ἤδη τινὲς τῶν ποιητῶν ὠνομάκασι.

V. 828. *Σκύλλης Αὐσονίης.* *Τὸ σπήλαιον τῆς Σκύλλης ἐλέγετο εἶναι περὶ τὴν Ἰταλίαν, ὅ ἐστιν ἐν τῷ πορθμῷ.*

Ἣν τέκε Φόρκυν. *Ἀκουσίλαος Φόρκυνος καὶ Ἑκάτης τὴν Σκύλλαν λέγει. Ὅμηρος δὲ τὴν Σκύλλης μητέρα Κράταιϊν καλεῖ. Ἀμφοτέροις οὖν Ἀπολλώνιος κατηκολούθησεν. Ἐν δὲ ταῖς Μεγάλαις Ἠοίαις Φόρβαντος καὶ Ἑκάτης ἡ Σκύλλα. Στησίχορος δὲ ἐν τῇ Σκύλλῃ Λαμίας τὴν Σκύλλαν φησὶ θυγατέρα εἶναι.*

V. 834. *Εἰ μὲν δὴ μαλεροῖο.* *Περὶ τὸν πορ-*

θμὸν ἐν τῇ θαλάσσῃ πυρὸς ἀναφυσήματα γίνεται· ὥστε καὶ τὴν θάλασσαν θερμαίνεσθαι, ὥς φησι καὶ Μητρόδωρος ἐν πρώτῳ περὶ ἱστορίας. Καὶ Θεόφραστος ἐν ἱστορικοῖς ὑπομνήμασι φησὶ τὸν βρόμον τοῦ πυρὸς τὸν ἀπὸ τῶν τοῦ Αἰόλου νήσων ἀκούεσθαι ἕως χίλια στάδια. περὶ Ταυρομένιον οὖν ἀκούεσθαι βροντῇ παραπλήσιον ψόφον.

V. 838. *Ἀλλ᾽ ὥρη δολιχήν.* Ἀπέρχομαι, ὅπου τὰ ἀπόγεια σχοινία τῆς Ἀργοῦς δέδεται, ὅπως ἑωθινοὶ τῆς ἐπανόδου μνήμην ποιήσωνται· ὅπως αὐτοὺς ἕωθεν ποιήσω ἀποπλεῦσαι ἐκ τῆς γῆς τῶν Τυρσηνῶν.

V. 841. *Ὑπηῷοι δὲ,* κατὰ τὸν καιρὸν τῆς ἠοῦς. Ἤγουν ἕωθεν. Ὄνομα ἀντὶ ἐπιῤῥήματος.

V. 847. *Αὐτὴ δ᾽ ὠκυτέρη.* Ὑπερβολικῶς. Οὐδεὶς γὰρ ἀκτίνων βολὴν ὑπερβάλλεσθαι δύναται· οὔτε τὴν λεγομένην μαρμαρυγὴν, ἥτις ἐστὶ λαμπηδόνος συνεχοῦς ὅρμησις, καὶ *ἀμάρυγμα* λεγομένη.

V. 850. *Τυρσηνίαν δ᾽ εἴρηκε τὴν τῆς Κίρκης νῆσον* διὰ τὸ πρόσχωρον αὐτῇ εἶναι.

V. 852. *Ὀρεξαμένη χερός.* Ἐπιβαλομένη.

V. 855. *Ἐείσατο.* Ἐφάνη.

V. 856. *Μηκέτι νῦν ἀκταῖς.* Μηκέτι καθέζεσθε ἐν ταῖς ἀκταῖς τῆς Αἰαίης νήσου ταῖς οὔσαις πλησίον τῶν Τυρσηνῶν, περιμένοντες καὶ ὑπερτιθέμενοι τὸν πλοῦν ὑμῶν.

V. 859. *Πανσυδίη κοῦραι.* Πᾶσαι ὁμοῦ ἀπαντῶσι τὴν ναῦν φυλάξουσαι ἐκ τῶν πετρῶν, αἵτινες καλοῦνται πλαγκταί.

V. 861. *Κείνη γὰρ ἐναίσιμος.* Ἐκεῖνος γὰρ ὑμῖν ὁ πλοῦς αἴσιμος καὶ καθήκων ἐστὶν ὁ διὰ τῶν πλαγκτῶν πετρῶν.

V. 862. *Ἀλλὰ σὺ μή τῳ.* Μήτινι τῶν Ἀργοναυτῶν ἀποδείξῃς με, ἡνίκα με ἴδῃς σὺν ταῖς Νηρεΐσιν ὑπαντήσασάν σοι.

V. 864. *Ἀπηλεγέως.* Ἀναμφιλέκτως.

V. 865. *Ἀΐδηλος.* Ἀφανὴς γενομένη κατέδυ εἰς τὸ βάθος τῆς θαλάσσης.

V. 866. Τὸν δὲ Πηλέα δεινῶς ἡ λύπη ἔπληξεν.

V. 868. *Νηπιάχοντος.* *Νηπιάχειν*, τὸ νηπιάζειν.

V. 871. *Ἀμβροσίῃ χρίεσκεν.* Θειοτάτῳ ἐλαίῳ περιέχριε τὸ ἁπαλὸν αὐτοῦ σῶμα.

V. 872. *Καί οἱ στυγερόν.* Καὶ αὐτοῦ τὸ μισητὸν γῆρας ἀπὸ τοῦ σώματος ἀποσοβήσει.

Ἀλάλκειν, ἐκβάλλειν.

V. 874. *Σπαίροντα διὰ φλογός.* Ἀλλόμενον καὶ σαλεύοντα ἐπὶ τοῦ πυρός.

V. 876. *Τὸν μὲν ἄρ ἁρπάγδην.* Ἀπὸ τοῦ πυρὸς ἀναρπάξας ἔῤῥιψεν ἐπὶ τοῦ ἐδάφους κράζοντα.

V. 880. *Ἀμηχανία.* Ἀπορία, λύπη.

Παλίσσυτος. Μετὰ δὲ ταῦτα οὐκέτι ἐξ ὑποστροφῆς παρεγένετο πρὸς τὸν Πηλέα. ὅθεν τὰς φρένας αὐτοῦ κατέδησεν ἡ ὀλιγωρία.

V. 884. *Ἄεσαν.* Ἐκοιμήθησαν.

Τῇς ἔνι δαισάμενοι. Ἐν ταύταις δὲ εὐωχηθέντες καὶ δειπνήσαντες, ἐκοιμήθησαν τὴν νύκτα, ὡς καὶ πρότερον· οἷον ὡς τὴν ἑτέραν νύκτα.

V. 886. *Κατηλυσίῃ.* Καθόδῳ.

V. 887. *Βαῖνον ἐπὶ κληῖδας.* Ἀνέβαινον ἐπὶ τὰ σανιδώματα τῆς νηὸς καὶ τὰς ἑαυτῶν καθέδρας.

Ἐκ δὲ βυθοῖο εὐναίας. Ἐκ δὲ τοῦ βυθοῦ ἀνέφερον ἢ ἀνεῖλκον τὰ σίδηρα, χαίροντες τῇ ἐλεύσει

τοῦ ζεφύρου· καὶ τὰ ἄρμενα δὲ, ὡς ἔδει, ἐσώρευον καὶ εὐτρέπιζον.

V. 890. *Τανύσαντες ἐν ἱμάντεσσι.* Ἀπλώσαντες τοῖς ἱμᾶσι τὸ κέρας καὶ ἀναγαγόντες αὐτὸ σὺν τῷ ἀρμένῳ.

V. 892. *Καλὴν, ἀνθεμόεσσαν.* Ἠκολούθησεν Ἡσιόδῳ, οὕτως ὀνομάζοντι τὴν νῆσον τῶν Σειρήνων·

Νῆσον ἐς Ἀνθεμόεσσαν, ἵνα σφίσι δῶκε Κρονίων.

Ὀνόματα δὲ αὐτῶν, Θελξιόπη, ἢ Θελξινόη, Μολπὴ, Ἀγλαόφωνος.

V. 897. *Πορσύνεσκον.* Ἔτερπον. Ἐπιμελείας ἠξίουν καὶ ηὔξανον, παρθένον ἔτι οὖσαν καὶ ἄζευκτον.

V. 900. *Αἰεὶ δ' εὐόρμου.* Ἀεὶ δὲ περιβλεπόμεναι καὶ θεωροῦσαι ἀπὸ τοῦ ὑψηλοῦ καὶ εὐορμήτου *) τόπου πολλῶν παριόντων τὴν ἡδεῖαν ἐπάνοδον ἥρπαζον, τῇ τηκεδόνι φθίνειν ποιοῦσαι.

V. 907. *Εὐτροχάλοιο.* Τῆς τροχαλῆς ᾠδῆς τὸ μέλος ἐκίνησεν.

Κανάχησε. Ἦισεν. Ἐκίνησε.

V. 909. *Κρεγμῷ.* Τῇ κρούσει. Ὑπὸ τοῦ κρούματος. Κρέκειν γὰρ τὸ κρούειν.

V. 917. *Ἔρυκος μεδέουσα.* Ἔρυξ ὄνομα πόλεως, ἔνθα τιμᾶται ἡ Ἀφροδίτη. Οἱ δὲ τὴν Σικελίαν.

V. 921. *Μιξοδίῃσιν ἁλός.* *Μιξοδίαν* καλεῖ τὸν τόπον, καθ' ὃν ἦν ἡ Σκύλλα καὶ ἡ Χάρυβδις, διὰ τὸ ἀντικρὺ εἶναι ἀλλήλων.

V. 923. *Ἄμοτον.* Ἀκατάπαυστον.

V. 926. *Πυριθαλπῆ πέτραν* λέγει τὴν ὑπὸ πυρὸς καιομένην.

---

*) Dubiae fidei Schneidero videtur: iure, opinor. Corrigendum puto *εὐορμίστου*, quod adiectivum Lexicis recte accedet.

V. 936. *Παρβολάδην.* Παραβεβλημένως. Οἱονεὶ παραπλέοντες.

V. 937. *Ἐπήτριμοι.* Ἐκ πλαγίων, ἢ ὁμοῦ πρὸς ἀλλήλας κατανηχόμεναι ἑκατέρωθεν.

V. 940. *Αὐτίκ' ἀνασχόμεναι.* Εὐθέως ἀνελκύσασαι ἐπὶ τῶν λευκῶν γονάτων τὰ ἱμάτια ἄνωθεν τοῦ ζωναρίου, καὶ ἀνασύρασαι αὐτὰ ἐῤῥωμένως, ἄνωθεν τῶν πετρῶν καὶ τῆς τοῦ κύματος ἀνακλάσεως ἐκινοῦντο.

V. 943. *Τὴν δὲ παρηορίην.* Μετέωρον. Ἐβάσταζον γὰρ αὐτὴν αἱ Νηρηΐδες ἄνωθεν τῶν πετρῶν, ἀλλήλαις ὡς σφαῖραν ἀκοντίζουσαι.

V. 947. *Ἠρήρειντο.* Ἐπλησίαζον καὶ ἑδράζοντο.

V. 957. *Στελεῇ.* Τῇ λαβῇ. *Τυπίδος* δὲ, τῆς σφύρας. Ἐπὶ τῆς τοῦ ξύλου ἐπερεισθεὶς σφύρας.

V. 961. *Ὅσση δ' εἰαρινοῦ.* Ὅσον ἐστὶ διάστημα ἡμέρας ἐαρινῆς, ἤγουν δώδεκα ὡρῶν διαστήματος μοῖρα. *Ἐαρινὴν* δὲ εἴρηκεν ἡμέραν τὴν τῆς ἰσημερίας.

V. 965. *Θρινακίας λειμῶνα.* Τίμαιος *Θρινακίαν* φησὶ καλεῖσθαι τὴν Σικελίαν, ὅτι τρεῖς ἄκρας ἔχει. Οἱ δὲ ἱστορικοὶ Θρίνακον φασὶν ἄρξαι τῆς Σικελίας. Μύλας δὲ, χεῤῥόνησον Σικελίας, ἐν ᾗ αἱ τοῦ Ἡλίου βόες ἐνέμοντο.

V. 972. *Ἀργύρεον χαῖον.* Χαῖον ἐστὶ καμπύλη βακτηρία, ᾗ οἱ ποιμένες χρῶνται. Ἀμερίας δὲ ψιλὴν ἀπέδωκε ῥάβδον. Καλλίμαχος·

Ἔπρεπέ τοι προέχουσα κάρης εὐρεῖα καλύπτρη,
ποιμενικὸν πίλημα, καὶ ἐν χερὶ χαῖον ἔχουσα.

Καὶ τὸ παρ' Ἀλκμᾶνι δὲ λεγόμενον ἐρυσίχαιον τοιοῦτόν ἐστι. Σημαίνει γὰρ τῷ χαίῳ ἐρύοντας, ἤγουν ποιμαίνοντας.

Πηχύνουσα δὲ, ἀντὶ τοῦ τῷ πήχει τῆς χειρὸς προσηρτηκυῖα.

V. 973. Ὀρειχάλκοιο. Ὀρείχαλκος, εἶδος χαλκοῦ, ἀπὸ Ὀρείου τινὸς γενομένου εὑρετοῦ ὠνομασμένος. Ἀριστοτέλης δὲ ἐν τελεταῖς φησὶ μηδὲ ὑπάρχειν τὸ ὄνομα, μηδὲ τὸ τούτου εἶδος. Τὸ γὰρ ὀρείχαλκον ἔνιοι ὑπολαμβάνουσι λέγεσθαι μὲν, μὴ εἶναι δέ. Τῶν δὲ εἰκῆ διαδεδομένων καὶ τοῦτο. Οἱ γὰρ πολυπραγμονέστεροι φασὶν αὐτὸν ὑπάρχειν. Μνημονεύει καὶ Στησίχορος καὶ Βακχυλίδης· καὶ Ἀριστοφάνης δὲ ὁ γραμματικὸς σεσημείωται τοῦτο. Ἄλλοι δὲ ἀνδριαντοποιοῦ λέγουσιν ὄνομα, ὡς Σωκράτης, καὶ Θεόπομπος ἐν εἰκοστῷ πέμπτῳ. Οὕτως ἦν ἐν τῇ κωμικῇ λέξει τῇ συμμίκτῳ.

V. 974. Καλάβροπα δὲ, οἱονεὶ καλὴν ῥάβδον. Ἔστι γὰρ καλάβροψ ἡ βουκολικὴ ῥάβδος. Ὅμηρος· καλάβροπα βουκόλος.

V. 982. Ἔστι δέ τις πορθμοῖο. Τούτων ὁ νοῦς οὗτός ἐστιν· Εἰς τὸν Ἰόνιον κόλπον εἰσπλέουσι νῆσος εὐλίμενος καὶ λιπαρὰ, ὑφ' ἣν κεῖσθαι τὸ δρέπανον τοῦ Κρόνου φασὶν, ᾧ τὰ τοῦ πατρὸς αἰδοῖα ἀπέτεμεν. Οἱ δέ φασι, Δήμητρος εἶναι τοῦτο, ᾧ τοὺς Τιτᾶνας ἐδίδαξε σταχυοτομεῖν. Κατῴκησε γὰρ ἡ θεὸς ποτὲ τὴν νῆσον ἐκείνην, ἀγαπήσασα Μάκριν τὴν τοῦ Διονύσου τροφόν. Ταύτην Φαίακες κατῴκουν, ἀπὸ θεῶν ὄντες τὸ γένος.

V. 983. Ἀμφιλαφής. Ἀμφοτέρωθεν ἐπιτηδείως πρὸς ὅρμον ἔχουσα. Καλλίμαχος δὲ ἀμφίδυμον εἶπε τὸν ἀμφιλαφῆ λιμένα. Ἱστορικῶς δὲ Ἀπολλώνιος ἀμφιλαφῆ τὸν λιμένα φησίν. Ἱστορεῖ δὲ περὶ τοῦ λιμένος τῶν Φαιάκων Ἀπολλωνίδης ἐν τῷ περίπλῳ τῆς Εὐρώπης.

Τινὲς δὲ τὸ ἀμφιλαφὴς ἀντὶ τοῦ ξυλώδης ἀπέδωκαν. Ὧι οἰκείως ἐπισυνάπτει τὸ πίειρα, δηλονότι λιπαρὰ καὶ εὔδιος.

Ἡ δὲ Κερκύρα πρότερον μὲν Δρεπάνη ἐκαλεῖτο, εἶτα Σχερία. Ἀποδίδωσι δὲ τὴν αἰτίαν Ἀριστοτέλης ἐν τῇ Κερκυραίων πολιτείᾳ. Φησὶ γὰρ τὴν Δήμητρα φοβουμένην, μὴ οἱ ἐκ τῆς ἠπείρου ἐρχόμενοι ποταμοὶ ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι Ποσειδῶνος, ἀποστρέψαι τὰ τῶν ποταμῶν ῥεύματα. Ἐπισχεθέντων οὖν τούτων, ἀντὶ Δρεπάνης Σχερίαν ὀνομασθῆναι. Δρεπάνη δὲ ἐκαλεῖτο διὰ τὸ τὴν Δήμητρα, αἰτησαμένην δρέπανον παρ' Ἡφαίστου, τοὺς Τιτᾶνας διδάξαι θερίζειν· εἶτα αὐτὸ κρύψαι εἰς τὸ παραθαλάσσιον μέρος τῆς νήσου· προσκλυζούσης δὲ τῆς θαλάσσης, ἐξομοιωθῆναι τὴν θέσιν τῆς γῆς δρεπάνῃ. Τίμαιος δὲ ἐκ τοῦ δρεπάνου, ᾧ ἐξέτεμεν τοῦ Οὐρανοῦ τὰ αἰδοῖα ὁ Κρόνος, ἢ ὁ Ζεὺς τὰ τοῦ Κρόνου. Τοῦτο γὰρ αὐτοῦ κεκρύφθαι φησί. Μάκρις δὲ ὠνομάσθη ἀπὸ Μάκριδος τῆς Διονύσου τροφοῦ· Κερκύρα, ἀπὸ Κερκύρας τῆς Ἀσωποῦ θυγατρός.

V. 989. Στάχυν ὄμπνιον. Πολὺν, δαψιλῆ. Φιλητᾶς ἐν ἀτάκτοις γλώσσαις ἀπέδωκε ὄμπνιον στάχυν τὸν εὔχυλον καὶ τρόφιμον. Κυρηναίων δέ τινες τὸν πλούσιον καὶ εὐδαίμονα ὄμπνιον καλοῦσιν. Ἄμεινον δὲ τὸν φερέσβιον εἰπεῖν, οἱονεὶ ἔμπονόν τινα ὄντα καὶ ὄμπνιον.

V. 990. Ἐκλήϊσται. Πεφήμισται, νενόμισται.

V. 992. Αἵματος Οὐρανίοιο. Ἀκουσίλαος ἐν τῇ τρίτῃ φησὶν, ὅτι ἐκ τῆς ἐκτομῆς τοῦ Οὐρανοῦ ῥανίδας ἐνεχθῆναι συνέπεσεν, τουτέστι σταγόνας, κατὰ τῆς γῆς· ἐξ ὧν γενηθῆναι *) τοὺς Φαίακας. Οἱ δὲ, τοὺς

*) Rectius scribas γεννηθῆναι. Sic in Herodoto VI. c. 69. prae-

γίγαντας. Καὶ Ἀλκαῖος δὲ κατὰ τὰ αὐτὰ Ἀκουσιλάῳ λέγει τοὺς Φαίακας ἔχειν τὸ γένος ἐκ τῶν σταγόνων τοῦ Οὐρανοῦ. Ὅμηρος δὲ οἰκείους τοὺς Φαίακας τοῖς θεοῖς φησὶ διὰ τὴν ἀπὸ Ποσειδῶνος γένεσιν.

V. 993. Τοὺς Ἀργῶ πολέεσσιν. Ἡ Ἀργὼ (φησὶ) πολλὰ κακοπαθήσασα κατηνέχθη ἐκ τοῦ Σικελικοῦ πελάγους.

V. 1002. Κόλχων, οἳ πόντοιο. Τῶν Κόλχων, οἳ μετὰ Ἀψύρτου ὄντες κατῴκησαν ἐν ταῖς Βρυγηΐσιν, αἵτινές εἰσι τῆς Ἰλλυρίδος. Οἱ δὲ διὰ τῶν Κυανέων πετρῶν ἐξελθόντες ᾤκησαν Κερκύραν. Τῶν γὰρ διωκόντων τοὺς ἀριστεῖς Κόλχων, οὐ κατὰ ταυτὸν τὸν πλοῦν στειλαμένων, οἱ μὲν διὰ τοῦ Ἴστρου (καθάπερ προείρηται) τὸν πλοῦν ἐποιήσαντο, ὧν ἦρχεν Ἄψυρτος, διὰ τῶν κάτωθεν ἐμβαλόντες εἰς τὸν δεδηλωμένον ποταμόν· καὶ κατέλαβον τοὺς ἥρωας περὶ τὰς καλουμένας Βρυγηΐδας νήσους· οἱ δὲ διὰ τῶν Κυανέων νήσων τὸν ἔκπλουν ποιησάμενοι Κόλχοι κατηνέχθησαν εἰς τὴν Κερκύραν νῆσον, ἐν ᾗ καὶ οἱ Ἀργοναῦται ἔτυχον ὄντες.

V. 1003. Μαστῆρες. Ζητηταί.

V. 1004. Ἔξαιτον. Ἐξαίρετον, κατὰ συγκοπήν.

V. 1005. Ἀπροφάτως. Χωρὶς προφάσεως, ἀντιῤῥήσεως.

V. 1015. Εἴ νυ καὶ αὐτή. Περὶ Ἀρήτης ἡ Μήδεια· καὶ σὺ ἄνθρωπος εἶ, οἷς τὸ ἁμαρτάνειν γίνεται ῥᾳδίως. Τούτοις δὲ σφόδρα πρὸς συμπάθειαν ἕλκει τὴν Ἀρήτην ἡ Μήδεια. Καὶ γὰρ διὰ τὸ τῆς αὐτῆς ἡμᾶς

---

stat ὅτε αὐτῷ σὺ ἠγγέλθης γεγεννημένος. Γέγονέ τις s. ἐγένετο, παρὰ τὸ γίγνεσθαι; sed γεγέννηται s. ἐγεννήθη, παρὰ τὸ γεννᾶσθαι.

εἶναι φύσεως ἀλλήλους ἐλεεῖν χρὴ, καὶ διὰ τοῦτο ὀξυῤῥεπεῖς εἶναι πρὸς τὰ πάθη.

V. 1020. Ἴστω νυκτ. Ὅρκος παρὰ Κόλχοις ἡ Ἑκάτη ταῖς φαρμακίσι. Εὑρέτις γὰρ τῶν φαρμακειῶν ἡ θεός.

V. 1031. Ὑμέων. Ἕνεκα τῶν ὑμῶν ἄθλων ἐγὼ, ὦ φέρτατοι, ἐν μεγάλῃ ταραχῇ εἰμί. Τῇ γὰρ ἐμῇ γνώμῃ τούς τε ταύρους ἐζεύξατε, καὶ τοὺς γηγενεῖς ἐξεθερίσατε· καὶ νῦν τὸ δέρος εἰς Θετταλίαν ἀποίσετε.

Ἡ δὲ περὶ καὶ ἀμφὶ ἐκ παραλλήλου.

V. 1043. Νέμεσίν τε θεῶν. Τὴν ἰοῦσαν ἐς χεῖρας τῶν θεῶν νέμεσιν. Τοῦτ᾽ ἔστι τὸ νεμεσητόν. Τοῦτο δὲ λέγει, ἐπειδὴ ἐνώπιον τῶν θεῶν ἱστάμενοι ἱκετεύομεν· διὸ καὶ αἰδούμεθα τοὺς ἱκετεύοντας.

V. 1045. Οὐ νηούς. Οὐ γὰρ ναός μοι ἐστὶ βοηθὸς, οὔτε πύργος, οὔτε ἄλλη τὶς βοήθεια, ἀλλ᾽ ὑμεῖς μοι ἀσφάλεια πᾶσα.

V. 1046. Οἰόθι προτιβάλλομαι. Μόνη οὖσα προβάλλομαι ὑμᾶς βοηθούς.

V. 1047. Σχέτλιοι. Χαλεποὶ καὶ ἀνηλεεῖς οὐ μετατρέπεσθε ὁρῶντές με γονυπετοῦσαν τῇ βασιλείᾳ.

V. 1049. Ἀλλά κε πᾶσι. Ὁ λόγος, Ὅτε τὸ κώδιον λαβεῖν ἠθέλετε, καὶ πᾶσι τοῖς Κόλχοις ἕτοιμοι ἦτε μάχεσθαι· νῦν δὲ ὀλίγους παραγενομένους ἐπὶ τὴν ἀπαίτησιν τὴν ἐμὴν φοβεῖσθε.

V. 1058. Στρευγομένοις. Φθειρομένοις καὶ καταπονουμένοις. Ἢ καὶ προσδιατρίβουσι. Ὅθεν καὶ στρὰγξ ἡ κατὰ βραχὺ πρόσθεσις τοῦ ὕδατος. Οὕτω Δίδυμος. Ἐντεῦθεν καὶ ἡ στραγγουρία, ἀπὸ τοῦ κατὰ στράγγα οὐρεῖν.

V. 1059. Κατευκήλησε. Κατέπαυσε, εἰς ἡσυχίαν ἤγαγε.

V. 1062. Κλωστῆρα. Τὸν ἄτρακτον.

V. 1064. Σταλάει. Στάζει. Ὅθεν καὶ σταλαγμός.

V. 1066. Ἰκμαίνοντο. Ὑγραίνοντο. Ἐμφαίνει δὲ τὸ πολὺ δάκρυον καταλείβειν.

V. 1072. Προσπτύσσετο. Ἐλιπάρει, παρεκάλει.

V. 1082. Ῥέζομεν ἀμπλακίῃσιν. Ἀντὶ τοῦ ἁμαρτίαις. Ἐὰν δὲ γράφεται ἀτροπίῃσιν, ἀμεταστροπίαις ἢ κακοβουλίαις. Ὁ δὲ νοῦς, ἁμαρτάνουσα δὲ τοπρῶτον ἡ Μήδεια, προέδωκε τοὺς ἰδίους, καὶ ἐξημάρτησε φυγοῦσα· ἃ πολλάκις ποιοῦμεν δι' ἄνοιαν.

Ἀκειομένη. Ῥωννυμένη, ἢ θεραπεύουσα καὶ ἰωμένη.

V. 1090. Οἵα μὲν Ἀντιόπην. Ἀντιόπη Νυκτέως ἦν θυγάτηρ, ἣν ὁ Ζεὺς Σατύρῳ ὁμοιωθεὶς φθείρει. Καὶ φεύγουσα τοῦ Νυκτέως τὰς ἀπειλὰς, καταφεύγει εἰς Σικυῶνα πρὸς Ἐποπέα. Τεκοῦσα δὲ Ἀμφίονα καὶ Ζῆθον, ἐξέθηκεν ἐν τῷ Κιθαιρῶνι παρὰ βουκόλῳ τινί. Ὁ δὲ Νυκτεὺς διὰ τὴν τόλμαν τῆς παιδὸς λυπηθεὶς, τελευτᾷ, τοῦ ἀδελφοῦ Λύκου δεηθεὶς, μὴ περιϊδεῖν τὴν παῖδα, ἀλλ' ἑλεῖν ἀπελθόντα εἰς Σικυῶνα. Στρατεύει δὲ ἐπὶ τὴν πόλιν Λύκος, καὶ κτείνει τὸν Ἐποπέα· καὶ λαβὼν τὴν Ἀντιόπην αἰχμάλωτον, παραδίδωσι φυλάττειν Δίρκῃ τῇ ἑαυτοῦ γαμετῇ. Ἡ δὲ φεύγει, καὶ ληφθεῖσα πάλιν, τοῖς ἑαυτῆς παισὶν ἐκδίδοται, Ἀμφίονι καὶ Ζήθῳ. Ἐνταῦθα δὲ ἐκκαλύπτει ὁ τροφεὺς βουκόλος τὸ γεγονός. Οἱ δὲ τὴν μὲν Ἀντιόπην σώζουσιν, τὴν δὲ Δίρκην ἐξ ἀγρίου ταύρου προσδήσαντες διαφθείρουσι. Μεταπεμψάμενοι δὲ τὸν Λύκον, ὡς ἐκδώσοντες τὴν Ἀν-

τιόπην, σφάττειν ἔμελλον· Ἑρμῆς δὲ ἐκώλυσε, τῷ Λύκῳ δὲ προςέταξεν παραχωρῆσαι τῆς βασιλείας αὐτοῖς.

V. 1091. Οἷα δὲ καὶ Δανάη. Φερεκύδης ἐν δωδεκάτῳ ἱστορεῖ, ὡς Ἀκρίσιος γαμεῖ Εὐρυδίκην τὴν Λακεδαίμονος· τῶν δὲ γίνεται Δανάη. Χρωμένῳ δὲ αὐτῷ περὶ ἄρσενος παιδὸς, ἔχρησεν ὁ θεὸς ἐν Πυθοῖ, ὅτι αὐτῷ μὲν οὐκ ἔσται παῖς ἄρσην· ἐκ δὲ τῆς θυγατρὸς, πρὸς οὗ αὐτὸν δεῖ ἀπολέσθαι. Ὁ δὲ, ἐπανελθὼν εἰς Ἄργος, θάλαμον ποιεῖ χαλκοῦν ἐν τῇ αὐλῇ τῆς οἰκίας κατὰ γῆς, ἔνθα τὴν Δανάην εἰσάγει μετὰ τῆς τροφοῦ· ἐν ᾧ αὐτὴν ἐφύλασσεν, ὅπως ἐξ αὐτῆς παῖς μὴ γένηται. Ἐρασθεὶς δὲ Ζεὺς τῆς παιδὸς, ἐκ τοῦ ὀρόφου χρυσῷ παραπλήσιος ῥεῖ· ἡ δὲ ὑποδέχεται τῷ κόλπῳ. Καὶ ἐκφήνας αὐτὸν ὁ Ζεὺς τῇ παιδὶ μίγνυται. Τῶν δὲ γίνεται Περσεύς· καὶ ἐκτρέφει αὐτὸν ἡ Δανάη καὶ ἡ τροφὸς, κρύπτουσαι Ἀκρίσιον. Ὅτε δὲ Περσεὺς τριέτης ἢ τετραέτης ἐγένετο, ἤκουσεν αὐτοῦ τῆς φωνῆς παίζοντος· καὶ διὰ τῶν θεραπόντων μετακαλεσάμενος τὴν Δανάην σὺν τῇ τροφῷ, τὴν μὲν ἀναιρεῖ, Δανάην δὲ κατάγει σὺν τῷ παιδὶ ἐπὶ τὸν ὑπὸ τοῦ ἑρκίου Διὸς βωμόν. Μόνος δὲ αὐτὴν ἐρωτᾷ, πόθεν εἴη αὐτῇ γεγονὼς ὁ παῖς. Ἡ δὲ ἔφη, ἐκ Διός. Ὁ δὲ οὐ πείθεται, ἀλλ' εἰς λάρνακα ἐμβιβάζει αὐτὴν μετὰ τοῦ παιδὸς, καὶ κλείσας καταποντοῖ. Καὶ φερόμενοι ἀφικνοῦνται εἰς Σέριφον τὴν νῆσον· καὶ αὐτοὺς ἐξέλκει Δίκτυς ὁ Περισθένους, δικτύῳ ἁλιεύων. Εἶτα ἡ Δανάη ἀνοῖξαι ἱκετεύει τὴν λάρνακα. Ὁ δὲ, ἀνοίξας, καὶ μαθὼν οἵτινές εἰσιν, ἄγει εἰς τὸν οἶκον, καὶ τρέφει ὡς ἂν συγγενεῖς αὐτοῦ ὄντας. Ἦσαν γὰρ ὅ Δίκτυς καὶ ὁ Πολυδέκτης Ἀνδροθόης τῆς Κάστορος καὶ Περισθένους τοῦ Δαμάστορος, τοῦ Ναυπλίου, τοῦ Ποσειδῶνος καὶ Ἀμυμώνης, ὡς Φερεκύδης ἐν πρώτῳ. Ἐν

δὲ τοῖς ἑξῆς καὶ περὶ τοῦ θανάτου προστίθησι Φερεκύδης τοῦ Ἀκρισίου, ὅτι μετὰ τὴν ἀπολίθωσιν Πολυδέκτου τῷ σὺν αὐτῷ ἐκ τῆς κεφαλῆς τῆς Γοργόνος ἐν Σερίφῳ, Δίκτυν μὲν Περσεὺς ἀπολείπει ἐν τῇ Σερίφῳ βασιλεύειν τῶν λελειμμένων Σεριφίων· αὐτὸς δὲ ἔβη πλέων εἰς Ἄργος σὺν τοῖς Κύκλωψι, καὶ τῇ Δανάῃ, καὶ τῇ Ἀνδρομέδᾳ. Καὶ ἐλθὼν, Ἀκρίσιον οὐχ εὑρίσκει ἐν Ἄργει, (ὑπεχώρει γὰρ αὐτὸν δείσας εἰς τοὺς Πελασγοὺς εἰς Λάρισσαν) μὴ καταλαβὼν δὲ αὐτὸν, τὴν μὲν Δανάην καταλείπει παρὰ τῇ μητρὶ Εὐρυδίκῃ, καὶ τὴν Ἀνδρομέδαν, καὶ τοὺς Κύκλωπας· αὐτὸς δὲ ἔβη εἰς Λάρισσαν. Καὶ ἀφικόμενος, Ἀκρίσιον ἀναγνωρίζει, καὶ σὺν αὐτῷ ἕπεσθαι εἰς Ἄργος πείθει. Καὶ ὅτε δὴ ἔμελλον ἰέναι, συντυγχάνει ἀγῶνι νέων ἐν τῇ Λαρίσσῃ. Καὶ ὁ Περσεὺς ἀποδύεται εἰς τὸν ἀγῶνα, καὶ λαβὼν τὸν δίσκον δισκεύει. Τὸ δὲ πένταθλον οὔπω ἦν, ἀλλ' ἰδίᾳ ἕνα ἕκαστον τῶν ἄθλων ἤθλουν. Ὁ δὲ δίσκος, τροχαλισθεὶς ἐπὶ τὸν πόδα τοῦ Ἀκρισίου, τιτρώσκει αὐτόν. Καμὼν δὲ ἐκ τούτου Ἀκρίσιος, ἀποθνήσκει αὐτοῦ ἐν Λαρίσσῃ. Καὶ αὐτὸν κατατίθεται Περσεὺς καὶ οἱ Λαρισσαῖοι πρόσθεν τῆς πόλεως, καὶ αὐτοῦ ποιοῦσιν ἡρῶον οἱ ἐπιχώριοι. Περσεὺς δὲ ἀναχωρεῖ τοῦ Ἄργους.

V. 1093. Ὑβριστὴς Ἔχετος. Τοῦ Ἐχέτου Ὅμηρος ὡς ὠμοτάτου μέμνηται. Ἡ δὲ Ἀρήτη ὡς κατ' αὐτὴν τοῦ πράγματος γεγενημένου λέγει. Εὕρομεν δὲ τὸν μῦθον ἐν τῷ ἐπιγραφομένῳ Λυσίππου Ἠπειρώτου ἀσεβῶν καταλόγῳ.

V. 1095. Ὀρφναίῃ ἔνι χαλκόν. Τὸ ἑξῆς, ἐν ὀρφναίῃ καλιῇ.

Χαλκὸν ἀλετρεύοντα. Γράφεται καὶ χαλκὸν ἀλιτεύοντα.

V. 1100. *Ἀτίσαι.* Ἀτιμάσαι, παραβῆναι.

V. 1125. *Ὑλλικῷ.* Ὑλλικὸς λιμὴν, ἀπὸ Ὕλλου τοῦ Μελίτης καὶ Ἡρακλέους.

V. 1131. *Ἄντρῳ ἐν ἠγαθέῳ.* Ἐν τῷ μεγάλῳ καὶ θείῳ, ἐν ᾧ Μάκρις κατῴκει, ἐν τούτῳ τῷ ἄντρῳ τὸν Διόνυσον ἔθρεψεν· ὃ καλεῖται Διθυρίτης. Διὰ τοῦτο Διθύραμβος ὁ Διόνυσος ἐκλήθη, διὰ τὸ δύο θύρας ἔχειν τὸ ἄντρον.

V. 1138. *Καὶ ἑ χολωσαμένη.* Ἡ Ἥρα τὴν Μάκριν τῆς Εὐβοίας ἐξέβαλε, διὰ τὸ δέξασθαι παρὰ τοῦ Ἑρμοῦ τὸν Διόνυσον καὶ θρέψαι. Ἡ δὲ Εὔβοια ἱερά ἐστι τῇ Ἥρᾳ.

V. 1141. *Ἔνθα τότ᾽ ἐστόρεσαν.* Ἐν τῷ ἄντρῳ Μάκριδος φησὶ τὸν γάμον γεγενῆσθαι Μηδείας καὶ Ἰάσονος. Φιλητᾶς δὲ ἐν Τηλέφῳ, ἐν τῇ Ἀλκινόου οἰκίᾳ.

V. 1147. sq. *Ἴσχε δ᾽ ἑκάστην αἰδώς.* Διὰ τούτων τὰς νύμφας φησὶν ἐπιθυμούσας ἅψασθαι τοῦ μαλλοῦ, διὰ τὸ κάλλος, ὅμως αἰδουμένας ἀπέχεσθαι, διὰ τὸ ἐπ᾽ αὐτοῦ μέλλειν γίνεσθαι τὴν μίξιν.

Περὶ δὲ τοῦ δέρους, ὅτι ἦν χρυσοῦν, οἱ πλεῖστοι ἱστοροῦσιν. Ἀκουσίλαος δὲ ἐν τῷ περὶ γενεαλογιῶν πορφυρευθῆναι φησὶν ἀπὸ τῆς θαλάσσης.

V. 1149. *Αἱ μέν τ᾽ Αἰγαίου.* Αἰγαῖος, ποταμὸς περὶ Κερκύραν. Τούτου θυγάτηρ Μελίτη· ἧς καὶ Ἡρακλέους Ὕλλος. Ἀφ᾽ οὗ ἔθνος Ὑλλεῖς· καὶ Ὑλλικὸς λιμὴν, παρὰ Φαίαξι. Πανύασις δέ φησιν ἐν Λυδίᾳ, νοστήσαντα Ἡρακλέα τυχεῖν ἰάσεως ὑπὸ Ὕλλου τοῦ ποταμοῦ· ὅς ἐστι τῆς Λυδίας. διὸ καὶ τοὺς δύο υἱοὺς αὐτοῦ Ὕλλους ὀνομασθῆναι.

V. 1150. *Μελιτηΐου.* Ὄρος Κερκύρας τὸ Μελίτειον.

V. 1153. *Κεῖνο καὶ εἰσέτι.* Τὸ Μάκριδος, ὃ νῦν ἱερὸν Μηδείας καλεῖται.

Ἰστέον ὅτι Τιμαίου λέγοντος ἐν Κερκύρᾳ τοὺς γάμους ἀχθῆναι, Διονύσιος ὁ Μιλήσιος ἐν δευτέρῳ τῶν Ἀργοναυτικῶν, ἐν Βυζαντίῳ φησίν· Ἀντίμαχος ἐν Λυδῇ, πλησίον τοῦ ποταμοῦ μιγῆναι αὐτῇ φησὶ τὸν Ἰάσονα.

V. 1160. *Προμολῇσι.* Προμολὰς εἴρηκε τοὺς ἐκτὸς τοῦ ἄντρου τόπους.

V. 1167. *Παρμέμβλωκε.* Πάρεστι.

V. 1170. *Φαέεσσιν.* Ἀντὶ τοῦ φωτισμοῖς. Φύσει γὰρ ὄντα σκοτεινὸν τὸν ἀέρα τοῖς φωτισμοῖς ἐλάμπρυνε. Γράφεται φαρέεσσιν.

V. 1174. *Ἀνὰ πτόλιν.* Ἡ τῶν Κερκυραίων ἐπὶ τῆς χερσονήσου κεῖται. Φησὶν οὖν ὁ ἱστορικὸς, ὅτι μακρὰν τῆς πόλεως ἐπὶ τοῦ αἰγιαλοῦ τῆς χεῤῥονήσου ἦσαν· ἐν ᾗ ἐστὶν ἡ πόλις, ὡς Ἀπολλωνίδης ἐν τῷ περίπλῳ τῆς Εὐρώπης.

V. 1175. *Χερνήσοιο.* Τὴν χεῤῥόνησον χέρνησον εἴρηκε, ὡς ἐν τῷ πρώτῳ.

Τὴν δὲ ἀντικρὺ τῆς Κερκύρας χώραν εἴρηκε Μακριδίαν· ἴσως διὰ τὸ ᾠκηκέναι ἐκεῖ τοὺς Εὐβοεῖς. ἡ δὲ Εὔβοια Μάκρις ἐκαλεῖτο τὸ πρότερον. ταύτην οὖν οἱ κατοικήσαντες μετὰ Ἰλίου ἅλωσιν Ἄβαντες Μάκριν ὠνόμασαν.

V. 1187. *Ἄλλοι δ' ἀμφιφορῆας.* Θεόπομπος ἀμφιφορεῖς λέγεσθαι φησὶ τοὺς ὑπ' ἐνίων μετρητάς. Παυσανίας δέ φησι τὸν ἀμφιφορέα ὑπὸ Ἀθηναίων ἀμφορέα καλεῖσθαι.

V. 1188. *Λιγνύς.* Ἡ καπνώδης ἀναφορά· ἢ τὸ τοῦ φωτὸς ἄκρον. Ἄμεινον δὲ τὸ πρῶτον.

V. 1191. *Ἀγλαΐην.* Κόσμια.

V. 1193. *Εἴδεα καὶ μορφάς.* Τὸ μὲν εἶδος κυρίως ἐπὶ προσώπου τέταχεν ὁ Ἀπολλώνιος· μορφὴ δὲ τὸ σχῆμα.

V. 1194. *Εὐκρέκτου.* Εὔκρεκτος, εὔηχος κιθάρα.

V. 1210. *Συνήμονας.* Τοὺς συνήθεις καὶ ἑταίρους. Ἀπὸ τοῦ συνεῖναι.

V. 1212. *Εἰσότε Βακχιάδαι.* Βάκχιος ἐγένετο υἱὸς Διονύσου, ἐν Κορίνθῳ δὲ διέτριβεν. Ἦσαν δὲ εὐγενέστατοι οἱ ἀπ' αὐτοῦ τὸ γένος ἔχοντες· οἵτινες ἐξεβλήθησαν ἐκ Κορίνθου διὰ τὸν Ἀκταίωνος θάνατον. Ἡ δὲ ἱστορία ἐστὶν ἥδε. Μέλισσος εὐεργετήσας τοὺς Κορινθίους, (μέλλοντας γὰρ ὑπὸ Φείδωνος τοῦ τῶν Ἀργείων βασιλέως διαφθαρῆναι ἐῤῥύσατο) τιμῆς ἠξιώθη παρ' αὐτοῖς. Καί ποτε οἱ Βακχιάδαι νυκτὸς ἐπελθόντες τῇ οἰκίᾳ τούτου, ἐβούλοντο ἀποσπᾷν τὸν παῖδα Ἀκταίωνα. Τῶν δὲ γονέων ἀντεχόντων, συνέβη διασπασθῆναι αὐτόν. Μελλόντων δὲ τῶν Ἰσθμίων ἄγεσθαι, στὰς ἐπὶ τοῦ βωμοῦ ὁ Μέλισσος πολλὰ τοῖς Κορινθίοις κατηράσατο, ἢν μὴ τὸν τοῦ παιδὸς ἐκδικήσωσι θάνατον. Ταῦτα εἰπὼν εἰς τὸν ὑποκείμενον κρημνὸν ἑαυτὸν ἔβαλεν. Οἱ δὲ Κορίνθιοι, εὐλαβούμενοι ἀνεκδίκητον λιπεῖν τὸν τοῦ Ἀκταίωνος θάνατον, ἅμα μὲν *) καὶ τοῦ θείου κελεύοντος, ἐξέβαλον τοὺς Βακχιάδας. Χερσοκράτης δὲ, εἷς τῶν Βακχιαδῶν, ἔκτισε Κερκύραν, ἐκβαλὼν τοὺς ἐνοικοῦντας Κόλχους. Οἱ δὲ, ἐκβληθέντες, εἰς τὴν ἤπειρον παρεγένοντο.

Ἐφύρηθεν. Ἐφύρα ἡ Κόρινθος, ἀπὸ Ἐφύρας τῆς Ἐπιμηθέος θυγατρός. Εὔμηλος δὲ, ἀπὸ Ἐφύρας

---

*) Imo δέ.

τῆς Ὠκεανοῦ καὶ Τηθύος, γυναικὸς δὲ γενομένης Ἐπιμηθέως.

V. 1215. *Νεσταίους τε.* Τοὺς Νεσταίους Σκύλαξ φησὶν ἔθνος Ἰλλυρικόν. Ἀπὸ τούτων περίπλους ἐστὶν εἰς τὸν κόλπον. Καὶ Ἐρατοσθένης ἐν γ Γεωγραφουμένων φησί· Μετὰ Ἰλλυριοὺς Νεσταῖοι, καθ' οὓς νῆσος Φάρος, Φαρίων ἄποικος.

V. 1216. *Ἀλλὰ τὰ μὲν στείχοντος.* Ἀντὶ τοῦ μετὰ πολὺν χρόνον. Τίμαιος δέ φησι, μετὰ ἔτη ἑξακόσια τῶν Τρωϊκῶν Χερσικράτη, ἀπόγονον τῶν Βακχιαδῶν, εἴτε ἐκπεσόντα τῆς Κορίνθου, εἴτε καὶ ἑκόντα, ἀπελθεῖν διὰ ἀτιμίαν, καὶ κατῳκηκέναι τὴν νῆσον. Κόλχοι δὲ, διαβάντες εἰς τὴν πλησίον νῆσον, μετὰ ταῦτα εἰς τὰ Κεραύνια ὄρη ὁρμήσαντες, εἴς τε τοὺς Ἄβαντας καὶ Νεσταίους καὶ Ὤρικον ἀπῳκίσθησαν.

V. 1217. *Μοιράων δ' ἔτι κεῖσε.* Τιμώναξ ἐν πρώτῳ τῶν Σικελικῶν ἐν Κόλχοις φησὶν Ἰάσονα Μήδειαν γῆμαι, Αἰήτου αὐτῷ ἐγγυήσαντος. Ὁ δὲ αὐτός φησι· Δείκνυνται παρὰ τὸν παράπλουν ἔνδον τοῦ Πόντου κῆποι τινὲς Ἰασόνιοι καλούμενοι, καθ' ὧν τὴν ἀπόβασιν ἐποιήσατο· καὶ κατὰ τὴν Αἶαν γυμνάσια καὶ δίσκοι *), καὶ τῆς Μηδείας θάλαμος, καθ' ὃ τότε ἐνυμφεύθη·

---

*) Non *disci*, sed *locus τῆς δισκοβολίας*: quem usum pluralis huius substantivi Lexicographi neglexerunt. Conferas pluralem eadem ratione usurpatum *πεσσοί*. Euripides Med. v. 67. sq. *πεσσοὺς προσελθών, ἔνθα δὴ παλαίτεροι* [ut recte Piersonus. In Plutarcho v. Pelop. init. legendum *Κάτων ὁ πρεσβύτερος*, coll. T. VI. p. 748. Reisk. V. Wesseling. ad Diodor. Sic. T. II. p. 518, 24. Heyn. ad Homer. T. VII. p. 42. et Schneider. ad Xenophont. Anab. II, 1, 10.] *θάσσουσι*. Obiter Lexicis adde *δίσκευμα*, *δισκευτὴς* et *δισκοειδής*. Primum legitur in Io. Tzetzae Exegesi in Hom. Iliad. p. 139, 2.: alterum in Thoma Magistro p. 243.: tertium in Agatharchide p. 67. Huds.

καὶ πρὸς τῇ πόλει ἱερὸν ἱδρυμένον Ἰάσονος, καὶ πρὸς τούτοις ἱερὰ πολλά. Τίμαιος δὲ, ἐν Κερκύρᾳ λέγων γενέσθαι τοὺς γάμους, καὶ περὶ τῆς θυσίας ἱστορεῖ, ἔτι καὶ νῦν λέγων ἄγεσθαι αὐτὴν κατ᾽ ἐνιαυτὸν, Μηδείας πρῶτον θυσάσης ἐν τῷ Ἀπόλλωνος ἱερῷ. Καὶ βωμοὺς δέ φησι μνημεῖα τῶν γάμων ἱδρύσασθαι, σύνεγγυς μὲν τῆς θαλάσσης, οὐ μακρὰν δὲ τῆς πόλεως. Ὀνομάζουσι δὲ τὸν μὲν, Νυμφῶν· τὸν δὲ, Νηρηΐδων. Ὁ γὲ μὴν Ἀπολλώνιος τὸν μέν φησι Νυμφῶν εἶναι, τὸν βωμόν· τὸν δὲ, τῶν Μοιρῶν.

Θύη δὲ ἐπέτεια λέγει τὰς ἐνιαυσιαίους θυσίας.

V. 1218. Νομίοιο καθ᾽ ἱερόν. Διὰ τὸ κατὰ νόμον γενέσθαι τὴν κρίσιν τοῦ Ἀλκινόου, διὰ τοῦτο νομίου Ἀπόλλωνος ἱερὸν ἱδρύσασθαι τὴν Μήδειαν.

V. 1235. Σύρτιν. Δύο εἰσὶν ἐν τῇ Λιβύῃ Σύρτεις. Εἰσὶ δὲ πηλώδεις. Γίνονται δὲ ἀμπώτεις εἰς αὐτάς. Καὶ ἐν τῷ Ὠκεανῷ εἰσὶ τόποι, ὅπου κατασύρονται οἱ πλέοντες, καὶ ἀπόλλυνται.

V. 1237. Τέναγος. Ὁ πηλώδης τόπος.

Μνιόεντα. Σύμφυτα.

V. 1239. Ἠερίη. Πᾶν τὸ πολὺ καὶ δαψιλὲς ἠερόεν λέγεται.

V. 1243. Ἐνέωσε. Ὦθησε.

Τάχιστα. Γράφεται ἄγεσθαι.

V. 1247. Ἀρδμόν. Ποτισμόν.

V. 1248. Πάτον. Περίπατον.

V. 1258. Διωλυγίης. Ἀντὶ τοῦ σκοτεινῆς. Ἢ ἀντὶ τοῦ ἐπὶ πολὺ διηκούσης.

V. 1260. Ἰθυντήρ. Κυβερνήτης.

V. 1264. Τεναγώδεα. Πηλώδη. Τέναγος δέ ἐστι κυρίως γῆ ἐπιπόλαιον ὕδωρ ἔχουσα, ἢ πηλῶδες ὕδωρ.

V. 1279. *Παχνώθη.* Ἀντὶ τοῦ ἐπάγη. Ἐλυπήθη. Ὁ τρόπος εἴληπται ἀπὸ τῆς πάχνης.

V. 1284. *Ἢ ὅταν αὐτόματα ξόανα.* Ὅταν μέλλῃ τὶ συμβαίνειν χαλεπὸν, εἴωθε τὰ ἀγάλματα ἱδροῦν· ὥσπερ καὶ ἐν Θήβαις συνέβη, ὅτε συνίστατο ὁ περὶ Χαιρώνειαν πόλεμος Φιλίππῳ πρὸς Ἀθηναίους.

V. 1285. *Καὶ μυκαὶ σηκοῖς.* Καὶ ἦχοι ἐν τοῖς ναοῖς φαντασίαν ποιήσωσιν. Ἢ ὅταν μυκήσεις δοκῶσι γίνεσθαι περὶ τὰ ἀγάλματα.

V. 1297. *Θυγατρί.* Τῷ θυγατρὶ τὸ Αἰήταο σύναπτε.

V. 1299. *Χηραμοῦ.* Χηραμὸς, κατάδυσις.

Ἀπτῆνες. Οἱ μὴ ἵπτασθαι δυνάμενοι.

V. 1300. *Πακτωλοῖο.* Πακτωλὸς, ποταμὸς Λυδίας, ὁ νῦν Χρυσοῤῥόας λεγόμενος.

V. 1304. *Ἰήλεμον.* Ἀντὶ τοῦ θρῆνον. Εἴρηται ἀπὸ Ἰαλέμου, τοῦ Μούσης παιδός.

V. 1305. *Ἐλίασθεν.* Ἀντὶ τοῦ ἀπέθανον ἐνταῦθα.

V. 1309. *Ἡρῷσσαι.* Προπερισπωμένως Ἡρωδιανὸς ἐν δεκάτῳ φησὶν, ἐκ συναλοιφῆς τοῦ ἡρωΐσσαι. Τοῦ ἥρως δὲ τὸ θηλυκὸν γίνεται ἡρῷσσα. Ἢ ἀντὶ τοῦ πρωϊνάς.

Τιμήοροι δὲ, ἔκδικοι καὶ ἔφοροι τῆς Λιβύης. Ἢ ἐν Λιβύῃ τιμώμεναι ἡρωΐναι.

V. 1310. *Ἦμος ὅτ' ἐκ πατρός.* Πρῶτος Στησίχορος ἔφη σὺν ὅπλοις ἐκ τῆς τοῦ Διὸς κεφαλῆς ἀναπηδῆσαι τὴν Ἀθηνᾶν.

V. 1311. *Τρίτωνος.* Τρίτων, πόλις Λιβύης. Ἔστι δὲ καὶ Βοιωτίας. Δοκεῖ δὲ ἡ Ἀθηνᾶ παρὰ θατέρᾳ αὐτῶν γεγενῆσθαι. Ἀφ' οὗ καὶ Τριτογένεια λέγε-

ται. Οὕτω τινές. Οἱ δὲ, ἡ τὸ τρεῖν (ἤγουν τὸ φοβεῖσθαι) τοῖς ἐναντίοις ποιοῦσα.

V. 1312. Θέρον. Ἔθερον, ἐθέρμαινον, καὶ ἔκαιον.

V. 1314. Πέπλον. Πέπλος κυρίως ἐπὶ γυναικῶν.

V. 1315. Παλιμπετές. Παλιγκινές. Εἰς τοὐπίσω παλικαμπές.

V. 1317. Ἀτυζόμενον. Ἀτύζω. Παρὰ τὴν ἄτην γίνεται ῥῆμα ἀτῶ, οὗ παράγωγον ἀτύω, ὡς ὀλῶ, ὀλύω καὶ ὀλλύω· περισσεύσαντος δὲ τοῦ ζ, ἀτύζω, ὡς καὶ παρὰ τὸ ἀτίω ἀτίζω.

V. 1318. Ἀμηχανίᾳ. Ἀπορίᾳ.

V. 1322. Οἰοπόλοι. Περὶ τὰς ὄϊς πολοῦσαι.

Χθονίας δὲ αὐτὰς εἶπε, διὰ τὸ θυγατέρας εἶναι τῆς Λιβύης. Εἰσὶ δὲ αἱ ἐπιμηλίδες. Ἢ χθόνιοι, γηγενεῖς.

Αὐδήεσσαι δὲ, αἱ εἰς λόγον ἀνθρώποις ἐρχόμεναι.

Περὶ δὲ τῶν νυμφῶν μέμνηται Καλλίμαχος, οὕτω λέγων·

Δέσποιναι Λιβύης ἡρωΐδες, αἳ Νασαμώνων
  αὖλιν καὶ δολιχὰς θῖνας ἐπιβλέπετε,
μητέρα μοι ζώουσαν ὀφέλλετε.

V. 1327. Σφετέρῃ ἀπὸ μητέρι. Ἔδει εἰπεῖν ὑμετέρᾳ. Λέγει δὲ τῇ νηΐ. Φέρει γὰρ αὐτοὺς ἐν τῷ κύτει, ὡς ἐν γαστρὶ μήτηρ.

V. 1329. Ἀχαιΐδα. Ἀχαιΐδα λέγει ἢ τὴν Θεσσαλίαν, ἢ τὴν Ἑλλάδα. Βέλτιον δὲ, τὴν Θεσσαλίαν. Οἱ δὲ οἰκοῦντες Ἀχαιοὶ λέγονται. Ὅμηρος·

Νῦν δ' αὖ τοὺς, ὅσσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον.

Εἶτα·

Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί.

V. 1333. Ἵλατ᾽ ἐρημονόμοι. Ἱλάσθητε αἱ νεμόμεναι ἐν τῇ ἐρήμῳ.

V. 1339. Ὠρύεται. Ἀντὶ τοῦ βοᾷ. Ἔστι δὲ τῆς τῶν λεόντων φωνῆς.

V. 1342. Βουπελάται. Οἱ βουκόλοι. Εἴρηται ἤτοι τοῦ π περισσεύοντος, (βουελάται γάρ εἰσιν) ἢ παρὰ τὸ πέλας τῶν βοῶν εἶναι, ὃ καὶ βέλτιον.

V. 1348. Στέρφεσιν αἰγείοις. Τοῖς δέρμασιν. Ἔνθεν καὶ στερφῶσαι. Ἴβυκος δὲ στερφωτῆρα στρατὸν εἴρηκε τὸν ἔχοντα δέρματα. Ὅθεν καὶ παρ᾽ Αἰσχύλῳ ἀξιοῦσι γράφειν μελανοστέρφων γένος, οὐχ, ὥς τινες, μελανοστέρνων· οὐ γὰρ μόνα τὰ στέρνα μέλανα ἔχουσιν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα. Ὅθεν καὶ τὸ κεράμιον στέρφος λέγεται.

V. 1366. Ἀμφιλαφής. Ἀντὶ τοῦ ποικίλος, ἢ μέγας. ἢ ἀμφοτέρωθεν θριξὶ στεγαζόμενος.

V. 1367. Νήχυτον. Πολύχυτον.

V. 1380. Ἐπήβολος. Ἐπιβάλλουσα, ἐπιτυχής.

V. 1381. Μουσάων ὅδε μῦθος. Καθὰ πέπλασται, φησὶν, Μουσάων ὅδε μῦθος· ἐγὼ δ᾽ ὑπηρέτης τῶν Μουσῶν· ἐμπέπνευμαι γὰρ πρὸς αὐτῶν, ὥστε διηγήσασθαι.

V. 1384. Θῖνας. Τοὺς τῆς ψάμμου σωρούς.

V. 1396. Ὧι ἔνι Λάδων. Τὸν δράκοντα Λάδωνα ἐκάλουν. Τοῦτον δὲ Πείσανδρος ὑπείληφεν ἀπὸ τῆς γῆς γεγενῆσθαι. Ἡσίοδος δὲ ἐκ Τυφῶνος φησίν. Ἀγροίτας δὲ ἐν γ Λιβυκῶν φησὶ, μὴ μῆλα εἶναι, ἀλλὰ πρόβατα κάλλιστα, ἃ χρυσᾶ ὠνομάσθη· ἔχειν δὲ ταῦτα ποιμένα ἄγριον, ὃν διὰ τὸ ἀνήμερον δράκοντα ὠνομάσθαι. Φερεκύδης ἐν δεκάτῳ τῆς Ἥρας γαμουμένης φησὶ τὴν γῆν ἀναδοῦναι ἐν τῷ Ὠκεανῷ μῆλα χρυσᾶ, ἢ μη-

λέας χρυσοῦν καρπὸν φερούσας· φυλάττειν δὲ αὐτὰ δράκοντα τὸν Τυφῶνος καὶ Ἐχίδνης, ἔχοντα κεφαλὰς ἑκατὸν καὶ φωνὰς παντοίας. Καὶ ὅτι αἱ νύμφαι αἱ Διὸς καὶ Θέμιδος οἰκοῦσαι ἐν σπηλαίῳ περὶ τὸν Ἠριδανὸν ὑπέθεντο Ἡρακλεῖ ἀπορoῦντι, μαθεῖν παρὰ Νηρέως, ποῦ ἂν εἴη τὰ χρύσεα μῆλα. Λαβεῖν δὲ αὐτὸν βίᾳ, πρῶτον μὲν μεταμορφούμενον εἰς ὕδωρ καὶ πῦρ· εἶτα ἐς τὴν παλαιὰν ὄψιν καταστάντα, δηλῶσαι τὸν τόπον. Ὁ δὲ ἔρχεται οὕτως ἐπὶ τὰ χρυσᾶ μῆλα. Ἀφικόμενος δὲ εἰς Ταρτησσὸν, πορεύεται εἰς Λιβύην, ἔνθα ἀναιρεῖ Ἀνταῖον τὸν Ποσειδῶνος, ὑβριστὴν ὄντα. Εἶτα ἀφικνεῖται ἐπὶ τὸν Νεῖλον εἰς Μέμφιν, παρὰ Βούσιριν τὸν Ποσειδῶνος· ὃν κτείνει, καὶ τὸν παῖδα αὐτοῦ Ἰφιδάμαντα, καὶ τὸν κήρυκα Χάλβην, καὶ τοὺς ὀπάονας, πρὸς τῷ βωμῷ τοῦ Διὸς, ἔνθα ἐξενοκτόνουν. Ἀφικόμενος δὲ εἰς Θήβας, καὶ διὰ τῶν ὀρῶν εἰς τὴν ἔξω Λιβύην, ἧς ἐν τοῖς ἐρήμοις πολλὰ τῶν θηρίων τοξεύων ἀναιρεῖ, καθήρας δὲ τὴν Λιβύην, κατέβη ἐπὶ τὴν θάλασσαν τὴν ἔξω κειμένην· καὶ λαβὼν χρυσοῦν δέπας παρὰ Ἡλίου, διαβαίνει ἐν αὐτῷ εἰς Πέργην διά τε τῆς ἔξω τῆς γῆς θαλάσσης, καὶ διὰ τοῦ Ὠκεανοῦ πλέων. Ἐπελθὼν δὲ παρὰ Προμηθέα, καὶ ὀφθεὶς ὑπ᾽ αὐτοῦ, οἰκτείρει αὐτὸν ἱκετεύοντα· καὶ κτείνει τὸν ἀετὸν, ὃς αὐτοῦ τὸ ἧπαρ ἤσθιε, τοξεύσας προσπετώμενον. Ἀντὶ δὲ τούτου Προμηθεὺς μὴ ἀπιέναι ἐπὶ τὰ μῆλα ὑποτίθεται· ἐλθόντα δὲ πρὸς Ἄτλαντα, κελεύειν ἐνέγκαι αὐτῷ· καὶ ἀντὶ τοῦ Ἄτλαντος αὐτὸν ἀνέχειν τὸν οὐρανὸν, ἕως ἂν ἐνέγκῃ τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων. Ἡρακλῆς δὲ ἀκούσας ἔρχεται πρὸς Ἄτλαντα, καὶ κελεύει αὐτὸν ἐνεγκεῖν τὰ μῆλα παρὰ τῶν Ἑσπερίδων, τρία λαβόντα, διηγησάμενος τὸν ἆθλον. Δοὺς δὲ Ἄτλας ἐπὶ τῶν ὤμων

Ἡρακλεῖ τὸν οὐρανὸν, καὶ ἐλθὼν πρὸς τὰς Ἑσπερίδας, δεξάμενος παρ' αὐτῶν τὰ μῆλα, ἐλθών τε πρὸς τὸν Ἡρακλέα, τὰ μὲν μῆλα αὐτός φησιν ἀποίσειν Εὐρυσθεῖ, τὸν δ' οὐρανὸν ἐκέλευσεν ἐκεῖνον ἔχειν ἀντ' αὐτοῦ. Ὁ δὲ Ἡρακλῆς ὑποσχόμενος, δόλῳ ἀντεπέθηκεν αὐτὸν τῷ Ἀτλαντι. Ἦν γὰρ εἰπὼν αὐτῷ ὁ Προμηθεὺς ὑποθέμενος, κελεύειν δέξασθαι τὸν οὐρανὸν, ἕως οὗ πήραν ἐπὶ τὴν κεφαλὴν ποιήσεται· ὁ δὲ, καταθεὶς τὰ μῆλα εἰς τὴν γῆν, ὑποδέχεται τὸν οὐρανόν. Ἡρακλῆς δὲ λαβὼν τὰ μῆλα, χαίρειν εἰπὼν τῷ Ἄτλαντι, ἀπέρχεται εἰς Μυκήνας παρ' Εὐρυσθέα, καὶ δεικνύει αὐτῷ ταῦτα.

V. 1399. *Ἑσπερίδες ποίπνυον.* Ἀπὸ τοῦ ἑσπέρας ἐπιφαίνεσθαι· ἢ ἀπὸ τοῦ ἐν τῇ Ἑσπερίᾳ κατοικεῖν. Ἦσαν δὲ Φόρκου καὶ Κητοῦς αἱ *Ἑσπερίδες*. Ἀπὸ μιᾶς δὲ αὐτῶν εἴρηται ἡ νῆσος, ἣν κατῴκει Γηρυονεὺς, ἔχων κύνα Ὄρθον, ἀδελφὸν Κερβέρου, ὃν Ἡρακλῆς ἀπέκτεινεν. Οἱ δὲ Ἄτλαντος λέγουσιν εἶναι τὸν κύνα.

V. 1401. *Στύπος.* Τὸ στέλεχος.

V. 1404. *Χόλον.* Ἀντὶ τοῦ τὴν χολήν. Ὅμηρος: χόλον ἄρα σ' ἔτρεφε.

V. 1405. *Πυθομένοις.* Ἀντὶ τοῦ σηπομένοις. Καὶ τὸ πύον ἐντεῦθεν φησὶ λέγεσθαι Μύκλος ὁ Νεαπολίτης. Ἔστι γὰρ τοῦτο σεσηπὸς αἷμα. Καὶ ἡ Πυθὼ δὲ, κατά τινας. Ἢ ἀπὸ τοῦ πνευστικῶς *) ἔχοντας ἐπὶ

*) Corrigendum esse πευστικῶς, nemo non videt, docentque Scholia Parisina. Citavi ad illa p. 328. Piersonum bene monentem, tales locutiones fungi vice verborum desiderativorum. Haec ratio ab interpretibus non usquequaque satis intellecta est. Veluti in Plutarcho v. Solon. c. 8. παρακινητικῶς ἔχειν Interpres perperam vertit *furore correptum esse.* Nec rectius H. Stephanus Thes. T. II. c. 219. A. *emotum mente esse.* Imo est *ad furorem inclinare, prima signa furoris adventantis prodere,* quasi dicas παρακινησείειν.

τοὺς χρησμοὺς ἔρχεσθαι. Ἢ καὶ ἀπὸ παιδός τινος Πυθικῆς, ᾗ ὄνομα Πυθὶς, θυγατρὸς Δελφοῦ.

V. 1409. Ἐσσυμένως ἐγένοντο. Διὰ τύπου σημαίνει, ὅπως ἀφανεῖς ἐγένοντο.

V. 1412. Εἴτ' οὖν οὐρανίαις. Τοῦτο φησὶν, ἐπεὶ τῶν νυμφῶν αἵ μέν εἰσιν οὐράνιαι· αἵ δὲ, ἐπίγειοι· αἵ δὲ, ποτάμιοι· αἵ δὲ, λιμναῖαι· αἵ δὲ, θαλάσσιαι. Καὶ καθόλου δὲ τῶν νυμφῶν γένος εἰς πολλὰ διήρηται, ὥς φησι Μνησίμαχος ὁ Φασιλήτης ἐν διακόσμοις.

V. 1415. Ἐνωπαδίς. Κατ' ὄψιν, φανερῶς.

V. 1418. Λωφήσομεν. Ἀντὶ τοῦ παύσομεν. Κυρίως δὲ λέγεται λωφῆσαι τὸ βάρος ἀπὸ τοῦ τραχήλου ἀποβαλέσθαι· λόφος γὰρ ὁ τράχηλος.

V. 1421. Εἰλαπίνας. Τὰς θυσίας λέγει.

V. 1422. Ἀδινῇ ὀπί. Ἀδινὴν ὄπα τὴν ἀσθενῆ, διὰ τὴν δίψαν.

V. 1433. Κύντατος. Ὁ χείριστος καὶ ἔσχατος *).

V. 1442. Παίφασσε. Ἐψηλάφα. Ἢ ἀντὶ τοῦ ἐνθουσιωδῶς ἐφέρετο.

V. 1452. Χηραμόν. Χηραμὸς, ἡ τῶν μυρμήκων κατάδυσις.

V. 1453. Γειομόροι. Οἱ περὶ τὴν γῆν κακοπαθοῦντες.

V. 1454. Λίβα. Λέγει τὴν σταγόνα. Ἡ εὐθεῖα λὶψ, ἀρσενικῶς.

V. 1460. Δήοιμεν. Εὕροιμεν.

V. 1463. Ἐπηλίνδετο. Ἐκεκάλυπτο.

---

*) Sic etiam Schol. Paris. Utrobique leg. αἴσχιστος. Hesychius T. II. c. 382. Κύντατον. — αἰσχρότατον. Passim autem confunduntur αἴσχιστος et ἔσχατος. Dionysius Halic. Ant. Rom. VII. c. 40. τὰ αἴσχιστα πεισόμεθα. Cod. Vat. τὰ ἔσχατα πεισ.

V. 1470. Εἰλατίδην Πολύφημον. Πολύφημος ἐν Μυσίᾳ καταλειφθεὶς ἔκτισε πόλιν Κίον, τὴν οὕτως ὀνομασθεῖσαν ἀπὸ τοῦ παραῤῥέοντος ποταμοῦ. Μαχόμενος πρὸς Χάλυβας οὗτος ἐτελεύτησεν, ὥς φησι Νυμφόδωρος. Ὅτι δὲ τὴν Κίον ἔκτισεν, εἴρηκεν αὐτὸ Χάρις ἐν πρώτῳ χρόνων.

V. 1471. Οὗ ἕθεν. Ἑαυτοῦ.

V. 1487. Αὐλείτης. Ὁ ἀπὸ τῆς ἐπαύλεως. Ὁ ἄγροικος. Ἔστι δὲ παρὰ τὴν αὖλιν τὸ ὄνομα.

V. 1490. Λυκωρείοιο. Ἀντὶ τοῦ Δελφικοῦ. Οἱ γὰρ Δελφοὶ τοπρῶτον Λυκωρεῖς ἐκαλοῦντο ἀπό τινος κώμης Λυκωρείας.

V. 1492. Κῦμα. Ἀντὶ τοῦ κύημα, κατὰ συγκοπήν.

Ἀλέξανδρος δὲ ἐν πρώτῳ Κρητικῶν τῇ Ἀκακαλλίδι συνελθεῖν φησὶ τὸν Ἑρμῆν καὶ τὸν Ἀπόλλωνα· καὶ ἐκ μὲν Ἀπόλλωνος γενέσθαι Νάξον, ἐκ δὲ Ἑρμοῦ Κύδωνα, ἀφ' οὗ ἡ πόλις Κυδωνία καλεῖται ἐν Κρήτῃ. Τὸν δὲ Ἀκακαλλίδος υἱὸν Ἀμφίθεμιν καὶ Γαράμαντα κληθῆναι φησίν. Ἄδηλον δὲ, πότερον ἀπὸ τοῦ Γαράμαντος τούτου οἱ ἐν τῇ Λιβύῃ Γαράμαντες ὠνομάσθησαν, ἢ οὗτος ἀπὸ τοῦ ἔθνους. Ἔστι δὲ καὶ ναὸς παρ' αὐτοῖς, καὶ Γαράμας. * μνημονεύει τοῦ ἔθνους.

V. 1515. Γοργόνος ἀρτίτομον. Περσέως ἐν Σερίφῳ μετὰ τῆς μητρὸς διάγοντος παρὰ Δίκτυϊ, καὶ ἡβήσαντος, Πολυδέκτης ὁ Δίκτυος ὁμομήτριος ἀδελφὸς, βασιλεὺς Σερίφου τυγχάνων, ἰδὼν τὴν Δανάην, ἠράσθη αὐτῆς, ἠπόρει δὲ συγκοιμηθῆναι· καὶ παρασκευάσας ἄριστον, ἐκάλει ἄλλους τε πολλοὺς καὶ αὐτὸν Περσέα. Περσέως δὲ πυθομένου, ἐπὶ τίνι ὁ ἔρανος εὐωχεῖται, τοῦ δὲ φήσαντος, ἐπὶ ἵππῳ, Περσεὺς εἶπεν, ἐπὶ τῇ τῆς Γοργόνος κεφαλῇ. Μετὰ δὲ τὸν ἔρανον τῇ ἑξῆς ἡμέρᾳ, ὅτε

οἱ ἄλλοι ἐρανισταὶ τὸν ἵππον ἀπεκόμιζον, καὶ Περσεύς. Ὁ δὲ οὐκ ἐδέχετο, ἀπῄτει δὲ τὴν τῆς Γοργόνος κεφαλὴν κατὰ τὴν ὑπόσχεσιν· ἐὰν δὲ μὴ κομίσῃ, τὴν μητέρα αὐτοῦ λήψεσθαι ἔφη. Ὁ δὲ ἀνιαθεὶς ἀπέρχεται, ὀλοφυρόμενος τὴν συμφορὰν, εἰς τὸ ἔσχατον τῆς νήσου. Ἑρμῆς δὲ αὐτῷ ὀφθεὶς, καὶ πεῦσιν αὐτῷ προσαγαγὼν, μανθάνει τὴν αἰτίαν τοῦ θρήνου. Ὁ δὲ ἡγεῖται, θαῤῥεῖν εἰπών. Καὶ πρῶτον μὲν ἡγεῖται αὐτῷ πρὸς τὰς τοῦ Φόρκου γραίας, Πεμφρηδὼ καὶ Ἐντὼ καὶ Ἰαινὼ, Ἀθηνᾶς φρασάσης. Καὶ αὐτῶν μὲν ὑφαιρεῖται τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα, ὀρεγουσῶν ἀλλήλαις· αἱ δὲ, αἰσθανόμεναι, βοῶσι, καὶ ἱκετεύουσι τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα ἀποδοῦναι. Ἑνὶ γὰρ αἱ τρεῖς ἐκ διαδοχῆς ἐκέχρηντο. Ὁ δὲ Περσεὺς αὐτὸν ἔχειν ἔφη, καὶ ἀποδώσειν, ἐὰν αὐτῷ ὑποδείξωσι τὰς νύμφας, αἳ ἔχουσι τὴν ἄϊδος κυνῆν, καὶ τὰ πέδιλα τὰ ὑπόπτερα, καὶ τὴν κίβησιν. Αἱ δὲ αὐτῷ φράζουσι. Καὶ ὁ Περσεὺς ἀποδίδωσι. Καὶ ἀπελθὼν πρὸς τὰς νύμφας σὺν Ἑρμῇ, αἰτήσας τε καὶ λαβὼν ὑποδεσμεῖται τὰ ὑπόπτερα πέδιλα, καὶ τὴν κίβησιν περιβάλλει κατὰ τῶν ὤμων, καὶ τὴν ἄϊδος κυνῆν τῇ κεφαλῇ περιτίθησιν. Εἶτα ἔρχεται πετώμενος κατὰ τὸν Ὠκεανὸν καὶ τὰς Γοργόνας, συνεπομένων αὐτῷ Ἑρμοῦ τε καὶ Ἀθηνᾶς. Ταύτας δὲ κοιμωμένας εὑρίσκει. Ὑποτίθενται δὲ αὐτῷ οὗτοι οἱ θεοὶ, ὅπως χρὴ τὴν κεφαλὴν ἀποτεμεῖν ἀπεστραμμένον· καὶ δεικνύουσιν ἐν τῷ κατόπτρῳ τὴν Μέδουσαν, ἣ μόνη ἦν θνητὴ τῶν Γοργόνων. Ὁ δὲ, πλησίον γενόμενος, ἀποτέμνει τῇ ἅρπῃ τὴν κεφαλὴν, καὶ ἐνθεὶς εἰς τὴν κίβησιν φεύγει. Αἱ δὲ αἰσθόμεναι διώκουσιν· οὐχ ὁρῶσι μέντοι αὐτὸν διὰ τὴν ἄϊδος κυνῆν. Περσεὺς δὲ εἰς Σέριφον γενόμενος, ἔρχεται παρὰ Πολυδέκτην, καὶ κελεύει συναθροῖσαι τὸν

λαὸν, ὅπως δείξῃ αὐτοῖς τὴν τῆς Γοργόνος κεφαλὴν, εἰδὼς, ὅτι ἰδόντες ἀπολιθωθήσονται. Ὁ δὲ Πολυδέκτης, ἀολλίσας τὸν ὄχλον, κελεύει αὐτὸν δεικνύειν. Ὁ δὲ ἀποστρεφόμενος ἐξαίρει ἐκ τῆς κιβήσεως καὶ δείκνυσιν. Οἱ δὲ ἰδόντες, λίθοι ἐγένοντο. Ἡ δὲ Ἀθηνᾶ παρὰ Περσέως λαβοῦσα τὴν κεφαλὴν, ἐντίθησιν εἰς τὴν ἑαυτῆς αἰγίδα. Τὴν δὲ κίβησιν Ἑρμῇ ἀποδίδωσι, καὶ τὰ πέδιλα, καὶ τὴν κυνῆν ταῖς νύμφαις. Ἱστορεῖ Φερεκύδης ἐν τῇ δευτέρᾳ. Ἄλλοι δέ φασι, τὸν Περσέα, καρατομήσαντα τὴν Γοργόνα, ὑπὲρ τῆς Λιβύης πετασθῆναι· ἐκ δὲ τῶν κατενεχθέντων *) σταγόνων τοῦ αἵματος γε-

*) Rursus habemus vitium eius generis, de quo notavi supra p. 306. Schol. Paris. recte κατενεχθεισῶν. Harpocration p. 112. Gron. Λευκὴ Ἀκτὴ — πλειόνων οὐσῶν Λευκῶν κ. τ. λ. Pro hoc Photius Lex. c. 158. perperam πλειόνων ὄντων Λ. Igitur multum vereor, ne in Platonis Theaeteto p. 318. Heind. Stobaei auctoritas praeferenda sit auctoritati Scholiastae. Conf. quae notavi in L. Bosii Ellips. p. 281. Diodorus Sic. XX. c. 75. extr. τὰς μάλιστα ταχυναυτούσας τῶν ἠκολουθηκότων. Scribo ἠκολουθηκυιῶν. Idem XII. c. 26. αὐτῶν δὲ τῶν κατὰ τὴν Σικελίαν πόλεων — συγκεχωρηκότων. Wesselingius: „Grammaticorum leges postulabant „συγκεχωρηκυιῶν, quas Auctor, generis enallagen probans, saepe „spernit." Nollem vir summus hic confugisset ad generis enallagen: nam in tam arcto verborum nexu prosaicos, eorumque τοὺς ἀφελεστέρους, puto ab ista figura abstinuisse; ut etiam h. l. femininum genus participii restituendum videatur. Aliter res habet, quando participium a substantivo per interpunctionem dirimitur. Xenophon Memor. II, 2, 3. καὶ αἱ πόλεις — ζημίαν θάνατον πεποιήκασιν, ὡς — παύσοντες. Aristides T. I. p. 267. extr. Iebb. ἅμιλλα δὲ καὶ σπουδὴ τῶν ἑκατέρωθεν μεγίστων πόλεων, καλούντων τε ὡς αὐτοὺς, καὶ ὀχήματα καὶ πορείας (l. πορεῖα) ἐπιπεμπόντων κ. τ. λ. quem locum citans Lobeckius ad Sophocl. Aiac. p. 273. perexiguo spatio tot res tamque varias complexus est, quibus suas in classes digerendis riteque explicandis multo amplius vix sufficiat. [Quod ibid. p. 274. e Longo citavit μιμητὴν φωνὴν, cum eo compares μηνυτὴς a Cratino de muliere dictum, teste Photio Lex. c. 196., si vera notavi in Schleusneri Curis

νέσθαι θηρία. Διὸ καὶ τὴν Λιβύην πολύθηρον εἶπε. Τὸ αὐτό φησι καὶ Ἀλέξανδρος.

V. 1532. sq. Χαλκείησι μακέλησιν. Τοῖς χαλκείοις σκαφίοις ἐλάχαινον, ὅ ἐστιν ἔσκαπτον. Μάκελλα, δίκελλα.

V. 1536. Εὖ κτερέων ἴσχοντα. Ἀντὶ τοῦ λαβόντα.

Χυτὴν δὲ Ὁμηρικῶς τὴν ἐπὶ τοῖς νεκροῖς χεομένην γῆν.

V. 1537. Πρήσσοντος. Φυσῶντος.

V. 1543. Ῥοίζῳ. Ἀντὶ τοῦ μετὰ συριγμοῦ.

V. 1544. Σπινθάρυγες. Αἱ λαμπηδόνες.

V. 1545. Ῥωχμοῖο. Ῥωχμοί εἰσιν αἱ κατὰ τὴν γῆν ῥήξεις.

Noviss. c. 235. Sed adiectiva in ιτης substantivis iuncta feminini generis, cuiusmodi nonnulla Lobeckius citavit, iure habet vir egregius pro sordibus librariorum. Epigramm. adesp. CCCCXVI. v. 3. τὴν Νυμφῶν παροδῖτιν ἀηδόνα. Liber Vaticanus male παροδίτην. In Alcaei Messen. Epigr. XXI. Brunckius ex eodem libro perperam dedit:

Δίζημαι κατὰ θυμὸν, ὅτου χάριν ὁ παροδίτας
δισσάκι Φ1 μοῦνον γράμμα λέλογχε πέτρος.

Servanda erat Planudea scriptura ἁ παροδῖτις: nam πέτρος praelatum esse, vehementer laudo, cum Graeci dixerint etiam ἡ πέτρος, quod, Lexicographis nostris neglectum, satis docent Onestes Epigr. IX. et Theodoridas Epigr. XVIII. Idque ignoratum in causa fuit, cur femininum articuli adiectivique in masculinum verteretur. Quod autem Hermanno (dissert. Orph. p. 766.) in Alcaei Epigrammate scribere placuit προσφωνητικῶς, ὦ παροδῖτα, sane miror tam perspicaci viro probari potuisse. Neque enim cippus alloquitur viatorem, sed ipse viator secum sermocinans aenigma sepulcrale solvit. Conf. Antipatri Sidon. Epigr. XCIII. Ceterum poëmatiis ab Hermanno commemoratis, ubi illa compellatio locum suum habet, adde epitaphium in Viti Mariae Giovenazzii Scholiis ad Livii Fragment. p. XL. ed. Lips. p. 46. Bassan.]

V. 1549. *Μείλια.* Τὰ ἐκμειλίξασθαι δυνάμενα δῶρα, τὰ ἱλαστήρια.

V. 1551. *Τρίτων δ' αἰζηῷ.* Καὶ Πίνδαρος ἐν Πυθιονίκαις, ἐν τῇ εἰς Ἀρκεσίλαον ᾠδῇ, τὴν τοῦ Τρίτωνος ἐπιφάνειαν λέγει. Ἔστι δὲ παρὰ τοῖς γεγραφόσι τὰ περὶ Κύπρου καὶ Λιβύης.

V. 1558. *Ἐπιΐστορα.* Ἀντὶ τοῦ κριτὴν, ἐπιμελητὴν, ἐπίσκοπον. Ὅταν δὲ Ὅμηρος περὶ Ἀγαμέμνονος λέγῃ·

Ἴστορα δ' Ἀτρείδην Ἀγαμέμνονα —

ἀντὶ τοῦ μάρτυρα, συνθηκοφύλακα.

V. 1561. *Εὐρύπυλον Λιβύης.* Εὐρύπυλος, Ποσειδῶνος υἱὸς καὶ Κελαινοῦς τῆς Ἄτλαντος, βασιλεὺς δὲ Κυρήνης. Φύλαρχος δὲ ἐν ἑβδόμῳ Εὔρυτον αὐτὸν καλεῖ, καὶ ἀδελφὸν αὐτοῦ ἀναγράφει Λυκάονα. Ἀκέσανδρος δὲ ἐν πρώτῳ περὶ Κυρήνης τῆς Ὑψέως μετ' αὐτὸν βασιλεῦσαι φησὶ Λιβύης Κυρήνην τὴν Ὑψέως. Μνημονεύει τοῦ Εὐρυπύλου καὶ Καλλίμαχος, λέγων·

— — βοῶν σίνιν Εὐρυπύλοιο,

περὶ Κυρήνης ποιούμενος τὸν λόγον.

V. 1562. *Πρόφρων δ' ὑπερέσχεθε.* Τὸν Εὔφημον ἐποίησε δεχόμενον τὴν βῶλον δι' οἰκειότητα, ἐπεὶ Ποσειδῶνος καὶ Εὐρώπης τῆς Τιτυοῦ. Καὶ Εὐρύπυλος δὲ οὗτος, οὗ εἰς τὴν χώραν παρεγένοντο, Ποσειδῶνος ἐστὶν υἱός. Λέγεται δὲ καὶ παρὰ Πινδάρῳ, ὅτι ἐδέξατο τὴν βῶλον ὁ Εὔφημος.

V. 1563. *Παραβλήδην.* Παλαμήδης, ἐξ ἀντιβολῆς. Ἢ παραλογιστικῶς. Νῦν δὲ ἐξ ἀποκρίσεως.

V. 1564. *Ἀτθίδα.* Γράφεται *Ἀπίδα*, καὶ *πέλαγος Μινώϊον.* Ἆπις, νῆσος κειμένη πρὸ τῆς Κρήτης. *Μινώϊον* δὲ *πέλαγος*, πρὸ τῆς Κρήτης. Αὔ-

τη γὰρ Μίνωος ἦν βασιλεία. Ἢ ἐπεὶ θαλαττοκρατῶν ὑφ᾽ αὐτὸν τὰς νήσους ἐποίησε. Μετὰ δὲ τὸ Κρητικὸν, τὸ Αἰγύπτιον.

V. 1569. Χεῦμα δι᾽ ἠπείρου βεβαρημένοι. Ἄδηλον, πότερον κατὰ τὸ κοινὸν ἤπειρον εἴρηκε τὴν γῆν· ἢ ὅτι πᾶσα ἡ οἰκουμένη εἰς ἠπείρους τρεῖς διῄρηται, Ἀσίαν, Εὐρώπην, Λιβύην. Ἡ δὲ Αἴγυπτος κατὰ μέν τινας τῆς Ἀσίας ἐστὶ, κατὰ δέ τινας τῆς Λιβύης.

V. 1571. Ἄπωθεν. Ἀπὸ διαστήματος.

V. 1573. Διήλυσις. Ἡ διεξέλευσις καὶ ἔξοδος.

V. 1575. Φρίσσουσι. Ἀντὶ τοῦ, εἰς ὕψος αἴρονται.

V. 1581. Περιῤῥήδην. Τὸ κατὰ περιφέρειαν δηλοῖ.

V. 1589. Εἴσατο. Ὥρμησεν.

V. 1599. Ἁλοσύδναι. Θαλάσσιαι. Ἀπὸ τοῦ ἐν ἁλὶ δύνειν, ὅ ἐστιν, ἐν τῇ θαλάσσῃ ὁρμᾷν.

V. 1608. Ὀδακτάζουτι. Δάκνουτι.

V. 1609. Ὁλκήϊον. Τὸ κάτω τοῦ πλοίου ξύλον, τὸ πρὸς τῇ τρόπιδι, οὗ ἡ ναῦς ἕλκεται· ὃ πήγνυται πρῶτον ἐπὶ γῆς, κατασκευαζομένου πλοίου.

V. 1613. Δικραίρα οἱ. Διπλῆ. Τοιαύτη γὰρ ἡ τοῦ Τρίτωνος οὐρὰ, διῃρημένη εἰς δύο. Ἔτεμνε δὲ τὸ ἄκρον τοῦ ὕδατος ταῖς ἀκάνθαις, αἵτινες κάτωθεν ἐπὶ τοῖς κέντροις τοῖς σκαμβοῖς ἐδιχάζοντο, ὅμοιαι οὖσαι τοῖς τῆς σελήνης κέρασιν, ἅτινα ἡμικύκλια ἐστί. Τοιούτῳ δὲ σχήματι καὶ τὰ ἄκρα τῆς οὐρᾶς τῶν ἰχθύων ἐστὶν ἡμικυκλίῳ.

V. 1614. Κήτεος ἀλκαίῃ. Ἀλκαίη λέγεται κυρίως ἡ τοῦ λέοντος οὐρὰ, ἀπὸ τοῦ δι᾽ αὐτῆς εἰς ἀλκὴν τρέπεσθαι. Καὶ ὁ ποιητής·

Οὐρῇ μὲν πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν μαστίεται.

Καλλίμαχος δὲ κακῶς ἐπὶ τῶν μυιῶν τέθεικεν· ἀλκαίας ἀφύσσα. Ἢ ἀπὸ τοῦ ἀλκεῖν, ὅ ἐστι βοηθεῖν, ἢ εἰς ἀλκὴν παρορμῶσα. Ὥσπερ καὶ οὐρὰ παρὰ τὸ οὐρεῖν, ὅ ἐστι φυλάττειν. Ἢ διὰ τὸ ὀρίνειν ἑαυτὰ τὰ ζῶα τῇ οὐρᾷ, ὡς ὁ λέων, καὶ ὁ ταῦρος, καὶ ὁ κύων, καὶ τὰ λοιπά. Κυρίως δὲ ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία λέγεται. Ἐν δὲ τῷ κωμικῷ Λεξικῷ οὐ μόνον ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία, ἀλλὰ καὶ ἵππου καὶ βοὸς καὶ τῶν ἐμφερῶν, ὅσα ὥσπερ ἀλεξητηρίῳ τῇ οὐρᾷ χρῆται.

V. 1619. *Τέρας. Τὸν Τρίτωνα λέγει τέρας, ἐπεὶ τὰ μὲν ἀνδρὸς ἔχει, τὰ δὲ κήτους.*

V. 1620. *Ἀργῷός τε λιμήν. Παρὰ τῇ Τριτωνίδι λίμνῃ ἐστὶν, Ἀργῷος καλούμενος.*

V. 1629. sq. *Ἀστὴρ αὔλιος. Αὔλιον ἀστέρα τὸν Ἕσπερον λέγει, ἢ παρὰ τὸ αὐλίζεσθαι, ὅ ἐστι κοιμᾶσθαι, ἢ παρὰ τὸ ἐν αὐλαῖς διατρίβειν, καθ' ἣν ὥραν ὁ Ἕσπερος ἀνατέλλει.*

V. 1633. *Ἐπερρώσαντο. Ἐρρωμένως ἤλαυνον.*

V. 1636. *Κάρπαθος. Κάρπαθος νῆσός ἐστι τῶν Σποράδων, πλησίον τῆς Κῶ, περὶ ἧς Ὅμηρος εἴρηκε· Κάρπαθόν τε Κάσον τε καὶ Κῶν. Ἄλλοι πλησίον Κρήτης αὐτὴν εἶναι λέγουσιν.*

V. 1640. *Ἐπιωγήν. Σκέπην, ὑφ' ἧς ὁ ἄνεμος ἄγνυται.*

Τάλως. Ὁ Τάλως ἦν τοῦ γένους ἐκείνου τοῦ χαλκοῦ. Ὅλος δὲ ὢν χαλκοῦς, ἐπὶ τοῦ σφυροῦ σύριγγα εἶχεν ὑμένι περιεχομένην. Σύριγξ δὲ λέγεται ἡ περόνη.

Ὅτι δὲ εἵμαρτο αὐτῷ τελευτῆσαι, ῥαγείσης τῆς σύριγγος, λέγει καὶ Σοφοκλῆς ἐν Τάλῳ. *)

V. 1659. Ὑπ' ἐκ βελέων. Ἤγουν τῶν πετρῶν. Καὶ γὰρ Ὅμηρος βέλος εἴρηκε τὴν πέτραν τὴν ὑπὸ τοῦ Κύκλωπος βληθεῖσαν. καὶ πᾶν τὸ πεμπόμενον φησίν.

V. 1661. Ἀνωΐστως. Ἀγνώστως, ἢ ἐξαίφνης.

V. 1667. Ἐπὶ ζωοῖσιν. Διὰ τῶν φαρμάκων τοῖς ζωοῖσιν ἐπάγονται.

V. 1672. Δείκηλα. Εἴδωλα, φαντάσματα.

V. 1673. Ἄηται. Φέρεται. Κεκίνηται.

V. 1677. Βρίμῃ. Τῇ ἰσχύϊ. Παρὰ δὲ τὸ βρι πέπτωκε ῥῆμα τὸ βρίθω· οὗ ὁ μέλλων βρίσω· καὶ ῥηματικὸν ὄνομα βρίμη. Τὰ γὰρ εἰς μη λήγοντα ὀνόματα, ἑνὶ φωνήεντι παραληγόμενα, βαρύνεται· οἷον κρήνη, φήμη, κνήμη· πλὴν τοῦ τιμή. Τὰ δὲ ἔχοντα πρὸ τοῦ μ ἕτερον σύμφωνον ὀξύνεται, οἷον γραμμή.

V. 1679. Πετραίῳ στόνυχι. Στόνυξ ἐστὶ κυρίως τὸ ἄκρον τοῦ δόρατος· καταχρηστικῶς δὲ πᾶν τὸ εἰς ὀξὺ λῆγον.

V. 1693. Σαλμωνίδος ἄκρης. Σαλμωνὶς καὶ Σαλμώνιον, ἀκρωτήριον Κρήτης.

V. 1695. Κατουλάδα. Σκοτεινὴ νὺξ κατουλὰς καλεῖται, παρὰ τὸ ὀλοόν. Σοφοκλῆς ἐν Ναυπάκτῳ· νυκτὶ κατουλάδι.

V. 1698. Μυχάτων. Ἐσχάτων.

V. 1700. Ἠείδειν. Ἀντὶ τοῦ εἴδεσαν.

V. 1707. Ἀριήκοος. Λίαν ἐπήκοος.

Μελάντιοι δὲ εἰσι δύο σκόπελοι πρὸς τῇ Θήρᾳ,

*) Ad v. 1638.

οὕτως ὀνομαζόμενοι, ἀπὸ Μέλαντος, τοῦ κατασχόντος τὴν χώραν, τὴν προσηγορίαν ἔχοντες.

V. 1711. Σποράδων βαιή. Νῆσος βαιὴ, ἡ Ἀνάφη κληθεῖσα, πλησίον Θήρας.

V. 1712. Νῆσος ἰδεῖν. Νῆσος ἡ Ἱππουρὶς, πλησίον Θήρας. Μνημονεύει δὲ αὐτῆς καὶ Τιμοσθένης, καὶ Πυθαίνετος ἐν πρώτῳ περὶ Αἰγίνης.

V. 1725. Ἐπεστοβέεσκον ἔπεσσιν. Ἐλοιδοροῦντο, ὕβριζον.

V. 1733. Ἀζόμενος Μαίης υἷα κλυτόν. Τὸν Ἑρμῆν φησὶν ἐξιλάσασθαι τὸν Εὔφημον διὰ τὸ θεάσασθαι ὄνειρον. Οὗτος γὰρ ἐπὶ τῶν ὀνείρων ὁ θεός. Τοὺς γὰρ ὀνείρους Ἑρμῇ ἀνατιθέασιν.

V. 1734. Βῶλαξ ἐπιμάστιος. Ἡ τοῦ Τρίτωνος βῶλος ἐπὶ τῶν μαστῶν. Δαίμονα γὰρ τοῦτον εἶπεν.

V. 1750. Βώλακα γὰρ τεύξουσι. Εὔφημος ᾤκει τὴν Λακωνικὴν παρὰ τὸν αἰγιαλόν. Εἷς δέ τις αὐτοῦ τῶν ἀπογόνων Σήσαμος ἀπῴκισε Θήραν. Οὗ ἀπόγονος γέγονεν Ἀριστοτέλης, ὃς τῆς περὶ Κυρήνην ἀποικίας ἡγήσατο. Ἱστορεῖται ταῦτα παρὰ Πινδάρῳ ἐν Πυθιονίκαις· ἐπιμελέστερον δὲ παρὰ Θεοχρήστῳ ἐν πρώτῳ Λιβυκῶν, καὶ παρὰ Ἀκεσάνδρῳ ἐν πρώτῳ Κυρήνης. Λέγει δὲ τὴν Θήραν, ὡς ἐκ τῆς τότε ῥιφείσης βώλου, γεγενημένης ἐν αὐξήσει καὶ ἀναπεφυκυίας ἐν τῇ θαλάσσῃ. Καὶ Πίνδαρος μὲν τακῆναι φησὶ τὴν βῶλον, καὶ περὶ τὴν νῦν καλουμένην Θήραν νῆσον διαῤῥυῆναι, ἐπιλαθομένων τῶν θεραπόντων· ὁ δὲ Ἀπολλώνιος ἑκουσίως φησὶ τὸν Εὔφημον ἐπὶ τὴν θάλασσαν τὴν βῶλον βαλεῖν, συμβουλίᾳ Ἰάσονος.

V. 1763. Καλλίστην ἐπὶ νῆσον. Ἤλλαξε δὲ τὸ ὄνομα ἡ Καλλίστη νῆσος, καὶ ὠνομάσθη Θήρα,

ἀπὸ Θήρα, υἱοῦ Αὐτεσίωνος, ἐκεῖ ἀπὸ Σπάρτης ἀποικίαν ποιήσαντος καὶ μείναντος.

Ἐξελαθέντες. Ἐκβληθέντες ὑπὸ Τυρσηνῶν ἀπῆλθον εἰς Σπάρτην ἔποικοι.*)

V. 1764. Ἐξ ἕθεν. Ἀπὸ Εὐφήμου γενόμενος καὶ αὐτὸς καὶ Ἀριστοτέλης, εἰς Λιβύην τὴν ἀποικίαν ἠγάγοντο. Ἦν δὲ ὁ Θήρας ἀπὸ Οἰδίποδος ἔχων τὸ γένος. Αὐτεσίωνος γὰρ ἦν, τοῦ Τισαμενοῦ, τοῦ Θερσάνδρου, τοῦ Πολυνείκους, τοῦ Οἰδίποδος. Συνηκολούθησαν δὲ εἰς τὴν ἀποικίαν τῷ Θήρᾳ καὶ Λήμνιοι, ἐκβληθέντες ὑπὸ Τυῤῥηνῶν ἐκ τῆς Λήμνου.

V. 1765. Ἀπτερέως. Τάχιστα.

V. 1767. Ὑδρείης πέρι. Ὑδρείαν, τὴν ὕδρευσιν.

V. 1768. Φθαίη. Προφθάσοι. Δηλονότι πρῶτος λάβοι, ἢ ὑδρεύσοι.

V. 1776. Ἐπεὶ οὐ νύ τις ὔμμιν ἄεθλος. Ἐπεὶ οὐδεὶς ὑμῖν ἕτερος ἆθλος καὶ ἀγὼν ἀναχωρήσασιν ἀπὸ τῆς Αἰγίνης γέγονεν, ἕως οὗ ἐπανήλθετε. Ἀλλ' οὔτε σφοδροὶ ἄνεμοι ἐκινήθησαν καὶ ἔπνευσαν· ἀλλ' ἥσυχοι παραπλεύσαντες τήν τε Ἀττικὴν καὶ τὴν Αὐλίδα, τὴν Εὔβοιαν καὶ τὰς πόλεις τῶν Λοκρῶν, χαριέντως καὶ εὐγαλήνως εἰς τοὺς λιμένας τῶν Παγασῶν εἰσήλθετε, ὅθεν καὶ ἀπεπλεύσατε ἀπιόντες ἐπὶ Σκυθίαν διὰ τὸ χρυσοῦν δέρας.

V. 1778. Ἐριωλαί. Αἱ τῶν μεγάλων ἀνέμων καταιγίδες καὶ συστροφαί.

V. 1779. Παρά τ' Αὐλίδα. Ἡ Αὐλὶς πόλις Βοιωτίας καταντικρὺ τῆς Εὐβοίας κειμένη.

---

*) Ad v. 1760.

V. 1780. *Ὀπούντιά τ' ἄστεα.* Τὰ ὑπὸ τοῦ Ὀποῦντος ποτὲ ἐχόμενα, τοῦ Διὸς υἱοῦ καὶ Πρωτογενείας· οὗ καὶ ἡ πόλις ἐπώνυμος. Ὀποῦς δὲ, καὶ ποταμὸς Λοκρίδος.

V. 1781. *Ἀκτὰς Παγασηΐδας.* Εἰς τοὺς αἰγιαλοὺς τῶν Παγασῶν εἰσήλθετε, ὅθεν καὶ τὴν ἀρχὴν ἀπεπλεύσατε.

INDICES

IN

SCHOLIA

NOTASQVE

RICH. FR. PHIL. BRVNCKII

AD POETAM

ET

GODOFR. HENR. SCHAEFERI

AD SCHOLIASTAS.

INDEX SCRIPTORVM IN SCHOLIIS CITATORVM *).

A.

*) Indicem huiuscemodi, sed valde imperfectum, editioni suae subiunxerat suisque in Apollonium locis communibus inseruerat Valentinus Rotmarus. Alium, perquam accuratum, ad paginas adornatum editionis praeclarae Stephanicae misit ad me Oxonia vir doctissimus Io. Hudsonus. Tertium, non minus diligenter ad sectiones graecas scholiorum concinnatum, quibus sunt distinctae editiones Basileensis et Francofurtensis Brubachiana, accepi Lipsia ab amico, confectum nescio quo auctore. Quartum, maxime communis, ut spero, usus, hoc loco edendum putavi, ad singulos librorum Apollonii versiculos comparatum a Io. Christophoro Wolfio, Wernigerodensi, collatumque cum indice Oxoniensi et Lipsiensi. Habui et quintum a manus, quem similiter ad versiculos uniuscuiusque libri digesserat Christianus Henricus Postellus, ὁ μακαρίτης. Intelligo praeterea, illustri Cupero indicem eiusmodi ante triginta circiter annos compositum, cum variis observationibus et castigationibus, quibus per magis ardua summi viri negotia adhuc carere coguntur studiosi. Fabric.

*) Huius *Androetae ἱστορικὸν περὶ τῆς γῆς αὐτοῦ πατρίδος* mentio in MSto codice apud Lambecium I. p. 148. Fabric.

*) Optima lectio *in conceptibus* (animalium), quam adlatus inde locus, πρόκας cervos esse docens, nonnihil confirmat. Dici autem vix potest, quantam haecce vel spreta vel inobservata lectio pruriginem excitaverit eruditis emendandi Etymologici M. auctorem, qui in Προικόννησος Sophocleum scholiasten ad verbum exscripserat, unica tamen laborante literula: nam pro ἐν ταῖς κνήσεσι exaravit ἐν ταῖς κτήσεσι, vice cuius Sylburgio conriciendi facultas suppeditavit ἐν ταῖς κτίσεσι, quam incongruentem emendationem an quis hactenus improbarit, nescio. Imo *Casaubonus* Animadvers. in Athen. lib. X. cap. 14. ita suum adsensum ei accommodavit, ut, expuncta etiam Athenarum patria, citato Dionysio Chalcidem adtribuendam putaverit, in quam opinionem pertraxit *Phil. Iac. Maussacum* not. ad Harpocrat. in Ἡφαιστία et *Vossium* lib. III. de Hist. gr. *Nic.* vero *Loensis* in Miscell. Epiphyll. pag. 354. citatus *Daumio* epist. ad Reinesium XX. et ille, quem innui, *Reinesius* var. lect. lib. II. cap. 8. duos Dionysios, utut aetate, scriptis et patria differant, pro uno eodemque agnoscunt. Dicas profecto ob ignoratam hanc Dionysii praesentis citationem debere ludibrium Adrasteae ad unum omnes. *Haec auctor Indicis, Lipsia ad me transmissi.* FABRIC.

**) Conf. cel. *Heynii* comment. de Apollodori biblioth. in tomo III. editionis illius pag. 923. et pag. 980. sqq. HARL.

INDEX SCRIPTORVM IN NOTIS TRACTATORVM.

(In hoc et sequente indice numeri romani tomum, vulgares paginam indicant.)

INDEX GRAECVS IN NOTAS.

(Vocibus asterisco notatis Lexica carent.)

E.

Z.

*) P. 225. sq. locus varie tentatus sic videtur refingendus esse: τῆς δίκης αὐτοῖς, ὁμολογουμένως τῇ Τιμολέοντος εὐτυχίᾳ, ἰδίᾳ ἐπιτιθεμένης. ubi ἰδίᾳ suspicor elisum esse per ultimas litteras vocis praecedentis.

*) Mox p. 402. nemo monitus dubitabit articulo inserto scribere ἀπαύστῳ τῷ θυμουμένῳ: cuiusmodi participia articulo carere nequeunt. Deinde capitis sequentis initium sic refingam: Ἐπεὶ δὲ — καλοῦνται· θαυμαστὸν μὲν ἐδόκει κ. τ. λ. Sic καὶ natum est ex antecedente syllaba ται ibid. p. 440. ubi Coray particulam delevit. Idem delevit p. 735. post ἐκδέχεται.

X.

Ψ.

Ω.

IO. IAC. REISKII

INDEX GEOGRAPHICVS IN SCHOLIA.

IO. IAC. REISKII
INDEX HISTORICVS
IN SCHOLIA.

IO. IAC. REISKII

INDEX GLOSSEMATICVS IN SCHOLIA.

Sumtibus Gerh. Fleischeri jun., bibliopolae Lipsiensis, hi quoque libri prodierunt.

Aristophanis Comoedia Plutus. Adiecta sunt scholia vetusta. Recognovit ad veteres membranas, variis lect. ac notis instruxit et Scholiastas locupletavit Tiber. Hemsterhuis. Edit. nova emend. et append. notarum aucta. 8. maj. 1811.
Charta impress. 3 Thlr. 8 gr.
Charta script. 4 Thlr.

Aristotelis ars poetica, cum commentariis Godof. Hermanni, 8. maj. 1802. Charta impress. 1 Thlr. 12 gr.
Charta script. 1 Thlr. 20 gr.

Ciceronis, M. T., de Officiis libri tres. Recensuit et Scholiis Iacobi Facciolati suisque animadversionibus instruxit Aug. G. Gernhard. 8. maj. 1811. Charta impress. 2 Thlr. 4 gr.
Charta script. 2 Thlr. 12 gr.

Euripidis Tragoediae, edid. R. Porson. Tomus I. Editio in Germania altera correctior et auctior indicibusque locupletiss. instructa. 8. maj. 1807. Charta impress. 2 Thlr. 12 gr.
Charta script. 3 Thlr.

— Hercules Furens. Recensuit Godofredus Hermannus. 8. 1810. 12 gr.

— Supplices. Recensuit Godofr. Hermannus. 8. 1812. 12 gr.

— Troades. Ad optim. librorum fidem recens. et brev. notis instruxit Aug. Seidler. 8. 1812. 16 gr.

Gronovii, I. Fr., in P. Papinii Statii Silvarum libr. V. Diatribe. Nova editio ab ipso auctore curata. Accedunt Emerici Crucei Antidiatribe, Gronovii Elenchus Antidiatribès et Crucei Muscarium. Edidit et annotationes adiecit Ferd. Handius. 2 Voll. 8. maj. 1812. 5 Thlr.

Hermanni, G., Observationes criticae in quosdam locos Aeschyli et Euripidis. 8. maj. 1798. 18 gr.

Hermanni, G., de emendanda ratione graecae Grammaticae Libri I et II. Vol. I. Accedunt Herodiani aliorumque libelli nunc primum editi. 8. maj. 1801.

Charta impress. 2 Thlr.

Charta script. 2 Thlr. 8 gr.

Plauti, M. Acci, Trinummus, recensuit et praefatus est Godofredus Hermannus. 8. maj. 1800. 12 gr.

Plutarchi Agesilaus et Xenophontis encomium Agesilai. In scholarum usum edidit, notis et indice instruxit D. C. G. Baumgarten-Crusius. 8. maj. 1812. 16 gr.

Ruhnkenii, David., Lud. Casp. Valckenaerii et aliorum ad Ioh. Aug. Ernesti Epistolae. Accedunt D. Ruhnkenii Observationes in Callimachum, L. C. Valckenaerii Adnotationes in Thomae Mag. Eclogas et Io. Aug. Ernestii Acroasis inedita. Ex Autographis edidit Ioh. Aug. Henr. Tittmann. 8. maj. 1812.

1 Thlr. 8 gr.

Seidler, Aug., de Versibus dochmiacis Tragicorum graecorum. Vol. I. II. 8. maj. 1811. 12. 2 Thlr. 8. gr.

Sophoclis Tragoediae septem ac deperditarum fragmenta, emendavit, varietatem lectionis, Scholia notasque tum aliorum tum suas adiecit C. G. Erfurdt. Accedit Lexicon Sophocleum et Index verborum locupletissimus. Vol. I. Trachiniae. Vol. II. Electra. Vol. III. Philoctetes. Vol. IV. Antigona. Vol. V. Oedipus Rex. Vol. VI. Aiax. 8. maj. 1802—1811.

Charta impress. 14 Thlr. 16 gr.

Charta script. 17 Thlr. 16 gr.

— Antigona. Ad optimor. librorum fidem iterum recensuit et brevibus notis instruxit C. G. Erfurdt. 8. 1809. 16 gr.

— Oedipus Rex. Ad optimor. librorum fidem iterum recensuit et brevibus notis instruxit C. G. Erfurdt. 8. 1811. 20 gr.

Thiersch, Dr. Fr., griechische Grammatik des gemeinen und homerischen Dialekts. 8. 1812. 16 gr.

Valkenaer, L. C., Opuscula philosophica critica, nunc primum coniunctim edita. Tom. I. et II. 8. maj. 1808. et 1809.

3 Thlr. 8 gr.